ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

17

ΥΠΟΜΝΗΜΑ

ΣΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ

(ΟΜΙΛΙΕΣ ΙΑ'-ΛΓ')

ΕΙΣΑΓΩΓΗ

ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ

Ἀπό τόν

ΣΠΥΡΟ ΜΟΥΣΤΑΚΑ

Θεολόγο – Φιλόλογο

75 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 75

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Παμεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς ἐκδόσεως

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεπολογίας



Ε Π Ε

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1985

ΕΙΣΑΓΩΓΗ

Στόν παρόντα τόμο ὁλοκληρώνεται τό ὑπόμνημα τοῦ Ἰωάννη Χρυσοστόμου στήν πρός Ρωμαίους ἐπιστολή τοῦ ἀποστόλου Παύλου μέ τή δημοσίευση τῶν ὁμιλιῶν ΙΑ΄-ΛΓ΄. Τό κείμενο τῶν ὁμιλιῶν λαμβάνεται ἀπό τήν ἔκδοση Ὀξφόρδης.

Στήν ΙΑ΄ ὁμιλία ἑρμηνεύει τό Ρωμ. 5,12 - 6,4. Στή συνέχεια μιλάει γιά τόν ἄριστο τρόπο ζωῆς καί παρατηρεῖ ὅτι ὅσοι ζοῦν μέσα στήν ἁμαρτία εἶναι ἄστατοι καί εὔκολα ἐπηρεάζονται, καί ὅτι ὅποιος στερήθηκε τά δικά του, ἄν ὑποφέρει τή στέρηση αὐτή μέ εὐχαρίστηση, θά ἐπιτύχει τήν ἴδια ἀμοιβή μ' ἐκείνους πού ξοδεύουν τά ὑπάρχοντά τους στούς φτωχούς.

Στή ΙΒ΄ ὁμιλία ἑρμηνεύει τό Ρωμ.6,5 - 18, ἀναφέρεται στά διάφορα εἴδη νεκρώσεως καί θανάτου καί στρέφεται ἐναντίον τῆς ἐπιθυμίας τῶν χρημάτων, τῶν φιλαργύρων καί τῶν πλεονεκτῶν.

Στή ΙΓ΄ ὁμιλία ἑρμηνεύει τό Ρωμ.6,19 - 7,13 καί κάνει λόγο γιά τό τέλος τῆς ἡδονῆς, καί τῆς ἀρετῆς. Ἡ ἡδονή καταλήγει στό θάνατο, ἐνῶ ἡ ἀρετή ὁδηγεῖ τόν ἄνθρωπο στή ζωή. Ἔπειτα συμβουλεύει ν' ἀποφεύγουμε τά μικρά κακά, γιατί ἀπ' αὐτά προέρχονται τά μεγάλα, σημειώνει πώς εἶναι στό χέρι μας νά μήν ὑποφέρουμε καί τελειώνει μέ τήν προτροπή ν' ἀποφεύγουμε τό βάραθρο τῆς μικροψυχίας καί νά καταφεύγουμε στό λιμάνι τῆς μακροθυμίας.

Στή ΙΔ΄ ὁμιλία ὁ ἱερός Χρυσόστομος ἑρμηνεύει τό Ρωμ. 7,14 - 8,11 καί μιλάει γιά ἐκείνους πού ζοῦν μέ ἀρετή καί ἄσκηση, σημειώνοντας πώς αὐτοί μόνο ζοῦν, ἐνῶ ἐκεῖνοι πού ζοῦν

έ ἡδονές ἔχουν ἤδη πεθάνει, καί ἀναφέρεται στίς ἀπολαύσεις, ή φιλαργυρία καί τήν πλεονεξία.

Στή ΙΕ' ὁμιλία, ἑρμηνεύοντας τό Ρωμ. 8,12 - 27, μιλάει γιά ήν ἐλεημοσύνη καί τά μελλοντικά ἀγαθά, τά ὁποῖα φυλάσσοται στούς οὐρανούς γιά ὅσους πολιτεύονται σύμφωνα μέ τό θέημα τοῦ Θεοῦ.

Στή ΙΣΤ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 8,28 - 39 καί κάνει λόγο ιά τήν ἀγάπη πρός τό Χριστό, τήν ἐλεημοσύνη, καθώς ἐπίσης αί γιά τήν ἀγάπη τοῦ Χριστοῦ πρός ἐμᾶς.

Στή ΙΖ' ὁμιλία ἑρμηνεύει ὁλόκληρο τό 9ο κεφάλαιο τῆς ἐπιτολῆς, χωρίς νά θίξει κανένα ἠθικό ζήτημα.

Στή ΙΗ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 10,14 - 11,6, προτρέπει νά ὐχαριστοῦμε τό Θεό μέ λόγια καί πράξεις γιά τή σωτηρία μας αί δείχνει πῶς πρέπει νά ἐπιτύχουμε τή σωτηρία καί πῶς νά ιαθέτουμε τήν περιουσία μας πρίν καί μετά τό θάνατο.

Στήν Κ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 11,7-34· λέγει ὅτι πρέπει ά δοξάζουμε τό Θεό φροντίζοντας γιά τήν ἀρετή καί ζώντας έ τόν ὀρθό τρόπο ζωῆς, καί ὅτι δέν πρέπει νά στηριζόμαστε τίς ἀρετές τῶν προγόνων μας, ἀλλά στά δικά μας κατορθώμαι. Στή συνέχεια μιλάει γιά τήν πνευματική συγγένεια καί τήν πιείκεια. Τελειώνει μέ τήν παρατήρηση ὅτι πρέπει νά μιμούαστε σέ ὅλα τό Θεό καί ὅτι ἡ φτώχεια δέ θά μᾶς βλάψει καθόου στό νά κάνουμε ἐλεημοσύνη.

Στήν ΚΑ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 12,1 - 3 καί μιλάει γιά ήν ἀλαζονεία, γιά ἐκείνους πού ὑπερηφανεύονται γιά τή σοφία ους, καθώς ἐπίσης γιά τή μωρία καί τήν ὑπερηφάνεια, πού ροέρχονται ἀπό τήν ἄγνοια τοῦ Κυρίου, καί γιά τήν ταπεινορoσύνη.

Στήν ΚΒ' ὁμιλία, ἑρμηνεύοντας τό Ρωμ. 12,4 - 13, κάνει όγο γιά τή φιλοξενία καί τήν ἐλεημοσύνη. Στή συνέχεια συμουλεύει νά μήν περιεργαζόμαστε ὅσους ἔρχονται κοντά μας, ὕτε νά βρίζουμε καί νά μολύνουμε τή γλώσσα μας, ἡ ὁποία πολαμβάνει τά ἅγια μυστήρια.

Στήν ΚΓ' ἑρμηνεύει τό Ρωμ. 12,14 - 21 καί λέγει ὅτι δέν πρέπει νά ἀνταποδίδουμε κακό ἀντί γιά κακό.

Στήν ΚΔ' ὁμιλία ὁ Ἰωάννης Χρυσόστομος ἑρμηνεύει τό Ρωμ. 13,1-10 καί μιλάει γιά τήν ἄριστη καί τέλεια φιλία.

Στήν ΚΕ' ὁμιλία, ἑρμηνεύοντας τό Ρωμ. 13,11 - 14, στρέφεται ἐναντίον ἐκείνων πού διαπράττουν πορνεία καί εἶναι κοιλιόδουλοι, παρατηρώντας ὅτι ἀπό τήν πορνεία καί τή γαστριμαργία προέρχονται ὅλα τά κακά.

Στήν ΚΣΤ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 4,14-23, μιλάει γιά τήν ἐνάρετη ζωή, συμβουλεύοντας νά προσέχουμε στήν παρούσα ζωή, παρατηρεῖ πώς δέν εἶναι ἀρκετή δικαιολογία ἡ ἄγνοια, σημειώνει ποιά ἄγνοια βλάπτει καί ποιά δέ βλάπτει καί μέ τά παραδείγματα τοῦ Ἀβραάμ καί τοῦ Μελχισεδέκ ἀποδεικνύει πώς ἡ ἀφέλεια καί ἡ ἁπλότητα δέν ἀποτελοῦν ἐμπόδιο γιά νά γνωρίσουμε τήν ἀλήθεια.

Στήν ΚΗ' ὁμιλία ἑρμηνεύοντας τό Ρωμ. 14,24 - 15,7 κάνει λόγο γιά τήν ἀγάπη καί συμβουλεύει ν' ἀγαποῦμε τούς ἐχθρούς μας.

Στήν ΚΘ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 15,8 - 13 καί τονίζει τήν ἀνάγκη νά κάνουμε ἔργα ἀγαθά γιά ν' ἀποκτήσουμε τό ἅγιο Πνεῦμα καί τήν ἀγαθή ἐλπίδα. Στή συνέχεια συμβουλεύει νά ψάλλουμε διαρκῶς καί νά μελετοῦμε τίς Γραφές, γιά νά γνωρίσουμε τόσο τά δογματικά ὅσο καί τά ἠθικά ζητήματα.


Στήν Λ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 15,14 - 24 καί παρουσιάζει μέ τά παραδείγματα τοῦ Πέτρου, τοῦ Μωυσῆ, τοῦ Δαβίδ, τοῦ Σαμουήλ καί τοῦ Ἀβραάμ τό πρότυπο τοῦ καλοῦ ποιμένα καί διδασκάλου.

Στήν ΛΑ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 15,25 - 16,4, μιλάει γιά τή γενναιοδωρία πού ἔδειξαν οἱ ἐργαζόμενοι καί τή χρησιμότητα πού πρόσφεραν στίς ἐκκλησίες, ἐνῶ κατηγορεῖ τούς πλούσιους γιά τήν ἀδιαφορία τους πρός τούς φτωχούς. Τελειώνοντας κάνει λόγο γιά τή φιλοξενία καί γιά τά ἀληθινά στολίδια τῶν γυναικῶν.

Στήν ΛΒ' ὁμιλία ἑρμηνεύει τό Ρωμ. 16,5 - 16 καί μιλάει γιά τήν κόλαση καί τή δίκαιη κρίση τοῦ Θεοῦ, τονίζοντας πώς τό ζητούμενο δέν πρέπει νά εἶναι ποῦ βρίσκεται ἡ κόλαση, ἀλλά πῶς νά τήν ἀποφύγουμε.

Στήν ΛΓ' ὁμιλία, ἡ ὁποία εἶναι καί ἡ τελευταία, ὁ Ἰωάννης Χρυσόστομος ἑρμηνεύει τό Ρωμ. 16,17 - 24 καί ἀναφέρεται στόν ἀπόστολο Παῦλο, μιλώντας γιά τήν ἀγάπη, τήν προσευχή, τίς ἀρετές καί τά κατορθώματά του. Προτρέπει νά γίνουμε μιμητές του, γιά ν' ἀξιωθοῦμε τή μέλλουσα ζωή. Ἀκόμη ἀναφέρεται στή Ρώμη καί λέγει ὅτι ἡ πόλη στολίζεται καί συγχρόνως τειχίζεται ἀπό τούς τάφους τῶν ἀποστόλων Παύλου καί Πέτρου. Ἡ ὁμιλία τελειώνει μέ ἀναφορά στίς ἐπί μέρους διδασκαλίες καί πράξεις τοῦ Παύλου.

Κρήνη, Χριστούγεννα 1984 — Σπύρος Μουστάκας



ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΙΣ

Ο Μ Ι Λ Ι Α ΙΑ΄.

(Ρωμ. 5,12–6,4)

«Διὰ τοῦτο, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον».

Καθάπερ οἱ τῶν ἰατρῶν ἄριστοι τὴν ρίζαν ἀεὶ πολυπραγμοοῦσι τῶν νοσημάτων, καὶ ἐπ' αὐτὴν ἔρχονται τὴν πηγὴν τοῦ κα-οῦ, οὕτω καὶ ὁ μακάριος Παῦλος. Εἰπὼν γάρ, ὅτι ἐδικαιώθημεν, αὶ δείξας ἀπὸ τοῦ πατριάρχου καὶ ἀπὸ τοῦ Πνεύματος καὶ ἐκ τοῦ ποθανεῖν τὸν Χριστόν (οὐδὲ γὰρ ἂν ἀπέθανεν, εἰ μὴ ἔμελλε δι-αιοῦν), κατασκευάζει λοιπὸν καὶ ἑτέρωθεν τὰ διὰ τοσούτων ἀπο-ειχθέντα, καὶ ἀπὸ τῶν ἐναντίων συνιστᾷ τὸ προκείμενον, τουτέ-τιν, ἀπὸ τοῦ θανάτου καὶ τῆς ἁμαρτίας. Πῶς καὶ τίνι τρόπῳ; ;ητεῖ πόθεν εἰσῆλθεν ὁ θάνατος καὶ πῶς ἐκράτησε. Πῶς οὖν εἰσ-λθε καὶ ἐκράτησε; Διὰ τῆς ἁμαρτίας τοῦ ἑνός. Τί δέ ἐστιν, «ἐφ') πάντες ἥμαρτον»; Ἐκείνου πεσόντος, καὶ οἱ μὴ φαγόντες ἀπὸ οῦ ξύλου γεγόνασιν ἐξ ἐκείνου πάντες θνητοί. «Ἄχρι γὰρ νόμου μαρτία ἦν ἐν κόσμῳ· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου». Γό, «ἄχρι νόμου» τινὲς τὸν χρόνον ἐκεῖνον νομίζουσιν αὐτὸν εἰρη-έναι τὸν πρὸ τῆς τοῦ νόμου δόσεως· οἷον τὸν ἐπὶ Ἄβελ, τὸν ἐπὶ Ιῶε, τὸν ἐπὶ Ἀβραάμ, τὸν ἕως ὅτε Μωϋσῆς ἐγεννήθη.

Ποία οὖν τότε ἦν ἁμαρτία; Τινές φασι τὴν ἐν παραδείσῳ λέειν αὐτόν· οὐδέπω γὰρ ἦν λυθεῖσα, φησίν, ἀλλὰ καὶ ἤνθει αὐτῆς ὁ

---

1. Δηλαδὴ τοῦ Ἀδάμ.

ΟΜΙΛΙΑ ΙΑ'

(Ρωμ. 5,12 - 6,4)

«Γι' αὐτό, καθώς μέ ἕναν ἄνθρωπο μπῆκε στόν κόσμο ἡ ἁμαρτία καί μέ τήν ἁμαρτία ὁ θάνατος, καί ἔτσι ὁ θάνατος διαδόθηκε σέ ὅλους τούς ἀνθρώπους, γιατί στό πρόσωπό του ὅλοι ἁμάρτησαν».

1. Ὅπως ἀκριβῶς οἱ ἄριστοι ἰατροί ἐξετάζουν σέ βάθος πάντοτε τή ρίζα τῶν νοσημάτων καί φθάνουν στήν ἴδια τήν αἰτία τοῦ κακοῦ, ἔτσι κάνει καί ὁ μακάριος Παῦλος. Ἀφοῦ λοιπόν εἶπε, ὅτι δικαιωθήκαμε, καί, ἀφοῦ ἔδειξε ὅτι αὐτό ἔγινε ἀπό τόν πατριάρχη καί ἀπό τό ἅγιο Πνεῦμα καί ἀπό τό θάνατο τοῦ Χριστοῦ, γιατί δέ θά πέθαινε, ἄν δέν ἐπρόκειτο νά δικαιώνει, ἀποδεικνύει στή συνέχεια καί μέ ἄλλο τρόπο αὐτά πού ἀπέδειξε μέ τόσες ἀποδείξεις, ἀπό τό θάνατο καί τήν ἁμαρτία. Πῶς καί μέ ποιό τρόπο; Προσπαθεῖ νά βρεῖ ἀπό ποῦ μπῆκε ὁ θάνατος καί ἐπικράτησε. Πῶς λοιπόν μπῆκε καί ἐπικράτησε; Μέ τήν ἁμαρτία τοῦ ἑνός ἀνθρώπου[1]. Καί τί σημαίνει «στό πρόσωπό του ὅλοι ἁμάρτησαν»; Ἀφοῦ ἔπεσε ἐκεῖνος στήν ἁμαρτία, καί ἐκεῖνοι πού δέν ἔφαγαν ἀπό τό δένδρο ὅλοι ἔγιναν ἀπ' αὐτόν θνητοί. «Γιατί ἡ ἁμαρτία ὑπῆρχε μέχρι τότε πού δόθηκε ὁ νόμος· καθόσον ἁμαρτία δέ λογαριάζεται, ὅταν δέν ὑπάρχει νόμος». Μέ τό «μέχρι τότε πού δόθηκε ὁ νόμος», μερικοί νομίζουν πώς ἐννοεῖ τό χρόνο ἐκεῖνο πρίν ἀπό τή χορήγηση τοῦ νόμου, δηλαδή τόν χρόνο τῆς ἐποχῆς τοῦ Ἄβελ, τοῦ Νῶε, τοῦ Ἀβραάμ, τό χρόνο μέχρι πού γεννήθηκε ὁ Μωυσῆς.

Ποιά λοιπόν ἁμαρτία ὑπῆρχε τότε; Μερικοί λέγουν πώς ἐννοεῖ τήν ἁμαρτία πού συνέβηκε στόν παράδεισο, ἀφοῦ δέν εἶχε

καρπός· τὸν γὰρ κοινὸν ἐκείνη θάνατον ἤνεγκεν, ὃς ἐκράτει καὶ ἐτυράννει. Τίνος οὖν ἕνεκεν ἐπάγει, «ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου»; Ἐξ ἀντιθέσεως τῶν Ἰουδαίων φασὶν οἱ τὰ ἡμέτερα εἰρηκότες τοῦτο αὐτὸν τεθεικέναι λέγοντα, ὅτι εἰ μὴ ἔστιν ἁμαρτία χωρὶς νόμου, πῶς ὁ θάνατος πάντας ἀνήλισκε τοὺς πρὸ τοῦ νόμου; Ἐμοὶ δὲ δοκεῖ τὸ λεχθήσεσθαι μέλλον λόγον ἔχειν μᾶλλον, καὶ τῇ ἀποστολικῇ συμβαίνειν διανοίᾳ. Τί δὲ τοῦτό ἐστιν; Εἰπών, ὅτι ἄχρι νόμου ἁμαρτία ἦν ἐν κόσμῳ, τοῦτό μοι δοκεῖ λέγειν, ὅτι τοῦ νόμου δοθέντος, ἡ ἁμαρτία ἐκράτει ἡ ἐκ τῆς παραβάσεως, καὶ ἕως τότε ἐκράτει, ἕως καὶ νόμος ἦν· οὐδὲ γὰρ δύναται συστῆναι, φησίν, ἁμαρτία, μὴ ὄντος νόμου. Εἰ τοίνυν αὕτη ἡ ἁμαρτία, φησίν, ἐκ τῆς τοῦ νόμου παραβάσεως τὸν θάνατον ἔτικτε, πῶς οἱ πρὸ τοῦ νόμου πάντες ἀπέθνησκον; Εἰ γὰρ ἐξ ἁμαρτίας ὁ θάνατος τὴν ῥίζαν ἔσχε, νόμου δὲ οὐκ ὄντος ἁμαρτία οὐκ ἐλλογεῖται, πῶς ὁ θάνατος ἐκράτει;

Ὅθεν δῆλον, ὅτι οὐχ αὕτη ἡ ἁμαρτία ἡ τῆς τοῦ νόμου παραβάσεως, ἀλλ' ἐκείνη ἡ τῆς τοῦ Ἀδὰμ παρακοῆς, αὕτη ἦν ἡ πάντα λυμαινομένη. Καὶ τίς ἡ τούτου ἀπόδειξις; Τὸ καὶ πρὸ τοῦ νόμου πάντας ἀποθνήσκειν. «Ἐβασίλευσε γὰρ ὁ θάνατος», φησίν, «ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας». Πῶς ἐβασίλευσεν; «ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος». Διὰ γὰρ τοῦτο καὶ τύπος ἐστὶ τοῦ Χριστοῦ ὁ Ἀδάμ. Πῶς τύπος, φησίν; Ὅτι, ὥσπερ ἐκεῖνος τοῖς ἐξ αὐτοῦ, καίτοιγε μὴ φαγοῦσιν ἀπὸ τοῦ ξύλου, γέγονεν αἴτιος θανάτου τοῦ διὰ τὴν βρῶσιν εἰσαχθέντος, οὕτω καὶ ὁ Χριστὸς τοῖς ἐξ αὐτοῦ, καίτοιγε οὐ δικαιοπραγήσασι, γέγονε πρόξενος δικαιοσύνης, ἣν διὰ τοῦ σταυροῦ πᾶσιν ἡμῖν ἐχαρίσατο.

Διὰ τοῦτο ἄνω καὶ κάτω τοῦ ἑνὸς ἔχεται, καὶ συνεχῶς τοῦτο εἰς μέσον φέρει, λέγων· «ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς

καταργηθεῖ ἀκόμη, λέγει, ἀλλά καί ἄκμαζε ὁ καρπός της. Γιατί ἡ ἁμαρτία ἐκείνη ἔφερε τόν κοινό θάνατο, πού ἐξουσίαζε καί τυραννοῦσε. Γιά ποιό λόγο προσθέτει, «Ἡ ἁμαρτία ὅμως δέ λογαριάζεται, ὅταν δέν ὑπάρχει νόμος»; Ἀπό ἀντίθεση πρός τούς Ἰουδαίους λέγουν αὐτοί πού ὑποστηρίζουν τά δικά μας, ὅτι τὸ εἶπε αὐτό μέ τήν ἔννοια ὅτι, ἄν δέν ὑπάρχει ἁμαρτία ὅταν δέν ὑπάρχει νόμος, πῶς τότε ὁ θάνατος κατέτρωγε ὅλους πού ἔζησαν πρίν ἀπό τό νόμο; Ἐμένα ὅμως μοῦ φαίνεται πώς αὐτό ἔχει σχέση περισσότερο μέ αὐτο πού πρόκειται νά είπωθεῖ καί τό ὁποῖο ὑπῆρχε στήν ἀποστολική σκέψη. Καί ποιό εἶναι αὐτό; Λέγοντας, ὅτι «ἡ ἁμαρτία ὑπῆρχε στόν κόσμο μέχρι τότε πού δόθηκε ὁ νόμος, αὐτό μοῦ φαίνεται πώς ἐννοεῖ, ὅτι, ἀφοῦ δόθηκε ὁ νόμος, ἐπικρατοῦσε ἡ ἁμαρτία πού προερχόταν ἀπό τήν παράβαση, καί μέχρι τότε ἐπικρατοῦσε, μέχρι πού ὑπῆρχε καί ὁ νόμος. Γιατί δέν μπορεῖ, λέγει, νά συσταθεῖ ἁμαρτία, ἄν δέν ὑπάρχει νόμος. Ἐάν λοιπόν, λέγει, αὐτή η ἁμαρτία προκαλοῦσε τό θάνατο ἐξ αἰτιας τῆς παραβάσως τοῦ νόμου, πῶς ἐκεῖνοι πού ἔζησαν πρίν ἀπό τό νόμο πέθαιναν ὅλοι; Γιατί, ἄν ὁ θάνατος προῆλθε ἀπό τήν ἁμαρτία, καί, ὅταν δέν ὑπάρχει νόμος, ἁμαρτία δέ λογαριάζεται, πῶς ἐξουσίαζε ὁ θάνατος;

Ἑπομένως εἶναι φανερό, ὅτι ὄχι αὐτή ἡ ἁμαρτία πού προέρχεται ἀπό τήν παράβαση τοῦ νόμου, ἀλλ' ἐκείνη πού προέρχεται ἀπό τήν παρακοή τοῦ Ἀδάμ, ἦταν αὐτή πού κατέστρεφε τά πάντα. Καί ποιά εἶναι ἡ ἀπόδειξη γι' αὐτό; Τό ὅτι πέθαιναν ὅλοι καί πρίν ἀπό τό νόμο. «Γιατί ἐξουσίασε ὁ θάνατος», λέγει, «ἀπό τόν Ἀδάμ μέχρι τό Μωυσῆ καί σ' ἐκείνους πού δέν ἁμάρτησαν». Πῶς ἐξουσίασε; «Παρόμοια μέ τήν παράβαση τοῦ Ἀδάμ». Γι' αὐτό λοιπόν καί ὁ Ἀδάμ εἶναι τύπος τοῦ Χριστοῦ. Πῶς λέγει, εἶναι τύπος; Γιατί, ὅπως ἀκριβῶς ὁ Ἀδάμ σ' ἐκείνους πού κατάγονται ἀπ' αὐτόν, μολονότι βέβαια δέν ἔφαγαν ἀπό τό δένδρο, ἔγινε αἴτιος θανάτου, πού εἰσήχθηκε ἐξ αἰτίας τῆς βρώσεως, ἔτσι καί ὁ Χριστός σ' ἐκείνους πού κατάγονται ἀπ' αὐτόν, μολονότι βέβαια δέν ἔκαμαν δίκαια ἔργα, ἔγινε πρόξενος δικαιοσύνης, πού τήν χάρισε σ' ὅλους μέ τό σταυρό του.

Γι' αὐτό διαρκῶς καταγίνεται μέ τόν «ἕνα», καί συνέχεια αὐτό ἀναφέρει, λέγοντας· «καθώς μέ ἕναν ἄνθρωπο μπῆκε στόν

τὸν κόσμον εἰσῆλθε», καί, «εἰ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον», καί, «οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα»· καί, «τὸ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα»· καὶ πάλιν, «εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός»· καί, «ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος»· καὶ πάλιν, «ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί»· καὶ οὐκ ἀφίσταται τοῦ ἑνός, ἵν', ὅταν λέγῃ σοι ὁ Ἰουδαῖος, πῶς, ἑνὸς κατορθώσαντος τοῦ Χριστοῦ, ἡ οἰκουμένη ἐσώθη; δυνηθῇς αὐτῷ λέγειν, πῶς, ἑνὸς παρακούσαντος τοῦ Ἀδάμ, ἡ οἰκουμένη κατεκρίθη; Καίτοιγε οὐκ ἴσον ἁμαρτία καὶ χάρις, οὐκ ἴσον θάνατος καὶ ζωή, οὐκ ἴσον διάβολος καὶ Θεός, ἀλλ' ἄπειρον τὸ μέσον.

Ὅταν οὖν καὶ ἀπὸ τῆς τοῦ πράγματος φύσεως, καὶ ἀπὸ τῆς τοῦ μετελθόντος δυνάμεως, καὶ ἀπ' αὐτοῦ τοῦ πρέποντος, πολὺ γὰρ τῷ Θεῷ τοῦτο πρεπωδέστερον, τὸ σώζειν ἢ τὸ κολάζειν, ἐνταῦθα ἡ ὑπεροχὴ καὶ τὰ νικητήρια, τίνα ἂν ἔχοις λόγον εἰς ἀπιστίαν, εἰπέ μοι; Ὅτι μὲν οὖν κατὰ λόγον τὸ γεγενημένον, ἔδειξεν εἰπών· «ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν». Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· εἰ ἡ ἁμαρτία τοσοῦτον ἴσχυσε, καὶ ἀνθρώπου ἁμαρτία ἑνός, χάρις, καὶ Θεοῦ χάρις, καὶ οὐ Πατρὸς μόνου, ἀλλὰ καὶ Υἱοῦ, πῶς οὐ περιέσται μειζόνως; πολλῷ γὰρ τοῦτο εὐλογώτερον. Τὸ μὲν γὰρ ἕτερον δι' ἕτερον κολάζεσθαι, οὐ σφόδρα δοκεῖ λόγον ἔχειν, τὸ δὲ ἕτερον δι' ἕτερον σώζεσθαι, καὶ πρεπωδέστερον μᾶλλον καὶ εὐλογώτερον. Εἰ τοίνυν ἐκεῖνο γέγονε, πολλῷ μᾶλλον τοῦτο.

2. *Ὅτι μὲν οὖν εἰκὸς καὶ εὔλογον, ἐκ τούτων ἔδειξε· καὶ γὰρ ἐκείνου κατασκευασθέντος, εὐπαράδεκτον τοῦτο λοιπὸν ἔμελλεν εἶναι· ὅτι δὲ καὶ ἀναγκαῖον, ἐκ τῶν ἑξῆς κατασκευάζει. Πῶς οὖν*

κόσμο ἡ ἁμαρτία», καί, «ἐάν μέ τό παράπτωμα τοῦ ἑνός πέθαναν οἱ πολλοί», καί, «δέν ἔγινε μέ τή δωρεά, ὅπως ἔγινε μέ τόν ἕνα πού ἁμάρτησε», καί, «ἡ ἀπόφαση ἔγινε ἀπό τό ἕνα παράπτωμα καταδίκη»· καί πάλι, «ἐάν λοιπόν μέ τό παράπτωμα τοῦ ἑνός ὁ θάνατος κυριάρχησε μέ τόν ἕνα ἄνθρωπο», καί, «ἄρα λοιπόν, ὅπως μέ τό ἕνα παράπτωμα»· καί πάλι, «ὅπως ἀκριβῶς μέ τήν παρακοή τοῦ ἑνός ἀνθρώπου ἔγιναν ἁμαρτωλοί οἱ πολλοί». Καί δέν ἀπομακρύνεται ἀπό τόν ἕνα, ὥστε, ὅταν σοῦ λέγει ὁ Ἰουδαῖος, πῶς, ἐνῶ κατόρθωσε ἕνας, ὁ Χριστός, σώθηκε ἡ οἰκουμένη; νά μπορέσεις νά τοῦ ἀπαντήσεις· πῶς, ἐνῶ παρέβηκε τήν ἐντολή ἕνας, ὁ Ἀδάμ, καταδικάστηκε ἡ οἰκουμένη; Ἄν καί βέβαια δέν εἶναι τό ἴδιο ἁμαρτία καί χάρη, δέν εἶναι τό ἴδιο θάνατος καί ζωή, δέν εἶναι τό ἴδιο διάβολος καί Θεός, ἀλλ' ἡ διαφορά εἶναι ἄπειρη.

Ὅταν λοιπόν καί ἀπό τή φύση τοῦ πράγματος καί ἀπό τή δύναμη ἐκείνου πού εἶχε ἐνεργήσει αὐτά, ἀλλά καί ἀπό αὐτό πού ἔπρεπε νά γίνει (γιατί πιό πολύ στό Θεό ταιριάζει αὐτό, τό νά σώζει δηλαδή παρά νά τιμωρεῖ), βρίσκεται ἐδῶ ἡ ὑπεροχή καί ἡ νίκη, πές μου, ποιά δικαιολογία μπορεῖς νά ἔχεις γιά τήν ἀπιστία; Τό ὅτι βέβαια αὐτό πού εἶχε γίνει ἦταν σύμφωνο μέ τή λογική, τό ἔδειξε λέγοντας· «ἀλλ' ὄχι ὅπως τό παράπτωμα, ἔτσι καί ἡ χάρη. Γιατί, ἄν μέ τό παράπτωμα τοῦ ἑνός πέθαναν οἱ πολλοί, πολύ περισσότερο ἡ χάρη τοῦ Θεοῦ καί ἡ δωρεά, πού δόθηκε μέ τή χάρη τοῦ ἑνός ἀνθρώπου, τοῦ Ἰησοῦ Χριστοῦ, περίσσευσε στούς πολλούς». Αὐτό δηλαδή πού λέγει, σημαίνει τό ἑξῆς· ἐάν ἡ ἁμαρτία κατόρθωσε τόσο πολά, καί μάλιστα ἡ ἁμαρτία ἑνός ἀνθρώπου, ἡ χάρη, καί μάλιστα ἡ χάρη τοῦ Θεοῦ, καί ὄχι μόνο τοῦ Πατέρα, ἀλλά καί τοῦ Υἱοῦ, πῶς δέ θά κατορθώσει περισσότερα; καθόσον αὐτό εἶναι πολύ πιό εὔλογο. Γιατί τό νά τιμωρεῖται βέβαια ἄλλος ἐξ αἰτίας ἄλλου, δέ φαίνεται πώς ἔχει μεγάλη δικαιολογία, ἐνῶ τό νά σώζεται ἄλλος ἐξ αἰτίας ἄλλου, καί περισσότερο ταιριάζει καί πιό εὔλογο εἶναι. Ἐάν λοιπόν ἐκεῖνο ἔγινε, πολύ περισσότερο θά γίνει αὐτό.

2. Ὅτι λοιπόν ἦταν φυσικό καί εὔλογο, τό ἔδειξε μέ αὐτά. Γιατί, ἀφοῦ ἀποδείχθηκε ἐκεῖνο, ἐπρόκειτο νά γίνει εὔκολα παραδεκτό στή συνέχεια καί αὐτό. Τό ὅτι ὅμως ἦταν καί ἀναγκαῖο τό

τοῦτο κατασκευάζει; «οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα», φησί. «Τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα». Καὶ τί ποτε τοῦτό ἐστι τὸ λεγόμενον; Ὅτι τὸν μὲν θάνατον καὶ τὸ κατάκριμα μία ἴσχυσεν ἁμαρτία εἰσενεγκεῖν, ἡ δὲ χάρις οὐ τὴν μίαν ἐκείνην ἀνεῖλεν ἁμαρτίαν μόνον, ἀλλὰ καὶ τὰς μετ' ἐκείνην ἐπεισελθούσας. Ἵνα γὰρ τό, 'ὡς', καὶ τό, 'οὕτω', τιθέμινον, μὴ ἴσον εἰσάγῃ μέτρον τῶν ἀγαθῶν πρὸς τὰ κακά, μηδὲ νομίσῃς ἀκούων τὸν Ἀδάμ, ἐκείνην ἀνῃρῆσθαι μόνην τὴν ἁμαρτίαν, ἣν ἐκεῖνος εἰσήνεγκε, λέγει ὅτι πολλῶν παραπτωμάτων ἡ ἀναίρεσις γέγονε. Πόθεν δῆλον; Ὅτι μετὰ τὰς ἀπείρους ἁμαρτίας τὰς μετ' ἐκείνην τὴν ἐν τῷ παραδείσῳ εἰς δικαίωμα τὸ πρᾶγμα ἐξέβη. Ὅπου δὲ δικαιοσύνη, ἐξ ἀνάγκης καὶ ζωὴ πάντως ἕπεται καὶ τὰ μυρία ἀγαθά, ὥσπερ οὖν ὅπου ἁμαρτία, θάνατος. Πλέον γὰρ τῆς ζωῆς ἡ δικαιοσύνη, ἐπειδὴ καὶ ῥίζα ἐστὶ τῆς ζωῆς.

Ὅτι μὲν οὖν πλείονα εἰσῆκται τὰ ἀγαθὰ καὶ οὐκ ἐκείνη ἀνῄρηται ἡ ἁμαρτία μόνον, ἀλλὰ καὶ πᾶσαι αἱ λοιπαί, ἔδειξεν εἰπών, «τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα»· ὅθεν ἀναγκαίως συναποδέδεικται καὶ τὸ τὸν θάνατον πρόρριζον ἀνεσπᾶσθαι. Χρεία δὲ κατασκευάσαι λοιπόν, ἐπειδὴ μεῖζον εἶπε τοῦ προτέρου τὸ δεύτερον, καὶ αὐτὸ τοῦτο πάλιν. Πρότερον μὲν γὰρ εἶπεν, ὅτι εἰ ἑνὸς ἁμαρτία ἀπέκτεινε πάντας, πολλῷ μᾶλλον καὶ ἑνὸς χάρις σῶσαι δυνήσεται· μετὰ ταῦτα ἔδειξεν, ὅτι οὐκ ἐκείνη ἀνῃρέθη ἡ ἁμαρτία μόνη διὰ τῆς χάριτος, ἀλλὰ καὶ πᾶσαι αἱ λοιπαί, καὶ οὐχ ἁμαρτίαι ἀνῃρέθησαν μόνον, ἀλλὰ καὶ δικαιοσύνη ἐδόθη· καὶ οὐ τοσοῦτον ὠφέλησε μόνον ὁ Χριστός, ὅσον ἔβλαψεν ὁ Ἀδάμ, ἀλλὰ καὶ πολλῷ πλέον καὶ μεῖζον. Ἐπεὶ οὖν τοιαῦτα ἀπεφήνατο, δεῖται πάλιν καὶ ἐνταῦθα κατασκευῆς πλείονος. Πῶς οὖν αὐτὸ κα-

ἀποδεικνύει ἀπό τά ἑπόμενα. Πῶς λοιπόν τό ἀποδεικνύει αὐτό; «Δέν ἔγινε», λέγει, «μέ τή δωρεά, ὅπως ἔγινε μέ τόν ἕνα πού ἁμάρτησε». «Γιατί ἡ ἀπόφαση ἔγινε ἀπό τό ἕνα παράπτωμα καταδίκη, τό χάρισμα ὅμως ἔγινε ἀπό τά πολλά παραπτώματα δικαίωση». Καί τί τέλος πάντων σημαίνει τό λεγόμενο; Ὅτι τόν μέν θάνατο καί τήν καταδίκη μπόρεσε νά τά προξενήσει μία ἁμαρτία, ἐνῶ ἡ χάρη ὄχι μόνο ἐξαφάνισε τή μία ἐκείνη ἁμαρτία, ἀλλά καί αὐτές πού ἐμφανίσθηκαν μετά ἀπό ἐκείνη. Γιά νά μή λοιπόν, λεγόμενα τό «ὅπως» καί τό «ἔτσι», ἐξισώνουν τό μέτρο τῶν ἀγαθῶν πρός τά κακά, οὔτε νά νομίσεις ἀκούοντας τόν Ἀδάμ, ὅτι ἔχει ἐξαφανισθεῖ ἐκείνη μόνο ἡ ἁμαρτία, πού ἔφερε ἐκεῖνος, λέγει ὅτι ἐξαφανίσθηκαν πολλά παραπτώματα. Ἀπό ποῦ εἶναι φανερό αὐτό; Ἀπό τό ὅτι μετά ἀπό τίς ἄπειρες ἁμαρτίες πού πραγματοποιήθηκαν στή συνέχεια τῆς ἁμαρτίας ἐκείνης στόν παράδεισο, τό πράγμα κατέληξε σέ δικαίωση. Ὅπου ὅμως ὑπάρχει δικαιοσύνη, ἀναγκαστικά καί ζωή ὁπωσδήποτε ἀκολουθεῖ καί τά ἄπειρα ἀγαθά, ὅπως ἀκριβῶς βέβαια ὅπου ὑπάρχει ἁμαρτία, ἀκολουθεῖ θάνατος. Γιατί ἡ δικαιοσύνη εἶναι κάτι περισσότερο ἀπό τή ζωή, ἐπειδή εἶναι καί ρίζα τῆς ζωῆς.

Τό ὅτι λοιπόν ἔχουν εἰσαχθεῖ περισσότερα τά ἀγαθά, καί δέν ἔχει ἐξαφανισθεῖ ἐκείνη μόνο ἡ ἁμαρτία, ἀλλά καί ὅλες οἱ ὑπόλοιπες, τό ἔδειξε λέγοντας· «τό χάρισμα ὅμως ἔγινε ἀπό τά πολλά παραπτώματα δικαίωση». Ἑπομένως ἀναγκαστικά ἔχει ἀποδεχθεῖ μαζί καί τό ὅτι ἔχει ξερριζωθεῖ ἐντελῶς ὁ θάνατος. Στή συνέχεια ὅμως, ἐπειδή εἶπε τό δεύτερο μεγαλύτερο ἀπό τό πρῶτο, εἶναι ἀνάγκη ν' ἀποδείξει καί αὐτό πάλι. Προηγουμένως δηλαδή εἶπε, ὅτι, ἐφόσον ἡ ἁμαρτία τοῦ ἑνός ὁδήγησε στό θάνατο ὅλους, πολύ περισσότερο θά μπορέσει καί ἡ χάρη τοῦ ἑνός νά σώσει ὅλους. Ὕστερα ἀπό αὐτά ἔδειξε, ὅτι δέν ἐξαφανίστηκε μέ τή χάρη ἐκείνη μόνο ἡ ἁμαρτία, ἀλλά καί ὅλες οἱ ὑπόλοιπες, καί ὄχι μόνο οἱ ἁμαρτίες ἐξαφανίστηκαν, ἀλλά δόθηκε καί δικαιοσύνη. Καί ὄχι μόνο τόσο ὠφέλησε ὁ Χριστός, ὅσο ἔβλαψε ὁ Ἀδάμ, ἀλλά καί πολύ περισσότερο καί μέ μεγαλύτερες ὠφέλειες. Ἐπειδή λοιπόν ἀνέφερε τέτοια, χρειάζεται πάλι καί ἐδῶ περισσότερη ἀπόδειξη.

τασκευάζει; «Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι», φησίν, «ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς καὶ τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ».

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τί τὸν θάνατον ὥπλισε κατὰ τῆς οἰκουμένης; Τὸ φαγεῖν ἀπὸ τοῦ ξύλου μόνον τὸν ἕνα ἄνθρωπον. Εἰ οὖν ὁ θάνατος τοσαύτην ἔλαβεν ἰσχὺν ἐξ ἑνὸς παραπτώματος, ὅταν εὑρεθῶσί τινες πολλῷ μείζονα τῆς ἁμαρτίας ἐκείνης λαβόντες χάριν καὶ δικαιοσύνην, πῶς δυνήσονται εἶναι λοιπὸν ὑπεύθυνοι τῷ θανάτῳ; Διὰ τοῦτο οὐκ εἶπεν ἐνταῦθα, 'χάριν', ἀλλά, «περισσείαν χάριτος»· οὐ γὰρ ὅσον ἐχρήζομεν εἰς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, τοσοῦτον ἐλάβομεν μόνον ἐκ τῆς χάριτος, ἀλλὰ καὶ πολλῷ πλέον. Καὶ γὰρ καὶ κολάσεως ἀπηλλάγημεν, καὶ κακίαν ἀπεδυσάμεθα πᾶσαν, καὶ ἀνεγεννήθημεν ἄνωθεν, καὶ ἀνέστημεν τοῦ παλαιοῦ ταφέντος ἀνθρώπου, καὶ ἀπελυτρώθημεν, καὶ ἐδικαιώθημεν, καὶ εἰς υἱοθεσίαν ἤχθημεν, καὶ ἡγιάσθημεν, καὶ ἐγενόμεθα ἀδελφοὶ τοῦ μονογενοῦς, καὶ συγκληρονόμοι καὶ σύσσωμοι αὐτοῦ κατέστημεν, καὶ εἰς τὴν σάρκα αὐτοῦ τελοῦμεν, καὶ ὥσπερ σῶμα κεφαλῇ, οὕτως ἡνώμεθα.

Ταῦτα οὖν ἅπαντα περισσείαν χάριτος ἐκάλεσεν ὁ Παῦλος, δεικνὺς ὅτι οὐ φάρμακον ἐλάβομεν ἀντίρροπον τοῦ τραύματος μόνον, ἀλλὰ καὶ ὑγείαν, καὶ εὐμορφίαν, καὶ τιμήν, καὶ δόξαν, καὶ ἀξιώματα πολὺ τὴν ἡμετέραν ὑπερβαίνοντα φύσιν. Καὶ τούτων ἕκαστον ἱκανὸν ἦν καθ' ἑαυτὸ λῦσαι τὸν θάνατον, ὅταν δὲ ἅπαντα ὁμοῦ συντρέχοντα φαίνηται, οὐδὲ ἴχνος αὐτοῦ λοιπόν, οὐδὲ σκιὰν φανῆναι δυνατόν, ἄρδην ἀφανισθέντος. Ὥσπερ οὖν εἴ τις ὀβολοὺς δέκα ὀφείλοντά τινα εἰς δεσμωτήριον ἐμβάλοι, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ γυναῖκα καὶ παιδία καὶ οἰκέτας δι' αὐτόν, ἐλθὼν δὲ ἕτερος μὴ τοὺς δέκα ὀβολοὺς καταβάλοι μόνον, ἀλλὰ καὶ μυρία χρυσοῦ τάλαντα χαρίσαιτο, καὶ εἰς βασιλικὰς αὐλὰς εἰσαγάγοι τὸν δε-

Πῶς λοιπόν τό ἀποδεικνύει αὐτό; «Γιατί», λέγει «ἄν μέ τό παράπτωμα τοῦ ἑνός ὁ θάνατος κυριάρχησε μέ τόν ἕναν ἄνθρωπο, πολύ περισσότερο ἐκεῖνοι πού λαμβάνουν τήν ἀφθονία τῆς χάριτος καί τῆς δωρεᾶς καί τῆς δικαιώσεως θά βασιλεύσουν γεμάτοι ζωή μέ τή βοήθεια τοῦ ἑνός Ἰησοῦ Χριστοῦ».

Αὐτό ὅμως πού λέγει σημαινει τό ἑξῆς· Τί ὅπλισε τό θάνατο ἐναντίον τῆς οἰκουμένης; Τό ὅτι ἔφαγε ἀπό τό δένδρο ἕνας μόνο ἄνθρωπος. Ἐάν λοιπόν ὁ θάνατος ἔλαβε τόσο μεγάλη δύναμη ἀπό ἕνα παράπτωμα, ὅταν βρεθοῦν μερικοί νά ἔχουν λάβει χάρη καί δικαιοσύνη πολύ μεγαλύτερη ἀπό τήν ἁμαρτία ἐκείνη, πῶς θά εἶναι δυνατό νά εἶναι πλέον ὑπεύθυνοι γιά τό θάνατο; Γι' αὐτό δέν εἶπε ἐδῶ, 'χάρη', ἀλλά, «ἀφθονία τῆς χάριτος», γιατί δέ λάβαμε ἀπό τή χάρη τόσο μόνο, ὅσο χρειαζόμαστε γιά τήν ἐξάλειψη τῆς ἁμαρτίας, ἀλλά καί περισσότερο. Γιατί πραγματικά καί ἀπό τήν κόλαση ἀπαλλαχθήκαμε, καί κάθε κακία ἀπομακρύναμε, καί ξαναγεννηθήκαμε ἀπό τό Θεό, καί ἀναστηθήκαμε ἀφοῦ θάφτηκε ὁ παλαιός μας ἄνθρωπος, καί ἀπολυτρωθήκαμε, καί δικαιωθήκαμε, καί στήν υἱοθεσία ὁδηγηθήκαμε, καί ἁγιασθήκαμε, καί ἀδελφοί γίναμε τοῦ Μονογενοῦς Υἱοῦ, καί συγκληρονόμοι αὐτοῦ γίναμε, καί ἑνωθήκαμε μαζί του σ' ἕνα σῶμα, καί στό σῶμα αὐτοῦ ἀνήκουμε, καί ὅπως τό σῶμα εἶναι ἑνωμένο μέ τό κεφάλι, ἔτσι ἑνωθήκαμε καί ἐμεῖς μαζί του.

Ὅλα λοιπόν αὐτά τά ὀνόμασε ὁ Παῦλος ἀφθονία τῆς χάριτος, δείχνοντας πώς δέ λάβαμε μόνο φάρμακο ἀντίρροπο τοῦ τραύματος, ἀλλά καί ὑγεία καί ὀμορφιά καί τιμή καί ἀξιώματα πού ξεπερνοῦν πολύ τή δική μας φύση. Καί τό καθένα ἀπ' αὐτά ἦταν ἱκανό ἀπό μόνο του νά καταργήσει τό θάνατο, ὅταν ὅμως φαίνονται ὅλα μαζί νά βοηθοῦν, οὔτε ἴχνος αὐτοῦ στή συνέχεια οὔτε σκιά εἶναι δυνατό νά φανεῖ, ἀφοῦ ἐξαφανίσθηκε ὁλοκληρωτικά. Ὅπως ἀκριβῶς λοιπόν ἄν κάποιος βάλει στή φυλακή ἕναν πού τοῦ ὀφείλει δέκα ὀβολούς, καί ὄχι αὐτόν μόνο, ἀλλά καί τή γυναίκα του καί τά παιδιά του καί τούς ὑπηρέτες του ἐξ αἰτίας του, ἀλλ' ἔρθει κάποιος ἄλλος καί πληρώσει ὄχι μόνο τούς δέκα ὀβολούς, ἀλλά καί χαρίσει χιλιάδες τάλαντα χρυσοῦ, καί ὁδηγήσει τόν φυλακισμένο μέσα στίς βασιλικές αὐλές, καί στό θρόνο τῆς ἀνώτατης

σμώτην, καὶ εἰς θρόνον ἀρχῆς ὑψηλοτάτης, καὶ κοινωνὸν τῆς ἀνωτάτω τιμῆς ποιήσειε καὶ τῆς ἄλλης περιφανείας, οὐκ ἂν δύναιτο λοιπὸν μεμνῆσθαι τῶν δέκα ὀβολῶν ὁ δανείσας, οὕτω καὶ ἐφ' ἡμῶν γέγονε. Πολλῷ γὰρ πλείονα ὧν ὀφείλομεν κατέβαλεν ὁ Χριστός, καὶ τοσούτῳ πλείονα, ὅσῳ πρὸς ρανίδα μικρὰν πέλαγος ἄπειρον. Μὴ τοίνυν ἀμφίβαλλε, ἄνθρωπε, τοσοῦτον πλοῦτον ὁρῶν ἀγαθῶν, μηδὲ ζήτει πῶς ὁ σπινθὴρ ἐκεῖνος τοῦ θανάτου καὶ τῆς ἁμαρτίας ἐλύθη, τοσαύτης θαλάττης χαρισμάτων ἐπενεχθείσης αὐτῷ. Τοῦτο γὰρ καὶ Παῦλος ᾐνίξατο εἰπών, ὅτι «οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δικαιοσύνης λαβόντες, ἐν ζωῇ βασιλεύσουσι».

3. Καὶ ἐπειδὴ σαφῶς τοῦτο ἀπέδειξε, πάλιν τῷ προτέρῳ κέχρηται συλλογισμῷ, ἐπισφίγγων αὐτὸν τῇ ἐπαναλήψει, καὶ λέγων ὅτι, εἰ διὰ τοῦ παραπτώματος ἐκείνου ἐκολάσθησαν ἅπαντες, δύνανται καὶ ἐντεῦθεν δικαιωθῆναι. Διὸ καὶ λέγει· «ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς». Καὶ ἐπαγωνίζεται πάλιν αὐτῷ, οὕτω λέγων· «ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί». Καὶ δοκεῖ μὲν ζήτημα ἔχειν οὐ μικρὸν τὸ εἰρημένον, ἂν δέ τις ἀκριβῶς προσέχῃ, καὶ τοῦτο εὐκόλως λυθήσεται. Τί ποτ' οὖν ἐστι τὸ ζήτημα; Τὸ λέγειν διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἁμαρτωλοὺς γενέσθαι πολλούς. Τὸ μὲν γὰρ ἁμαρτόντος ἐκείνου καὶ γενομένου θνητοῦ, καὶ τοὺς ἐξ αὐτοῦ τοιούτους εἶναι, οὐδὲν ἀπεικός, τὸ δὲ ἐκ τῆς παρακοῆς ἐκείνου ἕτερον ἁμαρτωλὸν γενέσθαι, ποίαν ἂν ἀκολουθίαν σχοίη; Εὑρεθήσεται γὰρ οὕτω μηδὲ δίκην ὀφείλων ὁ τοιοῦτος, εἴγε μὴ οἴκοθεν γέγονεν ἁμαρτωλός.

Τί οὖν ἐστιν ἐνταῦθα τό, «ἁμαρτωλοί»; Ἐμοὶ δοκεῖ τὸ ὑπεύθυνοι κολάσει καὶ καταδεδικασμένοι θανάτῳ. Ὅτι μὲν οὖν τοῦ Ἀδὰμ ἀποθανόντος πάντες ἐγενόμεθα θνητοί, σαφῶς καὶ διὰ πολ-

ἐξουσίας, καί τόν κάμει μέτοχο τῆς ἀνώτατης τιμῆς καί τῆς ἄλλης λαμπρότητας, δέν θά ἦταν δυνατό νά θυμᾶται πιά τούς δέκα ὀβολούς ἐκεῖνος πού τούς δάνεισε, ἔτσι ἔγινε καί σ' ἐμᾶς. Γιατί πολύ περισσότερα ἀπ' ὅσα ὀφείλαμε πλήρωσε ὁ Χριστός, καί τόσο περισσότερα, ὅσο ἄπειρο εἶναι τό πέλαγος συγκρινόμενο μέ μικρή σταγόνα νεροῦ. Νά μήν ἀμφιβάλλεις λοιπόν, ἄνθρωπε, ὅταν βλέπεις τόσο μεγάλο πλοῦτο ἀγαθῶν, οὔτε νά ἐξετάζεις πῶς ἐξαφανίσθηκε ὁ σπινθήρας ἐκεῖνος τοῦ θανάτου καί τῆς ἁμαρτίας, ἀφοῦ ἔπεσε μέ ὁρμή ἐπάνω του τόσο μεγάλη θάλασσα χαρισμάτων. Γιατί αὐτό ὑπαινίχθηκε καί ὁ Παῦλος λέγοντας, ὅτι «ἐκεῖνοι πού ἔλαβαν τήν ἀφθονία τῆς χάριτος καί τῆς δικαιοσύνης, θά βασιλεύσουν γεμάτοι ζωή».

3. Καί ἐπειδή μέ σαφήνεια τό ἀπέδειξε αὐτό, χρησιμοποιεῖ πάλι τόν προηγούμενο συλλογισμό, στερεώνοντας αὐτόν μέ τήν ἐπανάληψη, καί λέγοντας ὅτι, ἄν μέ τό παράπτωμα ἐκείνου τιμωρήθηκαν ὅλοι, μποροῦν καί ἀπό ἐδῶ νά δικαιωθοῦν. Γι' αὐτό καί λέγει· «Ἄρα λοιπόν, ὅπως μέ ἕνα παράπτωμα ὁδηγήθηκαν ὅλοι οἱ ἄνθρωποι σέ καταδίκη, ἔτσι καί μέ μιά δικαίωση ὁδηγήθηκαν ὅλοι οἱ ἄνθρωποι σέ δικαίωση ζωῆς». Καί συνεχίζει καί πάλι τήν προσπάθειά του γι' αὐτό, λέγοντας τά ἑξῆς· «Γιατί, ὅπως μέ τήν παρακοή τοῦ ἑνός ἀνθρώπου ἔγιναν ἁμαρτωλοί οἱ πολλοί, ἔτσι καί μέ τήν ὑπακοή τοῦ ἑνός θά γίνουν δίκαιοι οἱ πολλοί». Καί φαίνεται βέβαια πώς αὐτό πού λέγει δημιουργεῖ ἕνα μεγάλο πρόβλημα, ἀλλ' ἐάν προσέχει κανείς μέ ἀκρίβεια, καί τοῦτο θά λυθεῖ εὔκολα. Ποιό λοιπόν εἶναι τό πρόβλημα; Τό ὅτι λέγει ὅτι μέ τήν παρακοή τοῦ ἑνός ἔγιναν ἁμαρτωλοί οἱ πολλοί. Γιατί τό νά εἶναι, ἐπειδή ἐκεῖνος ἁμάρτησε καί ἔγινε θνητός, καί ὅσοι κατάγονται ἀπ' αὐτόν τέτοιοι, δέν εἶναι καθόλου ἀφύσικο, τό νά γίνει ὅμως ἄλλος ἁμαρτωλός ἀπό τήν παρακοή ἐκείνου, αὐτό ποιά φυσική σχέση μπορεῖ νά ἔχει; Γιατί ἔτσι θά βρεθεῖ αὐτός χωρίς νά εἶναι ὑπεύθυνος γιά καταδίκη, ἐφόσον δηλαδή δέν ἔγινε ἀπό μόνος του ἁμαρτωλός.

Τί λοιπόν σημαίνει ἐδῶ τό «ἁμαρτωλοί»; Ἐμένα μοῦ φαίνεται τό ὅτι εἶναι ὑπεύθυνοι γιά τιμωρία καί καταδικασμένοι σέ θάνατο. Τό ὅτι λοιπόν, πεθαίνοντας ὁ Ἀδάμ, ὅλοι γίναμε θνητοί, τό

λῶν ἔδειξε, τὸ δὲ ζητούμενον, τίνος ἕνεκεν τοῦτο γέγονεν. Ἀλλ᾽ οὐκέτι τοῦτο προστίθησιν· οὐδὲν γὰρ αὐτῷ πρὸς τὸ παρὸν συνετέλει· πρὸς γὰρ Ἰουδαῖον ἡ μάχη τὸν ἀμφιβάλλοντα καὶ καταγελῶντα τῆς διὰ τοῦ ἑνὸς δικαιοσύνης. Διὰ τοῦτο δείξας καὶ τὴν κόλασιν ἐξ ἑνὸς ἐξενεχθεῖσαν εἰς ἅπαντας, τίνος ἕνεκεν τοῦτο γέγονεν, οὐκέτι προσέθηκεν· οὐ γάρ ἐστι περιττός, ἀλλὰ τῶν ἀναγκαίων ἔχεται μόνων. Τοῦτο γὰρ οὐκ αὐτὸν μᾶλλον ἢ τὸν Ἰουδαῖον ἠνάγκαζε λοιπὸν ὁ τῶν ἀγώνων νόμος εἰπεῖν· διόπερ ἀφίησιν ἄλυτον. Εἰ δὲ ὑμῶν τις ζητοίη μαθεῖν, ἐροῦμεν τοῦτο, ὅτι οὐ μόνον οὐδὲν παρεβλάβημεν ἀπὸ τοῦ θανάτου τούτου καὶ τῆς καταδίκης, ἐὰν νήφωμεν, ἀλλὰ καὶ ἐκερδάναμεν θνητοὶ γενόμενοι· πρῶτον, τὸ μὴ ἐν ἀθανάτῳ σώματι ἁμαρτάνειν· δεύτερον, ὥστε μυρίας ἔχειν φιλοσοφίας ὑποθέσεις.

Καὶ γὰρ καὶ μετριάζειν καὶ σωφρονεῖν καὶ κατεστάλθαι καὶ πάσης ἀπηλλάχθαι κακίας, καὶ παρὼν καὶ προσδοκώμενος ὁ θάνατος ἀναπείθει. Μετὰ δὲ τούτων, μᾶλλον δὲ καὶ πρὸ τούτων, καὶ ἕτερα πλείονα εἰσήγαγεν ἀγαθά. Ἐντεῦθεν γὰρ οἱ τῶν μαρτύρων στέφανοι καὶ τὰ τῶν ἀποστόλων βραβεῖα· οὕτως ὁ Ἄβελ ἐδικαιώθη, οὕτως ὁ Ἀβραὰμ τὸν υἱὸν κατασφάξας, οὕτως ὁ Ἰωάννης διὰ τὸν Χριστὸν ἀναιρεθείς, οὕτως οἱ παῖδες οἱ τρεῖς, οὕτως ὁ Δανιήλ. Ἂν γὰρ ἐθέλωμεν, οὐ μόνον ὁ θάνατος, ἀλλ᾽ οὐδὲ αὐτὸς ὁ διάβολος ἡμᾶς βλάψαι δυνήσεται. Χωρὶς δὲ τούτων κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι καὶ ἀθανασία ἡμᾶς ἐκδέξεται, καὶ πρὸς ὀλίγον νουθετηθέντες χρόνον, μετὰ ἀδείας ἀπολαυσόμεθα τῶν μελλόντων ἀγαθῶν, ὥσπερ ἐν διδασκαλείῳ τινὶ τῷ παρόντι βίῳ διὰ νόσου καὶ θλίψεως καὶ πειρασμῶν καὶ πενίας καὶ τῶν ἄλων τῶν δοκούντων εἶναι λυπηρῶν παιδευόμενοι πρὸς τὸ γενέσθαι ἐπιτήδειοι εἰς τὴν τῶν μελλόντων ἀγαθῶν ὑποδοχήν.

4. *«Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα». Ἐπει-*

ἔδειξε μέ σαφήνεια καί μέ πολλούς τρόπους, τό ζητούμενο ὅμως εἶναι, γιά ποιό λόγο ἔγινε αὐτό. Ὅμως δέν τό προσθέτει αὐτό ἀκόμη, γιατί πρός τό παρόν αὐτό δέν τόν βοηθοῦσε καθόλου, διότι ἡ μάχη ἦταν πρός τόν Ἰουδαῖο, πού εἶχε ἀμφιβολίες καί περιγελοῦσε τήν δικαίωση μέ τόν ἕνα ἄνθρωπο. Γι' αὐτό, ἀφοῦ ἔδειξε πώς καί ἡ τιμωρία ἀπό τόν ἕνα προχώρησε σέ ὅλους, γιά ποιό λόγο ἔγινε αὐτό, δέν τό πρόσθεσε ἀκόμη· γιατί ἀποφεύγει τά περιττά, ἀσχολούμενος μόνο μέ τά ἀναγκαῖα. Καθόσον ὁ νόμος τῶν ἀγώνων ἀνάγκαζε πλέον πολύ περισσότερο τόν Ἰουδαῖο νά τό πεῖ παρά αὐτόν. Γι' αὐτό ἀκριβῶς τό ἀφήνει ἄλυτο. Ἐάν ὅμως κάποιος ἀπό σᾶς ζητάει νά μάθει, θά ποῦμε αὐτό, ὅτι δηλαδή ὄχι μόνο δέ ζημιωθήκαμε καθόλου ἀπό τό θάνατο καί τήν καταδίκη του, ἐάν εἴμαστε νηφάλιοι, ἀλλά καί κερδίσαμε μέ τό νά γίνομε θνητοί· πρῶτο, τό νά μήν ἁμαρτάνουμε ἔχοντας ἀθάνατο σῶμα· δεύτερο, γιά νά ἔχουμε ἄπειρες ἀφορμές εὐσέβειας.

Γιατί πραγματικά ὁ θάνατος, καί ὅταν εἶναι παρών καί ὅταν τόν περιμένουμε, μᾶς πείθει νά εἴμαστε καί μετριόφρονες καί συνετοί καί ταπεινοί καί ν' ἀπαλλασσόμαστε ἀπό κάθε κακία. Μετά ὅμως ἀπ' αὐτά, ἤ καλύτερα καί πρίν ἀπ' αὐτά, μᾶς ἔδωσε καί ἄλλα περισσότερα ἀγαθά. Γιατί ἀπό ἐδῶ προέκυψαν τά στεφάνια τῶν μαρτύρων καί τά βραβεῖα τῶν ἀποστόλων· ἔτσι δικαιώθηκε ὁ Ἄβελ, ἔτσι ὁ Ἀβραάμ πού θυσίασε τόν υἱό του, ἔτσι ὁ Ἰωάννης πού θανατώθηκε γιά χάρη τοῦ Χριστοῦ, ἔτσι οἱ τρεῖς νέοι, ἔτσι ὁ Δανιήλ. Διότι ἐάν θέλουμε, ὄχι μόνο ὁ θάνατος, ἀλλ' οὔτε καί ὁ ἴδιος ὁ διάβολος θά μπορέσει νά μᾶς βλάψει. Ἐκτός ὅμως ἀπ' αὐτά, καί ἐκεῖνο εἶναι δυνατό νά ποῦμε, ὅτι καί ἀθανασία θά μᾶς περιμένει, καί, ἀφοῦ νουθετηθήκαμε γιά λίγο χρονικό διάστημα, θ' ἀπολαύσουμε χωρίς φόβο τά μελλοντικά ἀγαθά, σάν κατά κάποιο τρόπο νά ἐκπαιδευόμαστε σέ κάποιο διδασκαλεῖο στήν παρούσα ζωή μέ ἀσθένεια καί θλίψη, πειρασμούς καί φτώχεια καί τά ἄλλα πού θεωροῦνται πώς εἶναί λυπηρά, γιά νά γίνουμε κατάλληλοι στήν ὑποδοχή τῶν μελλοντικῶν ἀγαθῶν.

4. «Ὁ νόμος ὅμως δόθηκε γιά νά πληθύνει τό παράπτωμα».

δὴ γὰρ ἔδειξεν ἀπὸ μὲν τοῦ Ἀδὰμ καταδικασθεῖσαν τὴν οἰκουμένην, ἀπὸ δὲ τοῦ Χριστοῦ σωθεῖσαν καὶ τῆς καταδίκης ἀπαλλαγεῖσαν, εὐκαίρως καὶ περὶ τοῦ νόμου ζητεῖ λοιπὸν, πάλιν τὴν περὶ αὐτοῦ δόξαν ὑποτεμνόμενος. Οὐ γὰρ μόνον οὐδὲν ὤνησε, φησίν, οὐδὲ μόνον οὐδὲν ἐβοήθησεν, ἀλλὰ καὶ ηὐξήθη τὸ νόσημα παρεισελθόντος αὐτοῦ. Τὸ δὲ «ἵνα», ἐνταῦθα οὐκ αἰτιολογίας πάλιν, ἀλλ᾽ ἐκβάσεώς ἐστιν. Οὐ γὰρ διὰ τοῦτο ἐδόθη, ἵνα πλεονάσῃ, ἀλλ᾽ ἐδόθη μὲν ὥστε μειῶσαι καὶ ἀνελεῖν τὸ παράπτωμα, ἐξέβη δὲ τοὐναντίον, οὐ παρὰ τὴν τοῦ νόμου φύσιν, ἀλλὰ παρὰ τὴν τῶν δεξαμένων ῥᾳθυμίαν. Διὰ τί δὲ οὐκ εἶπε, 'νόμος δὲ ἐδόθη', ἀλλὰ, «νόμος δὲ παρεισῆλθε»; Πρόσκαιρον αὐτοῦ δεικνὺς τὴν χρείαν οὖσαν, καὶ οὐ κυρίαν οὐδὲ προηγουμένην· ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας φησίν, ἑτέρως τὸ αὐτὸ τοῦτο δηλῶν. «Πρὸ τοῦ γὰρ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον», φησίν, «ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι».

Ὥστε οὐχ ἑαυτῷ, ἀλλ᾽ ἑτέρῳ τὴν ποίμνην ἐφύλαττεν. Ἐπειδὴ γὰρ βάναυσοί τινες ἦσαν Ἰουδαῖοι καὶ ἐκλελυμένοι, καὶ πρὸς αὐτὰς τὰς δωρεὰς ἀναπεπτωκότες, τούτου χάριν ὁ νόμος ἐδόθη, ἵνα αὐτοὺς ἐλέγξῃ μειζόνως, καὶ διδάξῃ σαφῶς ἐν οἷς εἰσι, καὶ τὴν κατηγορίαν αὐξήσας ἐπισφίγξῃ μᾶλλον αὐτούς. Ἀλλὰ μὴ φοβηθῇς· οὐ γὰρ ἐπὶ τῷ μείζονα γενέσθαι τὴν κόλασιν τοῦτο ἐγένετο, ἀλλ᾽ ἐπὶ τῷ πλείονα φανῆναι τὴν χάριν. Διὸ ἐπήγαγεν· «οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις». Οὐκ εἶπεν, 'ἐπερίσσευσεν', ἀλλὰ καί, «ὑπερεπερίσσευσεν». Οὐ γὰρ κολάσεως ἀπήλλαξε μόνον, ἀλλὰ καὶ ἁμαρτημάτων, καὶ ζωὴν ἔδωκε, καὶ τὰ ἄλλα ἃ πολλάκις εἰρήκαμεν· ὥσπερ ἂν εἴ τις τὸν πυρέττοντα μὴ νόσου μόνον ἐλευθερώσειεν, ἀλλὰ καὶ ὡραῖον ἐργάσαιτο καὶ ἰσχυρὸν καὶ ἔντιμον, ἢ τὸν πεινῶντα πάλιν μὴ θρέψειε μόνον, ἀλλὰ καὶ πολλῶν ποιήσειε χρημάτων εἶναι κύριον, καὶ ἐπ᾽ ἀρχὴν ἀγάγοι μεγίστην. Καὶ πῶς ἐπλεόνασε τὸ ἁμάρτημα; φησί. Μυρίας ἔδωκεν ἐντολὰς ὁ

2. Γαλ. 3, 23.

Ἀφοῦ λοιπόν ἔδειξε πώς ἡ οἰκουμένη ἀπό τόν Ἀδάμ καταδικάσθηκε, ἐνῶ ἀπό τό Χριστό σώθηκε καί ἀπαλλάχθηκε ἀπό τήν καταδίκη, μέ τήν εὐκαιρία αὐτή ἀσχολεῖται στή συνέχεια μέ τό νόμο, μειώνοντας πάλι τήν ἐντύπωση γι' αὐτόν. Γιατί ὄχι μόνο δέν ὠφέλησε καθόλου, λέγει, ὄχι μόνο δέ βοήθησε καθόλου, ἀλλά καί αὐξήθηκε ἡ ἀσθένεια, ὅταν δόθηκε αὐτός. Τό, «γιά νά», ἐδῶ δέ σημαίνει αἰτιολογία πάλι, ἀλλά ἀποτέλεσμα. Γιατί δέ δόθηκε γι' αὐτό, γιά νά πλεονάσει, ἀλλά δόθηκε γιά νά μειώσει καί νά ἐξαλείψει τό παράπτωμα, ἔγινε ὅμως τό ἀντίθετο, ὄχι ἐξ αἰτίας τῆς φύσεως τοῦ νόμου, ἀλλ' εξ αἰτίας τῆς ἀδιαφορίας ἐκείνων πού τόν δέχθηκαν. Γιατί ὅμως δέν εἶπε, 'ὁ νόμος ὅμως δόθηκε', ἀλλά, «ὁ νόμος παρεισῆλθε»; Γιά νά δείξει πώς ἡ ἀνάγκη του ἦταν προσωρινή καί ὄχι κύρια οὔτε σπουδαιότερη, πράγμα πού λέγει καί στήν πρός Γαλάτες ἐπιστολή, δηλώνοντας μέ ἄλλο τρόπο αὐτό ἀκριβῶς τό ἴδιο. «Γιατί προτοῦ νά ἔρθει ἡ πίστη», λέγει, «φρουρούμασταν ἀπό τό νόμο κλεισμένοι καλά στήν πίστη, πού ἐπρόκειτο ν' ἀποκαλυφθεῖ»[2].

Ἑπομένως ὄχι γιά τόν ἑαυτό του, ἀλλά γι' ἄλλον φύλαγε τήν ποίμνη. Ἐπειδή λοιπόν μερικοί Ἰουδαῖοι ἦταν ἀναίσθητοι καί λιπόψυχοι καί ἀπελπισμένοι γιά τίς ἴδιες τίς δωρεές, γι' αὐτό τό λόγο δόθηκε ὁ νόμος, γιά νά ἐλέγξει αὐτούς περισσότερο, νά τούς διδάξει μέ σαφήνεια σέ ποιά κατάσταση εἶναι, καί μεγαλώνοντας τήν κατηγορία νά τούς συνετίσει περισσότερο. Ἀλλά μή φοβηθεῖς· γιατί αὐτό δέν ἔγινε μέ σκοπό νά γίνει μεγαλύτερη ἡ τιμωρία, ἀλλά μέ σκοπό νά φανεῖ περισσότερη ἡ χάρη. Γι' αὐτό πρόσθεσε· «ὅπου ὅμως πλεόνασε ἡ ἁμαρτία, δόθηκε πολύ πιό ἄφθονη ἡ χάρη». Δέν εἶπε, 'δόθηκε ἄφθονη', ἀλλά καί, «δόθηκε πολύ πιό ἄφθονη». Γιατί δέ μᾶς ἀπάλλαξε μόνο ἀπό τήν κόλαση, ἀλλά καί ἀπό τά ἁμαρτήματα, καί μᾶς ἔδωσε ζωή καί τά ἄλλα πού πολλές φορές ἔχουμε πεῖ. Ὅπως ἀκριβῶς ἄν κάποιος ἐκεῖνον πού ἔχει πυρετό δέν τόν ἀπάλλασσε μόνο ἀπό τήν ἀρρώστια, ἀλλά καί τόν ἔκαμνε ὡραῖο καί δυνατό καί ἔνδοξο, ἤ πάλι ἐκεῖνον πού πεινάει δέν τόν ἔτρεφε μόνο, ἀλλά καί τόν ἔκαμνε κύριο πολλῶν χρημάτων καί τόν ὁδηγοῦσε στήν πιό μεγάλη ἐξουσία. Καί πῶς, λέγει, πλήθυνε ἡ ἁμαρτία; Ὁ νόμος ἔδωσε ἄπειρες ἐντολές. Ἀφοῦ λοι-

νόμος· ἐπεὶ οὖν πάσας παρέβησαν, ἐπλεόνασε τὸ παράπτωμα. Εἶδες πόσον τὸ μέσον τῆς χάριτος καὶ τοῦ νόμου; Ὁ μὲν γὰρ καὶ προσθήκη κατακρίσεως γέγονεν, ἡ δὲ πλεονασμὸς δωρεᾶς.

Εἰπὼν δὲ τὴν ἄφατον φιλοτιμίαν, ζητεῖ πάλιν τὴν ἀρχὴν καὶ τὴν ρίζαν καὶ τοῦ θανάτου καὶ τῆς ζωῆς. Τίς οὖν τοῦ θανάτου ἡ ρίζα; Ἡ ἁμαρτία. Διὸ καὶ ἔλεγεν· «ἵνα, ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν». Ταῦτα δὲ ἔφη, δεικνὺς ταύτην μὲν ἐν τάξει βασιλέως, τὸν δὲ θάνατον ἐν τάξει στρατιώτου ὑπ' αὐτῇ ταττόμενον καὶ παρ' αὐτῆς καθοπλιζόμενον. Οὐκοῦν εἰ αὐτὴ τὸν θάνατον καθώπλισεν, εὔδηλον ὅτι ἡ ἀναιρετικὴ ταύτης δικαιοσύνη ἡ διὰ τῆς χάριτος εἰσενεχθεῖσα οὐ μόνον ἀφοπλίζει τὸν θάνατον, ἀλλὰ καὶ ἀναιρεῖ, καὶ τὴν ἐκείνης καταλύει βασιλείαν ἅπασαν, ὅσῳ καὶ μείζων ταύτης ἐκείνη, οὐ δι' ἀνθρώπου καὶ διαβόλου, ἀλλὰ διὰ Θεοῦ καὶ χάριτος εἰσαγομένη, καὶ ἐπὶ τὸ χρηστότερον ἄγουσα τὴν ζωὴν τὴν ἡμετέραν, καὶ ἀπέραντον ἀγαθόν. Οὐκέτι γὰρ αὐτῆς ἔσται πέρας, ἵνα καὶ ἐντεῦθεν μάθῃς τὸ πλέον. Ἐκείνη μὲν γὰρ τῆς παρούσης ἐξέβαλε ζωῆς, ἡ δὲ χάρις ἐλθοῦσα οὐ τὴν παροῦσαν, ἀλλὰ τὴν ἀθάνατον ἡμῖν ἐδωρήσατο καὶ αἰωνίαν. Τούτων δὲ πάντων πρόξενος ἡμῖν ὁ Χριστός. Μὴ τοίνυν ἀμφίβαλλε περὶ ζωῆς, δικαιοσύνην ἔχων· καὶ γὰρ μείζων ἡ δικαιοσύνη τῆς ζωῆς, ἐπεὶ καὶ μήτηρ αὐτῆς ἐστι.

5. «Τί οὖν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; Μὴ γένοιτο». Πάλιν εἰς τὸν ἠθικώτερον ἐκβαίνει λόγον, οὐχὶ προηγουμένως αὐτὸν εἰσάγων, ἵνα μὴ δόξῃ φορτικὸς εἶναι πολλοῖς καὶ ἐπαχθής, ἀλλ' ἐκ τῆς τῶν δογμάτων ἀκολουθίας. Εἰ γὰρ καὶ οὕτω ποικίλλων τὸν λόγον ὑπείδετο, μή ποτε δυσχεράνωσιν ἐκεῖνοι πρὸς τὰ λεγόμενα, διὸ καὶ ἔλεγε, «τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους», πολλῷ μᾶλλον, εἰ μὴ τοῦτο ἐποίησε, τραχύτερος ἂν αὐτοῖς

3. Ρωμ. 15, 15.

πόν τίς παρέβηκαν ὅλες, πλήθυνε τό παράπτωμα. Εἶδες πόση εἶναι ἡ ἀπόσταση ἀνάμεσα στή χάρη καί στό νόμο; Γιατί ὁ νόμος ἔγινε καί αἰτία γιά πρόσθετη κατάκριση, ἐνῶ ἡ χάρη ἔγινε αἰτία δωρεᾶς μέ ὑπεραφθονία.

Ἀφοῦ εἶπε γιά τήν ἀνέκφραστη γενναιοδωρία, ἀναζητάει πάλι τήν ἀρχή καί τή ρίζα καί τοῦ θανάτου καί τῆς ζωῆς. Ποιά λοιπόν εἶναι ἡ ρίζα τοῦ θανάτου; Ἡ ἁμαρτία. Γι' αὐτό καί ἔλεγε· «ὥστε, ὅπως ἀκριβῶς βασίλευσε ἡ ἁμαρτία μέ τό θάνατο, ἔτσι νά βασιλεύσει καί ἡ χάρη μέ τή δικαίωση, γιά νά ἐπικρατήσει ἡ αἰώνια ζωή μέ τή μεσιτεία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Αὐτά ὅμως τά εἶπε γιά νά παρουσιάσει τήν ἁμαρτία σάν βασιλιά καί τό θάνατο σάν στρατιώτη πού ὑπηρετεῖ κάτω ἀπό τίς διαταγές της καί ὁπλίζεται ἀπό αὐτήν. Ἑπομένως, ἐάν αὐτή ὅπλισε τό θάνατο, εἶναι ὁλοφάνερο ὅτι ἡ δικαίωση, πού τήν ἐξαφανίζει καί πού ἦρθε μέ τή χάρη, ὄχι μόνο ἀφοπλίζει τό θάνατο, ἀλλά καί τόν ἐξαφανίζει, καί διαλύει ὁλόκληρη τή βασιλεία της τόσο πιό πολύ, ὅσο καί πιό μεγαλύτερη εἶναι ἀπό αὐτήν, καί ἔρχεται ὄχι μέ τήν βοήθεια ἀνθρώπου καί διαβόλου, ἀλλά μέ τή βοήθεια Θεοῦ καί χάριτος, καί ὁδηγεῖ τή ζωή μας στό ἀνώτερο καί ἄπειρο ἀγαθό. Καθόσον δέ θά ἔχει πιά αὐτή τέλος, γιά νά μάθεις καί ἀπό ἐδῶ τήν ὑπεροχή της. Γιατί ἡ ἁμαρτία μᾶς ἔβγαλε ἔξω ἀπό τήν παρούσα ζωή, ἐνῶ ὅταν ἦρθε ἡ χάρη, ὄχι μόνο μᾶς ἔδωσε τήν παρούσα ζωή, ἀλλά καί μᾶς δώρησε τήν ἀθάνατη καί αἰώνια. Καί ὅλα αὐτά τά πρόσφερε σέ μᾶς ὁ Χριστός. Μήν ἀμφιβάλλεις λοιπόν γιά τή ζωή, ἐφόσον ἔχεις τή δικαίωση. Καθόσον ἡ δικαίωση εἶναι ἀνώτερη ἀπό τή ζωή, ἀφοῦ εἶναι καί μητέρα της.

5. «Τί λοιπόν; Θά ἐπιμείνουμε στήν ἁμαρτία, γιά νά μᾶς δοθεῖ μέ ἀφθονία ἡ χάρη; Μακριά μιά τέτοια σκέψη». Πάλι προχωρεῖ στόν ἠθικότερο λόγο, χωρίς νά τόν ἔχει ἀναφέρει προηγουμένως, γιά νά μή φανεῖ στούς πολλούς πώς εἶναι ἐνοχλητικός καί δυσάρεστος, ἀλλά τό κάνει ἐξ αἰτίας τῆς φυσικῆς ἀκολουθίας τῶν δογμάτων. Γιατί, παρουσιάζοντας μιά τέτοια ποικιλία στό λόγο του, γιά νά μή δείξουν δυσαρέσκεια ἐκεῖνοι πρός τά λεγόμενά του, γι' αὐτό καί ἔλεγε, «σᾶς ἔγραψα ὅμως μέ περισσότερη τόλμη σέ μερικά σημεῖα»[3], πολύ περισσότερο, ἄν δέν ἔκαμε αὐτό, θά φαινόταν σ'

ὤφθη. Ἐπεὶ οὖν ἔδειξε μεγάλην οὖσαν τὴν χάριν τῷ μεγάλα ἰάσασθαι ἁμαρτήματα, ἐκ δὲ τούτου ἐδόκει παρὰ τοῖς ἀνοήτοις προτροπὴ τὸ λεγόμενον εἰς ἁμαρτίαν εἶναι, εἰ γὰρ διὰ τοῦτο μείζων ἡ χάρις ἐφάνη, φησίν, ἐπειδὴ μεγάλα ἡμάρτομεν, μὴ ἀποστῶμεν ἁμαρτάνοντες, ἵνα πλείων ἡ χάρις δειχθῇ· ἵν' οὖν μὴ ταῦτα λέγωσιν ἢ ὑπονοῶσιν, ὅρα πῶς ἀνατρέπει τὴν ἀντίθεσιν, πρῶτον μὲν τῇ ἀπογορεύσει, λέγων, «μὴ γένοιτο», ὅπερ ἐπὶ τῶν σφόδρα ὡμολογημένων ἀτόπων ποιεῖν εἴωθεν, ἔπειτα καὶ λογισμὸν τίθησιν ἀναντίρρητον.

Ποῖον δὴ τοῦτον; «Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;». Τί ἐστιν, «ἀπεθάνομεν»; Ἢ ὅτι, τὸ ἐκείνης μέρος καὶ τὸ εἰς αὐτὴν ἧκον, ἀπόφασιν ἐδεξάμεθα πάντες, ἢ ὅτι νεκροὶ γεγόναμεν αὐτῇ, πιστεύσαντες καὶ φωτισθέντες· ὃ καὶ μᾶλλον ἔστιν εἰπεῖν· τοῦτο γὰρ καὶ τὸ ἑξῆς κείμενον ἐμφαίνει. Τί δέ ἐστι, νεκροὺς αὐτῇ γεγονέναι; Τὸ πρὸς μηδὲν ὑπακούειν αὐτῇ λοιπόν. Τοῦτο μὲν γὰρ τὸ βάπτισμα ἐποίησεν ἅπαξ, ἐνέκρωσεν ἡμᾶς αὐτῇ· δεῖ δὲ λοιπὸν παρὰ τῆς ἡμετέρας σπουδῆς κατορθοῦσθαι αὐτὸ διηνεκῶς, ὥστε, κἂν μυρία ἐπιτάττῃ, μηκέτι ὑπακούειν, ἀλλὰ μένειν ἀκίνητον ὥσπερ τὸν νεκρόν. Καίτοιγε ἀλλαχοῦ φησιν, ὅτι αὐτὴ ἡ ἁμαρτία ἀπέθανεν· ἀλλ' ἐκεῖ μὲν εὔκολον βουλόμενος δεῖξαι τὴν ἀρετήν, τοῦτο τίθησιν, ἐνταῦθα δέ, ἐπειδὴ διεγεῖραι σπεύδει τὸν ἀκροατήν, ἐπ' αὐτὸν μεταφέρει τὸν θάνατον. Εἶτα, ἐπειδὴ ἀσαφὲς ἦν τὸ εἰρημένον, ἑρμηνεύει πάλιν αὐτὸ καὶ ἐπιπληκτικῶς τῷ λόγῳ χρώμενος. «Ἢ ἀγνοεῖτε», φησίν, «ἀδελφοί, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον».

Τί ἐστιν, «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν»; Εἰς τὸ καὶ αὐτοὶ ἀποθανεῖν, ὥσπερ ἐκεῖνος· σταυρὸς γάρ ἐστι τὸ βάπτισμα. Ὅπερ οὖν ὁ σταυρὸς τῷ Χριστῷ καὶ ὁ τάφος, τοῦτο ἡμῖν τὸ βάπτισμα γέγονεν, εἰ καὶ μὴ ἐπὶ τῶν αὐτῶν. Αὐτὸς μὲν γὰρ σαρκὶ καὶ

αὐτούς σκληρότερος. Ἀφοῦ λοιπόν ἔδειξε, πώς εἶναι μεγάλη ἡ χάρη μέ τό ὅτι θεράπευσε μεγάλα ἁμαρτήματα, ἀπ' αὐτό ὅμως φαινόταν στούς ἀνόητους πώς τό λεγόμενο ἦταν προτροπή γιά ἁμαρτία (γιατί, ἄν γι' αὐτό φάνηκε ἡ χάρη μαγαλύτερη, λέγει, ἐπειδή κάναμε μεγάλες ἁμαρτίες, ἄς μή σταματήσουμε ν' ἁμαρτάνουμε, γιά νά φανεῖ περισσότερη ἡ χάρη), γιά νά μήν λέγουν λοιπόν αὐτά ἤ γιά νά μήν τά ὑπονοῦν, πρόσεχε πῶς ἀνατρέπει τήν ἀντίθεση, πρῶτα βέβαια μέ τήν ἀπαγόρευση, λέγοντας, «μή γένοιτο», πράγμα πού συνηθίζει νά τό κάνει σ' ἐκεῖνα πού ὁμολογήθηκαν παράλογα, ἔπειτα ἀναφέρει καί συλλογισμό ἀναντίρρητο.

Ποιός λοιπόν εἶναι αὐτός; «Ἐμεῖς πού πεθάναμε ὡς πρός τήν ἁμαρτία, πῶς θά ζήσουμε ἀκόμη μέσα σ' αὐτήν;». Τί σημαίνει, «πεθάναμε»; Ἤ ὅτι τό δικό της κλῆρο καί ἐκεῖνο πού ἀνήκει σ' αὐτή, τό δεχτήκαμε ὅλοι σάν ἀπόφαση, ἤ ὅτι ἔχουμε γίνει νεκροί ὡς πρός αὐτήν, ἐπειδή πιστέψαμε καί βαπτισθήκαμε, πράγμα πού περισσότερο μποροῦμε νά θεωρήσουμε σωστό. Γιατί αὐτό φανερώνει καί τό παρακάτω κείμενο. Τί ὅμως σημαίνει, 'ἔχουμε γίνει νεκροί ὡς πρός αὐτήν'; Τό ὅτι δέν ὑπακούομε καθόλου πιά σ' αὐτήν. Γιατί αὐτό τό ἔκαμε τό βάπτισμα μιά φορά, μᾶς νέκρωσε γι' αὐτήν, πρέπει ὅμως στή συνέχεια νά κατορθώνεται αὐτό διαρκῶς ἀπό τή δική μας προσπάθεια, ὥστε, καί ἄν ἀκόμη δίνει ἄπειρες διαταγές, νά μήν ὑπακούει κανείς πιά, ἀλλά νά μένει ἀκίνητος ὅπως ἀκριβῶς ὁ νεκρός. Ἄν καί βέβαια ἀλλοῦ λέγει, ὅτι ἡ ἴδια ἡ ἁμαρτία πέθανε. Ἀλλά ἐκεῖ τό λέγει αὐτό, ἐπειδή θέλει νά δείξει πώς ἡ ἀρετή εἶναι εὔκολη, ἐνῶ ἐδῶ, ἐπειδή προσπαθεῖ νά διεγείρει τόν ἀκροατή, μεταφέρει σ' αὐτόν τό θάνατο. Ἔπειτα, ἐπειδή ἦταν ἀσαφές αὐτό πού εἰπώθηκε, τό ἑρμηνεύει πάλι, χρησιμοποιώντας τό λόγο καί ἐπιτιμητικά. «Ἤ δέν ξέρετε», λέγει, «ἀδελφοί, ὅτι ὅσοι βαπτισθήκαμε στό Χριστό, βαπτισθήκαμε στό θάνατό του; Θαφτήκαμε λοιπόν μαζί του μέ τό βάπτισμα στό θάνατο».

Τί σημαίνει, «βαπτισθήκαμε στό θάνατό του; Στό νά πεθάνουμε καί ἐμεῖς, ὅπως ἀκριβῶς ἐκεῖνος, γιατί ὁ σταυρός εἶναι τό βάπτισμα. Αὐτό λοιπόν πού ἔγινε στό Χριστό ὁ σταυρός καί ὁ τάφος, αὐτό σ' ἐμᾶς ἔγινε τό βάπτισμα, ἄν ὄχι καί γιά τά ἴδια. Γιατί

ἀπέθανε καὶ ἐτάφη, ἐμεῖς δὲ ἁμαρτίᾳ ἀμφότερα. Διὸ οὐκ εἶπε, σύμφυτοι τῷ θανάτῳ, ἀλλά, «τῷ ὁμοιώματι τοῦ θανάτου». Θάνατος μὲν γὰρ καὶ τοῦτο κἀκεῖνο, ἀλλ' οὐχὶ τοῦ αὐτοῦ ὑποκειμένου· ἀλλ' ὁ μὲν σαρκὸς ὁ τοῦ Χριστοῦ, ὁ δὲ ἁμαρτίας ὁ ἡμέτερος. Ὥσπερ οὖν ἐκεῖνος ἀληθής, οὕτω και οὗτος. Ἀλλ', εἰ καὶ ἀληθής, δεῖ καὶ τὰ παρ' ἡμῶν συνεισενεχθῆναι πάλιν· διὸ καὶ ἐπήγαγεν· «Ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν». Ἐνταῦθα μετὰ τῆς ἐπιμελείας τοῦ βίου καὶ τὸν περὶ τῆς ἀναστάσεως αἰνίττεται λόγον. Πῶς; Ἐπίστευσας, φησίν, ὅτι ἀπέθανεν ὁ Χριστὸς καὶ ὅτι ἠγέρθη; Οὐκοῦν καὶ τὸ σὸν πίστευε· τοῦτο γὰρ ἔοικεν ἐκείνῳ, ἐπειδὴ καὶ τὸ σὸν καὶ σταυρὸς καὶ τάφος. Εἰ γὰρ ἐν θανάτῳ ἐκοινώνησας καὶ ταφῇ, πολλῷ μᾶλλον ἐν ἀναστάσει καὶ ζωῇ. Τοῦ γὰρ μείζονος λυθέντος, τῆς ἁμαρτίας, οὐ δεῖ περὶ τοῦ ἐλάττοντος ἀμφιβάλλειν λοιπόν, τῆς τοῦ θανάτου ἀναιρέσεως.

6. Ἀλλὰ ταῦτα μὲν τέως ἀφίησι λογίζεσθαι τῷ συνειδότι τῶν ἀκροωμένων, αὐτὸς δὲ προκειμένης τῆς μελλούσης, ἑτέραν ἡμᾶς ἀνάστασιν ἀπαιτεῖ, τὴν καινὴν πολιτείαν, τὴν κατὰ τὸν παρόντα βίον ἐκ τῆς τῶν τρόπων μεταβολῆς γινομένην. Ὅταν γὰρ ὁ πόρνος γένηται σώφρων, καὶ ὁ πλεονέκτης ἐλεήμων, καὶ ὁ τραχὺς ἥμερος, καὶ ἐνταῦθα ἀνάστασις γέγονεν ἐκείνης οὖσα προοίμιον. Καὶ πῶς ἀνάστασις; Τῆς μὲν ἁμαρτίας νεκρωθείσης, τῆς δὲ δικαιοσύνης ἀναστάσης, καὶ τῆς μὲν παλαιᾶς ζωῆς ἀφανισθείσης, τῆς δὲ καινῆς ταύτης καὶ ἀγγελικῆς πολιτευομένης. Ὅταν δὲ ἀκούσῃς καινὴν ζωήν, πολλὴν ζήτει τὴν ἐναλλαγὴν καὶ μεγάλην τὴν μεταβολήν. Ἀλλὰ γὰρ δακρῦσαί μοι λοιπὸν ἔπεισι καὶ στενάξαι μέγα, ὅταν ἐννοήσω πόσην μὲν ἡμᾶς ἀπαιτεῖ φιλοσοφίαν ὁ Παῦλος, πόσῃ δὲ ἑαυτοὺς ἐξεδώκαμεν ῥᾳθυμίᾳ, μετὰ τὸ βάπτισμα ἐπὶ τὸ πρότερον ἐπανιόντες γῆρας, καὶ εἰς τὴν Αἴγυπτον ἀνακάμπτοντες, καὶ τῶν

---

4. Ρωμ. 6, 5.

αὐτός βέβαια ὡς πρός τό σῶμα καί πέθανε καί θάφτηκε, ἐνῶ ἐμεῖς ὡς πρός τήν ἁμαρτία πάθαμε τό ἴδιο. Γι' αὐτό δέν εἶπε, 'σύμφυτοι στό θάνατο', ἀλλά, «στό ὁμοίωμα τοῦ θανάτου»[4]. Γιατί θάνατος βέβαια εἶναι καί τό ἕνα καί τό ἄλλο, ὄχι ὅμως τοῦ ἴδιου πράγματος· ὁ θάνατος τοῦ Χριστοῦ ἦταν θάνατος τοῦ σώματος, ἐνῶ ὁ δικός μας εἶναι θάνατος τῆς ἁμαρτίας. Ὅπως ἀκριβῶς ἐκεῖνος ἦταν πραγματικός, ἔτσι καί αὐτός. Ἀλλά μολονότι ἦταν πραγματικός, πρέπει νά προσφερθοῦν πάλι καί τά δικά μας. Γι' αὐτό καί πρόσθεσε· «ὥστε, ὅπως ἀκριβῶς ἀναστήθηκε ὁ Χριστός ἀπό τούς νεκρούς μέ τήν ἔνδοξη δύναμη τοῦ Πατέρα του, ἔτσι καί ἐμεῖς νά ζήσουμε μέσα στή νέα ζωή». Ἐδῶ μαζί μέ τή φροντίδα γιά τή ζωή μας ὑπονοεῖ καί τό λόγο γιά τήν ἀνάσταση. Πῶς; Πίστεψες, λέγει, ὅτι πέθανε ὁ Χριστός καί ὅτι ἀναστήθηκε; Ἐπομένως καί γιά τό δικό σου νά πιστεύεις. Γιατί αὐτό μοιάζει μ' ἐκεῖνο, ἀφοῦ καί τό δικό σου εἶναι καί σταυρός καί τάφος. Ἐάν λοιπόν ἔλαβες μέρος στό θάνατο καί στήν ταφή, πολύ περισσότερο θά λάβεις στήν ἀνάσταση καί στή ζωή. Γιατί, ἀφοῦ καταλύθηκε τό μεγαλύτερ, δηλαδή ἡ ἁμαρτία, δέν πρέπει ν' ἀμφιβάλλουμε πλέον γιά τό μικρότερο, δηλαδή τήν κατάργηση τοῦ θανάτου.

6. Ἀλλ' αὐτά βέβαια πρῶτα ἀφήνει νά τά συλλογίζεται ἡ συνείδηση τῶν ἀκροατῶν, αὐτός ὅμως, ἐνῶ γίνεται λόγος γιά τήν μελλοντική, ἀπαιτεῖ ἀπό μᾶς ἄλλη ἀνάσταση, τό νέο τρόπο ζωῆς, πού γίνεται στήν παρούσα ζωή ἀπό τήν ἀλλαγή τῆς συμπεριφορᾶς μας. Γιατί ὅταν ὁ πόρνος γίνει ἐγκρατής, καί ὁ πλεονέκτης ἐλεήμονας, καί ὁ ἄγριος ἥμερος, καί ἐδῶ ἔγινε ἀνάσταση, πού εἶναι προοίμιο ἐκείνης. Καί πῶς ἔγινε ἀνάσταση; Μέ τό ὅτι ἡ ἁμαρτία νεκρώθηκε, ἐνῶ ἡ δικαιοσύνη ἀναστήθηκε, μέ τό ὅτι ἡ παλαιά ζωή ἐξαφανίσθηκε, καί ἐπικρατεῖ αὐτή ἡ νέα καί ἀγγελική. Ὅταν ὅμως ἀκούσεις γιά νέα ζωή, νά ζητᾶς πολλή τήν ἀλλαγή καί μεγάλη τή μεταβολή. Ἀλλ' ὅμως τή στιγμή αὐτη μοῦ ἔρχεται νά δακρύσω καί νά στενάξω πολύ, σκεπτόμενος πόση ἐγκράτεια ἀπαιτεῖ ἀπό μᾶς ὁ Παῦλος καί σέ πόση ἀδιαφορία παραδώσαμε ἐμεῖς τόν ἑαυτό μας, ἀφοῦ μετά τό βάπτισμα ἐπιστρέφουμε στά προηγούμενα γηρατειά, γυρίζουμε πίσω στήν Αἴγυπτο, καί θυμόμαστε τά

σκορόδων μεμνημένοι μετὰ τὸ μάννα. Δέκα γὰρ καὶ εἴκοσιν ἡμέρας παρ' αὐτὸ τὸ φώτισμα μεταβαλλόμενοι, τοῖς προτέροις πάλιν ἐπιχειροῦμεν.

Ἀλλ' οὐκ ἀριθμὸν ἡμερῶν τακτόν, ἀλλ' ὅλον ἡμᾶς τὸν βίον ἀπαιτεῖ ταύτην τὴν πολιτείαν ὁ Παῦλος. Ἡμεῖς δὲ ἐπὶ τὸν πρότερον ἐπενερχόμεθα ἔμετον, μετὰ τὴν ἀπὸ τῆς χάριτος νεότητα τὸ ἀπὸ τῶν ἁμαρτιῶν κατασκευάζοντες γῆρας. Καὶ γὰρ τὸ χρημάτων ἐρᾶν καὶ τὸ δουλεύειν ἐπιθυμίαις ἀτόποις καὶ πᾶσα ἁπλῶς ἁμαρτία παλαιοῦν εἴωθε τὸν ἐργαζόμενον· «τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ». Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτω σῶμα ὑπὸ χρόνων παραλελυμένον ἰδεῖν, ὡς ψυχὴν ὑπὸ ἁμαρτημάτων πολλῶν σαθρουμένην καὶ καταπίπτουσαν. Καὶ γὰρ εἰς ἐσχάτην ληρῳδίαν ἐξάγεται λοιπόν, ἄσημα φθεγγομένη καθάπερ οἱ γεγηρακότες καὶ παραπαίοντες, καὶ κορύζης ἀναπεπλησμένη καὶ παραπληξίας πολλῆς καὶ λήθης, καὶ λήμας πρὸ τῶν ὀφθαλμῶν ἔχουσα, καὶ ἀνθρώποις βδελυρὰ καὶ τῷ διαβόλῳ εὐχείρωτος. Καὶ γὰρ τοιαῦται αἱ τῶν ἁμαρτωλῶν ψυχαί.

Ἀλλ' οὐχ αἱ τῶν δικαίων, ἀλλὰ νεάζουσι καὶ σφριγῶσι καὶ ἐν αὐτῷ τῆς ἡλικίας εἰσὶ τῷ ἄνθει διαπαντός, πρὸς ἅπασαν μάχην καὶ πάλην ἀεὶ παρεσκευασμέναι· αἱ δὲ τῶν ἁμαρτωλῶν, κἄν μικρὰν δέξωνται προσβολήν, ἔπεσόν τε εὐθέως καὶ ἀπώλοντο. Καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν, ὅτι «ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς», οὕτως εἰσὶν εὐρίπιστοι καὶ εἰς ἐπήρειαν πᾶσι προκείμενοι οἱ ἐν ἁμαρτίαις ζῶντες. Οὔτε γὰρ ὁρῶσιν ὑγιῶς, οὐκ ἀκούουσιν εἰλικρινῶς, οὐ φθέγγονται ἔναρθρα, ἀλλὰ πολλῆς μὲν γέμουσι τῆς λυγγός, πολὺν δὲ ἐν τῷ στόματι περιρρέοντα τὸν σίελον περιφέρουσι. Καὶ εἴθε σίελον καὶ οὐδὲν ἦν ἄτοπον· νυνὶ δὲ παντὸς βορβόρου ῥήματα δυσωδέστερα προΐενται, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἀποπτύσαι τὸν σίελον τούτων τῶν ῥημάτων ἰσχύουσιν, ἀλλὰ τῇ χειρὶ δεχόμενοι μετὰ πολλῆς τῆς βδε-

5. Ἑβρ. 8, 13.
6. Ψαλμ. 1, 4.

σκόρδα μετά τό μάννα πού μᾶς δόθηκε. Γιατί, ἀφοῦ δείξουμε ἀλλαγή γιά δέκα καί εἴκοσι ἡμέρες μετά ἀπό τό βάπτισμα αὐτό, ἐπιχειροῦμε πάλι τά προηγούμενα.

Ὁ Παῦλος βέβαια ἀπαιτεῖ αὐτόν τόν τρόπο ζωῆς ὄχι γιά ὁρισμένο ἀριθμό ἡμερῶν, ἀλλά γιά ὁλόκληρη τή ζωή μας. Ἐμεῖς ὅμως ἐπανερχόμαστε στήν προηγούμενη κακολογία, προετοιμάζοντας ὕστερα ἀπό τήν νεότητα πού προέρχεται ἀπό τή χάρη τά γηρατειά πού δημιουργοῦνται ἀπό τίς ἁμαρτίες. Γιατί πραγματικά ἡ ἀγάπη τῶν χρημάτων καί ἡ δουλεία στίς παράλογες ἐπιθυμίες καί γενικά κάθε ἁμαρτία παλαιώνει ἐκεῖνον πού τήν κάνει· «ἐκεῖνο ὅμως πού παλαιώνει καί γερνάει, βρίσκεται κοντά στόν ἐξαφανισμό»[5]. Γιατί δέν εἶναι δυνατό, δέν εἶναι δυνατό νά δοῦμε τό σῶμα ν' ἀδυνατίζει τόσο ἀπό τό χρόνο, ὅσο ἡ ψυχή ἀδυνατίζει καί καταβάλλεται ἀπό τά πολλά ἁμαρτήματα. Γιατί στή συνέχεια φθάνει καί στή χειρότερη μωρολογία, λέγοντας ἀκατανόητα λόγια, ὅπως ἀκριβῶς ἐκεῖνοι πού ἔχουν γεράσει καί παραπαίουν, εἶναι γεμάτη ἀπό μωρία καί παραφροσύνη πολλή καί λήθη, ἔχει 'τσίμπλες' στά μάτια της, εἶναι μισητή στούς ἀνθρώπους, καί νικιέται εὔκολα ἀπό τό διάβολο. Γιατί πραγματικά τέτοιες εἶναι οἱ ψυχές τῶν ἁμαρτωλῶν.

Ὅμως οἱ ψυχές τῶν δικαίων δέν εἶναι τέτοιες, ἀλλ' εἶναι νέες καί γεμάτες σφρίγος, καί σ' αὐτό τό ἄνθος τῆς ἡλικίας βρίσκονται παντοτινά, προετοιμασμένες πάντοτε γιά κάθε μάχη καί πάλη, ἐνῶ οἱ ψυχές τῶν ἁμαρτωλῶν, καί μικρή ἐπίθεση ἀκόμη ἄν δεχθοῦν, ἀμέσως ἔπεσαν καί καταστράφηκαν. Καί αὐτό φανερώνοντας ὁ προφήτης ἔλεγε, ὅτι «σάν τό χνούδι, πού τό ἐξαφανίζει ὁ ἄνεμος ἀπό τό πρόσωπο τῆς γῆς»[6], ἔτσι φέρονται εὔκολα ἐδῶ καί ἐκεῖ καί ἐπηρεάζονται ἀπ' ὅλους ἐκεῖνοι πού ζοῦν μέσα στίς ἁμαρτίες. Γιατί οὔτε βλέπουν σωστά, οὔτε ἀκοῦν εἰλικρινά, οὔτε μιλοῦν καθαρά, ἀλλ' ἔχουν καί πολύ λόξυγγα καί περιφέρουν πολύ σάλιο, πού τρέχει ἄφθονο στό στόμα τους. Καί μακάρι νά ἦταν σάλιο, πράγμα πού δέν θά ἦταν καθόλου παράλογο. Τώρα ὅμως ξεστομίζουν λόγια πιό βρωμερά ἀπό κάθε βοῦρκο, καί τό πιό φοβερό μάλιστα, ὅτι δέν μποροῦν νά φτύσουν τό σάλιο αὐτῶν τῶν λόγων, ἀλλά συγκεντρώνοντάς το στό χέρι τους μέ πολλή ἀηδία,

λυγμίας, πάλιν αὐτόν προστρίβονται παχὺν ὄντα καὶ δυσδιάτμητον. Τάχα ναυτιᾶτε πρὸς τὴν διήγησιν· οὐκοῦν μᾶλλον πρὸς τὴν πρᾶξιν. Εἰ γὰρ ἐν σώματι ταῦτα ἀηδῆ συμβαίνοντα, πολλῷ μᾶλλον ἐν τῇ ψυχῇ.

Τοιοῦτος ἦν ἐκεῖνος ὁ παῖς ὁ πάντα τὰ ἑαυτοῦ κατεδηδοκώς, καὶ εἰς ἐσχάτην κακίαν κατενεχθείς, παντὸς ληροῦντος καὶ νενοσηκότος ἀσθενέστερον διακείμενος. Ἀλλ' ἐπειδὴ ἐβουλήθη, γέγονεν ἄφνω νέος, ἀπὸ γνώμης μόνης καὶ μεταστάσεως. Ἐπειδὴ γὰρ εἶπεν, «ἐπιστρέψω πρὸς τὸν πατέρα μου», τὸ ρῆμα τοῦτο αὐτῷ πάντα ἐκόμισε τ' ἀγαθά· μᾶλλον δὲ οὐ τὸ ρῆμα ἁπλῶς, ἀλλὰ τὸ ἔργον τῷ ρήματι προστεθέν. Οὐδὲ γὰρ εἶπεν, 'ἐπανέλθω', καὶ ἔμεινεν, ἀλλ' εἶπεν, «ἐπανέλθω», καὶ ἐπανῆλθε, καὶ τὴν ὁδὸν πᾶσαν ὑπέστρεψεν ἐκείνην. Οὕτω καὶ ἡμεῖς ποιῶμεν· κἂν εἰς τὴν ὑπερορίαν ἀπενεχθῶμεν, ἐπανέλθωμεν πρὸς τὸν πατρῷον οἶκον, καὶ μὴ κατοκνήσωμεν πρὸς τὸ τῆς ὁδοῦ μῆκος. Ἂν γὰρ βουληθῶμεν, εὔκολος ἡ ἐπάνοδος γίνεται καὶ ταχίστη, μόνον ἀφῶμεν τὴν ξένην καὶ τὴν ἀλλοτρίαν· τοῦτο γὰρ ἡ ἁμαρτία, πόρρω τῆς οἰκίας ἡμᾶς ἀπάγουσα τοῦ πατρός. Ἀφῶμεν τοίνυν αὐτήν, ἵνα ταχέως πρὸς τὸν πατρῷον ἐπανέλθωμεν οἶκον. Καὶ γὰρ φιλόστοργός ἐστιν ὁ Πατὴρ καὶ τῶν εὐδοκιμούντων οὐχ ἧττον ἡμᾶς τιμήσει μεταβαλλομένους, ἀλλὰ καὶ πλέον· ἐπεὶ καὶ ἐκεῖνον ὁ πατὴρ τότε μειζόνως ἐτίμησε· καὶ γὰρ μειζόνως αὐτὸς ἥσθη τὸν παῖδα ἀπολαβών.

Καὶ πῶς ἐπανέλθω, φησίν; Ἀρχὴν ἐπίθες τῷ πράγματι μόνον, καὶ τὸ πᾶν γέγονε· στῆθι τῆς κακίας, καὶ μὴ προέλθῃς περαιτέρω, καὶ ἤδη τοῦ παντὸς ἐπελάβου. Καθάπερ γὰρ τοῖς κάμνουσι τὸ μὴ χεῖρον σχεῖν ἀρχὴ γένοιτ' ἂν τοῦ βέλτιον ἔχειν, οὕτω καὶ ἐπὶ τῆς κακίας συμβαίνει· μὴ περαιτέρω προβῇς καὶ τέλος ἕξει σοι τὰ τῆς πονηρίας. Κἂν δύο ποιήσῃς τοῦτο ἡμέρας, τῇ τρίτῃ εὐκολώτερον ἀποστήσῃ, καὶ μετὰ τρεῖς καὶ δέκα προσθήσεις, εἶτα εἴκοσιν,

7. Ἀναφέρεται στόν ἄσωτο τῆς παραβολῆς. Βλ. Λουκᾶ 15, 11-32.

τό μασοῦν πάλι, ἐπειδή εἶναι παχύ καί δύσκολα διαλύεται. Ἴσως αἰσθάνεσθε ἀηδία ἀπό τά λεγόμενα· ἀλλά νά αἰσθάνεστε περισσότερο ἀπό τήν πράξη. Γιατί, ἄν αὐτά εἶναι ἀηδῆ, ὅταν συμβαίνουν στό σῶμα, πολύ περισσότερο εἶναι τέτοια , ὅταν συμβαίνουν στήν ψυχή.

Τέτοιος ἦταν ἐκεῖνος ὁ νέος[7], πού σπατάλησε ἄσωτα ὅλη τήν περιουσία του καί κατρακύλισε στή χειρότερη κακία, καί ἦταν περισσότερο ἄρρωστος ἀπό κάθε παράφρονα καί ἄρρωστο. Ἀλλ', ἐπειδή θέλησε, ἔγινε ξαφνικά νέος, μόνο ἀπό τή διάθεση καί τή μεταβολή. Ὅταν λοιπόν εἶπε, «θά ἐπιστρέψω στόν πατέρα μου», ὁ λόγος αὐτός τοῦ ἔφερε ὅλα τά ἀγαθά· ἤ καλύτερα, ὄχι μόνο ὁ λόγος, ἀλλά τό ἔργο πού προστέθηκε στό λόγο. Γιατί δέν εἶπε, 'θά ἐπιστρέψω' καί παρέμεινε, ἀλλ' εἶπε, «θά ἐπιστρέψω», καί ἐπέστρεψε, καί βάδισε ὅλο τό δρόμο ἐκεῖνο τῆς ἐπιστροφῆς. Ἔτσι καί ἐμεῖς ἄς κάνουμε. Καί ἄν ἀκόμη ἔχουμε φύγει σέ ξένη χώρα, ἄς ἐπιστρέψουμε στό πατρικό σπίτι καί ἄς μή διστάσουμε ἀπό τήν ἀπόσταση τοῦ δρόμου. Γιατί, ἄν θελήσουμε, ἡ ἐπιστροφή γίνεται εὔκολη καί πάρα πολύ γρήγορη, μόνο νά ἐγκαταλείψουμε τήν ξένη καί ἐχθρική χώρα. Γιατί αὐτό εἶναι ἡ ἁμαρτία, μᾶς ὁδηγεῖ μακριά ἀπό τό σπίτι τοῦ Πατέρα μας. Ἄς τήν ἐγκαταλείψουμε λοιπόν, γιά νά ἐπιστρέψουμε γρήγορα στό πατρικό σπίτι. Γιατί καί φιλόστοργος εἶναι ὁ Πατέρας, καί ὅταν ἀλλάζουμε συμπεριφορά, δέ θά μᾶς τιμήσει λιγότερο ἀπό ἐκείνους πού εὐτυχοῦν, ἀλλά καί περισσότερο, ἀφοῦ καί ἐκεῖνον ὁ πατέρας του τόν τίμησε τότε πολύ περισσότερο· καθόσον καί αὐτός ἔνιωσε πολύ μεγάλη εὐχαρίστηση πού ἀπέκτησε πάλι τόν υἱό του.

Καί πῶς, λέγει, θά ἐπιστρέψω; Κάνε ἀρχή στήν ἐπιστροφή μόνο, καί τό πᾶν ἔγινε. Σταμάτησε τήν κακία, καί μήν προχωρήσεις παραπέρα, καί ἤδη ἐπέτυχες τό πᾶν. Γιατί, ὅπως ἀκριβῶς στούς ἀρρώστους ἡ μή χειροτέρευση τῆς ἀσθένειας τους μορεῖ νά γίνει ἀρχή βελτιώσεως τῆς ὑγείας τους, ἔτσι συμβαίνει καί στήν περίπτωση τῆς κακίας. Μήν προχωρεῖς παραπέρα καί θά τελειώσει ἡ κακία σου. Καί ἄν τό κάνεις αὐτό δύο ἡμέρες, τήν τρίτη θ' ἀπομακρυνθεῖς πιό εὔκολα, καί μετά τίς τρεῖς θά προσθέσεις καί δέκα, ἔπειτα εἴκοσι, ἔπειτα ἑκατό, ἔπειτα ὁλόκληρη τή ζωή σου.

εἶτα ἑκατόν, εἶτα τὸν βίον ἅπαντα. Ὅσῳ γὰρ ἂν προβαίνῃς, εὐκολωτέραν ὄψει τὴν ὁδόν, καὶ ἐπ' αὐτὴν στήσῃ τὴν κορυφήν, καὶ πολλῶν ἀθρόον ἀπολαύσῃ τῶν ἀγαθῶν. Ἐπεὶ καὶ τότε, ὅτε ὁ ἄσωτος ἐπανῆλθεν ἐκεῖνος, αὐλοὶ καὶ κιθάραι καὶ χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις ἦσαν· καὶ ὁ ὀφείλων ὑπὲρ τῆς ἀκαίρου δαπάνης καὶ τῆς οὕτω μακρᾶς φυγῆς τὸν παῖδα ἀπαιτῆσαι δίκην, οὐδὲν τούτων ἐποίησεν, ἀλλ' ὡς εὐδοκιμηκότα εἶδε, καὶ οὐδὲ μέχρι ῥημάτων ὀνειδίσαι τῷ παιδί, μᾶλλον δὲ καὶ περιεχύθη καὶ κατεφίλησε καὶ μόσχον ἔθυσε καὶ στολὴν ἐνέδυσε καὶ ἐν πολλῷ τῷ κόσμῳ κατέστησε.

7. *Ταῦτα οὖν ἔχοντες καὶ ἡμεῖς τὰ ὑποδείγματα, θαρρῶμεν καὶ μὴ ἀπογινώσκωμεν. Οὐ γὰρ οὕτω χαίρει δεσπότης καλούμενος, ὡς Πατήρ, οὐδὲ δοῦλον ἔχων, ὡς υἱόν· καὶ μᾶλλον τοῦτο βούλεται, ἢ ἐκεῖνο. Διὰ τοῦτο γοῦν καὶ πάντα ἐποίησεν ἅπερ ἐποίησε, καὶ οὐδὲ τοῦ μονογενοῦς ἐφείσατο, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν, ἵνα μὴ ὡς Δεσπότην μόνον, ἀλλὰ καὶ ὡς Πατέρα αὐτὸν ἀγαπῶμεν. Κἂν τύχῃ τούτου παρ' ἡμῶν, καθάπερ τις δοξαζόμενος ἐναβρύνεται, καὶ εἰς πάντας αὐτὸ ἐκφέρει, ὁ μηδενὸς δεόμενος τῶν ἡμετέρων. Τοῦτο γοῦν ἐπὶ τοῦ Ἀβραὰμ ἐποίησε, πανταχοῦ λέγων, «Ἐγὼ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ». Καίτοιγε τοὺς οἰκέτας ἐχρῆν καλλωπίζεσθαι τούτῳ· νῦν δὲ ὁ δεσπότης φαίνεται τοῦτο ποιῶν. Διὰ τοῦτο καὶ Πέτρῳ φησί, «φιλεῖς με πλέον τούτων;», δεικνὺς ὅτι οὐδὲν πρὸ τούτου ζητεῖ παρ' ἡμῶν. Διὰ τοῦτο καὶ τὸν Ἀβραὰμ τὸν υἱὸν θῦσαι ἐκέλευσεν, ἵνα δείξῃ πᾶσιν, ὅτι σφόδρα φιλεῖται παρὰ τοῦ πατριάρχου. Τοῦτο δὲ τὸ σφόδρα φιλεῖσθαι ἐθέλειν, ἀπὸ τοῦ σφόδρα φιλεῖν γίνεται. Διὰ τοῦτο καὶ τοῖς ἀποστόλοις ἔλεγεν· «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος».*

Διὰ τοῦτο, ὃ πάντων ἡμῖν ἐστιν οἰκειότερον ἡ ψυχή, καὶ ταύτην δευτέραν κελεύει τίθεσθαι τῆς εἰς αὐτὸν ἀγάπης, ἐπειδὴ μεθ'

8. Ἰω. 21, 15.
9. Ματθ. 10, 37.

Γιατί, ὅσο θά προχωρεῖς, θά βλέπεις πιό εὔκολο τό δρόμο, καί θά σταματήσεις ἐπάνω στήν κορυφή καί θ' ἀπολαύσεις πολλά μαζί ἀγαθά. Ἐπειδή καί τότε, ὅταν ἐπέστρεψε ὁ ἄσωτος ἐκεῖνος, αὐλοί καί κιθάρες καί χοροί καί συμπόσια καί πανηγύρια ἐπακολούθησαν. Καί ἐκεῖνος πού ἔπρεπε νά τιμωρήσει τό νέο γιά τήν ἄκαιρη σπατάλη καί τήν τόσο μακρινή φυγή του, δέν ἔκαμε τίποτε ἀπό αὐτά, ἀλλά τόν εἶδε σάν νά ἦταν εὐτυχισμένος, καί δέν ἐπιτίμησε οὔτε μέ λόγια τό παιδί του, ἤ καλύτερα δέν θέλησε οὔτε κἄν ἁπλῶς καί μόνο νά τοῦ θυμίσει τά προηγούμενα, ἀλλά καί βγῆκε ἔξω, καί τό φίλησε, καί ἔσφαξε μοσχάρι, καί τό ἔντυσε μέ στολή, καί τό στόλισε μέ πολλά στολίδια.

7. Ἔχοντας λοιπόν καί ἐμεῖς αὐτά τά παραδείγματα, ἄς ἔχουμε θάρος καί ἄς μήν ἀπελπιζόμαστε. Γιατί δέ χαίρεται αὐτός τόσο ὅταν ὀνομάζεται Κύριος, ὅσο ὅταν ὀνομάζεται Πατέρας, οὔτε ὅταν ἔχει δοῦλο, ὅπως ὅταν ἔχει υἱό· καί περισσότερο αὐτό θέλει, πάρα ἐκεῖνο. Γι' αὐτό ἀκριβῶς καί ὅλα τά ἔκανε, καί δέ λυπήθηκε οὔτε τόν μονογενή Υἱό του, γιά νά λάβουμε τήν υἱοθεσία, γιά νά μήν τόν ἀγαπᾶμε σάν κύριο μόνο, ἀλλά καί σάν Πατέρα. Καί ἄν ἐπιτύχει αὐτό ἀπό μᾶς, καμαρώνει ὅπως ἀκριβῶς κάποιος πού δοξάζεται, καί σ' ὅλους τό ἀνακοινώνει αὐτό, ἐκεῖνος πού δέν ἔχει ἀνάγκη τίποτε ἀπό τά δικά μας. Αὐτό λοιπόν ἔκανε στήν περίπτωση τοῦ Ἀβραάμ, λέγοντας παντοῦ· «ἐγώ ὁ Θεός τοῦ Ἀβραάμ καί τοῦ Ἰσαάκ καί τοῦ Ἰακώβ». Μολονότι βέβαια οἱ δοῦλοι ἔπρεπε νά ὑπερηφανεύονται μ' αὐτό, ἐνῶ τώρα ὁ Κύριος φαίνεται νά τό κάνει αὐτό. Γι' αὐτό καί στόν Πέτρο λέγει, «μ' ἀγαπᾶς περισσσότερο ἀπό αὐτούς;»[8], γιά νά δείξει ὅτι τίποτε ἄλλο δέ ζητάει ἀπό μᾶς πρίν ἀπό αὐτό. Γι' αὐτό καί τόν Ἀβραάμ διέταξε νά θυσιάσει τόν υἱό του, γιά νά δείξει σέ ὅλους, ὅτι ἀγαπιέται πάρα πολύ ἀπό τόν πατριάρχη. Αὐτό ὅμως τό νά θέλει νά ἀγαπιέται πάρα πολύ, προέρχεται ἀπό τό ὅτι ἀγαπάει πάρα πολύ. Γι' αὐτό καί στούς ἀποστόλους ἔλεγε· «ἐκεῖνος πού ἀγαπάει τόν πατέρα του ἤ τή μητέρα του παραπάνω ἀπό μένα, δέν ἀξίζει γιά μένα»[9].

Γι' αὐτό, ἐκεῖνο πού εἶναι σ' ἐμᾶς ἀπ' ὅλα πιό οἰκεῖο, ἡ ψυχή, καί αὐτή διατάσσει νά τή βάζουμε δεύτερη μετά τήν ἀγάπη

ὑπερβολῆς ἁπάσης βούλεται φιλεῖσθαι παρ' ἡμῶν. Καὶ γὰρ ἡμεῖς, ὅταν μὲν μὴ σφόδρα περί τινα ὦμεν διακείμενοι, οὐδὲ τῆς παρ' ἐκείνου σφόδρα δεόμεθα φιλίας, κἂν μέγας ᾖ, κἂν περιφανὴς, ὅταν δὲ θερμῶς τινα καὶ γνησίως φιλῶμεν, κἂν εὐτελής, κἂν μικρὸς ὁ φιλούμενος, μεγίστην τιθέμεθα δόξαν τὸ παρ' ἐκεῖνον φίλτρον. Διὸ καὶ αὐτὸς οὐ τὸ φιλεῖσθαι παρ' ἡμῶν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν ὑπὲρ ἡμῶν τὰ ἐπονείδιστα ἐκεῖνα, δόξαν ἐκάλει. Ἀλλ' ἐκεῖνα μὲν δι' ἀγάπην μόνον δόξα ἦν, ἃ δὲ ἂν ἡμεῖς ὑπὲρ αὐτοῦ πάθωμεν, οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ διὰ τὸ μέγεθος τοῦ ποθουμένου καὶ τὴν ἀξίαν δόξα ἂν εἰκότως καὶ καλοῖτο καὶ εἴη. Ὡς ἐπὶ στεφάνους τοίνυν μεγίστους τρέχωμεν τοὺς ὑπὲρ αὐτοῦ κινδύνους, καὶ μήτε πενίαν μήτε νόσον μήτε ἐπήρειαν, μὴ συκοφαντίαν, μὴ αὐτὸν τὸν θάνατον νομίζωμεν εἶναι βαρὺ καὶ ἐπαχθές, ὅταν δι' αὐτὸν ταῦτα ὑπομένωμεν. Ἂν γὰρ νήφωμεν, τὰ μέγιστα διὰ τούτων ἁπάντων κερδανοῦμεν· ὥσπερ οὖν ἐὰν μὴ νήφωμεν, οὐδὲ ἀπὸ τῶν ἐναντίων καρπωσόμεθά τι χρηστόν.

Σκόπει δέ. Ἐπηρεάζει σοί τις καὶ πολεμεῖ; Οὐκοῦν ἐγρηγορέναι σε παρασκευάζει καὶ ἀφορμήν σοι παρέχει τοῦ γενέσθαι ὅμοιον τῷ Θεῷ. Ἂν γὰρ ἀγαπήσῃς τὸν ἐπιβουλεύοντα, ὅμοιος ἔσῃ τῷ τὸν ἥλιον ἀνατέλλοντι ἐπὶ πονηροὺς καὶ ἀγαθούς. Ἕτερος ἀφαιρεῖταί σου χρήματα; Ἂν γενναίως ἐνέγκῃς, τοῖς εἰς πένητας πάντα δεδαπανηκόσι τὸν αὐτὸν λήψῃ μισθόν. «Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν», φησί, «μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες κρείττονα ὕπαρξιν ἔχειν ἐν οὐρανοῖς, καὶ μένουσαν». Εἶπέ τις κακῶς καὶ ὠνείδισεν; Ἄν τε ἀληθῆ ταῦτα, ἄν τε ψευδῆ ᾖ, στέφανόν σοι μέγιστον ἔπλεξεν, ἂν πράως τὴν λοιδορίαν ἐνέγκῃς. Ὅ τε γὰρ συκοφαντῶν πολὺν ἡμῖν προξενεῖ τὸν μισθόν· «Χαίρετε» γὰρ φησί, «καὶ ἀγαλλιᾶσθε, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα

10. Ἑβρ. 10, 34.
11. Ματθ. 5, 12· 11.

πρός αὐτόν, ἐπειδή θέλει νά ἀγαπιέται μέ ὅλη τή δύναμη ἀπό μᾶς. Γιατί καί ἐμεῖς, ὅταν δέν ἔχουμε πολύ καλές σχέσεις μέ κάποιον, οὔτε τήν ἀγάπη του χρειαζόμαστε πάρα πολύ, ἔστω καί ἄν εἶναι μεγάλος, ἔστω καί ἄν εἶναι διάσημος. Ὅταν ὅμως ἀγαπᾶμε θερμά καί γνήσια κάποιον, ἔστω καί ἄν εἶναι ἀσήμαντος ἤ μικρός ἐκεῖνος πού ἀγαπιέται, θεωροῦμε μέγιστη δόξα τήν ἀγάπη του. Γι' αὐτό καί αὐτός ὄχι μόνο τό νά ἀγαπιέται ἀπό μᾶς, ἀλλά καί τό ὅτι ἔπαθε γιά χάρη μας ἐκεῖνα τά ἐπονείδιστα, τά ὀνόμαζε δόξα. Ἀλλ' ἐκεῖνα βέβαια ἐξ αἰτίας τῆς ἀγάπης μόνο ἦταν δόξα, ἐνῶ ἐκεῖνα πού θά πάθουμε ἐμεῖς γιά χάρη του, ὄχι ἐξ αἰτίας τῆς ἀγάπης μόνο, ἀλλά καί ἐξ αἰτίας τοῦ μεγέθους καί τῆς ἀξίας ἐκείνου πού ἐπιθυμοῦμε πολύ, εὔλογα καί μποροῦν νά ὀνομασθοῦν καί νά εἶναι δόξα. Ἄς διακινδυνεύουμε λοιπόν γιά χάρη του τούς κινδύνους σάν νά τρέχουμε σέ πολύ μεγάλα στεφάνια, καί ἄς μή θεωροῦμε οὔτε τή φτώχεια οὔτε τόν ἴδιο τό θάνατο πώς εἶναι κάτι βαρύ καί δυσάρεστο, ὅταν αὐτά τά ὑπομένουμε γι' αὐτόν. Γιατί, ἄν εἴμαστε προσεκτικοί, θά κερδίσουμε μέ ὅλα αὐτά τά μέγιστα. Ὅπως ἀκριβῶς πάλι, ἄν δέν ἤμαστε προσεκτικοί, δέ θά κερδίσουμε τίποτε καλό ἀπό τά ἀντίθετα.

Πρόσεχε ὅμως. Σέ ἀπειλεῖ κάποιος καί σέ πολεμάει; Λοιπόν σέ προετοιμάζει νά εἶσαι ἄγρυπνος, καί σοῦ δίνει ἀφορμή νά γίνεις ὅμοιος μέ τό Θεό. Γιατί, ἄν ἀγαπήσεις ἐκεῖνον πού σκέπτεται νά σοῦ κάνει κακό, θά εἶσαι ὅμοιος μ' αὐτόν πού ἀνατέλλει τόν ἥλιο στούς πονηρούς καί ἀγαθούς. Σοῦ ἀφαιρεῖ ἄλλος χρήματα; Ἄν τό ἀντέξεις γενναῖα, θά πάρεις ἴδιο μ' ἐκείνους πού ἔχουν δαπανήσει τά πάντα στούς φτωχούς. «Γιατί καί τήν ἁρπαγή τῆς περιουσίας σας», λέγει, «δεχθήκατε μέ χαρά, ἐπειδή γνωρίζατε ὅτι ἔχετε καλύτερη περιουσία στόν οὐρανό, πού εἶναι μόνιμη»[10]. Σέ κακολόγησε κάποιος καί σέ κατηγόρησε; Εἴτε εἶναι ἀληθινά αὐτά, εἴτε εἶναι ψεύδη, σοῦ ἔπλεξε τό πιό μεγάλο στεφάνι, ἄν ἀντέξεις μέ πραότητα τήν κακολογία. Γιατί καί ὁ συκοφάντης προκαλεῖ πολύ μισθό σ' ἐμᾶς· «νά χαίρεσθε λοιπόν», λέγει, «καί νά ἀγάλλεσθε, ὅταν οἱ ἄνθρωποι ψευδόμενοι ποῦν κάθε κακολογία ἐναντίον σας, γιατί ὁ μισθός σας θά εἶναι μεγάλος στούς οὐρανούς»[11]. Καί

καθ' ὑμῶν ψευδόμενοι, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς»· ὅ τε ἀληθῆ λέγων πάλιν τὰ μέγιστα ὠφελεῖ, μόνον ἐὰν πράως φέρωμεν τὰ λεγόμενα. Καὶ γὰρ ὁ Φαρισαῖος ἀληθεύων τὸν τελώνην ἔλεγε κακῶς, ἀλλ' ὅμως ἀντὶ τελώνου δίκαιον ἐποίησε.

Καὶ τί δεῖ καθ' ἕκαστον λέγειν; ἔξεστι γὰρ ἐπελθόντα τοὺς ἄθλους τοῦ Ἰὼβ ἅπαντα ταῦτα μετ' ἀκριβείας μαθεῖν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; Ὥσπερ οὖν σπουδάζοντες καὶ ἀπὸ τῶν λυπούντων κερδαίνομεν, οὕτω ῥᾳθυμοῦντες οὐδὲ ἀπὸ τῶν ὠφελούντων ἀμείνους γινόμεθα. Τί γὰρ τὸν Ἰούδαν ὠφέλησεν, εἰπέ μοι, ἡ τοῦ Χριστοῦ συνουσία; τί δὲ τοὺς ἐν τῇ ἐρήμῳ Μωϋσῆς; Διά τοι τοῦτο πάντα ἀφέντας, ἓν δεῖ σκοπεῖν μόνον, ὅπως τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν καλῶς· κἂν τοῦτο ποιῶμεν, οὐδὲ αὐτὸς ὁ διάβολος ἡμῶν περιέσται ποτέ, ἀλλὰ καὶ μειζόνως ἡμᾶς ὠφελήσει, νήφειν παρασκευάζων. Οὕτω γοῦν καὶ τοὺς Ἐφεσίους ὁ Παῦλος διήγειρε, τὴν ἐκείνου διηγούμενος ἀγριότητα.

Ἀλλ' ἡμεῖς καθεύδομεν καὶ ῥέγχομεν, καὶ ταῦτα πρὸς οὕτω πονηρὸν πολέμιον ἔχοντες. Καὶ εἰ μὲν ὄφιν ἐμφωλεύοντα ἔγνωμεν παρὰ τὴν κλίνην τὴν ἡμετέραν, πολλὴν ἂν ἐποιησάμεθα σπουδὴν ὥστε αὐτὸν ἀνελεῖν, τοῦ διαβόλου δὲ ἐμφωλεύοντος ἡμῶν ταῖς ψυχαῖς, οὐδὲν ἡγούμεθα πάσχειν δεινόν, ἀλλ' ἀναπεπτώκαμεν. Τὸ δὲ αἴτιον, ἐπειδὴ τοῖς ὀφθαλμοῖς οὐχ ὁρῶμεν αὐτὸν τοῖς τοῦ σώματος. Καίτοι διὰ τοῦτο ἐχρῆν ἐγρηγορέναι μᾶλλον καὶ νήφειν. Τὸν μὲν γὰρ αἰσθητὸν πολέμιον κἂν φυλάξαιτό τις ῥᾳδίως, τὸν δὲ ἀόρατον, ἂν μὴ διαπαντὸς ὦμεν καθωπλισμένοι, οὐ δυνηθησόμεθα εὐκόλως διαφυγεῖν· καὶ μάλιστα, ὅτι οὐδὲ ἐξ εὐθείας οἶδε πολεμεῖν· ἢ γὰρ ἂν ἑάλω ταχέως· ἀλλὰ σχήματι πολλάκις φιλίας τὸν τῆς ὠμότητος ἰὸν ἐνίησιν. Οὕτω γοῦν καὶ τὴν γυναῖκα τοῦ Ἰὼβ παρεσκεύασε, προσωπεῖον φιλοστοργίας ὑποδῦσαν, τὴν πονηρὰν ἐκείνην εἰσενεγκεῖν

12. Ρωμ. 8, 31.

αὐτός πάλι πού λέγει ἀληθινά πράγματα, μᾶς ὠφελεῖ πάρα πολύ, μόνο ἐάν ὑπομένουμε μέ πραότητα τά λεγόμενα. Γιατί καί ὁ Φαρισαῖος μιλώντας τήν ἀλήθεια κακολογοῦσε τόν τελώνη, ἀλλ' ὅμως ἀντί γιά τελώνη τόν ἔκανε δίκαιο.

Καί γιατί πρέπει ν' ἀναφέρω τό καθένα χωριστά; Καθόσον εἶναι δυνατό, ἀναφέροντας τούς ἄθλους τοῦ Ἰώβ, νά τά μάθουμε μέ λεπτομέρεια ὅλα αὐτά. Γι' αὐτό καί ὁ Παῦλος ἔλεγε· «Ὁ Θεός εἶναι μ' ἐμᾶς, ποιός θά εἶναι ἐναντίον μας;»[12]. Ὅπως ἀκριβῶς λοιπόν, ὅταν ἀγωνιζόμαστε, καί ἀπό ἐκεῖνα πού μᾶς λυποῦν κερδίζουμε, ἔτσι, ὅταν ἀδιαφοροῦμε, καί ἀπό ἐκεῖνα πού μᾶς ὠφελοῦν δέ γινόμαστε καλύτεροι. Τί λοιπόν ὠφέλησε τόν Ἰούδα, πές μου, ἡ συναναστροφή μέ τό Χριστό; τί τούς Ἰουδαίους ὁ νόμος; τί τόν Ἀδάμ ὁ παράδεισος; τί αὐτούς πού ἦταν στήν ἔρημο ὁ Μωϋσῆς; Γι' αὐτό λοιπόν, ἀφοῦ ἐγκαταλείψουμε ὅλα, ἕνα μόνο πρέπει νά φροντίζουμε, μέ ποιό τρόπο θά ρυθμίσουμε καλά τά δικά μας. Καί ἄν κάνουμε αὐτό, οὔτε ὁ ἴδιος ὁ διάβολος θά μᾶς νικήσει ποτέ, ἀλλά καί θά μᾶς ὠφελήσει πιό πολύ, ἀφοῦ μᾶς προετοιμάζει νά εἴμαστε ἄγρυπνοι. Ἔτσι λοιπόν καί ὁ Παῦλος προέτρεπε τούς Ἐφεσίους, ὅταν διηγόταν τήν ἀγριότητα ἐκείνου.

Ἐμεῖς ὅμως κοιμόμαστε καί ροχαλίζουμε, καί ὅλα αὐτά τή στιγμή πού ὁ πόλεμος εἶναι πρός ἕναν τέτοιο πονηρό ἐχθρό. Καί ἄν βέβαια ξέραμε πώς στό κρεββάτι μας φωλιάζει φίδι, θά προσπαθούσαμε πολύ γιά νά τό σκοτώσουμε, τώρα ὅμως πού φωλιάζει μέσα στίς ψυχές μας ὁ διάβολος, νομίζουμε πώς δέ θά πάθουμε κανένα κακό, καί μένομε ἀδιάφοροι. Καί ἡ αἰτία εἶναι, ἐπειδή δέν τόν βλέπουμε μέ τά μάτια τοῦ σώματος. Ἄν καί γι' αὐτό ἔπρεπε νά εἴμαστε ἄγρυπνοι περισσότερο καί προσεκτικοί. Γιατί ἀπό τόν αἰσθητό ἐχθρό θά μποροῦσε κανείς νά προφυλαχθεῖ εὔκολα, τόν ἀόρατο ὅμως, ἐάν δέν εἴμαστε πάντοτε ὁπλισμένοι, δέ θά μπορέσουμε εὔκολα νά τόν ξεφύγουμε, καί μάλιστα, ἐπειδή δέν συνηθίζει νά πολεμάει φανερά, καθόσον θά κρυριευόταν γρήγορα, ἀλλά πολλές φορές μέ τό πρόσχημα τῆς φιλίας χύνει τό δηλητήριο τῆς ἀγριότητας. Ἔτσι λοιπόν καί τή γυναίκα τοῦ Ἰώβ προετοίμασε, ἀφοῦ φόρεσε τό προσωπεῖο τῆς φιλοστοργίας, γιά νά δώσει τήν πονηρή

συμβουλήν. Οὕτω καὶ τῷ Ἀδὰμ διαλεγόμενος, ὑποκρίνεται τὸ κηδεμονικὸν καὶ προστατικόν, λέγων, ὅτι «ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου». Οὕτω καὶ τὸν Ἰεφθάε ἀνέπεισε προσχήματι εὐσεβείας τὴν θυγατέρα κατασφάξαι, καὶ τὴν παράνομον θυσίαν ἀνενεγκεῖν.

Εἶδες αὐτοῦ τὰς μεθοδείας; εἶδες τὸν ποικίλον πόλεμον; Φυλάττου τοίνυν, καὶ πανταχόθεν φράττου τοῖς ὅπλοις τοῖς πνευματικοῖς, καὶ καταμάνθανε τὰς ἐκείνου μηχανὰς μετὰ ἀκριβείας, ἵνα καὶ ἀνάλωτος ᾖς καὶ ἕλῃς αὐτὸν εὐκόλως. Ἐπεὶ καὶ Παῦλος οὕτως αὐτοῦ περιεγένετο, ταῦτα μετὰ ἀκριβείας καταμανθάνων· διὸ καὶ ἔλεγεν, «οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν». Καὶ ἡμεῖς τοίνυν καὶ μαθεῖν καὶ φυγεῖν τὰς ἐπιβουλὰς αὐτοῦ σπουδάσωμεν, ἵνα τὴν κατ' αὐτοῦ νίκην ἀράμενοι, καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὸν μέλλοντα ἀνακηρυχθῶμεν αἰῶνα, καὶ τῶν ἀκηράτων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13. Γεν. 3, 5.
14. Βλ. Κριτῶν 11, 29-40.
15. Β' Κορ. 2, 11.

ἐκείνη συμβουλή. Ἔτσι συζητώντας καί μέ τόν Ἀδάμ, ὑποκρίνεται πώς φροντίζει καί προστατεύει αὐτόν, λέγοντας ὅτι «θά ἀνοιχθοῦν τά μάτια σας τήν ἡμέρα πού θά φάγετε ἀπό τόν καρπό τοῦ δένδρου»[13]. Ἔτσι καί τόν Ἰεφθάε ἔπεισε μέ τό πρόσχημα τῆς εὐσεβείας νά σφάξει τή θυγατέρα του καί νά προσφέρει παράνομη θυσία[14].

Εἶδες τίς μεθοδεῖες αὐτοῦ; εἶδες τόν πολύμορφο πόλεμό του; Νά φυλάγεσαι λοιπόν, καί ἀπό παντοῦ νά ὀχυρώνεσαι μέ τά πνευματικά ὅπλα, καί νά μαθαίνεις μέ ἀκρίβεια τίς μηχανορραφίες του, γιά νά εἶσαι καί ἀπόρθητος, καί νά νικήσεις αὐτόν εὔκολα. Διότι καί ὁ Παῦλος ἔτσι τόν νίκησε, μαθαίνοντας μέ ἀκρίβεια αὐτά. Γι' αὐτό καί ἔλεγε, «γιατί δέν ἀγνοοῦμε τίς σκέψεις του»[15]. Καί ἐμεῖς λοιπόν ἄς προσπαθήσουμε νά μάθουμε καί νά ἀποφύγουμε τίς ἐπιβουλές του, ὥστε, ἀφοῦ κερδίσουμε τή νίκη ἐναντίον του, ν' ἀνακηρυχθοῦμε νικητές καί στήν παρούσα καί στή μέλλουσα ζωή, καί νά ἐπιτύχουμε τά ἄφθαρτα ἀγαθά, μέ τή χάρη καί φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα καί ἡ δύναμη, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Λ Ο Γ Ο Σ ΙΒʹ

(Ρωμ. 6,5–18)

Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα».

1. Ὅπερ καὶ ἔμπροσθεν ἔφθην εἰπών, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι εἰς τὸν ἠθικὸν συνεχῶς ἐκβαίνει λόγον, οὐχ ὥσπερ ἐν ταῖς ἄλλαις ἐπιστολαῖς, εἰς δύο διαιρῶν αὐτάς, τὸ μὲν πρῶτον τοῖς δόγμασιν ἀφορίζει, τὸ δὲ ἕτερον τῇ τῶν ἠθῶν ἐπιμελείᾳ. Ἀλλ᾽ οὐκ ἐνταῦθα οὕτως, ἀλλὰ δι᾽ ὅλης αὐτῆς ἀναμὶξ τοῦτο ποιεῖ, ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον. Δύο τοίνυν ἐνταῦθα νεκρώσεις εἶναί φησι, καὶ θανάτους δύο· καὶ τὴν μὲν ὑπὸ Χριστοῦ γεγενῆσθαι ἐν τῷ βαπτίσματι, τὴν δὲ ἐφ᾽ ἡμῶν ὀφείλειν γίνεσθαι διὰ τῆς μετὰ ταῦτα σπουδῆς. Τὸ μὲν γὰρ ταφῆναι τὰ πρότερα ἁμαρτήματα, τῆς αὐτοῦ γέγονε δωρεᾶς, τὸ δὲ μετὰ τὸ βάπτισμα μεῖναι νεκροὺς τῇ ἁμαρτίᾳ, τῆς ἡμετέρας δεῖ γενέσθαι ἔργον σπουδῆς καὶ μάλιστα πολλὰ καὶ ἐνταῦθα τὸν Θεὸν ὁρῶμεν βοηθοῦντα ἡμῖν. Οὐ γὰρ δὴ τοῦτο ἰσχύει τὸ βάπτισμα μόνον τὸ τὰ πρότερα ἀφανίσαι πλημμελήματα, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεται. Ὥσπερ οὖν ἐν ἐκείνοις τὴν πίστιν εἰσήνεγκας, ἵνα ἀφανισθῇ, οὕτω καὶ ἐν τοῖς μετὰ ταῦτα τῆς προθυμίας ἐπίδειξαι τὴν μεταβολήν, ἵνα μὴ πάλιν σαυτὸν καταρρυπάνῃς. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα συμβουλεύων φησίν· «εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα».

Εἶδες πῶς ἐπῆρε τὸν ἀκροατήν, πρὸς τὸν δεσπότην αὐτὸν εὐθέως ἀναγαγὼν τὸν αὐτοῦ, καὶ πολλὴν δεῖξαι σπουδάσας τὴν

ΟΜΙΛΙΑ ΙΒ'

(Ρωμ. 6,5 - 18)

«Γιατί ἄν γίναμε σύμφυτοι στό ὁμοίωμα τοῦ θανάτου του, ὁπωσδήποτε θά γίνουμε καί τῆς ἀναστάσεώς του».

1. Ἐκεῖνο πού εἶπα καί στήν προηγούμενη ὁμιλία, αὐτό καί τώρα θά πῶ, ὅτι δηλαδή συνέχεια καταφεύγει στόν ἠθικό λόγο, ὄχι ὅπως στίς ἄλλες ἐπιστολές του, πού, διαιρώντας αὐτές σέ δύο μέρη, τό πρῶτο τό ἀφιερώνει στά δόγματα καί τό ἄλλο στή φροντίδα γιά τά ἤθη. Ἐδῶ δέν κάνει τό ἴδιο ἀλλά σέ ὅλη τήν ἐπιστολή ἀναμειγνύει αὐτά, ὥστε νά γίνει ὁ λόγος εὔκολα παραδεκτός. Ἐδῶ λοιπόν δύο νεκρώσεις λέγει πώς ὑπάρχουν, καί δύο θάνατοι. Καί ἡ πρώτη βέβαια πώς ἔχει γίνει ἀπό τό Χριστό στό βάπτισμα, ἐνῶ ἡ ἄλλη πρέπει νά γίνεται ἀπό μᾶς μέ τήν κατοπινή προσπάθειά μας. Γιατί τό νά θαφτοῦν τά προηγούμενα ἁμαρτήματα ἦταν ἔργο τῆς δικῆς του δωρεᾶς, τό νά μείνουμε ὅμως μετά τό βάπτισμα νεκροί ὡς πρός τήν ἁμαρτία, πρέπει νά γίνει ἔργο τῆς δικῆς μας προσπάθειας, ἄν καί βλέπουμε ὅτι καί ἐδῶ πάρα πολύ μᾶς βοηθάει ὁ Θεός. Γιατί τό βάπτισμα δέν κατορθώνει αὐτό μόνο, τό νά ἐξαφανίσει τά προηγούμενα ἁμαρτήματα, ἀλλά καί μᾶς ἀσφαλίζει καί γιά τά μελλοντικά. Ὅπως ἀκριβῶς λοιπόν σ' ἐκεῖνα πρόσφερες τήν πίστη, γιά νά ἐξαφανισθοῦν, ἔτσι καί στά μελλοντικά νά δείξεις τή μεταβολή τῆς προθυμίας, γιά νά μή μολύνεις πάλι τόν ἑαυτό σου. Αὐτά λοιπόν καί τά παρόμοια συμβουλεύοντας λέγει· «γιατί, ἄν γίναμε σύμφυτοι στό ὁμοίωμα τοῦ θανάτου του, ὁπωσδήποτε θά γίνουμε καί στήν ἀνάστασή του».

Εἶδες πῶς ἐξύψωσε τόν ἀκροατή, ὁδηγώντας τον ἀμέσως πρός τόν Κύριό του καί προσπαθώντας νά δείξει μεγάλη τήν

ὁμοιότητα; Διὰ τοῦτο οὐδὲ εἶπε, 'θανάτῳ', ἵνα μὴ ἀντείπῃς, ἀλλ' «ὁμοιώματι θανάτου»· οὐ γὰρ ἡ οὐσία αὕτη ἀπέθανεν, ἀλλ' ὁ ἐξ ἁμαρτιῶν ἄνθρωπος, τουτέστιν, ἡ κακία. Καὶ οὐκ εἶπεν, 'εἰ γὰρ ἐκοινωνήσαμεν τῷ ὁμοιώματι τοῦ θανάτου', ἀλλὰ τί; «Εἰ γὰρ σύμφυτοι γεγόναμεν», τῷ τῆς φυτείας ὀνόματι τὸν ἐκ ταύτης καρπὸν ἡμῖν αἰνιξάμενος. Καθάπερ γὰρ τὸ σῶμα αὐτοῦ ταφὲν ἐν τῇ γῇ, καρπὸν τῆς οἰκουμένης τὴν σωτηρίαν ἤνεγκεν, οὕτω καὶ τὸ ἡμέτερον ταφὲν ἐν τῷ βαπτίσματι, καρπὸν ἤνηγκε τὴν δικαιοσύνην, τὸν ἁγιασμόν, τὴν υἱοθεσίαν, τὰ μυρία ἀγαθά, οἴσει δὲ καὶ τὸ τῆς ἀναστάσεως ὕστερον δῶρον. Ἐπεὶ οὖν ἡμεῖς μὲν ἐν ὕδατι, αὐτὸς δὲ ἐν γῇ, καὶ ἡμεῖς μὲν κατὰ τὸν τῆς ἁμαρτίας λόγον, ἐκεῖνος δὲ κατὰ τὸν τοῦ σώματος ἐτάφη, διὰ τοῦτο οὐκ εἶπε, 'σύμφυτοι τῷ θανάτῳ', ἀλλά, «τῷ ὁμοιώματι τοῦ θανάτου». Θάνατος μὲν γὰρ καὶ τοῦτο καὶ ἐκεῖνο, ἀλλ' οὐ τοῦ αὐτοῦ ὑποκειμένου.

Εἰ τοίνυν, φησίν, ἐν τῷ θανάτῳ ἐγενόμεθα σύμφυτοι, «καὶ τῆς ἀναστάσεως ἐσόμεθα», ἀνάστασιν ἐνταῦθα τὴν μέλλουσαν λέγων. Ἐπειδὴ γὰρ ἀνωτέρω περὶ θανάτου διαλεχθεὶς καὶ εἰπών, «ἢ ἀγνοεῖτε, ἀδελφοί, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;»[1], οὐδὲν περὶ ἀναστάσεως διελέχθη σαφῶς, ἀλλὰ περὶ πολιτείας τῆς μετὰ τὸ βάπτισμα, κελεύσας ἐν καινότητι ζωῆς περιπατῆσαι· διὰ τοῦτο ἐνταῦθα τὸν αὐτὸν ἀναλαβὼν λόγον, ἐκείνην ἡμῖν λοιπὸν προαναφωνεῖ τὴν ἀνάστασιν. Καὶ ἵνα μάθῃς, ὅτι οὐ περὶ ταύτης φησὶ τῆς ἐκ τοῦ βαπτίσματος, ἀλλὰ περὶ ἐκείνης, εἰπών, «Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ», οὐκ εἶπεν, 'ὅτι καὶ τοῦ ὁμοιώματος τῆς ἀναστάσεως ἐσόμεθα', ἀλλά, «τῆς ἀναστάσεως». Ἵνα γὰρ μὴ λέγῃς, 'καὶ πῶς, εἰ μὴ ἀπεθάνομεν ὡς ἀπέθανεν, ἀναστησόμεθα ὡς ἀνέστη;' ἡνίκα μὲν τοῦ θανάτου ἐμνημόνευσεν, οὐκ εἶπε, 'σύμφυτοι τῷ θανάτῳ', ἀλλά, «τῷ ὁμοιώματι τοῦ θανάτου», ἡνίκα δὲ τῆς ἀναστάσεως, οὐκέτι εἶπε, 'τῷ ὁμοιώματι τῆς ἀναστάσεως', ἀλλ' αὐτῆς τῆς ἀναστάσεως ἐσόμεθα. Καὶ οὐκ εἶπε, 'γεγόναμεν', ἀλλ', «ἐσόμεθα»,

1. Ρωμ. 6, 3.

ὁμοιότητα; Γι' αὐτό δέν εἶπε, 'στό θάνατο', γιά νά μήν προβάλεις ἀντίρρηση, ἀλλά, «στό ὁμοίωμα τοῦ θανάτου»· γιατί δέν πέθανε ἡ ἴδια ἡ οὐσία, ἀλλ' ὁ ἁμαρτωλός ἄνθρωπος, δηλαδή ἡ κακία. Καί δέν εἶπε, 'γιατί, ἄν γίναμε μέτοχοι στό ὁμοίωμα τοῦ θανάτου', ἀλλά τί; «γιατί, ἄν γίναμε σύμφυτοι», ὑπονοώντας μέ τή λέξη φύτευμα τόν καρπό πού προέρχεται ἀπ' αὐτό γιά μᾶς. Γιατί, ὅπως ἀκριβῶς τό σῶμα του, ἀφοῦ θάφτηκε στή γῆ, ἔφερε σάν καρπό τή σωτηρία τῆς οἰκουμένης, ἔτσι καί τό δικό μας, ἀφοῦ θάφτηκε στό βάπτισμα, ἔφερε σάν καρπό τή δικαίωση, τόν ἁγιασμό, τήν υἱοθεσία, τά ἄπειρα ἀγαθά, θά φέρει δέ καί τό τελευταῖο δῶρο, τό τῆς ἀναστάσεως. Ἐπειδή λοιπόν ἐμεῖς θαφτήκαμε στό νερό, ἐνῶ αὐτός στή γῆ, καί ἐμεῖς ὡς πρός τήν ἁμαρτία, ἐνῶ ἐκεῖνος ὡς πρός τό σῶμα, γι' αὐτό δέν εἶπε, σύμφυτοι στό θάνατο, ἀλλά, «στό ὁμοίωμα τοῦ θανάτου». Γιατί καί τό ἕνα καί τό ἄλλο εἶναι θάνατος, ὄχι ὅμως τοῦ ἴδιου πράγματος.

Ἐάν λοιπόν, λέγει, στό θάνατο γίναμε σύμφυτοι, «καί στήν ἀνάσταση θά γίνουμε», ἐννοώντας ἐδῶ ἀνάσταση τή μελλοντική. Γιατί, ἀφοῦ παραπάνω μιλώντας γιά τό θάνατο καί λέγοντας, «ἤ δέν ξέρετε, ἀδελφοί, ὅτι ὅσοι βαπτισθήκαμε στό Χριστό, βαπτισθήκαμε στό θάνατό του;»[1], δέν ἀνέφερε τίποτε καθαρά γιά τήν ἀνάσταση, ἀλλά γιά τόν τρόπο ζωῆς μας μετά τό βάπτισμα, προτρέποντας νά συμμορφώσουμε τή διαγωγή μας στίς ἀπαιτήσεις τῆς νέας ζωῆς, γι' αὐτό ἀναφέροντας ἐδῶ τόν ἴδιο λόγο, μᾶς προαναγγέλλει πλέον ἐκείνη τήν ἀνάσταση. Καί γιά νά μάθεις, ὅτι δέν ὁμιλεῖ γι' αὐτή τήν ἀνάσταση ἀπό τό βάπτισμα, ἀλλά γιά ἐκείνη, ἀφοῦ εἶπε, «γιατί, ἄν γίναμε σύμφυτοι στό ὁμοίωμα τοῦ θανάτου του», δέν εἶπε, ὅτι 'θά γίνουμε σύμφυτοι καί στό ὁμοίωμα τῆς ἀναστάσεώς του', ἀλλά, «στήν ἀνάστασή του». Γιά νά μή λέγεις λοιπόν, καί πῶς, ἀφοῦ δέ πεθάναμε ὅπως πέθανε, θά ἀναστηθοῦμε ὅπως ἀναστήθηκε; ὅταν ἀνέφερε τό θάνατο, δέν εἶπε, 'σύμφυτοι στό θάνατο', ἀλλά, «στό ὁμοίωμα τοῦ θανάτου»· ὅταν ὅμως ἀνέφερε τήν ἀνάσταση, δέν εἶπε πιά, 'στό ὁμοίωμα τῆς ἀναστάσεως', ἀλλά, θά γίνουμε σύμφυτοι στήν ἴδια τήν ἀνάστασή του. Καί δέν εἶπε, 'γίναμε', ἀλλά «θά γίνουμε», καί μέ αὐτή τή λέξη δηλώνοντας

καὶ τούτῳ πάλιν τῷ ῥήματι δηλῶν ἐκείνην τήν οὐδέπω γεγενημένην ἀνάστασιν, ἀλλὰ μέλλουσαν.

2. Εἶτα βουλόμενος ἀξιόπιστον ποιῆσαι τὸν λόγον, δείκνυσιν ἑτέραν ἀνάστασιν ἐνταῦθα γενομένην πρὸ ἐκείνης, ἵνα ἀπὸ τῆς παρούσης καὶ τῇ μελλούσῃ πιστεύσῃς. Εἰπὼν γάρ, ὅτι «σύμφυτοι ἐσόμεθα τῆς ἀναστάσεως», ἐπήγαγε· «τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας», ὁμοῦ καὶ αἰτίαν καὶ ἀπόδειξιν τῆς μελλούσης τιθεὶς ἀναστάσεως. Καὶ οὐκ εἶπεν, 'ἐσταύρωται', ἀλλά, «συνεσταύρωται», ἐγγὺς ἄγων τὸ βάπτισμα τῷ σταυρῷ. Διὸ καὶ ἀνωτέρω ἔλεγε, «σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ γεγόναμεν». «Ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας», οὐ τὸ σῶμα τοῦτο οὕτω καλῶν, ἀλλὰ τὴν πονηρίαν ἅπασαν. Ὥσπερ γὰρ ἄνθρωπον παλαιὸν λέγει τὴν ὁλόκληρον κακίαν, οὕτω καὶ τὸ σῶμα τοῦ ἀνθρώπου ἐκείνου τὴν ἀπὸ διαφόρων μερῶν πονηρίας συγκειμένην πάλιν κακίαν.

Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, αὐτοῦ τοῦ Παύλου τοῦτο αὐτὸ διὰ τῶν ἑξῆς ἑρμηνεύοντος ἄκουσον. Εἰπὼν γάρ, «ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας», ἐπήγαγε· «τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ». Ταύτῃ γὰρ αὐτὸ εἶναι βούλομαι νεκρόν, οὐχ ὥστε ἀφανισθῆναι καὶ ἀποθανεῖν, ἀλλ' ὥστε μὴ ἁμαρτάνειν. Καὶ προϊὼν ἔτι σαφέστερον αὐτὸ ποιεῖ. «Ὁ γὰρ ἀποθανών», φησί, «δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας». Περὶ παντὸς ἀνθρώπου τοῦτό φησιν, ὅτι ὥσπερ ὁ ἀποθανὼν ἀπήλλακται τοῦ λοιπὸν ἁμαρτάνειν, νεκρὸς κείμενος, οὕτω καὶ τὸν ἀναβάντα ἀπὸ τοῦ βαπτίσματος, ἐπειδήπερ ἅπαξ ἀπέθανεν ἐκεῖ, νεκρὸν δεῖ μένειν διαπαντὸς τῇ ἁμαρτίᾳ. Εἰ τοίνυν ἀπέθανες ἐν τῷ βαπτίσματι, μένε νεκρός· καὶ γὰρ ἕκαστος ἀποθανών, οὐκέτι ἁμαρτάνειν δύνατ' ἄν· εἰ δὲ ἁμαρτάνεις, λυμαίνῃ τοῦ Θεοῦ τὴν δωρεάν. Ἀπαιτήσας τοίνυν τοσαύτην ἡμᾶς φιλοσοφίαν, καὶ τὸν στέφανον ἐπάγει ταχέως, λέγων· «εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ». Καίτοι καὶ τοῦτο πρὸ τοῦ στεφάνου μέ-

πάλι ἐκείνη τήν ἀνάσταση πού δέν ἔγινε ἀκόμη, ἀλλά πρόκειται νά γίνει.

2. Ἔπειτα, θέλοντας νά κάνει ἀξιόπιστο τό λόγο, δείχνει πώς ἔγινε ἐδῶ ἄλλη ἀνάσταση πρίν ἀπό ἐκείνη, ὥστε ἀπό τήν παρούσα νά πιστέψεις καί στή μελλοντική. Γιατί, ἀφοῦ εἶπε, ὅτι θά γίνουμε σύμφυτοι στήν ἀνάσταση, πρόσθεσε· «γνωρίζοντας αὐτό, ὅτι ὁ παλαιός μας ἄνθρωπος σταυρώθηκε μαζί μέ τό Χριστό, γιά νά καταργηθεῖ τό σῶμα τῆς ἁμαρτίας», ἀναφέροντας μαζί καί τήν αἰτία καί τήν ἀπόδειξη τῆς μελλοντικῆς ἀναστάσεως. Καί δέν εἶπε, 'ἔχει σταυρωθεῖ', ἀλλά, «ἔχει σταυρωθεῖ μαζί», φέροντας τό βάπτισμα κοντά στό σταυρό. Γι' αὐτό καί παραπάνω ἔλεγε, «Γίναμε σύμφυτοι στό ὁμοίωμα τοῦ θανάτου του». «Γιά νά καταργηθεῖ τό σῶμα τῆς ἁμαρτίας», καλώντας ἔτσι ὄχι αὐτό τό σῶμα, ἀλλά κάθε πονηρία. Γιατί, ὅπως ἀκριβῶς ὀνομάζει ἄνθρωπο παλαιό ὁλόκληρη τήν κακία, ἔτσι καί σῶμα τοῦ ἀνθρώπου αὐτοῦ ὀνομάζει πάλι τήν κακία πού ἀποτελεῖται ἀπό τά διάφορα εἴδη τῆς πονηρίας.

Καί ὅτι ὁ λόγος αὐτός δέν εἶναι ἁπλή σκέψη, ἄκουσε τόν ἴδιο τόν Παῦλο πού ἑρμηνεύει αὐτό τό ἴδιο ἀκριβῶς μέ τά ἑπόμενα. Γιατί, ἀφοῦ εἶπε, «γιά νά καταργηθεῖ τό σῶμα τῆς ἁμαρτίας», πρόσθεσε· «ὥστε νά μήν εἴμαστε πιά δοῦλοι στήν ἁμαρτία». Θέλω λοιπόν τό σῶμα νά εἶναι νεκρό ὡς πρός τήν ἁμαρτία, ὄχι γιά νά καταστραφεῖ καί νά πεθάνει, ἀλλά γιά νά μήν ἁμαρτάνει. Καί προχωρώντας τό κάνει σαφέστερο αὐτό. «Γιατί ὅποιος πέθανε», λέγει, «ἔχει σταματήσει ἀπό τό νά ἁμαρτάνει». Γιά κάθε ἄνθρωπο τό λέγει αὐτό, γιατί, ὅπως ἀκριβῶς ὁ πεθαμένος ἔχει ἐλευθερωθεῖ πλέον ἀπό τό νά ἁμαρτάνει, ἀφοῦ εἶναι νεκρός, ἔτσι καί ἐκεῖνος πού βαπτίσθηκε, ἐπειδή δηλαδή μιά φορά πέθανε στό βάπτισμα, πρέπει νά παραμένει πάντοτε νεκρός ὡς πρός τήν ἁμαρτία. Ἐάν λοιπόν πέθανες στό βάπτισμα, νά παραμένεις νεκρός, γιατί πραγματικά κάθε πεθαμένος δέν μπορεῖ πιά νά ἁμαρτάνει· ἐάν ὅμως ἁμαρτάνεις, καταστρέφεις τή δωρεά τοῦ Θεοῦ. Ἀφοῦ ζήτησε λοιπόν ἀπό μᾶς τόσο μεγάλη ἐγκράτεια, προσθέτει γρήγορα καί τό βραβεῖο, λέγοντας· «ἐάν ὅμως πεθάναμε μαζί μέ τό Χριστό». Ἄν

γιστος στέφανος, τὸ κοινωνῆσαι τῷ δεσπότῃ, πλὴν ἀλλὰ καὶ ἕτερον δίδωμι, φησίν, ἔπαθλον. Ποῖον δὴ τοῦτο; Τὴν αἰώνιον ζωήν. «Πιστεύομεν», γὰρ φησίν, «ὅτι καὶ συζήσομεν αὐτῷ».

Καὶ πόθεν τοῦτο δῆλον; «Ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει». Καὶ σκόπει πάλιν αὐτοῦ τὴν φιλονεικίαν, καὶ πῶς ἀπὸ τῶν ἐναντίων αὐτὸ κατασκευάζει. Ἐπειδὴ γὰρ εἰκὸς ἦν τινας θορυβεῖσθαι διὰ τὸν σταυρὸν καὶ τὸν θάνατον, δείκνυσιν ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν λοιπόν. Μὴ γάρ, ἐπειδὴ ἅπαξ ἀπέθανε, φησί, νομίσῃς αὐτὸν θνητὸν εἶναι· καὶ γὰρ διὰ τοῦτο αὐτὸ ἀθάνατος μένει. Θανάτου γὰρ θάνατος ὁ θάνατος αὐτοῦ γέγονε· καὶ ἐπειδὴ ἀπέθανε, διὰ τοῦτο οὐκ ἀποθνήσκει· καὶ γὰρ ἐκεῖνον τὸν θάνατον «τῇ ἁμαρτίᾳ ἀπέθανε». Τί ἐστι, «τῇ ἁμαρτίᾳ»; Τουτέστιν, οὐδὲ ἐκείνῳ ὑπεύθυνος ἦν, ἀλλὰ διὰ τὴν ἁμαρτίαν τὴν ἡμετέραν, ἵνα αὐτὴν ἀνέλῃ καὶ ἐκκόψῃ τὰ νεῦρα αὐτῆς καὶ τὴν δύναμιν ἅπασαν, διὰ τοῦτο ἀπέθανεν. Εἶδες πῶς ἐφόβησεν; Εἰ γὰρ οὐκ ἀποθνήσκει δεύτερον, οὐδὲ λουτρόν ἐστι δεύτερον· εἰ δὲ λουτρὸν οὐκ ἔστι δεύτερον, μηδὲ σὺ πρὸς ἁμαρτίαν ἐπιρρεπῶς ἔχε. Ταῦτα γὰρ πάντα λέγει, πρὸς ἐκεῖνο ἱστάμενος τό, «ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά», καὶ τό, «ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ». Πρόρριζον τοίνυν τὴν τοιαύτην ὑπόληψιν ἀναιρῶν, ἅπαντα ταῦτα τίθησιν.

«Ὃ δὲ ζῇ, τῷ Θεῷ ζῇ», φησί· τουτέστιν, ἀκαταλύτως, ὡς μηκέτι κρατεῖσθαι ὑπὸ τοῦ θανάτου. Εἰ γὰρ καὶ τὸν πρότερον θάνατον οὐχ ὑπεύθυνος ὢν ἀπέθανεν, ἀλλὰ διὰ τὴν ἑτέρων ἁμαρτίαν, πολλῷ μᾶλλον νῦν οὐκ ἀποθανεῖται, καταλύσας αὐτήν. Ὃ καὶ ἐν τῇ πρὸς Ἑβραίους ἔλεγεν· «ἅπαξ» γὰρ φησίν, «ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. Καὶ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας,

καί αὐτό εἶναι πολύ μεγάλη τιμή πρίν ἀπό τό βραβεῖο, τό ὅτι δηλαδή ἔγινες συμμέτοχος μέ τόν Κύριο, ἀλλ' ὅμως σοῦ δίνω, λέγει, καί ἄλλο ἔπαθλο. Ποιό λοιπόν εἶναι αὐτό; Ἡ αἰώνια ζωή. «Γιατί πιστεύουμε», λέγει, «ὅτι καί θά ζήσουμε μαζί του».

Καί ἀπό ποῦ φαίνεται αὐτό; «Γνωρίζοντας ὅτι ὁ Χριστός, ἀφοῦ ἀναστήθηκε ἀπό τούς νεκρούς, δέν πεθαίνει πιά». Καί πρόσεχε πάλι τήν προσπάθειά του καί πῶς τό ἀποδεικνύει αὐτό ἀπό τά ἀντίθετα. Ἐπειδή δηλαδή ἦταν φυσικό νά θορυβοῦνται μερικοί γιά τό σταυρό καί τό θάνατο, ἀποδεικνύει πώς γι' αὐτόν ἀκριβῶς τό λόγο πρέπει νά ἔχουμε πλέον θάρρος. Νά μή νομίσεις λοιπόν, λέγει, ἐπειδή πέθανε μιά φορά, πώς εἶναι θνητός. Γιατί πραγματικά γι' αὐτό ἀκριβῶς παραμένει ἀθάνατος. Γιατί ὁ θάνατός του ἔγινε θάνατος τοῦ θανάτου. Καί ἐπειδή πέθανε, γι' αὐτό δέν πεθαίνει, γιατί ἐκεῖνον τό θάνατο «ὡς πρός τήν ἁμαρτία πέθανε». Τί σημαίνει, «ὡς πρός τήν ἁμαρτία»; Δηλαδή, δέν ἦταν ὑπεύθυνος γιά ἐκεῖνον, ἀλλά γιά τή δική μας ἁμαρτία, γιά νά τήν καταστρέψει, νά κόψει τά νεῦρα της καί ὅλη τή δύναμή της, γι' αὐτό πέθανε. Εἶδες πῶς φόβησε; Γιατί, ἀφοῦ δέν πεθαίνει δεύτερη φορά, οὔτε δεύτερο βάπτισμα ὑπάρχει· ἀφοῦ ὅμως δέν ὑπάρχει δεύτερο βάπτισμα, οὔτε ἐσύ νά κλίνεις πρός τήν ἁμαρτία. Ὅλα αὐτά λοιπόν τά λέγει, μέ σκοπό νά σταθεῖ σ' ἐκεῖνο, στό «ἄς κάνουμε τά κακά, γιά νά ἔρθουν τά ἀγαθά», καί στό «θά ἐπιμείνουμε στήν ἁμαρτία, γιά νά πληθύνει ἡ χάρη». Ἀναιρώντας λοιπόν σύρριζα μιά τέτοια ἀντίληψη, ἀναφέρει ὅλα αὐτά.

«Τή ζωή ὅμως πού ζεῖ τώρα, τή ζεῖ γιά τό Θεό», λέγει. Δηλαδή, ἄφθαρτα, σάν νά μήν ἐξουσιάζεται πιά ἀπό τό θάνατο. Γιατί, ἄν καί τόν πρῶτο θάνατο τόν ὑπέστη χωρίς νά εἶναι ὑπεύθυνος, ἀλλά γιά τήν ἁμαρτία ἄλλων, πολύ περισσότερο δέ θά πεθάνει τώρα, ἀφοῦ τήν κατέλυσε. Αὐτό καί στήν πρός Ἑβραίους ἐπιστολή ἔλεγε· «γιατί μία φορά», λέγει, «φανερώθηκε, ὅταν ἔλαβαν τέλος οἱ χρόνοι τῆς Παλαιᾶς Διαθήκης, γιά νά ἐξαλειφθεῖ ἡ ἁμαρτία μέ τή θυσία του. Καί καθώς πρόκειται νά πεθάνουν οἱ ἄνθρωποι μία φορά, ἔτσι καί ὁ Χριστός μία φορά πέθανε, ὅταν θυσιάσθηκε γιά

ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν». Δείκνυσι δὲ καὶ τῆς κατὰ Θεὸν ζωῆς τὴν ἰσχύν, καὶ τῆς ἁμαρτίας τὴν δύναμιν· τῆς μὲν κατὰ Θεὸν ζωῆς, ὅτι οὐκέτι ἀποθανεῖται, τῆς δὲ ἁμαρτίας, ὅτι εἰ τὸν ἀναμάρτητον αὕτη παρεσκεύασεν ἀποθανεῖν, τοὺς ὑπευθύνους ὄντας πῶς οὐκ ἀπολεῖ;

3. Εἶτα, ἐπειδὴ περὶ τῆς ζωῆς διελέχθη, ἵνα μὴ λέγῃ τις, 'τί οὖν πρὸς ἡμᾶς τὸ εἰρημένον;' ἐπήγαγεν· «οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτούς», φησί, «νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ». Καλῶς εἶπε, «λογίζεσθε», ἐπειδὴ ὄψει παραστῆσαι τὸ λεγόμενον τέως οὐκ ἔστι. Καὶ τί λογισόμεθα, φησί; «Νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Ὁ γὰρ οὕτω ζῶν πάσης ἐπιλήψεται ἀρετῆς, αὐτὸν ἔχων σύμμαχον τὸν Ἰησοῦν· τοῦτο γάρ ἐστιν, «ἐν Χριστῷ». Εἰ γὰρ νεκροὺς ὄντας ἀνέστησε, πολλῷ μᾶλλον ζῶντας κατασχεῖν δυνήσεται. «Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ». Οὐκ εἶπε, 'μὴ οὖν ζήτω ἡ σάρξ, μηδὲ ἐνεργείτω', ἀλλ' «ἡ ἁμαρτία μὴ βασιλευέτω»· οὐ γὰρ τὴν φύσιν ἦλθεν ἀνελεῖν ἀλλὰ τὴν προαίρεσιν διορθῶσαι. Εἶτα δεικνύς, ὅτι οὐ βίᾳ καὶ ἀνάγκῃ κατεχόμεθα ὑπὸ τῆς πονηρίας, ἀλλ' ἑκόντες, οὐκ εἶπε, 'μὴ τυραννείτω', ὅπερ ἀνάγκης ἦν, ἀλλά, «μὴ βασιλευέτω». Καὶ γὰρ ἄτοπον εἰς βασιλείαν ἀγομένους οὐρανῶν, βασιλίδα τὴν ἁμαρτίαν ἔχειν, καὶ καλουμένους συμβασιλεῦσαι τῷ Χριστῷ, αἱρεῖσθαι γίνεσθαι τῆς ἁμαρτίας αἰχμαλώτους· ὥσπερ ἂν εἴ τις τὸ διάδημα ῥίψας ἀπὸ τῆς κεφαλῆς, δαιμονώσῃ γυναικὶ καὶ προσαιτούσῃ καὶ ῥάκια περιβεβλημένῃ δουλεύειν ἐθέλοι.

2. Ἑβρ. 9, 26–28.

νά βαστάξει πάνω του τίς ἁμαρτίες πολλῶν. Θά φανεῖ γιά δεύτερη φορά χωρίς ἁμαρτίες σ' ἐκείνους πού τόν περιμένουν γιά νά τούς σώσει»[2]. Δείχνει ὅμως καί τή δύναμη τῆς ζωῆς πού εἶναι σύμφωνη μέ τό θέλημα τοῦ Θεοῦ, καθώς καί τή δύναμη τῆς ἁμαρτίας. Τή δύναμη τῆς ζωῆς πού εἶναι σύμφωνη μέ τό θέλημα τοῦ Θεοῦ, ἐπειδή δέ θά πεθάνει πιά, ἐνῶ τή δύναμη τῆς ἁμαρτίας, ἐπειδή, ἄν ἔκανε αὐτή τόν ἀναμάρτητο νά πεθάνει, πῶς δέ θά καταστρέψει ἐκείνους πού εἶναι ὑπεύθυνοι γιά ἁμαρτίες;

3. Ἔπειτα, ἐπειδή μίλησε γιά τή ζωή τοῦ Χριστοῦ, γιά νά μή λέγει κανείς, τί σχέση ἔχει μ' ἐμᾶς αὐτός ὁ λόγος; πρόσθεσε· «ἔτσι καί σεῖς νά θεωρεῖτε τούς ἑαυτούς σας», λέγει, «νεκρούς ὡς πρός τήν ἁμαρτία, ζωντανούς ὅμως γιά τό Θεό». Καλά εἶπε, «νά θεωρεῖτε», ἐπειδή μέ εἰκόνα δέν εἶναι δυνατό νά παραστήσουμε τό λεγόμενο. Καί τί, λέγει, νά θεωροῦμε ; «Ὅτι εἴμαστε νεκροί ὡς πρός τήν ἁμαρτία, ζωντανοί ὅμως γιά τό Θεό, ἑνωμένοι μέ τόν Ἰησοῦ χριστό τόν Κύριό μας». Γιατί, ὅποιος ζεῖ ἔτσι θά κατορθώσει ὅλες τίς ἀρετές, ἐπειδή ἔχει σύμμαχο τόν ἴδιο τόν Ἰησοῦ· καθόσον αὐτό σημαίνει τό «ἐν Χριστῷ». Γιατί, ἄν τούς ἀνέστησε ὅταν ἦταν νεκροί, πολύ περισσότερο θά μπορέσει νά τούς κρατήσει ζωντανούς. «Ἄς μή βασιλεύει λοιπόν ἡ ἁμαρτία στό θνητό σας σῶμα, ὥστε νά ὑπακούετε σ' αὐτήν μέ τίς ἐπιθυμίες τοῦ σώματος». Δέν εἶπε, 'ἄς μή ζεῖ λοιπόν ἡ σάρκα, οὔτε νά ἐνεργεῖ', ἀλλά, «ἄς μή βασιλεύει ἡ ἁμαρτία», γιατί δέν ἦρθε νά καταστρέψει τή φύση, ἀλλά νά διορθώσει τή διάθεση. Στή συνέχεια, δείχνοντας, ὅτι δέ μᾶς κρατάει μέ τή βία καί τόν ἐξαναγκασμό ἡ πονηρία, ἀλλά μέ τή θέλησή μας, δέν εἶπε, 'νά μήν τυραννάει', πράγμα πού ἦταν ἀπόδειξη ἐξαναγκασμοῦ, ἀλλά, «νά μή βασιλεύει». Γιατί πραγματικά θά ἦταν παράλογο, ἐνῶ ὁδηγοῦνται στή βασιλεία τῶν οὐρανῶν, νά ἔχουν σάν βασίλισσα τήν ἁμαρτία, καί ἐνῶ καλοῦνται νά βασιλεύσουν μαζί μέ τό Χριστό, νά προτιμοῦν νά γίνονται αἰχμάλωτοι τῆς ἁμαρτίας. Ὅπως ἀκριβῶς θά ἦταν παράλογο, ἄν κάποιος πετώντας τό στέμμα ἀπό τό κεφάλι του, θέλει νά εἶναι δοῦλος σέ γυναίκα πού εἶναι δαιμονισμένη καί ζητιανεύει καί φοράει σχισμένα ροῦχα.

Εἶτα, ἐπειδὴ βαρὺ τὸ περιγενέσθαι ἁμαρτίας, ὅρα πῶς καὶ κοῦφον ἔδειξε, καί τὸν πόνον παρεμυθήσατο εἰπών, «ἐν τῳ θνητῳ ὑμῶν σώματι». Τοῦτο γὰρ δείκνυσι προσκαίρους ὄντας τοὺς ἀγῶνας, καὶ ταχέως καταλυομένους· ὁμοῦ δὲ καὶ τῶν προτέρων ἡμᾶς ἀναμιμνήσκει κακῶν, καὶ τῆς τοῦ θανάτου ρίζης· ἐντεῦθεν γὰρ καὶ παρὰ τὴν ἀρχὴν θνητὸν γέγονεν. Ἀλλ᾽ ἔξεστι καὶ θνητὸν ἔχοντα σῶμα, μὴ ἁμαρτάνειν. Εἶδες τὴν περιουσίαν τῆς τοῦ Χριστοῦ χάριτος; Ὁ μὲν γὰρ Ἀδὰμ οὐδέπω θνητὸν ἔχων, ὤλισθε, σὺ δὲ καὶ θανάτῳ λαβὼν ὑπεύθυνον ὄν, στεφανωθῆναι δυνήσῃ. Καὶ πῶς βασιλεύει, φησίν, ἡ ἁμαρτία; Οὐκ ἀπὸ τῆς οἰκείας δυνάμεως, ἀλλ᾽ ἀπὸ τῆς σῆς ρᾳθυμίας. Διὰ τοῦτο εἰπών, «μὴ βασιλευέτω», καὶ τὸν τρόπον δείκνυσι τῆς τοιαύτης βασιλείας, ἐπάγων καὶ λέγων, «εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ». Οὐ γάρ ἐστι τιμὴ τὸ μετ᾽ ἐξουσίας αὐτῷ πάντα χαρίζεσθαι, ἀλλ᾽ ἐσχάτη δουλεία καὶ ἀτιμίας ἐπίτασις. Ὅταν γὰρ ἃ βούλεται πράττῃ, τότε ἐλευθερίας ἐστέρηται πάσης, ὅταν δὲ κωλύηται, τότε μάλιστα τὴν οἰκείαν ἀξίαν διατηρεῖ.

«Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλ᾽ ὅπλα δικαιοσύνης». Οὐκοῦν μέσον τὸ σῶμα κακίας καὶ ἀρετῆς, καθάπερ οὖν καὶ τὰ ὅπλα· ἑκάτερα δὲ τὰ ἔργα παρὰ τὸν χρώμενον γίνεται· ὥσπερ ἂν εἰ καὶ στρατιώτης ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος, καὶ λῃστὴς κατὰ τῶν ἐνοικούντων ὁπλιζόμενος, τοῖς αὐτοῖς φράττοιντο ὅπλοις· οὐ γὰρ τῆς παντευχίας τὸ ἔγκλημα, ἀλλὰ τῶν εἰς κακὸν χρωμένων. Ὃ δὴ καὶ ἐπὶ τῆς σαρκός ἐστιν εἰπεῖν, τοῦτο κἀκεῖνο γινομένης παρὰ τὴν τῆς ψυχῆς γνώμην, οὐ παρὰ τὴν οἰκείαν φύσιν. Ἂν μὲν γὰρ περιεργάσῃ κάλλος ἀλλότριον, ὅπλον ἀδικίας γέγονεν ὁ ὀφθαλμός, οὐ παρὰ τὴν οἰκείαν ἐνέργειαν· ὀφθαλμοῦ γὰρ τὸ ὁρᾶν, οὐ τὸ κακῶς ὁρᾶν· ἀλλὰ παρὰ τὴν τοῦ κελεύσαντος λογισμοῦ πονηρίαν· ἂν δὲ χαλινώσῃς αὐτόν,

Ἔπειτα, ἐπειδή εἶναι δύσκολο νά νικήσει κανείς τήν ἁμαρτία, πρόσεχε πῶς καί εὔκολο τό ἔδειξε, καί τόν κόπο παρηγόρησε λέγοντας, «στό θνητό σας σῶμα». Γιατί αὐτό δείχνει πώς οἱ ἀγῶνες εἶναι προσωρινοί καί γρήγορα τελειώνουν. Μαζί ὅμως μᾶς θυμίζει καί τά προηγούμενα κακά καί τή ρίζα τοῦ θανάτου, γιατί ἀπό ἐδῶ ἔγινε θνητό καί ὄχι ἀπό τήν ἀρχή. Ἀλλ' εἶναι δυνατό, καί θνητό ἀκόμη νά ἔχεις σῶμα, καί νά μήν ἁμαρτάνεις. Εἶδες τήν ἀφθονία τῆς χάριτος τοῦ Χριστοῦ; Γιατί ὁ Ἀδάμ, ἄν καί δέν εἶχε ἀκόμη θνητό σῶμα, ἔπεσε, ἐνῶ σύ, ἄν καί τό ἔλαβες νά εἶναι ὑπεύθυνο στό θάνατο, θά μπορέσεις νά στεφανωθεῖς. Καί πῶς, λέγει, βασιλεύει ἡ ἁμαρτία; Ὄχι ἀπό τή δική της δύναμη, ἀλλ' ἀπό τή δική σου ἀδιαφορία. Γι' αὐτό, ἀφοῦ εἶπε, «νά μή βασιλεύει», δείχνει καί τόν τρόπο αὐτῆς τῆς βασιλείας, προσθέτοντας καί λέγοντας, «ὥστε νά ὑπακούετε σ' αὐτή μέ τίς ἐπιθυμίες τοῦ σώματος». Γιατί δέν εἶναι τιμή τό νά ὑποχωροῦμε ἐλεύθερα σ' ὅλες τίς ἐπιθυμίες του, ἀλλ' εἶναι ἡ χειρότερη δουλεία καί αὔξηση τῆς περιφρονήσεως. Γιατί, ὅταν κάνει αὐτά πού θέλει, τότε στερήθηκε κάθε ἐλευθερία, ὅταν ὅμως ἐμποδίζεται, τότε κυρίως διατηρεῖ τή δική του ἀξία.

4. «Οὔτε νά καθιστᾶτε τά μέλη σας ὅπλα τῆς ἀδικίας στήν ἁμαρτία, ἀλλ' ὅπλα τῆς ἀρετῆς». Ἐπομένως τό σῶμα βρίσκεται μεταξύ κακίας καί ἀρετῆς, ὅπως ἀκριβῶς βέβαια καί τά ὅπλα. Καί τά δύο τά ἔργα γίνονται ἀπό ἐκεῖνον πού τά χρησιμοποιεῖ. Ὅπως καί ὁ στρατιώτης, ὅταν ἀγωνίζεται γιά τήν πατρίδα του, καί ὁ ληστής, ὅταν ὁπλίζεται ἐναντίον τῶν κατοίκων, προφυλάσσονται μέ τά ἴδια ὅπλα. Γιατί τό ἔγκλημα δέν εἶναι ἔργο τῆς πανοπλίας, ἀλλ' ἐκείνων πού τή χρησιμοποιοῦν γιά νά κάνουν τό κακό. Αὐτό βέβαια εἶναι δυνατό νά τό ποῦμε καί στήν περίπτωση τῆς σάρκας, πού γίνεται αὐτό ἤ ἐκεῖνο σύμφωνα μέ τή διάθεση τῆς ψυχῆς, ὄχι σύμφωνα μέ τή δική της φύση. Γιατί τό μάτι, ἄν περιεργασθεῖ ξένη ὀμορφιά, ἔγινε ὅπλο τῆς ἀδικίας, ὄχι σύμφωνα μέ τή δική του ἐνέργεια, γιατί ἔργο τοῦ ματιοῦ εἶναι τό νά βλέπει, ὄχι τό νά βλέπει κακῶς, ἀλλά σύμφωνα μέ τήν πονηρία τῆς σκέψεως πού τό διέταξε. Ἐάν ὅμως τό συγκρατήσεις, ἔγινε ὅπλο ἀρετῆς. Ἔτσι γί-

δικαιοσύνης γέγονεν ὅπλον. Οὕτω καὶ ἐπὶ γλώττης, οὕτω καὶ ἐπὶ χειρῶν καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. Καλῶς δὲ τὴν ἁμαρτίαν ἀδικίαν ἐκάλεσεν· ἢ γὰρ ἑαυτόν τις, ἢ τὸν πλησίον ἁμαρτάνων ἀδικεῖ, μᾶλλον δὲ ἑαυτὸν πρὸ τοῦ πλησίον.

Ἀπαγαγὼν τοίνυν τῆς πονηρίας, ἄγει πρὸς τὴν ἀρετήν, λέγων· «ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας». Ὅρα πῶς ἀπὸ τῶν ὀνομάτων γυμνῶν προτρέπει, ἐκεῖ μὲν ἁμαρτίαν εἰπών, ἐνταῦθα δὲ τὸν Θεόν. Δείξας γὰρ ὅσον τὸ μέσον τῶν βασιλευόντων, πάσης συγγνώμης τὸν στρατιώτην ἐξέβαλε, τὸν ἀφέντα μὲν τὸν Θεόν, ἐπιθυμήσαντα δὲ ὑπὸ τῇ τῆς ἁμαρτίας τάττεσθαι βασιλείᾳ. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς τοῦτο κατασκευάζει λέγων, «ὡς ἐκ νεκρῶν ζῶντας». Διὰ γὰρ τούτων δείκνυσι κἀκείνης τὴν λύμην, καὶ τῆς τοῦ Θεοῦ δωρεᾶς τὸ μέγεθος. Ἐννοήσατε γάρ, φησί, τίνες ἦτε, καὶ τί γεγόνατε. Τίνες οὖν ἦτε; Νεκροὶ καὶ ἀπολωλότες ἀπώλειαν οὐδαμόθεν διορθωθῆναι δυναμένην· οὐδὲ γὰρ ἦν τις ὁ βοηθῆσαι δυνάμενος. Καὶ τίνες ἐξ ἐκείνων γεγόνατε τῶν νεκρῶν; Ζῶντες ζωὴν ἀθάνατον. Καὶ διὰ τίνος; Διὰ τοῦ πάντα δυναμένου Θεοῦ. Οὐκοῦν καὶ ὑπὸ τούτῳ τάττεσθαι δίκαιον μετὰ προθυμίας τοσαύτης, μεθ' ὅσης εἰκὸς τοὺς ἀπὸ νεκρῶν ζῶντας γενομένους.

«Καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης». Οὐκοῦν οὐ πονηρὸν τὸ σῶμα, εἴγε ὅπλον δικαιοσύνης αὐτὸ γενέσθαι δυνατόν. Ὅπλον δὲ εἰπών, ἐδήλωσεν, ὅτι καὶ πόλεμος ἐφέστηκε χαλεπός. Διὸ καὶ παντευχίας ἡμῖν δεῖ ἰσχυρᾶς, καὶ γνώμης γενναίας καὶ τὰ τῶν πολέμων τούτων ἐπισταμένης καλῶς, καὶ πρό γε πάντων στρατηγοῦ. Ἀλλ' ὁ μὲν στρατηγὸς παρέστηκεν, ἀεὶ πρὸς συμμαχίαν ἕτοιμος ὤν, καὶ ἀχείρωτος μένων, καὶ τὰ ὅπλα δὲ ἰσχυρὰ κατεσκεύασεν ἡμῖν, δεῖ δὲ λοιπὸν προαιρέσεως τῆς εἰς δέον αὐτὰ μεταχειριζομένης, ὥστε καὶ τῷ στρατηγῷ πείθεσθαι καὶ τὰ ὅπλα ὑπὲρ τῆς πα-

νεται καί μέ τή γλώσσα, ἔτσι καί μέ τά χέρια καί μέ ὅλα τά ἄλλα μέλη. Σωστά ὅμως ὀνόμασε ἀδικία τήν ἁμαρτία. Γιατί κανείς ἤ τόν ἑαυτό του ἀδικεῖ ἤ τόν πλησίον του ὅταν ἁμαρτάνει, ἤ καλύτερα τόν ἑαυτό του πρίν ἀπό τόν πλησίον του.

Ἀφοῦ ἀπομάκρυνε λοιπόν ἀπό τήν κακία, ὁδηγεῖ πρός τήν ἀρετή, λέγοντας· «ἀλλά νά προσφέρετε τούς ἑαυτούς σας στό Θεό, σάν ἄνθρωποι πού ἀναστηθήκατε ἀπό τούς νεκρούς καί λάβατε ζωή». Πρόσεχε πῶς προτρέπει μόνο ἀπό ἁπλές ὀνομασίες, ἀναφέροντας ἐκεῖ τήν ἁμαρτία, ἐνῶ ἐδῶ τό Θεό. Γιατί, ἀφοῦ ἔδειξε πόση εἶναι ἡ διαφορά ἐκείνων πού βασιλεύουν, στέρησε ἀπό κάθε συγγνώμη τό στρατιώτη πού ἐγκατέλειψε τό Θεό, καί θέλησε νά βρίσκεται κάτω ἀπό τήν ἐξουσία τῆς ἁμαρτίας. Ὄχι μόνο ἔτσι, ἀλλά καί μέ τά ἑπόμενα τό ἀποδεικνύει αὐτό λέγοντας· «σάν ἄνθρωποι πού ἀπό τούς νεκρούς λάβατε ζωή». Διότι μέ τά λόγια αὐτά δείχνει καί τή βλάβη τῆς ἁμαρτίας, καί τό μέγεθος τῆς δωρεᾶς τοῦ Θεοῦ. Σκεφθεῖτε λοιπόν, λέγει, ποιοί ἤσαστε, καί τί γίνατε. Ποιοί λοιπόν ἤσαστε; Νεκροί καί τέτοια ἦταν ἡ ἀπώλειά σας, πού δέν μποροῦσε μέ τίποτε νά διορθωθεῖ, γιατί δέν ὑπῆρχε κανένας πού μποροῦσε νά σᾶς βοηθήσει. Καί ποιοί γίνατε ἀπό ἐκείνους τούς νεκρούς πού ἤσαστε; Ἄνθρωποι πού ζεῖτε ζωή ἀθάνατη. Καί μέ τή βοήθεια τίνος; Μέ τή βοήθεια τοῦ Θεοῦ πού μπορεῖ τά πάντα. Ἑπομένως εἶναι δίκαιο νά εἶστε κάτω ἀπό τίς διαταγές του μέ τόση προθυμία, μέ ὅση εἶναι φυσικό νά βρίσκονται ἐκεῖνοι πού ἀπό νεκροί ἔγιναν ζωντανοί.

«Καί τά μέλη σας ὅπλα τῆς ἀρετῆς». Ἑπομένως τό σῶμα δέν εἶναι κακό, ἐφόσον εἶναι δυνατό νά γίνει ὅπλο τῆς ἀρετῆς. Λέγοντας ὅμως ὅπλο, φανέρωσε, ὅτι καί φοβερός πόλεμος βρίσκεται μπροστά μας. Γι' αὐτό καί πανοπλία ἰσχυρή μᾶς χρειάζεται καί διάθεση γενναία, καί νά γνωρίζουμε καλά τά πράγματα τῶν πολέμων αὐτῶν, καί πρίν ἀπ' ὅλα βέβαια στρατηγός. Ἀλλ' ὁ στρατηγός εἶναι παρών, ἕτοιμος πάντοτε γιά συμμαχία, καί μένοντας ἀπόρθητος, καί τά ὅπλα τά κατασκεύασε ἰσχυρά γιά μᾶς. Χρειάζεται ὅμως στή συνέχεια διάθεση πού νά χρησιμοποιεῖ αὐτά ὅπως πρέπει, ὥστε καί στό στρατηγό νά ὑπακούει καί τά ὅπλα νά παίρνει γιά τή

τρίδος τίθεσθαι.

5. *Παρακελευσάμενος τοίνυν ἡμῖν οὕτω μεγάλα, καὶ ὅπλων καὶ μάχης καὶ πολέμων ἀναμνήσας, ὅρα πῶς πάλιν θαρρύνει τὸν στρατιώτην, καὶ ἀλείφει τὴν προθυμίαν, λέγων· «ἁμαρτία γὰρ ὑμῶν οὐκέτι κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλὰ ὑπὸ χάριν. Εἰ οὖν ἁμαρτία ἡμῶν οὐκέτι κυριεύει, τίνος ἕνεκεν τοσαῦτα παρεγγυᾷς, λέγων, «μὴ βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι», καί, «μὴ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ»; Τί οὖν ἐστι τὸ λεγόμενον; Σπερματικόν τινα προκαταβάλλεται λόγον ἐνταῦθα, ὃν ὕστερον ἀναπτύσσειν μέλλει, καὶ μετὰ πολλῆς ἐργάζεσθαι τῆς κατασκευῆς. Τίς οὖν ἐστιν οὗτος ὁ λόγος; Τὸ σῶμα ἡμῶν πρὸ μὲν τῆς τοῦ Χριστοῦ παρουσίας εὐχείρωτον ἦν τῇ ἁμαρτίᾳ. Μετὰ γὰρ τὸν θάνατον καὶ πολὺς παθῶν ἐπεισῆλθεν ἑσμός· διόπερ οὐδὲ σφόδρα κοῦφον ἦν πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς δρόμον. Οὔτε γὰρ πνεῦμα παρῆν τὸ βοηθοῦν, οὔτε βάπτισμα τὸ νεκρῶσαι δυνάμενον· ἀλλ' ὥσπερ τις ἵππος δυσήνιος, ἔτρεχε μέν, διημάρτανε δὲ πολλάκις, τοῦ νόμου τὰ πρακτέα καὶ τὰ μὴ τοιαῦτα διαγορεύοντος μέν, πλέον δὲ οὐδὲν τῆς διὰ τῶν ρημάτων παραινέσεως τοῖς ἀγωνιζομένοις εἰσφέροντος.*

Ἐπειδὴ δὲ ὁ Χριστὸς παραγέγονε, τὰ παλαίσματα λοιπὸν εὐκολώτερα γέγονε. Διὸ καὶ μείζονα ἡμῖν προετέθη τὰ σκάμματα, ἅτε μείζονος μετεσχηκόσι τῆς βοηθείας. Διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς σαφέστερον λέγει, τέως δὲ αὐτὸ αἰνίττεται διὰ βραχέων ἐνταῦθα, δεικνὺς ὅτι ἐὰν μὴ σφόδρα ἑαυτοὺς ὑποκατακλίνωμεν, οὐ περιέσται ἡμῶν ἡ ἁμαρτία. Οὐ γάρ ἐστι νόμος ὁ κελεύων μόνον, ἀλλὰ καὶ χάρις ἡ καὶ τὰ πρότερα ἀφεῖσα, καὶ πρὸς τὰ μέλλοντα ἀσφαλιζομένη. Ἐκεῖνος μὲν γὰρ μετὰ τοὺς πόνους τοὺς στεφάνους ἐπηγγέλλετο, αὕτη δὲ πρότερον ἐστεφάνωσε,

3. Ματθ. 5, 20.

σωτηρία τῆς πατρίδας.

5. Ἀφοῦ μᾶς παράγγειλε λοιπόν τόσο μεγάλα, καί μᾶς θύμισε ὅπλα καί μάχη καί πολέμους, πρόσεχε πάλι πῶς δίνει θάρρος στό σρατιώτη καί προετοιμάζει τήν προθυμία, λέγοντας· «Γιατί ἡ ἁμαρτία δέ θά σᾶς κυριεύσει πιά, ἀφοῦ δέν εἶστε κάτω ἀπό τό νόμο, ἀλλά κάτω ἀπό τή χάρη». Ἐάν λοιόν ἡ ἁμαρτία δέ μᾶς κυριεύει πιά, γιά ποιό λόγο διατάσσεις τόσα πολλά, λέγοντας· «νά μή βασιλεύει ἡ ἁμαρτία στό θνητό σας σῶμα», καί, «νά μήν καθιστᾶτε τά μέλη σας ὅπλα τῆς ἀδικίας στήν ἁμαρτία»; Τί λοιπόν σημαίνει τό λεγόμενο; Σάν σπέρμα ρίχνει προκαταβολικά κάποιο λόγο ἐδῶ, πού πρόκειται ν' ἀναπτύξει ἀργότερα καί τόν προετοιμάζει πολύ. Ποιός λοιπόν εἶναι αὐτός ὁ λόγος; Τό σῶμα μας πρίν ἀπό τήν παρουσία τοῦ Χριστοῦ ἦταν εὐάλωτο στήν ἁμαρτία. Μετά ὅμως ἀπό τό θάνατο προστέθηκαν πάρα πολλά πάθη. Γι' αὐτό ἀκριβῶς δέν ἦταν πολύ ἐλαφρός ὁ δρόμος τῆς ἀρετῆς. Γιατί οὔτε τό ἅγιο Πνεῦμα παραβρισκόταν να βοηθήσει, οὔτε τό βάπτισμα πού μποροῦσε νά τό νεκρώσει. Ἀλλά σάν κάποιο ἀτίθασο ἄλογο, ἔτρεχε βέβαια, πολλές φορές ὅμως ἔκαμνε σφάλματα, ἐνῶ ὁ νόμος ὅριζε ἐκεῖνα πού ἔπρεπε νά γίνονται καί ἐκεῖνα πού δέν ἔπρεπε, ἀλλά δέν πρόσφερνε σ' αὐτούς πού ἀγωνίζονταν τίποτε περισσότερο ἀπό τή συμβουλή μέ τά λόγια.

Ὅταν ὅμως ἦρθε ὁ Χριστός, οἱ ἀγῶνες στή συνέχεια ἔγιναν πιό εὔκολοι. Γι' αὐτό καί μεγαλύτερες δοκιμασίες τοποθετήθηκαν μπροστά μας, ἐπειδή παίρνουμε μεγαλύτερη βοήθεια. Γι' αὐτό καί ὁ Χριστός ἔλεγε· «ἐάν ἡ ἀρετή σας δέν περισσέψει περισσότερο ἀπό τήν ἀρετή τῶν γραμματέων καί τῶν Φαρισαίων, δέ θά μπεῖτε στή βασιλεία τῶν οὐρανῶν»[3]. Ἀλλ' αὐτό τό λέγει πιό καθαρά στά ἑπόμενα, ἐνῶ τώρα τό ὑπαινίσσεται μέ λίγα λόγια ἐδῶ, δείχνοντας πώς, ἄν δέν ταπεινώσουμε τούς ἑαυτούς μας πάρα πολύ, δέ θά μᾶς νικήσει ἡ ἁμαρτία. Γιατί δέν ὑπάρχει ὁ νόμος πού προτρέπει μόνο, ἀλλά καί ἡ χάρη, πού καί τά προηγούμενα συγχώρησε καί γιά τά μελλοντικά ἐξασφαλίζει. Γιατί ἐκεῖνος ὑποσχόταν ὕστερα ἀπό τούς κόπους τά στεφάνια, ἐνῶ αὐτή πρῶτα στεφάνωσε καί τότε

καὶ τότε εἰς τοὺς ἀγῶνας εἵλκυσεν. Ἐμοὶ δὲ δοκεῖ οὐδὲ πάντα τὸν βίον τοῦ πιστοῦ ἐνταῦθα αἰνίττεσθαι, ἀλλὰ σύγκρισιν βαπτίσματος ποιεῖσθαι καὶ νόμου· ὅπερ καὶ ἀλλαχοῦ φησιν, ὅτι «τὸ μὲν γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ». Ὁ μὲν γὰρ νόμος ἐλέγχει τὴν παράβασιν, ἡ δὲ χάρις λύει τὴν παράβασιν. Ὥσπερ οὖν ἐκεῖνος ἐλέγχων συνίστησι τὴν ἁμαρτίαν, οὕτως αὕτη συγχωροῦσα οὐκ ἀφίησιν εἶναι ὑπὸ ἁμαρτίαν· ὥστε διπλῇ τῆς τυραννίδος εἶ ταύτης ἀπηλλαγμένος, τῷ τε μὴ ὑπὸ νόμον εἶναι, καὶ τῷ χάριτος ἀπολελαυκέναι.

6. *Ἐπειδὴ τοίνυν τούτοις ἀναπνεῦσαι πεποίηκε τὸν ἀκροατήν, ἀσφαλίζεται πάλιν αὐτόν, ἐξ ἀντιθέσεως παραίνεσιν εἰσάγων, καὶ λέγων οὕτω· «τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμεν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο». Πρῶτον μὲν γὰρ τῇ ἀπαγορεύσει, διὰ τὸ σφόδρα ἄτοπον εἶναι τὸ λεγόμενον, κέχρηται, ἔπειτα δὲ καὶ εἰς παραίνεσιν ἐξάγει τὸν λόγον, καὶ δείκνυσι πολλὴν οὖσαν τὴν εὐκολίαν τῶν ἀγώνων, οὕτω λέγων· «οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;». Οὔπω λέγω τὴν γέενναν, φησίν, οὐδὲ τὴν πολλὴν ἐκείνην κόλασιν, ἀλλὰ τὴν ἐνταῦθα αἰσχύνην, ὅταν δοῦλοι γίνησθε, καὶ ἑκόντες δοῦλοι, καὶ ἁμαρτίας δοῦλοι, καὶ ἐπὶ τοιούτῳ μισθῷ, ὥστε πάλιν ἀποθανεῖν. Εἰ γὰρ πρὸ τοῦ βαπτίσματος θάνατον εἰργάσατο σωματικόν, καὶ τοσαύτης ἐδεήθη τῆς θεραπείας τὸ ἕλκος, ὥστε τὸν δεσπότην ἁπάντων εἰς θάνατον κατελθεῖν, καὶ οὕτω λῦσαι τὸ κακόν, μετὰ τὴν τοσαύτην δωρεὰν καὶ ἐλευθερίαν λαμβάνουσά σε ἑκόντα αὐτῇ πάλιν ὑποκατακλινόμενον, τί οὐκ ἐργάσεται;*

Μὴ τοίνυν ἐπὶ τοσοῦτον δράμῃς βάραθρον, μηδὲ ἑκὼν σεαυτὸν προδῷς. Ἐπὶ μὲν γὰρ τῶν πολέμων καὶ ἄκοντες παραδίδονται πολλάκις οἱ στρατιῶται, ἐνταῦθα δὲ ἂν μὴ αὐτὸς αὐτομολήσῃς, οὐ-

---

4. Β' Κορ. 3, 6.

κάλεσε στούς ἀγῶνες. Ἐμένα ὅμως μοῦ φαίνεται πώς δέν ὑπονοεῖ ἐδῶ ὅλη τή ζωή τοῦ πιστοῦ, ἀλλά κάνει σύγκριση τοῦ βαπτίσματος καί τοῦ νόμου, πράγμα πού καί ἀλλοῦ λέγει, ὅτι «ὁ γραπτός νόμος ὁδηγεῖ στό θάνατο, ἐνῶ τό Πνεῦμα χορηγεῖ τή ζωή»[4]. Γιατί ὁ νόμος ἐλέγχει τήν παράβαση, ἐνῶ ἡ χάρη ἐξαφανίζει τήν παράβαση. Ὅπως ἀκριβῶς λοιπόν ἐλέγχοντας ὁρίζει τήν ἁμαρτία, ἔτσι αὐτή συγχωρώντας δέ σέ ἀφήνει νά εἶσαι κάτω ἀπό τήν ἁμαρτία. Ἑπομένως διπλά εἶσαι ἀπαλλαγμένος ἀπό τήν τυραννία αὐτή καί μέ τό ὅτι εἶσαι κάτω ἀπό τό νόμο, καί μέ τό ὅτι ἔχεις ἀπολαύσει τή χάρη.

6. Ἐπειδή λοιπόν μέ αὐτά ἔκαμε τόν ἀκροατή νά ἀναπνεύσει, τόν ἀσφαλίζει πάλι, προσθέτοντας παραίνεση ἀπό ἀντίθεση, καί λέγοντας τά ἑξῆς· «τί λοιπόν; θά ἁμαρτήσουμε, ἐπειδή δέν εἴμαστε κάτω ἀπό τό νόμο, ἀλλά κάτω ἀπό τή χάρη; Μακριά μιά τέτοια σκέψη». Πρῶτα λοιπόν χρησιμοποιεῖ τήν ἀπαγόρευση, ἐπειδή εἶναι ὑπερβολικά παράλογο τό λεγόμενο. Ἔπειτα ὅμως καί στήν παραίνεση ὁδηγεῖ τό λόγο, καί δείχνει πώς εἶναι μεγάλη ἡ εὐκολία τῶν ἀγώνων, λέγοντας τό ἑξῆς· «δέν ξέρετε, ὅτι σ' ἐκεῖνον πού προσφέρατε τούς ἑαυτούς σας δούλους γιά νά ὑπακούετε, γίνεστε δοῦλοι σ' αὐτόν πού ὑπακούετε, δηλαδή ἤ δοῦλοι τῆς ἁμαρτίας γιά νά καταλήξετε στό θάνατο, ἤ δοῦλοι τῆς ὑπακοῆς γιά νά καταλήξετε στή δικαίωση;». Δέν ἀναφέρω ἀκόμη τή γέεννα, λέγει, οὔτε ἐκείνη τή μεγάλη κόλαση, ἀλλά τήν ἐδῶ ντροπή, ὅταν γίνεστε δοῦλοι, καί μάλιστα δοῦλοι μέ τήν θέλησή σας, καί δοῦλοι τῆς ἁμαρτίας, καί μέ τέτοιο μισθό, ὥστε νά πεθάνετε πάλι. Γιατί, ἄν πρίν ἀπό τό βάπτισμα προκάλεσε τό σωματικό θάνατο, καί χρειάστηκε τόση θεραπεία ἡ πληγή, ὥστε ὁ Κύριος τῶν πάντων νά κατεβεῖ γιά νά θανατωθεῖ καί ἔτσι νά ἐξαφανίσει τό κακό, ὕστερα ἀπό τήν τόσο μεγάλη δωρεά καί ἐλευθερία ὅταν σέ παραλαμβάνει μέ τή θέλησή σου ἡ ἁμαρτία, ρίχνοντας τόσο χαμηλά τόν ἑαυτό σου, τί δέ θά σοῦ κάμει;

Μή λοιπόν τρέξεις σέ τόσο μεγάλο βάραθρο, οὔτε μέ τή θέλησή σου νά παραδώσεις τόν ἑαυτό σου. Γιατί στούς πολέμους βέβαια πολλές φορές οἱ στρατιῶτες παραδίνονται καί χωρίς τή θέλη-

δείς σου περιέσται. Ἐντρέψας τοίνυν ἀπὸ τοῦ πρέποντος, φοβεῖ καὶ ἀπὸ τῶν ἐπάθλων, καὶ τίθησιν ἀμφοτέρων τὰ ἐπίχειρα, δικαιοσύνην καὶ θάνατον· θάνατον οὐ τοιοῦτον, ἀλλὰ πολλῷ χαλεπώτερον. Εἰ γὰρ οὐκέτι ἀποθανεῖται Χριστός, τίς λύσει τὸν θάνατον ἐκεῖνον; Οὐδείς. Οὐκοῦν ἀνάγκη διόλου κολάζεσθαι καὶ τιμωρεῖσθαι. Οὐκέτι γὰρ οὐδὲ θάνατος παραγίνεται αἰσθητός, καθάπερ ἐνταῦθα, ἀναπαύων τὸ σῶμα, καὶ τῆς ψυχῆς διαιρῶν· «ἔσχατος γὰρ ἐχθρὸς καταργεῖται ὁ θάνατος». Ὅθεν ἀθάνατος ἔσται ἡ κόλασις, ἀλλ᾽ οὐχὶ τοῖς ὑπακούουσιν· ἀλλὰ δικαιοσύνη, καὶ τὰ ἐκ ταύτης βλαστάνονται ἀγαθά, ἔσται τὰ ἔπαθλα.

7. «Χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς». Ἐντρέψας ἀπὸ τῆς δουλείας, φοβήσας ἀπὸ τῶν ἐπάθλων καὶ προτρέψας, ἀνορθοῖ πάλιν αὐτοὺς ἀπὸ τῆς μνήμης τῶν εὐεργεσιῶν. Διὰ γὰρ τούτων δείκνυσιν, ὅτι οὐκ ἐξ οἰκείων πόνων, καὶ ὅτι τὰ μέλλοντα εὐκολώτερα. Καθάπερ γάρ τις ὠμοῦ τυράννου τὸν αἰχμάλωτον ἐξελόμενος, καὶ παραινῶν μὴ παλινδρομῆσαι πρὸς αὐτόν, ἀναμιμνήσκει τῆς χαλεπῆς αὐτοῦ τυραννίδος, οὕτω καὶ ὁ Παῦλος ἐμφαντικώτατα τὰ παρελθόντα ἐνδείκνυται κακὰ διὰ τοῦ εὐχαριστεῖν τῷ Θεῷ. Οὐδὲ γὰρ ἀνθρωπίνης ἰσχύος ἦν, φησίν, ἐκείνων ἡμᾶς ἀπαλλάξαι πάντων, ἀλλὰ τῷ Θεῷ χάρις τῷ τοσαῦτα καὶ βουληθέντι καὶ δυνηθέντι. Καὶ καλῶς εἶπεν, «ὑπακούσατε ἐκ καρδίας»· οὐδὲ γὰρ ἠναγκάσθητε, οὐδὲ ἐβιάσθητε, ἀλλ᾽ ἑκόντες μετὰ προθυμίας ἀπέστητε. Τοῦτο δὲ καὶ ἐγκωμιάζοντός ἐστιν ὁμοῦ καὶ καθαπτομένου. Οἱ γὰρ ἑκόντες προσελθότες καὶ μηδεμίαν ὑπομείναντες ἀνάγκην, ποίαν ἂν σχοίητε συγγνώμην, τίνα δὲ ἀπολογίαν ἐπὶ τὰ πρότερα παλινδρομοῦντες;

Εἶτα ἵνα μάθῃς, ὅτι οὐ τῆς αὐτῶν εὐγνωμοσύνης μόνον, ἀλλὰ

5. Α᾽ Κορ. 15,26.

σή τους, ἐδῶ ὅμως ἄν δέν αὐτομολήσεις μόνος σου, κανείς δέ θά σέ νικήσει. Ἀφοῦ τούς ἔλεγξε λοιπόν ἀπ' αὐτά πού ἔπρεπε νά κάμουν, τούς φοβερίζει καί ἀπό τά βραβεῖα, καί ἀναφέρει καί τῶν δύο τίς ἀμοιβές, τή δικαίωση καί τό θάνατο· θάνατο ὄχι τέτοιον, ἀλλά πολύ πιό φοβερό. Γιατί, ἄν δέ πεθάνει πιά ὁ Χριστός, ποιός θά ἐξαφανίσει τό θάνατο ἐκεῖνον; Κανείς. Ἑπομένως κατ' ἀνάγκη πρέπει γιά πάντα νά κολαζόμαστε καί νά τιμωρούμαστε. Γιατί δέν συμβαίνει τότε πιά ὁ αἰσθητός θάνατος, ὅπως ἐδῶ, πού ξεκουράζει τό σῶμα καί τό χωρίζει ἀπό τήν ψυχή. «Γιατί τελευταῖος ἐχθρός καταργεῖται ὁ θάνατος»[5]. Ἑπομένως, ἀθάνατη θά εἶναι ἡ κόλαση, ὄχι ὅμως γιά τούς πιστούς· γι' αὐτούς τά βραβεῖα θά εἶναι ἡ δικαίωση καί τά ἀγαθά πού πηγάζουν ἀπ' αὐτήν.

7. «Εὐχαριστία ὅμως ὀφείλεται ἀπό σᾶς στό Θεό, γιατί ἤσαστε δοῦλοι τῆς ἁμαρτίας, ὑπακούσατε ὅμως μέ τήν καρδιά σας στόν κανόνα τῆς διδασκαλίας πού παραδοθήκατε». Ἀφοῦ τούς ἔλεγξε μέ τή δουλεία, ἀφοῦ τούς φοβέρισε μέ τά βραβεῖα καί τούς παρότρυνε, τούς ἀνορθώνει πάλι μέ τήν ὑπενθύμιση τῶν εὐεργεσιῶν. Γιατί μέ αὐτά δείχνει, ὅτι καί ἀπό μεγάλα κακά ἀπαλλάχτηκαν, καί ὅτι ὄχι μέ δικούς τους κόπους, καί ὅτι τά μελλοντικά εἶναι πιό εὔκολα. Ὅπως λοιπόν κάποιος, ἀφοῦ σώσει τόν αἰχμάλωτο ἀπό σκληρό τύραννο, καί συμβουλεύοντάς τον νά μήν ἐπιστρέψει σ' αὐτόν, τοῦ ὑπενθυμίζει τή φοβερή τυραννία, ἔτσι καί ὁ Παῦλος πιό ἔντονα φανερώνει τά περασμένα κακά μέ τήν εὐχαριστία στό Θεό. Γιατί δέν μποροῦσε ἀνθρώπινη δύναμη, λέγει, νά μᾶς ἀπαλλάξει ἀπ' ὅλα ἐκεῖνα, ἀλλά στό Θεό ὀφείλεται εὐχαριστία πού θέλησε καί μπόρεσε τόσα πολλά. Καί καλά εἶπε, «ὑπακούσατε μέ τήν καρδιά σας», γιατί οὔτε σᾶς ἀνάγκασαν οὔτε σᾶς βίασαν, ἀλλά μέ τή θέλησή σας καί μέ προθυμία ἀπομακρυνθήκατε. Αὐτό ὅμως ἀποτελεῖ καί ἐγκώμιο γι' αὐτούς καί κατηγορία συγχρόνως. Γιατί ἐσεῖς πού μέ τήν θέλησή σας πήγατε καί χωρίς νά δεχθεῖτε κανένα ἐξαναγκασμό, ποιά συγγνώμη μπορεῖ νά ἔχετε, καί ποιά δικαιολογία, ἐπιστρέφοντας στά προηγούμενα;

Ἔπειτα γιά νά μάθεις, ὅτι ὄχι μόνο στήν εὐγνωμοσύνη τους,

καὶ τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν γέγονεν, εἰπών, «ὑπηκούσατε ἐκ καρδίας», ἐπήγαγεν, «εἰς ὃν παρεδόθητε τύπον διδαχῆς». Ἡ μὲν γὰρ ὑπακοὴ ἡ ἐκ καρδίας τὸ αὐτεξούσιον δηλοῖ, τὸ δὲ παραδοθῆναι, τὴν τοῦ Θεοῦ βοήθειαν αἰνίττεται. Τίς δὲ ὁ τύπος τῆς διδαχῆς; Ὀρθῶς ζῆν καὶ μετὰ πολιτείας ἀρίστης. «Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ». Δύο ἐνταῦθα δείκνυσι τοῦ Θεοῦ δωρεάς, τό τε ἁμαρτίας ἐλευθερῶσαι, καὶ τὸ δουλῶσαι τῇ δικαιοσύνῃ, ὅπερ ἐλευθερίας ἁπάσης ἄμεινόν ἐστι. Καὶ γὰρ ταὐτὸν πεποίηκεν ὁ Θεός, οἷον ἂν εἴ τις παῖδα ὀρφανὸν λαβὼν ὑπὸ βαρβάρων εἰς τὴν αὐτῶν ἀπενεχθέντα γῆν, μὴ μόνον τῆς αἰχμαλωσίας ἀπαλλάξειεν, ἀλλὰ καὶ πατέρα αὐτῷ κηδεμονικὸν ἐπιστήσειε, καὶ εἰς μεγίστην ἀξίαν ἀγάγοι. Ὃ δὴ καὶ ἐφ' ἡμῶν γέγονεν. Οὐ γὰρ μόνον τῶν παλαιῶν κακῶν ἠλευθέρωσεν, ἀλλὰ καὶ εἰς ἀγγελικὸν ἤγαγε βίον, καὶ ὁδὸν ἡμῖν πολιτείας ἔτεμεν ἀρίστης, τῇ τῆς δικαιοσύνης ἀσφαλείᾳ παραδούς, καὶ τὰ παλαιὰ ἀποκτείνας κακά, καὶ νεκρώσας τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐπὶ τὴν ζωὴν χειραγωγήσας ἡμᾶς τὴν ἀθάνατον.

8. *Μένωμεν τοίνυν ταύτην ζῶντες· πολλοὶ γὰρ τῶν δοκούντων ἐμπνεῖν καὶ βαδίζειν, νεκρῶν ἀθλιώτερον διάκεινται. Καὶ γὰρ διάφοροι νεκρότητός εἰσι τρόποι· καὶ ἔστιν εἷς μὲν ὁ τοῦ σώματος, καθ' ὃν ὁ Ἀβραὰμ νεκρὸς ὢν οὐκ ἦν νεκρός· «ὁ γὰρ Θεός», φησίν, «οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων»· ἕτερος ὁ τῆς ψυχῆς, ὃν ὁ Χριστὸς αἰνιττόμενος ἔλεγεν, «ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς»· ἄλλος ὁ καὶ ἐπαινετός, ὁ διὰ τῆς φιλοσοφίας γινόμενος, περὶ οὗ φησιν ὁ Παῦλος· «νεκρώσατε ὑμῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς»· ἕτερος ὁ καὶ τούτου γενόμενος αἴτιος, ὁ ἐπὶ τοῦ βαπτίσματος· «ὁ γὰρ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταύρωται», τουτέστι, νενέκρωται. Ταῦτ' οὖν εἰδότες, ἐκείνην μὲν φύγωμεν τὴν νέκρωσιν, καθ' ἣν*

6. Ματθ. 22, 32.
7. Ματθ. 8, 22.
8. Κολ. 3, 5.
9. Ρωμ. 6, 6.

ἀλλά καί στή χάρη τοῦ Θεοῦ ἀνῆκε τό πᾶν, ἀφοῦ εἶπε, «ὑπακούσατε μέ τήν καρδιά σας», πρόσθεσε, «στόν κανόνα τῆς διδασκαλίας πού παραδοθήκατε». Γιατί ἡ ὑπακοή βέβαια ἀπό τήν καρδιά φανερώνει τήν ἐλευθερία, τό νά παραδοθοῦν ὅμως ὑπονοεῖ τή βοήθεια τοῦ Θεοῦ. Καί ποιός εἶναι ὁ κανόνας τῆς διδασκαλίας; Τό νά ζοῦν μέ σωστό τρόπο καί μέ ἄριστη διαγωγή. «Ἀφοῦ ἐλευθερωθήκατε ὅμως ἀπό τήν ἁμαρτία, γίνατε δοῦλοι στήν ἀρετή». Ἐδῶ δείχνει δύο δωρεές τοῦ Θεοῦ, καί τήν ἀπελευθέρωση ἀπό τήν ἁμαρτία, καί τήν ὑποδούλωση στήν ἀρετή, πράγμα πού εἶναι καλύτερο ἀπό κάθε ἐλευθερία. Γιατί ὁ Θεός ἔκαμε τό ἴδιο, ὅπως θά ἔκανε κάποιος, ἄν, παραλαμβάνοντας ἕνα ὀρφανό παιδί πού μεταφέρθηκε ἀπό τούς βαρβάρους στή χώρα τους, δέν τό ἐλευθέρωνε μόνο ἀπό τήν αἰχμαλωσία, ἀλλά καί γινόταν γι' αὐτό πατέρας προνοητικός καί τό ἀνέβαζε στή πιό μεγάλη τιμή. Αὐτό ἀκριβῶς ἔγινε καί σ' ἐμᾶς. Γιατί ὄχι μόνο μᾶς ἐλευθέρωσε ἀπό τά παλαιά κακά, ἀλλά καί σέ ἀγγελική ζωή μᾶς ὁδήγησε, καί ἄνοιξε γιά μᾶς δρόμο ἄριστης διαγωγῆς, ἀφοῦ μᾶς παρέδωσε στήν ἀσφάλεια τῆς ἀρετῆς, θανάτωσε τά παλαιά κακά, νέκρωσε τόν παλαιό μας ἄνθρωπο καί μᾶς ὁδήγησε στήν αἰώνια ζωή.

8. Ἄς ἐπιμένουμε λοιόν νά ζοῦμε αὐτή τή ζωή, γιατί πολλοί ἀπό αὐτούς πού νομίζουν πώς τή ζοῦν καί τή βαδίζουν, συμπεριφέρονται πιό ἄθλια ἀπό τούς νεκρούς. Γιατί πραγματικά ὑπάρχουν διάφορα εἴδη νεκρώσεως. Καί ὑπάρχει μία, ἡ νέκρωση τοῦ σώματος, κατά τήν ὁποία ὁ Ἀβραάμ, ἄν καί ἦταν νεκρός, δέν ἦταν νεκρός· «γιατί ὁ Θεός», λέγει, «δέν εἶναι Θεός νεκρῶν, ἀλλά ζωντανῶν»[6]. Ἄλλη εἶναι ἡ νέκρωση τῆς ψυχῆς, τήν ὁποία ὑπονοώντας ὁ Χριστός ἔλεγε, «ἀφῆστε τούς νεκρούς νά θάψουν τούς δικούς τους νεκρούς»[7]. Ἄλλη νέκρωση, πού πρέπει μάλιστα νά ἐπαινεῖται, εἶναι αὐτή πού γίνεται μέ τήν ἐγκράτεια, γιά τήν ὁποία ὁ Παῦλος λέγει· «νεκρῶστε τά μέλη σας πού ἐπιθυμοῦν τίς γήινες ἀπολαύσεις»[8]. Ἄλλη, πού ἔγινε καί αἰτία αὐτῆς, εἶναι ἐκείνη πού γίνεται στό βάπτισμα· «γιατί ὁ παλαιός μας ἄνθρωπος ἔχει σταυρωθεῖ»[9], δηλαδή, ἔχει νεκρωθεῖ. Γνωρίζοντας λοιπόν αὐτά, ἄς ἀποφύγουμε ἐκείνη

καὶ ζῶντες ἀποθνήσκομεν, ταύτην δὲ μὴ δείσωμεν, καθ' ἣν ὁ κοινὸς ἔπεισι θάνατος· τὰς δὲ ἑτέρας δύο, ὧν ἡ μέν ἐστι μακαριστὴ ἡ παρὰ τοῦ Θεοῦ κατορθουμένη, καὶ ἑλώμεθα καὶ ζηλώσωμεν. Τούτων γὰρ τῶν δύο τὴν μὲν ὁ Δαυῒδ μακαρίζει λέγων, «μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι», τὴν δὲ ὁ Παῦλος θαυμάζει λέγων, καὶ Γαλάταις γράφων, ὅτι «οἱ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν».

Τῆς δὲ ἑτέρας συζυγίας τὴν μὲν εὐκαταφρόνητον εἶναί φησιν ὁ Χριστὸς λέγων, «μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι» · τὴν δὲ φοβεράν, «φοβήθητε γὰρ τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ». Διὸ ταύτην φυγόντες, ἐκείνην ἑλώμεθα τὴν νεκρότητα, τὴν μακαριζομένην καὶ θαυμαζομένην, ἵνα τῶν ἑτέρων τῶν δύο τὴν μὲν φύγωμεν, τὴν δὲ μὴ φοβηθῶμεν. Οὐδὲ γὰρ ὄφελος ἡμῖν οὐδὲν τὸν ἥλιον ὁρῶσι καὶ ἐσθίουσι καὶ πίνουσιν, ἂν μὴ ἡ διὰ τῶν ἀγαθῶν ἔργων ζωὴ παρῇ. Τί γὰρ ὄφελος, εἰπέ μοι, βασιλέως ἁλουργίδα μὲν περικειμένου καὶ ὅπλα ἔχοντος, οὐδένα δὲ ὑπήκοον κεκτημένου, ἀλλὰ προκειμένου πᾶσι τοῖς βουλομένοις ἐνάλλεσθαι καὶ ὑβρίζειν αὐτόν; Οὕτω καὶ Χριστιανοῦ οὐδὲν ἔσται κέρδος πίστιν μὲν ἔχοντος καὶ τὴν ἀπὸ τοῦ βαπτίσματος δωρεάν, πᾶσι δὲ τοῖς πάθεσι προκειμένου· μείζων γὰρ οὕτως ἡ ὕβρις ἔσται, καὶ πλείων ἡ αἰσχύνη. Ὥσπερ γὰρ ἐκεῖνος ὁ τὸ διάδημα περικείμενος καὶ τὴν ἁλουργίδα, οὐ μόνον οὐδὲν ἀπὸ τῆς στολῆς κερδανεῖ ταύτης εἰς τὴν οἰκείαν τιμήν, ἀλλὰ καὶ ἐκείνην καθυβρίζει διὰ τῆς οἰκείας αἰσχύνης, οὕτω καὶ ὁ πιστὸς βίον διεφθαρμένον ζῶν, οὐ μόνον οὐδὲν ἐντεῦθεν αἰδέσιμος ἔσται, ἀλλὰ καὶ μειζόνως καταγέλαστος.

10. Ψαλμ. 31, 1.
11. Γαλ. 5, 24.
12. Ματθ. 10, 28.

τή νέκρωση, στήν όποία, ἄν καί ζωντανοί, πεθαίνουμε, ἐνῶ ἄς μή φοβηθοῦμε αὐτή, στήν ὁποία ἀκολουθεῖ ὁ κοινός θάνατος. Καί τίς δύο ἄλλες νεκρώσεις, ἀπό τίς ὁποῖες ἡ μία εἶναι μακαριστή, αὐτή πού δόθηκε ἀπό τό Θεό, ἐνῶ ἡ ἄλλη ἐπαινετή, αὐτή πού κατορθώνεται ἀπό μᾶς καί τό Θεό, ἄς τίς προτιμήσουμε καί ἄς τίς ἐπιδιώξουμε. Γιατί ἀπ' αὐτές τίς δύο, τή μία μακαρίζει ὁ Δαυΐδ λέγοντας, «εἶναι μακάριοι ἐκεῖνοι πού τούς συγχωρήθηκαν οἱ ἀνομίες»[10], ἐνῶ τήν ἄλλη θαυμάζει ὁ Παῦλος λέγοντας, ὅταν ἔγραφε καί στούς Γαλάτες· «ὅσοι ἀνήκουν στό Χριστό, νέκρωσαν τή σάρκα τους»[11].

Ἀπό τίς ἄλλες δύο, τή μία λέγει ὁ Χριστός πώς εἶναι εὐκαταφρόνητη, λέγοντας, «μή φοβηθεῖτε ἀπό ἐκείνους πού θανατώνουν τό σῶμα, ἀλλά δέν μποροῦν νά θανατώσουν καί τήν ψυχή», ἐνῶ ἡ ἄλλη εἶναι φοβερή, «φοβηθεῖτε ὅμως ἐκεῖνον πού μπορεῖ νά ρίξει στήν κόλαση καί τήν ψυχή καί τό σῶμα»[12]. Γι' αὐτό, ἀφοῦ ἀποφύγουμε αὐτήν, ἄς προτιμήσουμε ἐκείνη τή νέκρωση, πού μακαρίζεται καί θαυμάζεται, ὥστε ἀπό τίς ἄλλες δύο τή μία ν' ἀποφύγουμε, ἐνῶ τήν ἄλλη νά μή φοβηθοῦμε. Γιατί δέν ὑπάρχει κανένα ὄφελος σ' ἐμᾶς πού βλέπουμε τόν ἥλιο καί τρώγουμε καί πίνουμε, ἄν δέν ὑπάρχει ἡ ζωή πού συνοδεύεται ἀπό ἀγαθά ἔργα. Γιατί ποιό εἶναι τό ὄφελος, πές μου, ὅταν ὁ βασιλιάς φοράει τήν πορφύρα καί ἔχει ὅπλα, δέν ἔχει ὅμως κανένα ὑπήκοο, ἀλλ' εἶναι ἐκτεθειμένος σέ ὅλους ἐκείνους πού θέλουν νά ἐπιτίθενται ἐναντίον του καί νά τόν προσβάλλουν; Ἔτσι καί τοῦ Χριστιανοῦ κανένα δέ θά εἶναι τό κέρδος, ὅταν ἔχει βέβαια πίστη καί τή δωρεά ἀπό τό βάπτισμα, ἀλλ' εἶναι ἐκτεθειμένος σέ ὅλα τά πάθη, γιατί μεγαλύτερη θά εἶναι ἔτσι ἡ προσβολή καί περισσότερη ἡ ντροπή. Γιατί, ὅπως ὁ βασιλιάς πού φοράει τό στέμμα καί τήν πορφύρα, ὄχι μόνο δέ θά κερδίσει τίποτε ἀπό τή στολή αὐτή γιά τή δική του τιμή, ἀλλά καί τή προσβάλλει μέ τή δική του ντροπή, ἔτσι καί ὁ πιστός πού ζεῖ διεφθαρμένη ζωή, ὄχι μόνο δέ θά εἶναι ἐξ αἰτίας αὐτοῦ καθόλου σεβαστός, ἀλλά σέ μεγάλο βαθμό καταγέλαστος.

«Γιατί ὅσοι ἁμάρτησαν χωρίς νόμο», λέγει, «αὐτοί θά κατα-

«Ὅσοι γὰρ ἀνόμως», φησίν, «ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται». Καὶ Ἑβραίοις δὲ ἐπιστέλλων ἔλεγεν· «ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶ καὶ τρισὶ μάρτυσιν ἀποθνήσκει. Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας;». Καὶ μάλα εἰκότως. Καὶ γὰρ ὑπέταξά σοι πάντα τὰ πάθη, φησί, διὰ τοῦ βαπτίσματος. Τί οὖν γέγονεν, ὅτι εἰς τοσαύτην ἐξύβρισας δωρεάν, καὶ γέγονας ἕτερος ἀνθ' ἑτέρου; Ἀπέκτεινα καὶ ἔθαψά σου τὰ πρότερα πλημμελήματα, καθάπερ σκώληκας· τί τοίνυν ἕτερα ἔτεκες; Καὶ γὰρ σκωλήκων χείρω τὰ ἁμαρτήματα· οὗτοι μὲν γὰρ τὸ σῶμα, ἐκεῖνα δὲ τὴν ψυχὴν λυμαίνεται, καὶ πλείονα ποιεῖ τὴν δυσωδίαν. Ἀλλ' ἡμεῖς οὐκ αἰσθανόμεθα· διόπερ αὐτὴν οὐδὲ ἐκκαθᾶραι σπεύδομεν. Οὐδὲ γὰρ ὁ μεθύων ἀκριβῶς ταῦτα ἐπίσταται. Οὕτω καὶ ἐπὶ τῶν ἁμαρτημάτων, ὁ μὲν σωφρόνως ζῶν, μετὰ ἀκριβείας οἶδε τὸν βόρβορον ἐκεῖνον καὶ τὴν κηλῖδα, ὁ δὲ τῇ πονηρίᾳ ἑαυτὸν ἐκδούς, καθάπερ μέθῃ τινὶ κεκαρωμένος, οὐδὲ αὐτὸ τοῦτο οἶδεν, ὅτι νοσεῖ.

Καὶ τοῦτο μάλιστα τῆς κακίας τὸ χαλεπώτατον, ὅτι οὐδὲ ἰδεῖν ἀφίησι τοὺς εἰς αὐτὴν ἐμπεσόντας τῆς οἰκείας λύμης τὸ μέγεθος, ἀλλ' ἐν βορβόρῳ κείμενοι μύρων ἀπολαύειν νομίζουσι· διόπερ οὐδὲ ἀπαλλάττεσθαι δύνανται, ἀλλὰ σκωλήκων γέμοντες, ὥσπερ λίθοις τιμίοις καλλωπιζόμενοι, οὕτως ἐναβρύνονται. Διὰ ταῦτα αὐτοὺς οὐδὲ ἀποκτεῖναι ἐθέλουσιν, ἀλλὰ καὶ τρέφουσι καὶ αὔξουσιν ἐν ἑαυτοῖς, ἕως ἂν αὐτοὺς πρὸς τοὺς τοῦ μέλλοντος αἰῶνος παραπέμψωσι σκώληκας. Καὶ γὰρ ἐκείνων οὗτοι πρόξενοι· οὐ πρόξενοι δὲ μόνον, ἀλλὰ καὶ πετέρες εἰσὶν ἐκείνων τῶν μηδέποτε τελευτώντων. «Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει», φησίν. Οὗτοι τὴν γέενναν ἀνάπτουσι τὴν μηδέποτε σβεννυμένην. Ἵν' οὖν ταῦτα μὴ γένη-

---

13. Ρωμ. 2, 12.
14. Ἑβρ. 10, 28–29.
15. Μάρκ. 9, 44.

δικασθοῦν σέ ἀπώλεια χωρίς τό νόμο. Καί ὅσοι ἁμάρτησαν ἔχοντας τό νόμο, αὐτοί θά κριθοῦν μέ βάση τό νόμο»[13]. Καί ὅταν ἔγραφε στούς Ἑβραίους ἔλεγε· «ὅταν κανείς παραβεῖ τό Μωσαϊκό νόμο, χωρίς ἐπιείκεια θανατώνεται μέ τή βεβαίωση δύο ἤ τριῶν μαρτύρων. Πόσο χειρότερης τιμωρίας νομίζετε πώς θά κριθεῖ ἄξιος ἐκεῖνος πού περιφρόνησε τόν Υἱό τοῦ Θεοῦ»[14]; Καί πολύ φυσικά. Γιατί πραγματικά σοῦ ὑποδούλωσα ὅλα τά πάθη, λέγει, μέ τό βάπτισμα. Τί λοιπόν συνέβηκε καί πρόσβαλες τόσο μεγάλη δωρεά, καί ἔγινες ἄλλος ἀντί ἄλλου; Θανάτωσα καί ἔθαψα τά προηγούμενα ἁμαρτήματά σου σάν τά σκουλήκια. Γιατί λοιπόν γέννησες ἄλλα; Καθόσον τά ἁμαρτήματα εἶναι χειρότερα ἀπό τά σκουλήκια, ἀφοῦ αὐτά καταστρέφουν τό σῶμα, ἐνῶ ἐκεῖνα τήν ψυχή καί προκαλοῦν περισσότερη δυσοσμία. Ἐμεῖς ὅμως δέν τήν αἰσθανόμαστε, γι' αὐτό καί δέ φροντίζουμε νά τήν καθαρίσουμε. Γιατί οὔτε ὁ μέθυσος γνωρίζει πόση εἶναι τοῦ σάπιου κρασιοῦ ἡ δυσάρεστη μυρωδιά, ἀλλ' ἐκεῖνος πού δέν εἶναι μέθυσος τά γνωρίζει αὐτά μέ ἀκρίβεια. Ἔτσι συμβαίνει καί μέ τά ἁμαρτήματα· ἐκεῖνος πού ζεῖ μέ ἐγκράτεια, μέ ἀκρίβεια γνωρίζει τό βοῦρκο ἐκεῖνο καί τήν κηλίδα, ἐνῶ ἐκεῖνος πού παρέδωσε τόν ἑαυτό του στήν κακία, σάν ναρκωμένος ἀπό κάποια μέθη, οὔτε αὐτό γνωρίζει, ὅτι δηλαδή εἶναι ἄρρωστος.

Καί αὐτό πρό πάντων εἶναι τό πιό φοβερό τῆς κακίας, ὅτι δέν ἀφήνει ἐκείνους πού ἔπεσαν σ' αὐτή νά δοῦν τό μέγεθος τῆς καταστροφῆς τους, ἀλλ', ἐνῶ βρίσκονται μέσα στό βοῦρκο, νομίζουν ὅτι ἀπολαμβάνουν μύρα. Γι' αὐτό ἀκριβῶς δέν μποροῦν ν' ἀπαλλαγοῦν, ἀλλ', ἐνῶ εἶναι γεμάτοι ἀπό σκουλήκια, καμαρώνουν ἔτσι, σάν νά εἶναι στολισμένοι μέ πολύτιμα πετράδια. Γι' αὐτό δέ θέλουν νά τά θανατώσουν, ἀλλά καί τά θρέφουν καί τά κάνουν περισσότερα στούς ἑαυτούς τους, μέχρι πού θά τά στείλουν πρός τά σκουλήκια τῆς κολάσεως. Γιατί αὐτά πραξενοῦν ἐκεῖνα· καί ὄχι μόνο τά προξενοῦν, ἀλλά καί εἶναι πατέρες ἐκείνων πού δέν πεθαίνουν ποτέ· «γιατί τό σκουλήκι τους δέ θά πεθάνει»[15], λέγει. Αὐτά ἀνάβουν τή γέεννα πού δέ σβήνει ποτέ. Γιά νά μή γίνουν λοιπόν αὐτά, ἄς καταστρέψουμε τήν πηγή τῶν κακῶν, καί ἄς σβήσουμε τό

ται, τὴν πηγὴν τῶν κακῶν ἀνέλωμεν, καὶ τὴν κάμινον σβέσωμεν, καὶ τὴν ῥίζαν τῆς πονηρίας κάτωθεν ἀνασπάσωμεν· ἐπεὶ καὶ δένδρον πονηρὸν ἂν ἀποτέμῃς ἄνωθεν, οὐδὲν πλέον ἐποίησας, τῆς ῥίζης κάτω μενούσης καὶ τὰ αὐτὰ βλαστανούσης πάλιν.

9. *Τίς οὖν ἡ ῥίζα τῶν κακῶν; Μάθε παρὰ τοῦ καλοῦ φυτουργοῦ, τοῦ τὰ τοιαῦτα ἀκριβῶς ἐπισταμένου, καὶ τὴν ἄμπελον τὴν πνευματικὴν θεραπεύοντος, καὶ τὴν οἰκουμένην γεωργοῦντος ἅπασαν. Τίνα οὖν οὗτός φησιν εἶναι τὴν αἰτίαν τῶν κακῶν ἁπάντων· Τὴν τῶν χρημάτων ἐπιθυμίαν. «Ῥίζα γὰρ πάντων τῶν κακῶν», φησίν, «ἡ φιλαργυρία». Ἐντεῦθεν μάχαι καὶ ἔχθραι καὶ πόλεμοι, ἐντεῦθεν φόνοι καὶ κλοπαὶ καὶ τυμβωρυχίαι. Διὰ ταύτην οὐ πόλεις καὶ χῶραι μόνον, ἀλλὰ καὶ ὁδοὶ καὶ οἰκουμένη καὶ ἡ ἀοίκοιτος καὶ ὄρη καὶ νάπαι καὶ βουνοὶ καὶ πάντα ἁπλῶς αἱμάτων γέμει καὶ φόνων. Καὶ οὐδὲ τῆς θαλάττης ἀπέσχετο τουτὶ τὸ κακόν, ἀλλὰ καὶ ἐκεῖ μετὰ πολλῆς εἰσεκώμασε τῆς μανίας, τῶν πειρατῶν αὐτὴν πολιορκούντων πάντοθεν, καὶ καινόν τινα λῃστείας ἐπινοούντων τρόπον. Διὰ ταύτην καὶ οἱ τῆς φύσεως ἀνετράπησαν νόμοι, καὶ οἱ τῆς συγγενείας ἐκινήθησαν θεσμοί, καὶ τὰ τῆς ὁσίας αὐτῆς διέφθαρται δίκαια.*

Ἡ γὰρ τῶν χρημάτων τυραννὶς οὐ κατὰ τῶν ζώντων μόνον, ἀλλὰ καὶ κατὰ τῶν ἀπελθόντων τὰς τοιαύτας ὥπλισε δεξιάς· καὶ οὐδὲ τῷ θανάτῳ πρὸς αὐτοὺς σπένδονται, ἀλλὰ θήκας ἀναρρηγνύντες, καὶ κατὰ νεκρῶν σωμάτων τὰς μιαρὰς ἐκτείνουσι χεῖρας, οὐδὲ τὸν ἀπαλλαγέντα τῆς ζωῆς τῆς ἑαυτῶν ἀφιέντες ἀπηλλάχθαι ἐπιβουλῆς. Καὶ ὅσα ἂν εὕρῃς κακά, κἂν ἐν οἰκίᾳ, κἂν ἐν ἀγορᾷ, ἂν ἐν δικαστηρίοις, κἂν ἐν βουλευτηρίοις, κἂν ἐν βασιλείοις, κἂν ὁπουδήποτε, ἐντεῦθεν πάντα ὄψει βλαστάνοντα. Τοῦτο γάρ ἐστι, τοῦτο τὸ κακὸν ὃ πάντα αἱμάτων καὶ φόνων ἐνέπλησε, τοῦτο τὴν φλόγα τῆς γεέννης ἀνῆψε, τοῦτο τῆς ἐρημίας τὰς πόλεις οὐδὲν ἄμεινον διακεῖσθαι ἐποίησεν, ἀλλὰ καὶ πολλῷ χεῖρον. Τοὺς μὲν γὰρ ταῖς ὁδοῖς ἐφεδρεύοντας καὶ φυλάσσεσθαι ῥᾴδιον, ἅτε οὐ διὰ

16. Α' Τιμ. 6, 10.

καμίνι, καί ἄς ξερριζώσουμε ἀπό κάτω τή ρίζα τῆς κακίας. Γιατί καί τό ἄγριο δένδρο ἄν τό κόψεις ἀπό ἐπάνω, δέν ἔκαμες τίποτε περισσότερο, ἀφοῦ ἡ ρίζα παραμένει κάτω καί τά ἴδια πάλι βλαστάνει.

9. Ποιά λοιπόν εἶναι ἡ ρίζα τῶν κακῶν; μάθε ἀπό τόν καλό κηπουρό, πού γνωρίζει πολύ καλά αὐτά, καί φροντίζει τό πνευματικό ἀμπέλι καί καλλιεργεῖ ὁλόκληρη τήν οἰκουμένη. Ποιά λοιόν λέγει αὐτός πώς εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν; Ἡ ἐπιθυμία τῶν χρημάτων. «Γιατί ἡ ρίζα ὅλων τῶν κακῶν», λέγει, «εἶναι ἡ φιλαργυρία»[16]. Ἀπό ἐδῶ προέρχονται οἱ μάχες καί οἱ ἔχθρες καί οἱ πόλεμοι, ἀπό ἐδῶ οἱ φιλονεικίες καί οἱ κακολογίες, οἱ ὑποψίες καί οἱ προσβολές, ἀπό ἐδῶ οἱ φόνοι καί οἱ κλοπές καί οἱ τυμβωρυχίες. Ἐξ αἰτίας της ὄχι μόνο οἱ πόλεις καί τά χωριά, ἀλλά καί οἱ δρόμοι καί ἡ κατοικημένη καί ἡ ἀκατοίκοιτη γῆ καί τά βουνά καί οἱ κοιλάδες καί οἱ λόφοι καί ὅλα γενικά εἶναι γεμάτα ἀπό αἵματα καί φόνους. Καί οὔτε τή θάλασσα ἀπέφυγε αὐτό τό κακό, ἀλλά καί ἐκεῖ μπῆκε μέ πολλή μανία, ἀφοῦ οἱ πειρατές τήν πολιορκοῦν ἀπό παντοῦ καί ἐπινοοῦν κάποιο καινούριο τρόπο ληστείας. Ἐξ αἰτίας της ἀνατράπηκαν καί οἱ θεσμοί τῆς συγγένειας, καί ἔχουν ποδοπατηθεῖ οἱ ἀπαιτήσεις τοῦ θείου αὐτοῦ νόμου.

Γιατί ἡ τυραννική ἐξουσία τῶν χρημάτων ὄχι μόνο ἐναντίον τῶν ζωντανῶν, ἀλλά καί ἐναντίον τῶν νεκρῶν ὅπλισε τά χέρια αὐτά. Καί οὔτε μέ τό θάνατο συνθηκολογοῦν αὐτοί, ἀλλ' ἀνοίγοντας τάφους, ἁπλώνουν τά μολυσμένα χέρια καί ἐναντίον τῶν νεκρῶν σωμάτων, χωρίς ν' ἀφήνουν ν' ἀπαλλαχθεῖ ἀπό τήν ἐπιβουλή τους ἐκεῖνος πού ἀπαλλάχθηκε ἀπό τή ζωή. Καί ὅσα κακά ἄν συναντήσεις, εἴτε στό σπίτι, εἴτε στήν ἀγορά, εἴτε στά δικαστήρια, εἴτε στά βουλευτήρια, εἴτε στά ἀνάκτορα, εἴτε ὁπουδήποτε, θά δεῖς πώς ὅλα ἀπό ἐδῶ προέρχονται. Γιατί αὐτό εἶναι, αὐτό εἶναι τό κακό πού γέμισε ὅλα ἀπό αἵματα καί φόνους, αὐτό ἄναψε τή φλόγα τῆς γέεννας, αὐτό ἔκαμε τίς πόλεις νά μήν εἶναι καθόλου καλύτερες ἀπό τήν ἔρημο, ἀλλά χειρότερες. Γιατί ἀπό ἐκείνους πού ἐνεδρεύουν στούς δρόμους, εἶναι εὔκολο νά προφυλαχθοῦμε, ἐπει-

παντὸς ἐπιτιθεμένους, οἱ δὲ ἐν μέσαις ταῖς πόλεσιν ἐκείνους μιμούμενοι, τοσούτῳ χείρους ἐκείνων, ὅσῳ καὶ δυσφύλακτοι μᾶλλον αὐτῶν, καὶ μετὰ παρρησίας ταῦτα τολμῶσιν, ἃ μετὰ τοῦ λανθάνειν ἐκεῖνοι. Τοὺς γὰρ ἐπ' ἀναιρέσει τῆς πονηρίας αὐτῶν κειμένους νόμους, τούτους καὶ εἰς συμμαχίαν ἕλκοντες, τῶν τοιούτων φόνων καὶ μιασμάτων τὰς πόλεις ἐνέπλησαν.

Ἢ οὐ φόνος, εἰπέ μοι, καὶ φόνου χεῖρον, τὸ λιμῷ παραδοῦναι πένητα καὶ εἰς δεσμωτήριον ἐμβαλεῖν, καὶ μετὰ τοῦ λιμοῦ καὶ βασάνοις ἐκδοῦναι καὶ μυρίοις αἰκισμοῖς; Κἂν γὰρ αὐτὸς ταῦτα μὴ ποιῇς, παρέχῃς δὲ τὴν αἰτίαν τοῦ γίνεσθαι, τῶν διακονουμένων αὐτὰ μᾶλλον ἐργάζῃ. Ὁ μὲν γὰρ ἀνδροφόνος ὁμοῦ τε τὸ ξίφος ἐνέπηξε, καὶ μικρὸν λυπήσας χρόνον οὐκέτι περαιτέρω προάγει τὴν βάσανον, σὺ δὲ ταῖς συκοφαντίαις, ταῖς ἐπηρείαις, ταῖς ἐπιβουλαῖς τὸ φῶς ἐργαζόμενος αὐτῷ σκότος, καὶ ἐν ἐπιθυμίᾳ καθιστὰς τοῦ μυριάκις ἀποθανεῖν, ἐννόησον ὅσους ἀνθ' ἑνὸς ἐργάζῃ θανάτους. Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ἁρπάζεις καὶ πλεονεκτεῖς, οὐχ ὑπὸ πενίας ὠθούμενος, οὐδὲ λιμοῦ σε καταναγκάζοντος, ἀλλ' ἵνα ὁ τοῦ ἵππου χαλινὸς ἀλείφηται πολλῷ τῷ χρυσῷ, καὶ ὁ τῆς οἰκίας ὄροφος, καὶ αἱ τῶν κιόνων κεφαλαί. Καὶ πόσης οὐκ ἂν εἴη ταῦτα γεέννης ἄξια, ὅταν τὸν ἀδελφόν, καὶ τῶν ἀπορρήτων σοι κοινωνήσαντα ἀγαθῶν, καὶ οὕτω παρὰ τοῦ δεσπότου σου τιμηθέντα, ἵνα λίθους καλλωπίσῃς καὶ ἔδαφος, καὶ σώματα ἀλόγων ζώων οὐδὲ αἰσθανομένων τοῦ κόσμου τούτου, εἰς μυρίας ἐμβάλλῃς συμφοράς;

Καὶ ὁ μὲν κύων ἐν ἐπιμελείᾳ πολλῇ, ὁ δ' ἄνθρωπος, μᾶλλον δὲ ὁ Χριστός, διὰ τὸν κύνα καὶ τὰ εἰρημένα ἅπαντα εἰς ἔσχατον κατακλείεται λιμόν. Τί ταύτης τῆς συγχύσεως χεῖρον; τί τῆς παρανομίας χαλεπώτρον; πόσοι ποταμοὶ πυρὸς ἀρκέσουσι τῇ τοιαύτῃ ψυχῇ; Ὁ μὲν κατ' εἰκόνα Θεοῦ γεγενημένος ἕστηκεν ἀσχημονῶν διὰ τὴν σὴν ἀπανθρωπίαν, αἱ δὲ ὄψεις τῶν ἡμιόνων τῶν τὴν γυναῖκα φερουσῶν τὴν σὴν πολλῷ καταλάμπονται τῷ χρυσῷ, καὶ τὰ

δή δέν ἐπιτίθενται πάντοτε, αὐτοί ὅμως πού τούς μιμοῦνται μέσα στίς πόλεις, εἶναι τόσοι χειρότεροι ἀπό ἐκείνους, ὅσο καί πιό δύσκολα μποροῦμε νά φυλαχθοῦμε ἀπό αὐτούς, καί ἐπιχειροῦν φανερά αὐτά, πού ἐκεῖνοι κάνουν κρυφά. Γιατί τούς νόμους πού ὑπάρχουν γιά τήν ἐξαφάνιση τῆς κακίας τους, αὐτούς καθιστώντας συμμάχους τους, γέμισαν τίς πόλεις ἀπό τέτοιους φόνους καί μιάσματα.

Ἤ δέν εἶναι φόνος, πές μου, καί χειρότερο ἀπό φόνο, τό νά παραδώσουμε τό φτωχό στήν πείνα καί νά τόν κλείσουμε στή φυλακή, καί μαζί μέ τήν πείνα νά τόν παραδώσουμε καί σέ βασανιστήρια καί σέ ἄπειρες κακώσεις; Καί ἄν ἀκόμη δέν τάκάνεις ἐσύ αὐτά, δίνοντας ὅμως τήν ἀφορμή νά γίνονται, ἐκτελεῖς αὐτά περισσότερο ἀπό τούς ὑπηρέτες σου. Γιατί ὁ δολοφόνος συγχρόνως καί τό ξίφος κάρφωσε καί, ἀφοῦ προκάλεσε πόνο γιά λίγο χρόνο, δέ συνεχίζει μετά τά βασανιστήρια, ἐνῶ ἐσύ μέ τίς συκοφαντίες, μέ τίς προσβολές, μέ τίς ἐπιβουλές καθιστώντας γι' αὐτόν τό φῶς σκοτάδι, καί κάνοντάς τον νά ἐπιθυμήσει χίλιες φορές τό θάνατο, σκέψου πόσους θανάτους κάνεις ἀντί γιά ἕνα. Καί τό πιό φοβερό ἀπ' ὅλα, ὅτι ἁρπάζεις καί εἶσαι πλεονέκτης, ὄχι γιατί σέ πιέζει ἡ φτώχεια, ὄχι γιατί σέ ἐξαναγκάζει ἡ πείνα, ἀλλά γιά νά καλύπτεται μέ πολύ χρυσάφι τό χαλινάρι τοῦ ἀλόγου καί ἡ ὀροφή τοῦ σπιτιοῦ καί τά κιονόκρανα. Καί πόσης γέεννας δέν εἶναι ἄξια αὐτά, ὅταν τόν ἀδελφό, πού ἔγινε συμμέτοχός σου στά ἀπόρρητα ἀγαθά καί τιμήθηκε τόσο πολύ ἀπό τόν Κύριό σου, τόν ρίχνεις σέ ἄπειρες συμφορές, γιά νά στολίσεις πέτρες καί ἔδαφος καί σώματα ἄλογων πού δέν αἰσθάνονται αὐτό τό στόλισμα;

Καί ὁ σκύλος βέβαια φροντίζεται πολύ, ὁ ἄνθρωπος ὅμως, ἤ καλύτερα ὁ Χριστός, ἐξ αἰτίας τοῦ σκύλου καί ὅλων πού λέχθηκαν ὁδηγεῖται στή χειρότερη πείνα. Τί εἶναι χειρότερο ἀπ' αὐτή τή σύγχυση; τί πιό φοβερό ἀπ' αὐτή τήν παρανομία; πόσοι ποταμοί ἀπό φωτιά θά εἶναι ἀρκετοί γιά μιά τέτοια ψυχή; Ὁ ἄνθρωπος πού δημιουργήθηκε σύμφωνα μέ τήν εἰκόνα τοῦ Θεοῦ ἀφήνεται σέ ἀθλιότητα ἐξ αἰτίας τῆς δικῆς σου ἀπανθρωπιᾶς, ἐνῶ οἱ ὄψεις τῶν ἡμιόνων πού μεταφέρουν τή γυναίκα σου ἀστράφτουν ἀπό τό πολύ χρυσάφι, καθώς καί τά ξύλα καί τά δέρματα πού συγκροτοῦν

ξύλα καὶ τὰ δέρματα τὰ τὴν στέγην ἐκείνην ὑφαίνοντα. Κἂν θρόνον κατασκευάσαι δέῃ, κἂν ὑποπόδιον, πάντα ἀπὸ χρυσοῦ καὶ ἀργύρου κατασκευάζεται, τὸ δὲ τοῦ Χριστοῦ μέλος, καὶ δι' ὃν ἐξ οὐρανοῦ παραγέγονε καὶ τὸ αἷμα τὸ τίμιον ἐξέχεεν, οὐδὲ τῆς ἀναγκαίας ἀπολαύει τροφῆς διὰ τὴν πλεονεξίαν τὴν σήν. Ἀλλ' αἱ μὲν κλῖναι ἀργύρῳ πάντοθέν εἰσι περιβεβλημέναι, τὰ δὲ σώματα τῶν ἁγίων καὶ τῆς ἀναγκαίας ἀπεστέρηται σκέπης· καὶ πάντων σοι γέγονεν ἀτιμότερος ὁ Χριστός, καὶ οἰκετῶν καὶ ἡμιόνων καὶ κλίνης καὶ θρόνου καὶ ὑποποδίου. Τὰ γὰρ ἔτι τούτων ἀτιμότερα σκεύη παρίημι καταλιμπάνων ὑμῖν εἰδέναι.

Εἰ δὲ φρίττεις ταῦτα ἀκούων, ἀπόστηθι, καὶ στῆθι τῆς μανίας ταύτης· καὶ γὰρ μανία σαφὴς ἡ περὶ ταῦτα σπουδή. Διὸ ταῦτα ἀφέντες ἀναβλέψωμεν ὀψὲ γοῦν ποτε εἰς τὸν οὐρανόν, ἀναμνησθῶμεν τῆς μελλούσης ἡμέρας, ἐννοήσωμεν τὸ φοβερὸν δικαστήριον καὶ τὰς ἠκριβωμένας εὐθύνας καὶ τὴν ἀδέκαστον ψῆφον. Λογισώμεθα, ὅτι πάντα, ταῦτα ὁρῶν ὁ Θεός, οὐ κεραυνοὺς ἄνωθεν πέμπει, καίτοιγε οὐ σκηπτῶν ἄξια τὰ γινόμενα μόνον, ἀλλ' οὔτε τοῦτο ποεῖ, οὐ τὴν θάλασσαν ἡμῖν ἐπαφίησιν, οὐ τὴν γῆν ῥήγνυσι μέσην, οὐ τὸν ἥλιον σβέννυσιν, οὐ τὸν οὐρανὸν ῥίπτει μετὰ τῶν ἀστέρων, οὐ πάντα ἁπλῶς ἐκ μέσου ποιεῖ, ἀλλ' ἀφίησιν ἐν τάξει εἶναι καὶ διακονεῖσθαι ἡμῖν τὴν κτίσιν ἅπασαν.

***10.** Ταῦτ' οὖν λογισάμενοι, τῆς φιλανθρωπίας τὸ μέγεθος φρίξωμεν, καὶ πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθωμεν· ὡς νῦν γε τῶν ἀλόγων οὐδὲν ἄμεινον διακείμεθα, ἀλλὰ πολλῷ χεῖρον. Ἐκεῖνα μὲν γὰρ ἀγαπᾷ τὰ συγγενῆ, καὶ ἀρκεῖται τῇ κοινωνίᾳ τῆς φύσεως εἰς τὴν πρὸς ἄλληλα φιλοστοργίαν, σὺ δὲ μετὰ τῆς φύσεως μυρίας ἔχων ὑποθέσεις συναγούσας σε καὶ σφιγγούσας πρὸς τὰ οἰκεῖα μέλη, τὸ τετιμῆσθαι λόγῳ, τὸ μετέχειν εὐσεβείας, τὸ κοινωνῆσαι*

τῇ στέγη ἐκείνη. Καί ἄν χρειάζεται νά κατασκευάσεις θρόνο ἤ ὑποπόδιο, ὅλα κατασκευάζονται ἀπό χρυσάφι καί ἀσήμι, ἐνῶ τό μέλος τοῦ Χριστοῦ, καί γιά τόν ὁποῖο ἦρθε ἀπό τόν οὐρανό καί ἔχυσε τό τίμιο αἷμα του, δέν ἀπολαμβάνει οὔτε τήν ἀπαραίτητη τροφή ἐξ αἰτίας τῆς πλεονεξίας σου. Καί τά κρεβάτια βέβαια εἶναι ἀπό παντοῦ καλυμμένα μέ ἀσήμι, ἐνῶ τά σώματα τῶν ἁγίων ἔχουν στερηθεῖ καί τό ἀπαραίτητο σκέπασμα, καί γιά σένα ὁ Χριστός ἀξίζει πιό λίγο καί ἀπό τούς ὑπηρέτες καί ἀπό τούς ἡμιόνους καί ἀπό τό κρεβάτι καί ἀπό τό θρόνο καί ἀπό τό ὑποπόδιο. Γιατί τά ἀκόμη πιό πολύτιμα ἀπ' αὐτά σκεύη τά παραλείπω, ἀφήνοντας σ' ἐσᾶς νά τά βρεῖτε.

Ἐάν ὅμως αἰσθάνεσαι φρίκη ἀκούοντας αὐτά, σταμάτησε νά τά κάνεις, καί δέ θά σέ βλάψουν καθόλου ὅσα λέχθηκαν. Σταμάτησε, καί στάσου μακριά ἀπό τήν τρέλλα αὐτή. Γιατί πραγματικά ἡ φροντίδα γι' αὐτά εἶναι καθαρή τρέλλα. Γι' αὐτό, ἀφοῦ ἀφήσουμε αὐτά, ἄς ἀναβλέψουμε ἔστω καί ἀργά κάποτε πρός τόν οὐρανό, ἄς θυμηθοῦμε τήν ἡμέρα τῆς κρίσεως, ἄς σκεφθοῦμε τό φοβερό δικαστήριο καί τίς ἐξακριβωμένες εὐθύνες καί τήν ἀδέκαστη ἀπόφαση. Ἄς σκεφθοῦμε, ὅτι, ἐνῶ τά βλέπει ὅλα αὐτά ὁ Θεός, δέ ρίχνει κεραυνούς ἀπό τόν οὐρανό, ἄν καί βέβαια αὐτά πού γίνονται δέν ἀξίζουν μόνο γιά κεραυνούς. Ἀλλ' οὔτε αὐτό κάνει, οὔτε τή θάλασσα στέλνει ἐναντίον μας, οὔτε τή γῆ ἀνοίγει στή μέση, οὔτε τόν ἥλιο σβήνει, οὔτε τόν οὐρανό ρίχνει μαζί μέ τά ἀστέρια, οὔτε ὅλα γενικά τά ἐξαφανίζει, ἀλλ' ἀφήνει νά εἶναι σέ τάξη καί νά μᾶς ὑπηρετεῖ ὅλη ἡ κτίση.

10. Αὐτά λοιπόν ἀφοῦ σκεφθοῦμε, ἄς τρέμουμε μπροστά στό μέγεθος τῆς φιλανθρωπίας καί ἄς ἐπιστρέψουμε στήν εὐγενική μας καταγωγή· γιατί ἀσφαλῶς τώρα δέ συμπεριφερόμαστε καθόλου καλύτερα ἀπό τά ζῶα, ἀλλά καί πολύ χειρότερα. Γιατί ἐκεῖνα ἀγαποῦν τά συγγενικά τους ζῶα, καί εἶναι εὐχαριστημένα μέ τή συμμετοχή τῆς φύσης στή μεταξύ τους φιλοστοργία, ἐνῶ ἐσύ, μολονότι ἔχεις μαζί μέ τή φύση ἄπειρες ἀφορμές πού σέ ὁδηγοῦν καί

μυρίων ἀγαθῶν, ἐκείνων ἀγριώτερος γέγονας, εἰς μὲν τὰ ἀνόνητα πολλὴν τὴν σπουδὴν ἐπιδεικνύμενος, τοὺς δὲ ναοὺς τοῦ Θεοῦ καὶ λιμῷ καὶ γυμνότητι περιορῶν ἀπολλυμένους, πολλάκις δὲ καὶ μυρίοις περιβάλλων κακοῖς. Εἰ γὰρ δόξης ἐρῶν ταῦτα ποιεῖς, πολλῷ μᾶλλον τὸν ἀδελφὸν τοῦ ἵππου θεραπεύειν ἔδει. Ὅσῳ γὰρ βελτίων ὁ τῆς εὐεργεσίας ἀπολαύων, τοσούτῳ σοι καὶ λαμπρότερος πλέκεται τῆς τοιαύτης σπουδῆς ὁ στέφανος· ὡς νῦν γε τοῖς ἐναντίοις περιπίπτων, καὶ μυρίους ἐπισπώμενος κατὰ σαυτοῦ κατηγόρους, οὐκ αἰσθάνῃ.

Τίς γάρ σε οὐκ ἐρεῖ κακῶς; τίς γάρ σε οὐ γράψεται τῆς ἐσχάτης ὠμότητος καὶ μισανθρωπίας, ὁρῶν τὸ μὲν τῶν ἀνθρώπων ἀτιμάζοντα γένος, τὸ δὲ τῶν ἀλόγων πρὸ τῶν ἀνθρώπων ποιούμενον, καὶ μετὰ τῶν ἀλόγων τὰ κατὰ τὴν οἰκίαν ἔπιπλα; Οὐκ ἤκουσας τῶν ἀποστόλων λεγόντων, ὅτι οἱ πρῶτοι τὸν λόγον δεξάμενοι καὶ οἰκίας καὶ χωρία ἐπώλουν, ἵνα τοὺς ἀδελφοὺς τρέφωσι; σὺ δὲ καὶ οἰκίας καὶ χωρία ἁρπάζεις, ἵνα ἵππον κοσμήσῃς καὶ ξύλα καὶ δέρματα καὶ τοίχους καὶ ἔδαφος. Καὶ τὸ δὴ χαλεπώτατον, ὅτι οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες ταύτην μαίνονται τὴν μανίαν, καὶ τοὺς ἄνδρας εἰς τὴν τοιαύτην ἀλείφουσι ματαιοπονίαν, πανταχοῦ μᾶλλον ἢ ἐν τοῖς ἀναγκαίοις δαπανᾶν ἀναγκάζουσαι. Κἂν ἐγκαλέσῃ τις ὑπὲρ τούτων, μεμελετήκασιν ἀπολογίαν πολλῆς κατηγορίας γέμουσαν· καὶ γὰρ καὶ ταῦτα κἀκεῖνα γίνεται, φησί.

Τί φῄς; οὐ δέδοικας τοιαῦτα φθεγγόμενος, καὶ μετὰ τῶν ἵππων καὶ τῶν ἡμιόνων καὶ τῶν κλινῶν καὶ τῶν ὑποποδίων τὸν πεινῶντα Χριστὸν ἀριθμῶν; μᾶλλον δὲ οὐδὲ μετὰ τούτων, ἀλλὰ τὸ μὲν πλέον μέρος τούτοις, ἐκείνῳ δὲ μόλις ὀλίγον ἀπονέμων μέρος. Οὐκ οἶσθα, ὅτι πάντα αὐτοῦ, καὶ σὺ καὶ τὰ σά; οὐκ οἶσθα, ὅτι καὶ τὸ σῶμα αὐτὸς διέπλασε, καὶ ψυχὴν ἐχαρίσατο, καὶ τὸν κόσμον ἀπένειμεν ἅπαντα; Σὺ δὲ οὐδὲ μικρὰν τούτῳ ἀντιδίδως ἀμοιβήν·

---

17. Δηλαδή τά σώματα τῶν ἀνθρώπων πού μέσα τους κατοικεῖ ὁ Θεός..

σέ σπρώχνουν πρός τά δικά σου μέλη, τό ὅτι ἔχεις τιμηθεῖ μέ λόγο, τό ὅτι μετέχεις στήν εὐσέβεια, τό ὅτι εἶσαι μέτοχος σέ ἄπειρα ἀγαθά, ἔγινες πιό ἄγριος ἀπό ἐκεῖνα, ἀφοῦ δείχνεις μεγάλη φροντίδα γιά τά ἄχρηστα πράγματα, ἀνέχεσαι ὅμως νά καταστρέφονται μέ πείνα καί γύμνια οἱ ναοί τοῦ Θεοῦ[17], καί πολλές φορές τούς περιβάλεις μέ ἄπειρα κακά. Ἐάν ὅμως τά κάνεις αὐτά ἐπειδή ἀγαπᾶς πολύ τή δόξα, ἔπρεπε νά φροντίζεις τόν ἀδελφό σου πολύ περισσότερο ἀπό τό ἄλογο. Γιατί ὅσο καλύτερος εἶναι ἐκεῖνος πού ἀπολαμβάνει τήν εὐεργεσία, τόσο λαμπρότερο γιά σένα πλέκεται τό στεφάνι γι' αὐτή τή φροντίδα· ἐνῶ τώρα, πέφτοντας στά ἀντίθετα καί ἐπισύροντας πάρα πολλούς κατηγόρους ἐναντίον σου, δέν τό αἰσθάνεσαι.

Γιατί ποιός δέ θά σέ κακολογήσει; ποιός δέ θά σέ κατηγορήσει γιά τή χειρότερη σκληρότητα καί μισανθρωπία, ὅταν βλέπει νά ἀτιμάζεις τό γένος τῶν ἀνθρώπων καί νά βάζεις πρίν ἀπό τούς ἀνθρώπους τό γένος τῶν ζώων, καί μαζί μέ τά ζῶα τά ἔπιπλα τοῦ σπιτιοῦ; Δέν ἄκουσες τούς ἀποστόλους πού λέγουν, ὅτι ἐκεῖνοι πού δέχτηκαν τό κήρυγμα πρῶτοι πουλοῦσαν καί σπίτια καί χωράφια, γιά νά θρέφουν τούς ἀδελφούς; Ἐσύ ὅμως καί σπίτια καί χωράφια ἁρπάζεις, γιά νά στολίσεις τό ἄλογο καί τά ξύλα καί τά δέρματα καί τούς τοίχους καί τό ἔδαφος. Καί τό πιό φοβερό βέβαια εἶναι, ὅτι ὄχι μόνο ἄνδρες, ἀλλά καί γυναῖκες παθαίνουν αὐτή τή τρέλλα, καί προετοιμάζουν τούς ἄνδρες γιά μιά τέτοια ματαιοπονία, ἀναγκάζοντας αὐτούς νά ξοδεύουν μᾶλλον παντοῦ ἀλλοῦ, παρά στά ἀναγκαῖα. Καί ἄν τίς κατηγορήσει κανείς γι' αὐτά, ἔχουν μελετημένη ἀπολογία πού εἶναι γεμάτη ἀπό πολλή κατηγορία· γιατί, λέγει, καί αὐτά καί ἐκεῖνα γίνονται.

Τί λέγεις; δέ φοβᾶσαι νά λέγεις αὐτά καί μαζί μέ τά ἄλογα καί τούς ἡμιόνους καί τά κρεβάτια καί τά ὑποπόδια ν' ἀριθμεῖς καί τό Χριστό πού πεινάει; ἤ καλύτερα, ὄχι μαζί μέ αὐτά, ἀλλά τό περισσότερο μέρος νά δίνεις σ' αὐτά, ἐνῶ σ' ἐκεῖνον ἐλάχιστο μέρος. Δέ γνωρίζεις, ὅτι ὅλα ἀνήκουν σ' αὐτόν, καί ἐσύ, καί τά δικά σου; Ἐσύ ὅμως δέν ἀνταποδίδεις σ' αὐτόν οὔτε μικρή ἀμοιβή. Ἀλλ' ἄν νοικιάσεις ἕνα μικρό σπιτάκι, μέ πολλή ἀκρίβεια ἀπαιτεῖς

ἀλλ' ἂν μὲν οἰκίσκον μικρὸν ἐκμισθώσῃς, μετὰ πολλῆς ἀκριβείας τὸν μισθὸν ἀπαιτεῖς, τὴν δὲ κτίσιν αὐτοῦ πᾶσαν καρπούμενος, καὶ κόσμον τοσοῦτον οἰκῶν, οὐδὲ ὀλίγον ἀνέχῃ μισθὸν καταβαλεῖν, ἀλλὰ τῇ κενοδοξίᾳ καὶ σαυτὸν καὶ τὰ σαυτοῦ πάντα ἐξέδωκας. Καὶ γὰρ ἐκεῖθεν ἅπαντα ταῦτα ἤρτηται. Οὐδὲ γὰρ ἵππος βελτίων ἂν γένοιτο πρὸς τὴν ἀρετὴν τὴν αὐτοῦ, τὸν κόσμον περιθέμενος τοῦτον, οὔτε ὁ καθήμενος αὐτὸν ἄνθρωπος, ἀλλ' ἔστιν ὅτε καὶ ἀτιμότερος. Πολλοὶ γὰρ ἀφέντες τὸν ὀχούμενον, πρὸς τὸν κόσμον τοῦ ἵππου τρέπουσι τοὺς ὀφθαλμοὺς καὶ τοὺς ἑπομένους οἰκέτας καὶ τοὺς προηγουμένους καὶ σοβοῦντας, τὸν δὲ ὑπὸ τούτων δορυφορούμενον καὶ μισοῦσι καὶ ἀποστρέφονται ὡς κοινὸν ἐχθρόν. Ἀλλ' οὐχ ὅταν τὴν ψυχὴν κοσμῇς, τοῦτο συμβαίνει, ἀλλὰ καὶ ἄνθρωποι καὶ ἄγγελοι καὶ ὁ τῶν ἀγγέλων δεσπότης καὶ πάντες σοι τὸν στέφανον πλέκουσιν.

Ὥστε, εἰ δόξης ἐρᾷς, ἀπόστηθι τούτων ὡς νῦν ποιεῖς, καὶ μὴ τὴν οἰκίαν, ἀλλὰ τὴν ψυχὴν καλλώπιζε, ἵνα γένῃ λαμπρὸς καὶ περιφανής· ὡς νῦν γε οὐδὲν σου γένοιτ' ἂν εὐτελέστερον, ἐρήμην ἔχοντος τὴν ψυχήν, καὶ τὸ τῆς οἰκίας προβαλλομένου κάλλος. Εἰ δὲ οὐκ ἀνέχῃ τῶν παρ' ἐμοῦ λεγομένων, ἄκουσον τί τῶν ἔξωθέν τις ἐποίησε, καὶ αἰσχύνθητι τὴν γοῦν φιλοσοφίαν. Λέγεται γάρ τις ἐκείνων εἰς οἰκίαν λαμπρὰν εἰσελθών, πολλῷ μὲν καταλαμπομένην χρυσίῳ, πολλῷ δὲ ἀστράπτουσαν τῷ τῶν μαρμάρων καὶ τῶν κιόνων κάλλει, ἐπειδὴ καὶ τὸ ἔδαφος εἶδε πανταχοῦ τάπητας ἔχον ἐστρωμένους, εἰς τὴν ὄψιν ἐμπτύσαι τοῦ τῆς οἰκίας δεσπότου· εἶτα ἐγκαλούμενος εἰπεῖν, διὰ τὸ μηδαμηνοῦ τῆς οἰκίας ἑτέρωθι τοῦτο ἐξεῖναι ποιῆσαι, εἰς τὴν ὄψιν ἀναγκασθῆναι ὑβρίσαι τὴν ἐκείνου. Ὁρᾷς πῶς καταγέλαστος ὁ τὰ ἔξωθεν καλλωπίζων ἐστί, καὶ παρὰ πᾶσιν εὐκαταφρόνητος τοῖς νοῦν ἔχουσι; Καὶ μάλα εἰκότως. Οὐδὲ γὰρ εἰ τὴν σύνοικόν τις ἀφεὶς τὴν σὴν ῥάκια περικεῖσθαι, καὶ ἠμελημένην εἶναι, τὰς θεραπενίδας λαμπρᾷ περιέβαλε στολῇ, πράως

18. Τὸ ἀνέκδοτο ἀναφέρεται στόν Ἀρίστιππο, ὅπως μᾶς πληροφορεῖ ὁ Διογένης ὁ Λαέρτιος στή βιογραφία τοῦ φιλοσόφου· «ἀναχρεμψάμενος προσέπτυσε τῇ ὄψει· τοῦ δ' ἀγανακτήσαντος, οὐκ εἶχον, εἶπε, τόπον ἐπιτηδειότερον» (παρ. 7

τό ἐνοίκιο, τώρα ὅμως πού ἀπολαμβάνεις ὁλόκληρη τήν κτίση του, καί ἔχεις σάν κατοικία σου τόσο κόσμο, δέν ἀνέχεσαι οὔτε λίγο μίσθωμα νά πληρώσεις, ἀλλά παρέδωσες στή ματαιοδοξία καί τόν ἑαυτό σου καί ὅλα τά δικά σου. Γιατί πραγαμτικά ὅλα αὐτά ἀπό ἐδῶ ἐξαρτῶνται. Γιατί οὔτε τό ἄλογο μπορεῖ νά γίνει καλύτερο ὡς πρός τήν ἀξία του, ὅταν φοράει αὐτά τά στολίδια, οὔτε ὁ ἄνθρωπος πού κάθεται πάνω του, ἀλλά κάποτε μπορεῖ νά γίνει καί περισσότερο ἀνάξιος τιμῆς. Γιατί πολλοί, ἀφοῦ ἀφήσουν τόν ἀναβάτη, στρέφουν τά μάτια τους στά στολίδια τοῦ ἀλόγου, καί στούς ὑπηρέτες πού ἀκολουθοῦν καί προηγοῦνται καί πού βαδίζουν μέ τρόπο ἐπίσημο, ἐνῶ ἐκεῖνον πού περιστοιχίζεται ἀπ' αὐτούς, καί τόν μισοῦν καί τόν ἀποστρέφονται σάν κοινό ἐχθρό. Ὅμως δέ συμβαίνει αὐτό, ὅταν στολίζεις τήν ψυχή σου, ἀλλά καί οἱ ἄνθρωποι καί οἱ ἄγγελοι καί ὁ Κύριος τῶν ἀγγέλων καί ὅλοι σοῦ πλέκουν τό στεφάνι.

Ὥστε, ἐάν ποθεῖς τή δόξα, φύγε μακριά ἀπ' αὐτά πού κάνεις τώρα, καί νά μή στολίζεις τό σπίτι, ἀλλά τήν ψυχή, γιά νά γίνεις λαμπρός καί διάσημος· ὅπως τώρα βέβαια τίποτε δέν μπορεῖ νά γίνει εὐτελέστερο ἀπό σένα, ἀφοῦ ἔχεις ἔρημη τήν ψυχή καί προβάλλεις τήν ὀμορφιά τοῦ σπιτιοῦ. Ἐάν ὅμως δέν ὑποφέρεις αὐτά πού λέγω, ἄκουσε τί ἔκαμε κάποιος ἀπό τούς εἰδωλολάτρες, καί νά νιώσεις ντροπή τουλάχιστο γιά τή φιλοσοφία τους. Λέγεται δηλαδή ὅτι κάποιος ἀπ' αὐτούς, ὅταν μπῆκε σέ λαμπρό σπίτι, πού ἔλαμπε ἀπό πολύ χρυσάφι καί ἄστραφτε ἀπό τήν πολλή ὀμορφιά πού εἶχαν τά μάρμαρα καί οἱ κολόνες, ἐπειδή εἶδε πώς καί στό δάπεδο παντοῦ ἦταν στρωμένα χαλιά, ἔφτυσε στό πρόσωπο τοῦ οἰκοδεσπότη. Ἔπειτα ὅταν κατηγοροῦνταν εἶπε ὅτι, ἐπειδή δέν τοῦ ἐπιτρεπόταν νά κάμει αὐτό σέ κανένα ἄλλο σημεῖο τοῦ σπιτιοῦ, ἀναγκάστηκε νά προσβάλει τό πρόσωπό του[18]. Βλέπεις πῶς εἶναι καταγέλαστος ἐκεῖνος πού στολίζει τά ἔξω καί πῶς περιφρονεῖται εὔκολα ἀπ' ὅλους ἐκείνους πού ἔχουν νοῦ; Καί πολύ φυσικά. Γιατί, ἐάν κάποιος, ἀφήνοντας τή δική του γυναίκα νά φοράει σχισμένα ροῦχα καί νά εἶναι ἀτημέλητη, ἔντυνε μέ λαμπρή στολή τίς

ἂν ἤνεγκας, ἀλλὰ παρωξύνθης, καὶ ὕβριν ἂν τὸ πρᾶγμα ἔφησας εἶναι τὴν ἐσχάτην.

Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς λογίζου. Ὅταν γὰρ τοὺς μὲν τοίχους καὶ τὸ ἔδαφος καὶ τὰ ἔπιπλα καὶ τὰ ἄλλα πάντα καλλωπίζῃς, ἐλεημοσύνην δὲ μὴ παρέχῃς δαψιλῆ, μηδὲ τὴν ἄλλην ἀσκῇς φιλοσοφίαν, οὐδὲν ἕτερον ἢ τοῦτο ποιεῖς, μᾶλλον δὲ τὸ πολλῷ χαλεπώτερον. Τῆς μὲν γὰρ δούλης καὶ τῆς δεσποίνης οὐδὲν τὸ μέσον, τῆς δὲ ψυχῆς καὶ τῆς σαρκὸς πολὺ τὸ διάφορον· εἰ δὲ τῆς σαρκὸς, πολλῷ μᾶλλον τῆς οἰκίας καὶ τῆς κλίνης καὶ τοῦ ὑποποδίου. Ποίας οὖν ἄξιος ἀπολογίας ἂν εἴης, ταῦτα μὲν ἅπαντα ἀργυρίῳ περιβάλλων, ἐκείνην δὲ περιορῶν ρακοδυτοῦσαν, αὐχμῶσαν, πεινῶσαν, τραυμάτων γέμουσαν, ὑπὸ μυρίων σπαραττομένην κυνῶν, καὶ μετὰ ταῦτα ἅπαντα καὶ δοξάζεσθαι ἀπὸ τοῦ καλλωπισμοῦ τῶν ἔξωθεν περικειμένων νομίζων; Ὃ δὴ μάλιστα τῆς ἐσχάτης παραπληξίας ἐστί, τὸ γελώμενον καὶ ὀνειδιζόμενον καὶ ἀσχημονοῦντα καὶ ἀτιμαζόμενον καὶ εἰς ἐσχάτην ἐμπίπτοντα κόλασιν, ἔτι καὶ ἐγκαλλωπίζεσθαι τούτοις.

Διό, παρακαλῶ, ταῦτα πάντες ἐννοήσαντες ἀνανήψωμεν ὀψὲ γοῦν ποτε, καὶ ἡμῶν αὐτῶν γενώμεθα, καὶ τὸν κόσμον τοῦτον ἀπὸ τῶν ἔξωθεν εἰς τὴν ψυχὴν μετενέγκωμεν. Οὕτω γὰρ καὶ αὐτὸς ἄσυλος μενεῖ, καὶ ἡμᾶς τοῖς ἀγγέλοις ἴσους ἐργάσεται, καὶ τὰ ἀκίνητα προξενήσει καλά, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρισοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὑπηρέτριες, δέ θά τό ἄντεχες μέ πραότητα, ἀλλά θά ὀργιζόσουν καί θά ἔλεγες πώς τό πράγμα εἶναι ἡ χειρότερη προσβολή.

Αὐτό λοιπόν νά σκέφτεσαι καί γιά τήν ψυχή. Γιατί, ὅταν στολίζεις τούς τοίχους καί τό δάπεδο καί τά ἔπιπλα καί ὅλα τά ἄλλα, ἐλεημοσύνη ὅμως δέ δίνεις γενναία, οὔτε τήν ἄλλη ἀσκεῖς ἐγκράτεια, δέν κάνεις τίποτε ἄλλο παρά τό ἴδιο, ἤ καλύτερα τό πολύ πιό φοβερό. Γιατί ἀνάμεσα στήν ὑπηρέτρια καί στήν οἰκοδέσποινα δέν ὑπάρχει καμιά διαφορά, ἐνῶ ἀνάμεσα στήν ψυχή καί τό σῶμα εἶναι μεγάλη ἡ διαφορά. Ἀφοῦ ὅμως ὑπάρχει μεγάλη διαφορά ἀπό τό σῶμα, πολύ περισσότερο θά ὑπάρχει ἀπό τό σπίτι καί ἀπό τό κρεββάτι καί ἀπό τό ὑποπόδιο. Ποιά λοιπόν δικαιολογία μπορεῖ νά ἔχεις, ὅταν ὅλα αὐτά τά ντύνεις μέ ἀσήμι, τήν ψυχή ὅμως ἀνέχεσαι νά εἶναι ρακένδυτη, ἀκάθαρτη, νά πεινάει, γεμάτη ἀπό τραύματα, νά ξεσχίζεται ἀπό ἄπειρα σκυλιά, καί ὅταν ὕστερα ἀπ' ὅλα αὐτά νομίζεις, πώς καί δοξάζεσαι ἀπό τό στολισμό ὅλων ἐκείνων πού σέ περιβάλλουν ἀπό ἔξω; Αὐτό πρό πάντων εἶναι ἀπόδειξη τῆς πιό χειρότερης παραφροσύνης, ὅταν, ἐνῶ γίνεσαι γελοῖος καί σέ περιπαίζουν καί φέρεσαι ἄσεμνα καί σέ περιφρονοῦν, καί πέφτεις στή χειρότερη τιμωρία, σύ ἐξακολουθεῖς νά καμαρώνεις γι' αὐτά.

Γι' αὐτό, παρακαλῶ, ἀφοῦ σκεφθοῦμε καλὰ ὅλα αὐτά, ἄς συνέλθουμε τουλάχιστο κάποτε ἔστω καί ἀργά, καί ἄς ἔρθουμε στά λογικά μας, μεταφέροντας τόν στολισμό αὐτόν ἀπό τά ἔξω στήν ψυχή μας. Γιατί ἔτσι καί αὐτός θά παραμείνει ἀσύλητος, καί θά μᾶς κάνει ἴσους μέ τούς ἀγγέλους καί θά γίνει πρόξενος τῶν σταθερῶν καλῶν. Αὐτά τά καλά εἴθε ὅλοι μας νά ἐπιτύχουμε, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΓ'

(Ρωμ. 6,19 – 7,13)

«Ἀνθρώπινον λέγω διὰ τὴ ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν».

1. *Ἐπειδὴ πολλὴν ἀπήτησεν ἀκρίβειαν τοῦ βίου, νεκροὺς εἶναι κελεύων τῷ κόσμῳ, καὶ τεθνηκέναι τῇ πονηρίᾳ, καὶ ἀκινήτους μένειν πρὸς τὴν τῶν ἁμαρτημάτων ἐνέργειαν, καὶ ἐδόκει μέγα τι καὶ βαρὺ λέγειν καὶ τὴν ἀνθρωπίνην ὑπερβαῖνον φύσιν, δεῖξαι βουλόμενος, ὅτι οὐδὲν ὑπέρογκον ἀπαιτεῖ, οὐδὲ ὅσον ἐχρῆν τὸν τοσαύτης ἀπολαύσαντα δωρεᾶς, ἀλλὰ καὶ σφόδρα σύμμετρον καὶ κοῦφον, ἀπὸ τῶν ἐναντίων αὐτὸ κατασκευάζει, καί φησιν, «ἀνθρώπινον λέγω»· ὡσανεὶ ἔλεγεν, ἀπὸ ἀνθρωπίνων λογισμῶν, ἀπὸ τῶν ἐν συνηθείᾳ γινομένων· ἢ γὰρ τοῦτο, ἢ τὸ σύμμετρον τῇ προσηγορίᾳ τοῦ ἀνθρωπίνου δηλοῖ. Καὶ γὰρ καὶ ἀλλαχοῦ φησι, «πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος»· τουτέστι, σύμμετρος καὶ μικρός. «Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν». Καίτοι πολὺ τῶν δεσποτῶν τὸ μέσον, ἀλλ' ὅμως τὸ ἴσον τῆς δουλείας ἀπαιτῶ μέτρον.*

---

1. Α' Κορ. 10, 13.

ΟΜΙΛΙΑ ΙΓ'

(Ρωμ. 6,19 - 7,13)

«Ὁμιλῶ μέ ἀνθρώπινο τρόπο ἐκφράσεως ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς σάρκας σας. Ὅπως δηλαδή προσφέρατε τά μέλη σας σκλάβα στήν ἀκαθαρσία καί τήν ἀνομία γιά νά κάνετε τήν ἀνομία, ἔτσι τώρα νά προσφέρετε τά μέλη σας δοῦλα στήν ἐνάρετη ζωή γιά νά προοδεύετε στήν ἁγιότητα».

1. Ἐπειδή ζήτησε μεγάλη προσοχή στόν τρόπο τῆς ζωῆς τους, προτρέποντάς τους νά εἶναι νεκροί ὡς πρός τόν κόσμο, νά ἔχουν πεθάνει ὡς πρός τήν κακία καί νά μένουν ἀκίνητοι στή διάπραξη τῶν ἁμαρτημάτων, καί φαινόταν πώς ἔλεγε κάτι μεγάλο καί βαρύ καί πού ξεπερνάει τήν ἀνθρώπινη φύση, θέλοντας νά δείξει, ὅτι δέν ἀπαιτεῖ τίποτε τό ὑπερβολικό, οὔτε ὅσο ἔπρεπε σ' ἐκεῖνον πού ἀπόλαυσε τόσο μεγάλη δωρεά, ἀλλά καί ὑπερβολικά μέτριο καί ἐλαφρύ, τό ἀποδεικνύει ἀπό τά ἀντίθετα, καί λέγει, «ὁμιλῶ μέ ἀνθρώπινο τρόπο ἐκφράσεως». Σάν νά ἔλεγε, ἀπό ἀνθρώπινες σκέψεις, ἀπ' αὐτά πού συνήθως γίνονται. Ἤ λοιπόν αὐτό, ἤ τό μέτριο φανερώνει μέ τήν ὀνομασία τοῦ ἀνθρώπινου. Γιατί καί ἀλλοῦ λέγει, «δέ σᾶς κατέλαβε πειρασμός, παρά μόνο ἀνθρώπινος»[1], δηλαδή, ἀνάλογος πρός τίς δυνάμεις τοῦ ἀνθρώπου καί μικρός. «Ὅπως δηλαδή προσφέρατε τά μέλη σας δοῦλα στήν ἀκαθαρσία καί τήν ἀνομία γιά νά κάνετε τήν ἀνομία, ἔτσι τώρα νά προσφέρετε τά μέλη σας δοῦλα στήν ἐνάρετη ζωή γιά νά προοδεύετε στήν ἁγιότητα». Ἄν καί ὑπάρχει μεγάλη διαφορά ἀνάμεσα στούς κυρίους, ἀλλ' ὅμως ἀπαιτῶ τό ἴσο μέτρο τῆς δουλείας. Γιατί ἔπρεπε βέβαια καί πολύ περισσότερο νά προσφέρετε, καί τόσο περισσότερο, ὅσο

Ἔδει μὲν γὰρ καὶ πολλῷ πλέον εἰσενεγκεῖν, καὶ τοσούτῳ πλέον, ὅσῳ καὶ αὕτη μείζων τῆς δεσποτείας ἐκείνης καὶ ἀμείνων· πλὴν ἀλλ' οὐδὲν πλέον ἀπαιτῶ διὰ τὴν ἀσθένειαν.

Καὶ οὐκ εἶπε, τῆς προαιρέσεως ὑμῶν, οὐδὲ τῆς προθυμίας, ἀλλὰ «τῆς σαρκὸς ὑμῶν», ἀνεπαχθέστερον ποιῶν τὸν λόγον. Καίτοι τὸ μὲν ἀκαθαρσία, τὸ δὲ ἁγιασμός· τὸ μὲν ἀνομία, τὸ δὲ δικαιοσύνη. Καὶ τίς οὕτως ἄθλιος, φησί, καὶ ταλαίπωρος, ὡς μηδὲ τοσαύτην εἰσενεγκεῖν σπουδὴν τῇ τοῦ Χριστοῦ δουλείᾳ, ὅσην τῇ τῆς ἁμαρτίας καὶ τοῦ διαβόλου; Οὐκοῦν ἄκουσον τῶν ἑξῆς, καὶ εἴσῃ σαφῶς, ὅτι οὐδὲ τὸ μικρὸν τοῦτο εἰσφέρομεν. Ἐπειδὴ γὰρ ἁπλῶς οὕτω λεγόμενον οὐκ ἐδόκει πιστὸν εἶναι οὐδὲ εὐπαράδεκτον, οὐδὲ ἠνείχετό τις ἀκοῦσαι, ὅτι οὐ δουλεύει τοσοῦτον τῷ Χριστῷ, ὅσον ἐδούλευσε τῷ διαβόλῳ, διὰ τῶν ἑξῆς αὐτὸ κατασκευάζει καὶ ποιεῖ πιστόν, τὴν δουλείαν ἐκείνην ἄγων εἰς μέσον, καὶ λέγων πῶς ἐδούλευσαν. «Ὅτε γὰρ ἦτε δοῦλοι», φησί, «τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτε ἐν πονηρίᾳ ἐζῆτε καὶ ἀσεβείᾳ καὶ ἐσχάτοις κακοῖς, μετὰ τοσαύτης ἐζῆτε τῆς ὑπακοῆς, ὡς μηδὲν καθόλου πράττειν καλόν. Τοῦτο γάρ ἐστιν, «ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ»· τουτέστιν, οὐκ ἦτε ὑποτεταγμένοι αὐτῇ, ἀλλ' ἠλλοτριωμένοι καθόλου. Οὐδὲ γὰρ διενέμετε τῆς δουλείας τὸν τρόπον τῇ δικαιοσύνῃ καὶ τῇ ἁμαρτίᾳ, ἀλλ' ὅλους ἑαυτοὺς ἐξεδίδοτε τῇ πονηρίᾳ.

Οὐκοῦν καὶ νῦν, ἐπειδὴ μετέστητε πρὸς τὴν δικαιοσύνην, ὅλους ἑαυτοὺς ἔκδοτε τῇ ἀρετῇ, μηδὲν καθόλου τῆς κακίας πράττοντες, ἵνα κἂν ἴσον ἐπιδείξητε τὸ μέτρον. Καίτοιγε οὐχὶ τῆς δεσποτείας αὐτῆς πολὺ τὸ μέσον μόνον, ἀλλὰ καὶ τῆς δουλείας αὐτῆς πολὺ τὸ διάφορον· ὅπερ καὶ αὐτὸ μετὰ πολλῆς ἀναπλοῖ τῆς σαφηνείας, καὶ δείκνυσιν ἐπὶ τίσι μὲν τότε ἐδούλευον, ἐπὶ τίσι δὲ νῦν. Καὶ οὔπω λέγει τὴν βλάβην τὴν ἀπὸ τοῦ πράγματος γινομένην, ἀλλὰ τέως τὴν αἰσχύνην. «Τίνα» γὰρ φησί, «καρπὸν εἴχετε τότε

καί αὐτή ἡ ἐξουσία εἶναι μεγαλύτερη καί καλύτερη ἀπό ἐκείνη. Ἀλλ' ὅμως δέν ἀπαιτῶ τίποτε περισσότερο ἐξ αἰτίας τῆς ἀδυναμίας σας.

Καί δέν εἶπε, 'τῆς προαιρέσεώς σας', οὔτε 'τῆς προθυμίας σας', ἀλλά «τῆς σάρκας σας», κάνοντας τό λόγο λιγότερο δυσάρεστο. Ἄν καί τό ἕνα εἶναι ἀκαθαρσία, ἐνῶ τό ἄλλο ἁγιασμός· τό ἕνα ἀνομία, ἐνῶ τό ἄλλο ἐνάρετη ζωή. Καί ποιός εἶναι τόσο ἄθλιος, λέγει, καί ταλαίπωρος, ὥστε νά μήν προσφέρει τόση προθυμία γιά τή δουλεία τοῦ Χριστοῦ, ὅση στή δουλεία τῆς ἁμαρτίας καί τοῦ διαβόλου; Ἄκουσε λοιπόν τά ἑπόμενα καί θά γνωρίσεις καλά, ὅτι δέν προσφέρουμε οὔτε αὐτό τό μικρό. Ἐπειδή δηλαδή, ὅταν λεγόταν αὐτό ἔτσι ἁπλά, δέ φαινόταν πώς εἶναι ἀξίοπιστο οὔτε εὐπρόσδεκτο, οὔτε ἀνεχόταν κανείς ν' ἀκούσει, ὅτι δέν ὑπηρετεῖ σάν δοῦλος τόσο στό Χριστό, ὅσο ὑπηρέτησε στό διάβολο, μέ τά ἑπόμενα τό ἀποδεικνύει αὐτό καί τό κάνει ἀξιόπιστο, παρουσιάζοντας μπροστά τους τή δουλεία ἐκείνη καί λέγοντας πῶς τήν ὑπηρέτησαν. «Γιατί, ὅταν ἤσαστε δοῦλοι τῆς ἁμαρτίας», λέγει, «ἤσαστε ἐλεύθεροι ὡς πρός τή δικαιοσύνη». Αὐτό ὅμως πού λέγει, σημαίνει τό ἑξῆς· ὅταν ζούσατε μέσα στήν κακία καί τήν ἀσέβεια καί τά χειρότερα κακά, ζούσατε μέ τόσα μεγάλη ὑπακοή, ὥστε νά μήν κάνετε ἐντελῶς κανένα καλό. Γιατί αὐτό σημαίνει, «ἐλεύθεροι ἤσαστε ὡς πρός τή δικαιοσύνη». Δηλαδή, δέν ἤσαστε ὑποταγμένοι σ' αὐτήν, ἀλλ' ἐντελῶς ἀποξενωμένοι. Οὔτε βέβαια μοιράζετε τόν τρόπο τῆς δουλείας στή δικαιοσύνη καί τήν ἁμαρτία, ἀλλά παραδίνατε ὁλοκληρωτικά τούς ἑαυτούς σας στήν κακία.

Ἑπομένως καί τώρα, ἐπειδή μετατεθήκατε πρός τή διακαιοσύνη, νά παραδώσετε ὁλοκληρωτικά τούς ἑαυτούς σας στήν ἀρετή, χωρίς νά κάνετε ἐντελῶς κανένα κακό, γιά νά δείξετε τουλάχιστο ἴσο τό μέτρο. Μολονότι βέβαια δέν εἶναι μεγάλη ἡ διαφορά τῆς ἐξουσίας μόνο, ἀλλά καί τῆς δουλείας αὐτῆς μεγάλη εἶναι ἡ διαφορά, πράγμα πού καί αὐτό ἀναπτύσσει μέ μαγάλη σαφήνεια, καί δείχνει σέ ποιούς ἦταν δοῦλοι τότε, καί σέ ποιούς τώρα. Καί δέ λέγει ἀκόμη τή ζημία πού προέρχεται ἀπό τό πράγμα, ἀλλά πρῶτα λέγει τήν ντροπή. «Ποιά λοιπόν ὠφέλεια», λέγει, «εἴχατε

ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;». Τοιαύτη γὰρ ἦν ἡ δουλεία, ὡς καὶ τὴν ἀνάμνησιν αὐτῆς νῦν αἰσχύνην φέρειν. Εἰ δὲ ἡ ἀνάμνησις καταισχύνει, πολλῷ μᾶλλον ἡ πρᾶξις. Ὥστε διπλῇ νῦν ἐκερδάνετε, καὶ ἀπαλλαγέντες τῆς αἰσχύνης, καὶ μαθόντες ἐν οἷς ἦτε· ὥσπερ οὖν τότε διπλῇ παρεβλάπτεσθε, ὅπερ τοῦ προτέρου μεῖζον ἦν· ἀλλ' ὅμως ἐμένετε δουλεύοντες. Δείξας τοίνυν ἐκ περιουσίας τὴν βλάβην τῶν τότε γινομένων, ἀπὸ τῆς αἰσχύνης καὶ ἐπ' αὐτὸ τὸ πρᾶγμα χωρεῖ. Τί οὖν ἦν τὸ πράγμα; «Τὸ μὲν γὰρ τέλος ἐκείνων θάνατος». Ἐπειδὴ γὰρ ἡ αἰσχύνη οὐ σφόδρα δοκεῖ φορτικὸν εἶναι, ἐπὶ τὸ πάνυ φοβερὸν ἔρχεται, τὸν θάνατον λέγω· καίτοιγε ἤρκει καὶ τὸ ἔμπροσθεν εἰρημένον.

Ἐννόησον γὰρ ὅση τῆς κακίας ἡ ὑπερβολή, ὅπου γε καὶ τῆς τιμωρίας ἀπηλλαγμένοι, τῆς αἰσχύνης ἀπαλλαγῆναι οὐκ εἶχον. Ποῖον οὖν προσδοκᾷς, φησί, μισθὸν ἀπὸ τῆς πράξεως, ὅταν ἀπὸ τῆς μνήμης μόνης, καὶ ταῦτα τῆς τιμωρίας ἀπηλλαγμένος, ἐγκαλύπτῃ καὶ ἐρυθριᾷς, καίτοιγε ἐν τοσαύτῃ ὢν χάριτι; Ἀλλ' οὐ τὰ τοῦ Θεοῦ τοιαῦτα. «Νῦν» γὰρ φησίν, «ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον». Ἐκείνων ὁ καρπὸς αἰσχύνη καὶ μετὰ τὴν ἀπαλλαγήν, τούτων ὁ καρπὸς ἁγιασμός· ὅπου δὲ ἁγιασμός, παρρησία πᾶσα. Ἐκείνων τὸ τέλος θάνατος, τούτων δὲ ζωὴ αἰώνιος. Εἶδες πῶς τὰ μὲν δείκνυσι δεδομένα, τὰ δὲ ἐν ἐλπίσιν ὄντα, καὶ ἀπὸ τῶν δεδομένων κἀκεῖνα πιστοῦται, ἀπὸ τοῦ ἁγιασμοῦ τὴν ζωήν; Ἵνα γὰρ μὴ λέγῃς, ὅτι πάντα ἐν ἐλπίσι, δείκνυσι καὶ ἤδη σε καρπωσάμενον· πρῶτον τὸ ἀπαλλαγῆναι τῆς πονηρίας καὶ τοιούτων κακῶν, ὧν καὶ ἡ μνήμη αἰσχύνην φέρει· δεύτερον τὸ δουλωθῆναι τῇ δικαιοσύνῃ· τρίτον τὸ ἁγιασμοῦ ἀπολαῦσαι· τέταρτον τὸ καὶ τῆς ζωῆς ἐπιτυχεῖν, καὶ ζωῆς οὐ προσκαίρου, ἀλλ' αἰω-

τότε, γιά τήν όποία τώρα ντρέπεστε;». Γιατί τέτοια ἦταν ἡ δουλεία, ὥστε καί ἡ ἀνάμνησή της τώρα προκαλεῖ ντροπή. Ἐάν ὅμως ἡ ἀνάμνηση ντροπιάζει, πολύ περισσότερο ἡ πράξη. Ὥστε τώρα κερδίσατε διπλά, καί ἐπειδή ἀπαλλαχτήκατε ἀπό τή ντροπή, καί ἐπειδή μάθατε σέ ποιά κατάσταση ἤσαστε. Ὅπως ἀκριβῶς λοιπόν τότε ζημιωνόσαστε διπλά, καί ἐπειδή κάνατε πράγματα πού προκαλοῦσαν ντροπή, καί ἐπειδή δέν γνωρίζατε νά ντρέπεστε, πράγμα πού ἦταν μεγαλύτερο ἀπό τό πρῶτο. Ἀλλ' ὅμως ἐξακολουθούσατε νά εἶστε δοῦλοι. Ἀφοῦ ἔδειξε λοιπόν μέ ἀφθονία τή ζημία ἀπό αὐτά πού γίνονταν τότε, ἀπό τήν ντροπή, προχωράει καί στό ἴδιο τό πράγμα. Ποιό λοιπόν ἦταν τό πράγμα; «Γιατί τό τέλος ἐκείνων τῶν ἔργων εἶναι θάνατος». Διότι, ἀφοῦ ἡ ντροπή δέ φαινόταν πώς ἦταν πάρα πολύ ἐνοχλητικό πράγμα, ἔρχεται στό πολύ φοβερό, δηλαδή τό θάνατο· ἄν καί βέβαια ἦταν ἀρκετό καί αὐτό πού λέχθηκε προηγουμένως.

Σκέψου λοιόν πόση εἶναι ἡ δύναμη τῆς κακίας, ἀφοῦ βέβαια δέν μποροῦσαν ν' ἀπαλλαχθοῦν ἀπό τήν ντροπή, τή στιγμή πού ἦταν ἀπαλλαγμένοι καί ἀπό τήν τιμωρία. Ποιά λοιπόν ἀμοιβή, λέγει, περιμένεις ἀπό τήν πράξη, ὅταν ἀπό τήν ἀνάμνηση μόνο, τή στιγμή μάλιστα πού εἶσαι ἀπαλλαγμένος ἀπό τήν τιμωρία, κρύβεσαι καί κοκκινίζεις, ἄν καί βέβαια βρίσκεται σέ τόσο μεγάλη χάρη; Ἀλλ' ὅμως δέν εἶναι τέτοια τά πράγματα τοῦ Θεοῦ. «Γιατί τώρα», λέγει, «πού ἐλευθερωθήκατε ἀπό τήν ἁμαρτία καί ὑποδουλωθήκατε στό Θεό, ἔχετε κέρδος τήν πρόοδο στήν ἁγιότητα καί τέλος τήν αἰώνια ζωή». Τό κέρδος ἐκείνων εἶναι ἡ ντροπή καί μετά τήν ἀπαλλαγή, τό κέρδος αὐτῶν ἡ ἁγιότητα· ὅπου ὅμως ὑπάρχει ἁγιότητα, ὑπάρχει κάθε παρρησία. Τό τέλος ἐκείνων ὁ θάνατος, ἐνῶ αὐτῶν ἡ αἰώνια ζωή. Εἶδες πῶς ἄλλα δείχνει ὅτι ἔχουν δοθεῖ, ἐνῶ ἄλλα ὅτι εἶναι σέ ἐλπίδες, καί ἀπό αὐτά πού ἔχουν δοθεῖ καί ἐκεῖνα ἐπιβεβαιώνει, ἀπό τήν ἁγιότητα τή ζωή; Γιά νά μή λέγεις λοιπόν, ὅτι ὅλα εἶναι σέ ἐλπίδες, δείχνει πώς καί ἐσύ ἤδη κέρδισες. Πρῶτο, τό ὅτι ἀπαλλάχθηκες ἀπό τήν πονηρία καί τά παρόμοια κακά, πού καί ἡ ἀνάμνησή τους προκαλεῖ ντροπή. Δεύτερο, τό ὅτι ἔγινες δοῦλος στή δικαιοσύνη. Τρίτο, τό ὅτι ἀπόλαυσες τήν ἁγιότητα. Τέταρτο, τό ὅτι θά κατορθώσεις τή ζωή, καί

νίας. Ἀλλ' ὅμως καὶ τούτων ὄντων, κἂν ἐξ ἴσης, φησί, δουλεύσατε. Εἰ γὰρ καὶ ὁ δεσπότης σφόδρα ὑπερέχων, καὶ τῆς δουλείας πολὺ τὸ μέσον καὶ τῶν ἐπάθλων ὑπὲρ ὧν δουλεύετε, οὐδὲν ἀπαιτῶ πλέον τέως.

Εἶτα, ἐπειδὴ ὅπλων ἐμνημόνευσε καὶ βασιλέως, ἐπιμένει τῇ μεταφορᾷ, λέγων· «τὰ μὲν γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Εἰπὼν «ὀψώνια ἁμαρτίας», ἐπὶ τῶν χρηστῶν οὐ τὴν αὐτὴν ἐτήρησε τάξιν. Οὐδὲ γὰρ εἶπεν, 'ὁ μισθὸς τῶν κατορθωμάτων ὑμῶν', ἀλλά, «τὸ δὲ χάρισμα τοῦ Θεοῦ», δεικνὺς ὅτι οὐκ οἴκοθεν ἀπηλλάγησαν, οὐδὲ ὀφειλὴν ἀπέλαβον, οὐδὲ ἀμοιβὴν καὶ ἀντίδοσιν πόνων, ἀλλὰ χάριτι ταῦτα πάντα ἐγένετο· ὥστε καὶ ἐντεῦθεν ἡ ὑπεροχή, οὐχ ὅτι ἀπήλλαξε μόνον, οὐδὲ ὅτι ἐπὶ τὰ βελτίω μετέθηκεν, ἀλλ' ὅτι μηδὲ καμόντας μηδὲ πονήσαντας· καὶ οὐκ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ πολλῷ μείζονα ἔδωκε, καὶ διὰ τοῦ παιδὸς ἔδωκε. Ταῦτα δὲ παρενέβαλεν ἅπαντα, ἐπειδὴ καὶ περὶ χάριτος διελέχθη, καὶ τὸν νόμον μέλλει καταβάλλειν λοιπόν. Ἵνα γὰρ μὴ ταῦτα ἀμφότερα ῥᾳθυμοτέρους ἐργάσηται, μέσα παρενέθηκε τὰ περὶ τῆς ἀκριβείας τοῦ βίου, πανταχοῦ διεγείρων εἰς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν τὸν ἀκροατήν. Ὅταν γὰρ ὀψώνια τῆς ἁμαρτίας τὸν θάνατον καλῇ, φοβεῖ πάλιν, καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεται. Δι' ὧν γὰρ αὐτοὺς ἀναμιμνήσκει τῶν προτέρων, διὰ τούτων καὶ εὐχαρίστους ποιεῖ, καὶ ἀσφαλεστέρους πρὸς τὰ ἐπιόντα ἅπαντα.

2. *Καταλύσας τοίνυν ἐνταῦθα τὸν τῶν ἠθικῶν λόγον, ἐπὶ τὰ δογματικὰ ἐκβαίνει πάλιν, οὕτω λέγων· «ἢ ἀγνοεῖτε, ἀδελφοί; γιγνώσκουσι γὰρ νόμον λαλῶ». Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, δείκνυσιν ἐνταῦθα, ὅτι οὐ μόνον ἁμαρτία αὐτῶν οὐ κυριεύει, ἀλλ' οὐδὲ νόμος. Εἰ δὲ νόμος οὐ κυριεύει, πολλῷ μᾶλλον ἁμαρτία. Καὶ καταγλυκαίνων τὸν λόγον, ἀπὸ παραδείγματος ἀνθρωπίνου τοῦτο ποιεῖ φανερόν. Καὶ δοκεῖ μὲν ἕν τι λέγειν, δύο δὲ*

ὄχι τήν προσωριηνή ζωή ἀλλά τήν αἰώνια. Ἀλλ' ὅμως, μολονότι ὑπάρχουν καί αὐτά, τουλάχιστο, λέγει, γίνετε δοῦλοι τό ἴδιο. Γιατί, ἄν καί ὁ Κύριος ὑπερέχει πάρα πολύ, καί ἡ διάφορά τῆς δουλείας καί τῶν βραβείων, γιά τά ὁποῖα εἶστε δοῦλοι, εἶναι μεγάλη, δέν ἀπαιτῶ τελικά τίποτε περισσότερο.

Ἔπειτα, ἐπειδή ἀνέφερε ὅπλα καί βασιλιά, ἐπιμένει στή μεταφορά, λέγοντας· «γιατί ὁ μισθός πού πληρώνει ἡ ἁμαρτία εἶναι θάνατος. Τό δῶρο ὅμως πού δίνει ὁ Θεός εἶναι ἡ αἰώνια ζωή μέ τή βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Ἀφοῦ εἶπε μισθός τῆς ἁμαρτίας, γιά τά χρηστά δέν τήρησε τήν ἴδια τάξη. Γιατί δέν εἶπε, ὁ μισθός τῶν κατορθωμάτων σας, ἀλλά, «τό δῶρο ὅμως τοῦ Θεοῦ», δείχνοντας ὅτι δέν ἀπαλλάχτηκαν ἀπό μόνοι τους, οὔτε ἔλαβαν κάποια ὀφειλή, οὔτε ἀμοιβή καί ἀνταπόδοση τῶν κόπων τους, ἀλλά ἀπό χάρη ἔγιναν ὅλα αὐτά. Ὥστε καί ἀπό ἐδῶ προέρχεται ἡ ὑπεροχή, ὄχι γιατί τούς ἀπάλλαξε μόνο, οὔτε γιατί τούς μετακίνησε πρός τά καλύτερα, ἀλλά γιατί ἔγινε αὐτό χωρίς νά κουρασθοῦν οὔτε νά κοπιάσουν. Καί ὄχι μόνο τούς ἀπάλλαξε, ἀλλά καί πολύ περισσότερα τούς ἔδωσε καί μέ τόν Υἱό του τά ἔδωσε. Ὅλα αὐτά ὅμως τά ἀνάφερε ἐδῶ, ἐπειδή μίλησε καί γιά τή χάρη, καί πρόκειται στή συνέχεια νά ἀναφέρει καί τό νόμο. Γιά νά μήν τούς κάνουν λοιπόν καί τά δύο πιό ἀδιάφορους, ἀνέφερε ἐνδιάμεσα τά σχετικά μέ τό σωστό τρόπο ζωῆς, παρακινώντας παντοῦ τόν ἀκροατή στή φροντίδα τῆς ἀρετῆς. Ὅταν βέβαια ὀνομάζει τό θάνατο μισθό τῆς ἁμαρτίας, τούς φοβερίζει πάλι, καί τούς ἀσφαλίζει πρός τά μελλοντικά. Γιατί μέ τά προηγούμενα πού τούς θυμίζει, μέ αὐτά τούς κάνει καί εὐγνώμονες καί ἀσφαλέστερους πρός ὅλα ἐκεῖνα πού ἀκολουθοῦν.

2. Ἀφοῦ τελείωσε λοιπόν ἐδῶ τό λόγο γιά τά ἠθικά, πηγαίνει πάλι στά δογματικά, λέγοντας τά ἑξῆς· «ἤ δέν ξέρετε, ἀδελφοί; διότι ὁμιλῶ σέ ἀνθρώπους πού γνωρίζουν τό νόμο». Ἀφοῦ λοιπόν εἶπε, ὅτι πεθάναμε ὡς πρός τήν ἁμαρτία, δείχνει ἐδῶ, ὅτι ὄχι μόνο ἡ ἁμαρτία δέν τούς κυριεύει, ἀλλ' οὔτε ὁ νόμος. Ἐάν ὅμως ὁ νόμος δέν τούς κυριεύει, πολύ περισσότερο ἡ ἁμαρτία. Καί κάνοντας εὐχάριστο τό λόγο, τό κάνει φανερό αὐτό ἀπό ἀνθρώπινο παράδειγμα. Καί φαίνεται βέβαια πώς λέγει ἕνα πράγμα, ὅμως ἀναφέρει

τίθησι τοῦ προκειμένου κατασκευάς, μίαν μέν, ὅτι ἀποθανόντος ἀνδρός, οὐχ ὑπόκειται γυνὴ νόμῳ τῷ τοῦ ἀνδρός, οὐδὲ ἔστιν ὁ κωλύων ἑτέρῳ γενέσθαι γυναῖκα· δευτέραν δέ, ὅτι ἐνταῦθα οὐ μόνον ὁ ἀνὴρ ἐτελεύτησεν, ἀλλὰ καὶ ἡ γυνή· ὥστε διπλῆς ἀπολαύειν τῆς ἐλευθερίας. Εἰ γὰρ τελευτήσαντος τοῦ ἀνδρός, ἀπήλλακται τῆς ἐξουσίας, ὅταν καὶ αὐτὴ τετελευτηκυῖα φανῇ, πολλῷ μᾶλλον ἠλευθέρωται. Εἰ γὰρ ἓν γενόμενον ἀπαλλάττει τῆς ἐξουσίας αὐτήν, πολλῷ μᾶλλον ἀμφότερα συνελθόντα. Μέλλων τοίνυν ἐκβαίνειν εἰς τὴν περὶ τούτων ἀπόδειξιν, μετ' ἐγκωμίου τῶν ἀκροατῶν ἄρχεται λέγων, «ἢ ἀγνοεῖτε, ἀδελφοί· γινώσκουσι γὰρ νόμον λαλῶ». Τουτέστι, σφόδρα ὡμολογημένον λέγω καὶ σαφές, καὶ γιγνώσκουσι ταῦτα μετὰ ἀκριβείας ἅπαντα.

«Ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον ζῇ». Οὐκ εἶπε, 'τοῦ ἀνδρός', οὐδὲ 'τῆς γυναικός', ἀλλά, «τοῦ ἀνθρώπου», ὅπερ ἐστὶ κοινὸν ἑκατέρου τοῦ ζώου ὄνομα. «Ὁ γὰρ ἀποθανών», φησί, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας». Οὐκοῦν τοῖς ζῶσιν ὁ νόμος κεῖται, τοῖς δὲ τεθνηκόσιν οὐκέτι διατάττεται. Ὁρᾷς πῶς διπλῆν τὴν ἐλευθερίαν ἐδήλωσεν; Εἶτα ἐν τοῖς προοιμίοις τοῦτο αἰνιξάμενος, ἐπὶ τῆς γυναικὸς ἐν τῇ κατασκευῇ προάγει τὸν λόγον, οὕτω λέγων· «ἡ γὰρ ὕπανδρος γηνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. Ἄρα οὖν ζῶντος τοῦ ἀνδρός, μοιχαλὶς χρηματίζει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ, ἐὰν δὲ ἀποθάνῃ ὁ ανήρ, ἐλεύθερα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ». Συνεχῶς περιστρέφει, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας· ἐπειδὴ σφόδρα θαρρεῖ τῷ ἀπ' αὐτοῦ κατασκευαζομένῳ. Καὶ τίθησιν ἐν τάξει μὲν τοῦ ἀνδρὸς τὸν νόμον, ἐν τάξει δὲ τῆς γυναικὸς τοὺς πιστεύσαντας ἅπαντας.

Εἶτα τὸ συμπέρασμα οὐ κατὰ τὴν πρότασιν ἐπάγει. Τοῦτο γὰρ ἀκόλουθον ἦν εἰπεῖν· 'ὥστε, ἀδελφοί μου, οὐ κυριεύει ὑμῶν ὁ νόμος· ἀπέθανε γάρ'. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλ' ἐν μὲν τῇ προτά-

2. Ρωμ. 6, 7.

δύο ἀποδείξεις γιά τό ζήτημα, τήν πρώτη, ὅτι, ὅταν πεθάνει ὁ ἄνδρας, δέν ὑπακούει στό νόμο τοῦ ἄνδρα ἡ γυναίκα, οὔτε ὑπάρχει ἐκεῖνος πού τήν ἐμποδίζει νά γίνει γυναίκα ἄλλου· καί τή δεύτερη, ὅτι ἐδῶ ὄχι μόνο ὁ ἄνδρας πέθανε, ἀλλά καί ἡ γυναίκα. Ἑπομένως ἀπολαμβάνει διπλή ἐλευθερία. Ἀφοῦ λοιπόν, ὅταν πεθάνει ὁ ἄνδρας, εἶναι ἀπαλλαγμένη ἀπό τήν ἐξουσία, ὅταν καί ἡ ἴδια φανεῖ πώς ἔχει πεθάνει, πολύ περισσότερο εἶναι ἐλεύθερη. Γιατί, ἄν ἕνα γεγονός τήν ἀπαλλάσσει ἀπό τήν ἐξουσία, πολύ περισσότερο ὅταν ἑνωθοῦν καί τά δύο. Καθώς λοιπόν πρόκειται νά προχωρήσει στήν ἀπόδειξη γι' αὐτά, ἀρχίζει μέ ἔπαινο τῶν ἀκροατῶν λέγοντας, «ἤ δέν ξέρετε, ἀδελφοί; διότι ὁμιλῶ σέ ἀνθρώπους πού γνωρίζουν τό νόμο». Δηλαδή, λέγω κάτι πού εἶναι πάρα πολύ γνωστό καί σαφές, καί σέ ἀνθρώπους πού γνωρίζουν μέ ἀκρίβεια ὅλα αὐτά.

«Ὅτι ὁ νόμος ἐξουσιάζει τόν ἄνθρωπο, στό χρόνο πού ζεῖ». Δέν εἶπε, τόν ἄνδρα, οὔτε τή γυναίκα, ἀλλά, «τόν ἄνθρωπο», πράγμα πού εἶναι κοινό ὄνομα καί γιά τούς δύο. «Γιατί ὅποιος πέθανε», λέγει, «ἔχει σταματήσει ἀπό τό νά ἁμαρτάνει»[2]. Ἑπομένως ὁ νόμος εἶναι γιά τούς ζωντανούς, ἐνῶ γιά τούς πεθαμένους δέν ὁρίζει τίποτε πιά. Βλέπεις πῶς φανέρωσε διπλή τήν ἐλευθερία; Ἔπειτα, ἀφοῦ ὑπαινίχθηκε αὐτό στήν ἀρχή, φέρνει κατά τήν ἀπόδειξη τό λόγο στή γυναίκα, λέγοντας τά ἑξῆς· «Γιατί ἡ παντρεμένη γυναίκα εἶναι δεμένη μέ τό ζωντανό ἄνδρα της σύμφωνα μέ τό νόμο. Ἐάν ὅμως πεθάνει ὁ ἄνδρας της, ἔχει ἀπαλλαχθεῖ ἀπό τό νόμο τοῦ ἄνδρα. Ἑπομένως λοιπόν, ὅταν ζεῖ ὁ ἄνδρας της, ὀνομάζεται μοιχαλίδα, ἐάν συνδεθεῖ μέ ἄλλον ἄνδρα, ἐάν ὅμως πεθάνει ὁ ἄνδρας της, εἶναι ἐλεύθερη ἀπό τό νόμο, χωρίς νά εἶναι μοιχαλίδα, ἐάν γίνει σύζυγος ἄλλου ἄνδρα». Συνέχεια ἀναφέρει αὐτό καί μάλιστα μέ πολλή ἀκρίβεια, ἐπειδή πιστεύει πάρα πολύ σ' αὐτό πού ἀποδεικνύει. Καί θέτει στή θέση τοῦ ἄνδρα τό νόμο, ἐνῶ στή θέση τῆς γυναίκας ὅλους ἐκείνους πού πίστεψαν.

Στή συνέχεια δέν προσθέτει τό συμπέρασμα σύμφωνα μέ τήν πρότασή του. Γιατί ἦταν ἑπόμενο νά πεῖ αὐτό· ὥστε, ἀδελφοί μου, δέ σᾶς ἐξουσιάζει ὁ νόμος, γιατί πέθανε. Ὅμως δέν εἶπε

σει τοῦτο ἠνίξατο, ἐν δὲ τῇ ἐπαγωγῇ λοιπόν, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον, τὴν γυναῖκα εἰσάγει τετελευτηκυῖαν, λέγων· «ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ». Ὅταν γὰρ τοῦτο κἀκεῖνο γενόμενον τὴν αὐτὴν ἐλευθερίαν παρέχῃ, τί κωλύει χαρίσασθαι τῷ νόμῳ, τοῦ πράγματος μηδὲν παραβλαπτομένου; «Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ». Ποῦ νῦν εἰσιν οἱ τὸν νόμον διαβάλλοντες; Ἀκουέτωσαν πῶς καὶ εἰς ἀνάγκην ἐμπεσών, οὐ καθαιρεῖ αὐτοῦ ἀξίωμα, ἀλλὰ καὶ μεγάλα περὶ τῆς ἐξουσίας αὐτοῦ διαλέγεται, εἴγε ζῶντος αὐτοῦ δέδεται ὁ Ἰουδαῖος, καὶ μοιχοὶ χρηματίζουσιν οἱ παραβαίνοντες καὶ ἀφιέντες αὐτὸν ζῶντα. Εἰ δὲ τελευτήσαντα εἴασαν, οὐδὲν θαυμαστόν· καὶ γὰρ ἐπ' ἀνθρώπων οὐ διαβάλλεται ὁ τοῦτο ποιῶν. «Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός». Εἶδες πῶς ἐν τῷ παραδείγματι τὸν νόμον δείκνυσι τετελευτηκότα; Ἀλλ' οὐκ ἐν τῇ ἐπαγωγῇ τοῦτο ποιεῖ. «Ἄρα οὖν ζῶντος τοῦ ἀνδρός, μοιχαλὶς χρηματίζει ἡ γυνή».

Ὅρα πῶς ἐνδιατρίβει ταῖς κατηγορίαις τῶν τὸν νόμον παραβαινόντων ζῶντα. Ἐπεὶ δὲ αὐτὸν ἔπαυσε, λοιπὸν μετὰ ἀσφαλείας ἁπάσης αὐτῷ χαρίζεται, τὴν πίστιν οὐδὲν παραβλάπτων ἐντεῦθεν. «Ζῶντος» γὰρ φησί, «τοῦ ἀνδρός, μοιχαλὶς χρηματίζει ἡ γυνή, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ». «Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς», ἀκόλουθον ἦν εἰπεῖν, τοῦ νόμου τελευτήσαντος, οὐ κρίνεσθε μοιχίας, ἀνδρὶ γενόμενοι ἑτέρῳ. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλα πῶς; «Ἐθανατώθητε τῷ νόμῳ». Εἰ νεκροὶ γεγόνατε, οὐκ ἐστὲ ὑπὸ νόμον. . Εἰ γὰρ τελευτήσαντος τοῦ ἀνδρὸς οὐκ ἔστιν ὑπεύθυνος ἡ γυνή, πολλῷ μᾶλλον αὕτη τετελευτηκυῖα ἀπήλλακται τούτου. Εἶδες Παύλου σοφίαν, πῶς τὸν νόμον ἔδειξε τοῦτο βουλόμενον, τὸ ἀποστῆναι αὐτοῦ καὶ γενέσθαι ἀνδρὶ ἑτέρῳ; Οὐ γὰρ κωλύει, φησίν, ἑτέρῳ συνεῖναι ἀνδρί, τελευτήσαντος τοῦ προτέρου. Πῶς γάρ, ὅπου γε καὶ ζῶντος ἐπιτρέπει, βιβλίον ἀποστασίου λαβοῦσαν; Ἀλλὰ τοῦτο οὐ τίθησιν,

αὐτό, ἀλλά τό ὑπαινίχθηκε στήν πρότασή του, ἐνῶ κατά τό συμπέρασμα στή συνέχεια, γιά νά κάνει τό λόγο λιγότερο δυσάρεστο, ἀναφέρει πώς ἡ γυναίκα ἔχει πεθάνει, λέγοντας· «ὥστε, ἀδελφοί μου, καί ἐσεῖς πεθάνατε ὡς πρός τό νόμο». Ὅταν λοιπόν χορηγεῖ τήν ἴδια ἐλευθερία καί αὐτό καί ἐκεῖνο πού ἔγινε, τί ἐμποδίζει νά κάνει χάρη στό νόμο, ἀφοῦ τό πράγμα δέ βλάπτεται καθόλου; «Γιατί ἡ πεντρεμένη γυναίκα εἶναι δεμένη μέ τό ζωντανό ἄνδρα της σύμφωνα μέ τό νόμο». Ποῦ εἶναι τώρα ἐκεῖνοι πού διαβάλλουν τό νόμο; Ἄς ἀκούσουν πῶς, μολονότι βρέθηκε σέ ἀνάγκη, δέν καταργεῖ τήν ἀξία του, ἀφοῦ βέβαια, ὅταν ὑπάρχει ὁ νόμος, εἶναι δεμένος ὁ Ἰουδαῖος, καί μοιχοί ὀνομάζονται ἐκεῖνοι πού τόν παραβαίνουν καί τόν ἀφήνουν νά ὑπάρχει. Ἐάν ὅμως τόν ἐγκατέλειψαν, ὅταν πέθανε, τίποτε δέν εἶναι παράδοξο. Γιατί καί στούς ἀνθρώπους δέν κακολογεῖται ἐκεῖνος πού κάνει αὐτό. «Ἐάν ὅμως πεθάνει ὁ ἄνδρας, εἶναι ἐλεύθερη ἀπό τό νόμο τοῦ ἄνδρα». Εἶδες πῶς στό παράδειγμα δείχνει ὅτι ὁ νόμος ἔχει πεθάνει; Ἀλλά δέν τό κάνει αὐτό στό συμπέρασμα. «Ἄρα λοιπόν, ὅταν ζεῖ ὁ ἄνδρας της, ὀνομάζεται μοιχαλίδα ἡ γυναίκα».

Πρόσεχε πῶς ἐπιμένει στίς κατηγορίες ἐναντίον ἐκείνων πού παραβαίνουν τό νόμο ἐνῶ ἰσχύει. Ὅταν ὅμως καταργήθηκε, τότε πλέον μέ κάθε ἀσφάλεια χαρίζεται σ' αὐτόν, ἀφοῦ δέ βλάπτει ἀπό ἐδῶ καθόλου τήν πίστη. «Γιατί ὅταν ζεῖ ὁ ἄνδρας της», λέγει, «ὀνομάζεται μοιχαλίδα ἡ γυναίκα, ἐάν συνδεθεῖ μέ ἄλλον ἄνδρα». «Ὥστε, ἀδελφοί μου, καί ἐσεῖς», ἦταν ἑπόμενο νά πεῖ, ἀφοῦ ὁ νόμος πέθανε, δέν κρίνεστε γιά μοιχεία, ὅταν συνδεθεῖτε μέ ἄλλον τρόπο. Ὅμως δέν εἶπε αὐτό, ἀλλά πῶς; «Πεθάνετε ὡς πρός τό νόμο». Ἐάν γίνατε νεκροί, δέν εἶστε κάτω ἀπό τήν ἰσχύ τοῦ νόμου. Ἀφοῦ λοιπόν, ὅταν πεθάνει ὁ ἄνδρας, δέν εἶναι ὑπεύθυνη ἡ γυναίκα, πολύ περισσότερο ὅταν ἔχει πεθάνει αυτή, εἶναι ἀπαλλαγμένη ἀπ' αὐτόν. Εἶδες τή σοφία τοῦ Παύλου, πῶς ἔδειξε ὅτι ὁ νόμος ἤθελε αὐτό, τό ν' ἀπομακρυνθεῖ δηλαδή ἀπ' αὐτόν καί νά συνδεθεῖ μέ ἄλλον ἄνδρα; Γιατί δέν ἐμποδίζει, λέγει, νά παντρευθεῖ μέ ἄλλον ἄνδρα, ἀφοῦ πέθανε ὁ πρῶτος. Πῶς λοιπόν, τή στιγμή πού ἐπιτρέπει νά τό κάνει αὐτό, ὅταν ζεῖ, ἀφοῦ λάβει διαζύγιο; Ἀλλά

ὅπερ ἔγκλημα ἦν μᾶλλον τῶν γυναικῶν· εἰ γὰρ καὶ συγκεχώρητο, ἀλλ' ὅμως οὐκ ἦν αἰτίας ἀπηλλαγμένον. Ὅταν γὰρ ἀπὸ τῶν ἀναγκαίων καὶ δοκίμων ἔχῃ τὰ νικητήρια, οὐ ζητεῖ τα περιττά· οὐ γάρ ἐστι γλίσχρος.

Τὸ τοίνυν θαυμαστὸν τοῦτό ἐστιν, ὅτι αὐτὸς ὁ νόμος ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς ἀποστάντας αὐτοῦ. Ὥστε αὐτοῦ βούλημα γενέσθαι ἡμᾶς τοῦ Χριστοῦ. Καὶ γὰρ καὶ αὐτὸς τέθνηκε, καὶ ἡμεῖς τεθνήκαμεν, καὶ διπλῇ τὰ τῆς ἐξουσίας ἀνήρηται. Ὁ δὲ οὐδὲ τούτοις ἀρκεῖται μόνοις, ἀλλὰ καὶ τὸν αἴτιον προστίθησιν. Οὐδὲ γὰρ ἁπλῶς τέθεικε τὸν θάνατον, ἀλλὰ πάλιν τὸν ταῦτα ἐργασάμενον τὸν σταυρὸν εἰσήγαγε, καὶ ταύτῃ ποιῶν ἡμᾶς ὑπευθύνους. Οὐ γὰρ ἁπλῶς ἀπηλλάγητε, φησίν, ἀλλὰ διὰ τοῦ θανάτου τοῦ δεσποτικοῦ. «Ἐθανατώθητε», γάρ φησι, τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ». Οὐκ ἐντεῦθεν δὲ προτρέπει μόνον, ἀλλὰ καὶ ἐκ τῆς ὑπεροχῆς τοῦ δευτέρου ἀνδρός· διὸ καὶ ἐπήγαγεν· «Εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι». Εἶτα, ἵνα μὴ λέγωσι, 'τί οὖν ἂν μὴ βουλώμεθα δευτέρῳ ὁμιλῆσαι ἀνδρί; ὁ γὰρ νόμος τὴν χηρεύσασαν οὐ ποεῖ μὲν εἶναι μοιχαλίδα δευτέροις ὁμιλήσασαν γάμοις, οὐ μὴν ἀναγκάζει ὁμιλῆσαι' · ἵν' οὖν μὴ τοῦτο λέγωσι, δείκνυσιν ὅτι καὶ ἐκ τῶν ὑπηργμένων ἤδη ἡμῖν βουληθῆναι δεῖ· ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον τίθησι, λέγων, «οὐκ ἐστὲ ἑαυτῶν»· καί· «τιμῆς ἠγοράσθητε»· καί· «μὴ γίνεσθε δοῦλοι ἀνθρώπων»· καὶ πάλιν· «εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι». Τοῦτο γοῦν καὶ ἐνταῦθα ᾐνίξατο εἰπών, «διὰ τοῦ σώματος».

Εἶτα καὶ προτρέπει ταῖς κρείττοσιν ἐλπίσι, λέγων· «ἵνα καρποφορήσωμεν τῷ Θεῷ». Τότε μὲν γὰρ ἐκαρποφορεῖτε τῷ θανάτῳ, φησί, νυνὶ δὲ τῷ Θεῷ. «Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ». Εἶδες τοῦ προτέρου ἀνδρὸς τὸ

---

3. Α' Κορ. 6, 19.
4. Α' Κορ. 6, 20.
5. Α' Κορ. 7, 23.
6. Β' Κορ. 5, 15.

δέν τό ἀναφέρει αὐτό, πράγμα πού ἦταν ἁμάρτημα περισσότερο τῶν γυναικῶν. Γιατί ἄν καί εἶχε ἐπιτραπεῖ, ἀλλ' ὅμως δέν ἦταν ἀπαλλαγμένο ἀπό τήν κατηγορία. Ὅταν λοιπόν ἔχει τή νίκη ἀπό τά ἀναγκαῖα καί τά δοκιμασμένα, δέ ζητάει τά περιττά, γιατί δέν εἶναι σχολαστικός.

Τό παράδοξο λοιπόν εἶναι αὐτό, ὅτι δηλαδή ὁ ἴδιος ὁ νόμος μᾶς ἀπαλλάσσει ἀπό τά ἁμαρτήματα, ὅταν ἀπομακρυνθοῦμε ἀπ' αὐτόν. Ὥστε δική του θέληση εἶναι, νά ἀνήκουμε ἐμεῖς στό Χριστό. Γιατί πραγματικά καί αὐτός ἔχει πεθάνει, καί ἐμεῖς ἔχουμε πεθάνει, καί μέ διπλό τρόπο ἔχει καταργηθεῖ ἡ ἐξουσία του. Ὁ Παῦλος ὅμως δέν ἀρκεῖται σ' αὐτά μόνο, ἀλλά προσθέτει καί τό αἴτιο. Γιατί δέν ἀνέφερε ἁπλῶς τό θάνατο, ἀλλά πάλι παρουσίασε τό σταυρό, πού ἐπέτυχε αὐτά, κάνοντας ἔτσι καί ἐμᾶς ὑπεύθυνους. Γιατί δέν ἀπαλλαχτήκατε ἁπλῶς, λέγει, ἀλλά μέ τό θάνατο τοῦ Κυρίου. «Γιατί πεθάνατε», λέγει, «ὡς πρός τό νόμο μέ τό σῶμα τοῦ Χριστοῦ». Ὅμως ὄχι μόνο ἀπό ἐδῶ προτρέπει, ἀλλά καί ἀπό τήν ὑπεροχή τοῦ δεύτερου ἄνδρα. Γι' αὐτό καί πρόσθεσε· «γιά νά συνάψετε γάμο μέ ἄλλον, μέ αὐτόν πού ἀναστήθηκε ἀπό τούς νεκρούς». Στή συνέχεια, γιά νά μή λέγουν, τί λοιπόν θά γίνει, ἄν δέ θέλουμε νά συνάψουμε γάμο μέ δεύτερο ἄνδρα; Γιατί ὁ νόμος δέν κάνει βέβαια τή χήρα νά εἶναι μοιχαλίδα, ὅταν παντρευθεῖ γιά δεύτερη φορά, οὔτε ὅμως τήν ἀναγκάζει νά παντρευθεῖ. Γιά νά μήν λέγουν λοιπόν αὐτό, δείχνει πώς πρέπει νά θελήσουμε καί ἀπ' αὐτά πού ἤδη ἔγιναν γιά μᾶς, πράγμα πού καί ἀλλοῦ πιό καθαρά ἀναφέρει, λέγοντας, «δέν ἀνήκετε στόν ἑαυτό σας»[3]· καί, «ἐξαγοραστήκατε μέ τίμημα»[4]· καί, «νά μή γίνεστε δοῦλοι ἀνθρώπων»[5]· καί πάλι, «ἕνας πέθανε γιά ὅλους, ὥστε οἱ ζωντανοί νά μή ζοῦν πιά γιά τόν ἑαυτό τους, ἀλλά γιά ἐκεῖνον πού πέθανε γι' αὐτούς»[6]. Αὐτό ἀκριβῶς καί ἐδῶ ὑπαινίχθηκε λέγοντας, «μέ σῶμα».

Ἔπειτα προτρέπει μέ τίς καλύτερες ἐλπίδες, λέγοντας· «γιά νά καρποφορήσουμε στό Θεό». Γιατί τότε βέβαια καρποφορούσατε στό θάνατο, λέγει, τώρα ὅμως στό Θεό. «Γιατί, ὅταν ζούσαμε τή σαρκική ζωή, τά ἁμαρτωλά πάθη πού ἐκδηλώνονταν ἀπό τίς ἀπογορεύσεις τοῦ νόμου ἐνεργοῦσαν στά μέλη τοῦ σώματός μας γιά νά φέρουν καρπούς στό θάνατο». Εἶδες τό κέρδος τοῦ πρώτου

κέρδος; Καὶ οὐκ εἶπεν, 'ὅτε ἦμεν ἐν τῷ νόμῳ', πανταχοῦ φειδόμενος δοῦναι αἱρετικοῖς λαβήν, ἀλλ' «ὅτε ἦμεν ἐν τῇ σαρκί», τουτέστι, ταῖς πονηραῖς πράξεσι, τῷ σαρκικῷ βίῳ. Οὐ γὰρ τοῦτό φησιν, ὅτι πρὸ τούτου μὲν ἐν σαρκὶ ἦσαν, νῦν δὲ ἀσώματοι γενόμενοι περιῄεσαν. Τοῦτο δὲ εἰπών, οὔτε αἴτιον εἶναί φησιν ἁμαρτημάτων τὸν νόμον, οὔτε ἀπαλλάττει αὐτὸν ἀπεχθείας. Κατηγόρου γὰρ τάξιν ἐπεῖχε πικροῦ, ἀπογυμνῶν τὰ ἁμαρτήματα. Ὁ γὰρ τῷ μηδὲν πείσεσθαι βουλομένῳ πλείονα ἐπιτάττων, πλεονάζει τὸ παράπτωμα. Διὰ τοῦτο οὐκ εἶπε, 'τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ ὑπὸ τοῦ νόμου γινόμενα', ἀλλ' ἁπλῶς, «διὰ τοῦ νόμου», καὶ οὐ προσέθηκε, 'γινόμενα', ἀλλ' ἁπλῶς «διὰ τοῦ νόμου», τουτέστι, τὰ διὰ τοῦ νόμου φαινόμενα, γνωριζόμενα.

Εἶτα, ἵνα μηδὲ τῆς σαρκὸς κατηγορήσῃ, οὐκ εἶπεν, 'ἃ ἐνήργει τὰ μέλη', ἀλλ' ἃ «ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν», δεικνὺς ἑτέρωθεν οὖσαν τὴν ἀρχὴν τῆς πονηρίας, ἀπὸ τῶν ἐνεργούντων λογισμῶν, οὐκ ἀπὸ τῶν ἐνεργουμένων μελῶν. Ἡ μὲν γὰρ ψυχὴ τεχνίτου τάξιν ἐπεῖχε, κιθάρας δὲ τῆς σαρκὸς ἡ φύσις, οὕτως ἠχοῦσα, ὡς ἠνάγκαζεν ὁ τεχνίτης. Οὐκοῦν οὐ ταύτῃ τὸ ἀπηχὲς μέλος, ἀλλ' ἐκείνῃ πρὸ ταύτης λογιστέον ἡμῖν.

3. «Νυνὶ δέ», φησί, «κατηργήθημεν ἀπὸ τοῦ νόμου». Ὁρᾷς πῶς πάλιν ἐνταῦθα καὶ τῆς σαρκὸς καὶ τοῦ νόμου φείδεται; Οὐ γὰρ εἶπεν, 'ὅτι κατηργήθη ὁ νόμος', οὐδ' 'ὅτι κατηργήθη ἡ σάρξ', ἀλλ' 'ὅτι κατηργήθημεν ἡμεῖς'. Καὶ πῶς ἡμεῖς κατηργήθημεν; Τοῦ κατεχομένου παρὰ τῆς ἁμαρτίας ἀνθρώπου παλαιοῦ ἀποθανόντος καὶ ταφέντος· τοῦτο γὰρ ἐδήλωσεν εἰπών· «ἀποθανόντες ἐν ᾧ κατειχόμεθα». Ὡσανεὶ ἔλεγεν, ὁ δεσμός, δι' οὗ κατειχόμεθα, ἐνεκρώθη καὶ διερρύη, ὥστε τὸν κατέχοντα μηδὲν κατέχειν λοιπόν, τουτέστι, τὴν ἁμαρτίαν. Ἀλλὰ μὴ ἀναπέσῃς, μηδὲ ῥᾳθυμότερος γένῃ· κατηργή-

ἄνδρα; Καί δέν εἶπε, 'ὅταν ἤμαστε στήν ἐξουσία τοῦ νόμου', ἀποφεύγοντας παντοῦ νά δώσει ἀφορμή στούς αἱρετικούς, ἀλλά, «ὅταν ἤμαστε στήν ἐξουσία τῆς σάρκας», δηλαδή, στίς πονηρές πράξεις, στή σαρκική ζωή. Δέ λέγει δηλαδή αὐτό, ὅτι πρίν ἀπό αὐτό ἦταν μέ σάρκα, ἐνῶ τώρα, ἀφοῦ ἔγιναν ἀσώματοι, τό ἐπιθυμοῦσαν. Ἀφοῦ εἶπε ὅμως αὐτό, δέ λέγει πώς ὁ νόμος εἶναι αἰτία γιά τά ἁμαρτήματα, οὔτε τόν ἀπαλλάσσει ἀπό τήν ἀπέχθεια. Γιατί ἦταν στή θέση πικροῦ κατηγόρου, ἀποκαλύπτοντας τά ἁμαρτήματα. Γιατί ἐκεῖνος πού διατάσσει περισσότερα σ' αὐτόν πού δέ θέλει νά ὑπακούει καθόλου, κάνει νά περισσεύει τό παράπτωμα. Γι' αὐτό δέν εἶπε, τά ἁμαρτωλά πάθη πού γίνονται ἀπό τό νόμο, ἀλλά, «μέ τό νόμο», καί δέν πρόσθεσε, πού γίνονται, ἀλλά μόνο, «μέ τό νόμο», δηλαδή, αὐτά πού φαίνονται μέ τό νόμο, πού γνωρίζονται.

Ἔπειτα, γιά νά μή κατηγορήσει οὔτε τή σάρκα, δέν εἶπε, τά ὁποῖα ἐνεργοῦσαν τά μέλη τοῦ σώματός μας, ἀλλά τά ὁποῖα «ἐνεργοῦσαν στά μέλη μας», δείχνοντας πώς ἀπό ἀλλοῦ ἦταν ἡ ἀρχή τῆς κακίας, ἀπό τίς σκέψεις πού ἐνεργοῦσαν, ὄχι ἀπό τά μέλη πού ἐκτελοῦσαν. Γιατί ἡ ψυχή εἶχε τή θέση τοῦ τεχνίτη, ἐνῶ ἡ φύση τῆς σάρκας τή θέση τῆς κιθάρας, βγάζοντας τέτοιους ἤχους, ὅπως τήν ἀνάγκαζε ὁ τεχνίτης. Συνεπῶς δέν ἀνήκει σ' αὐτή τό κακόηχο μέλος, ἀλλά πρέπει νά τό ἀποδώσουμε σ' ἐκείνη πρίν ἀπ' αὐτήν.

3. «Τώρα ὅμως», λέγει, «ἐλευθερωθήκαμε ἐντελῶς ἀπό τό νόμο». Βλέπεις πῶς πάλι ἐδῶ φροντίζει καί τή σάρκα καί τό νόμο; Γιατί δέν εἶπε, 'ὅτι καταργήθηκε ὁ νόμος', οὔτε 'ὅτι καταργήθηκε ἡ σάρκα', ἀλλ' «ὅτι καταργηθήκαμε ἐμεῖς». Καί πῶς καταργηθήκαμε ἐμεῖς; Ἀφοῦ ὁ παλαιός ἄνθρωπος, πού κατεχόταν ἀπό τήν ἁμαρτία, πέθανε καί θάφτηκε. Γιατί αὐτό δήλωσε λέγοντας· «πεθαίνοντας ὡς πρός αὐτόν πού μᾶς κρατοῦσε σάν αἰχμαλώτους». Σάν νά ἔλεγε· τά δεσμά, μέ τά ὁποῖα μᾶς κρατοῦσε, νεκρώθηκαν καί ἔσπασαν, ὥστε νά μή μᾶς κρατάει στή συνέχεια αὐτός πού μᾶς κρατοῦσε, δηλαδή ἡ ἁμαρτία. Ἀλλά νά μήν ἡσυχάσεις, οὔτε νά γίνεις πιό ἀδιάφορος. Γιατί καταργήθηκες γιά νά γίνεις πάλι δοῦλος, ὄχι ὅμως μέ τόν ἴδιο τρόπο, ἀλλά, «στή νέα κατάσταση τοῦ Πνεύ-

θης γὰρ ὥστε δουλεύειν πάλιν, ἀλλ' οὐχ ὁμοίως, ἀλλ' «ἐν καινότητι Πνεύματος, καὶ οὐ παλαιότητι γράμματος».

Τί δέ ἐστιν, ὅ φησιν; ἀναγκαῖον γὰρ αὐτὸ ἤδη ἐκκαλύψαι, ἵν', ὅταν εἰς τὸ χωρίον ἐμπέσωμεν, μὴ θορυβώμεθα. Ὅτε γάρ, φησίν, ἥμαρτεν ὁ Ἀδάμ, καὶ τὸ σῶμα αὐτοῦ γέγονε θνητὸν καὶ παθητόν, καὶ πολλὰ ἐλλατώματα ἐδέξατο φυσικά, καὶ βαρύτερος καὶ δυσήνιος ὁ ἵππος κατέστη· ἀλλ' ὁ Χριστὸς ἐλθών, διὰ τοῦ βαπτίσματος κουφότερον ἡμῖν αὐτὸ ἐποίησε, τῷ πτερῷ τοῦ Πνεύματος διεγείρων. Διὰ δὴ τοῦτο οὐδὲ τὰ αὐτὰ κεῖται τοῖς παλαιοῖς καὶ ἡμῖν σκάμματα, ἐπειδὴ οὐδὲ οὕτω τότε εὔκολος ὁ δρόμος ἦν. Διὸ καὶ αὐτὸς οὐχὶ φόνων ἀπαιτεῖ καθαροὺς εἶναι μόνον, ὥσπερ τοὺς ἀρχαίους, ἀλλὰ καὶ ὀργῆς· οὐδὲ μοιχείας, ἀλλὰ καὶ ἀκολάστου ὄψεως ἀπηλλάχθαι κελεύει· οὐδὲ ἐπιορκίας, ἀλλὰ καὶ εὐορκίας ἐκτὸς εἶναι, καὶ μετὰ τῶν οἰκείων καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν ἐπιτάττει. Καὶ ἐν τοῖς ἄλλοις δὲ ἅπασι μακροτέρους ἐποίησε τοὺς διαύλους, κἂν μὴ πειθώμεθα, καὶ γέενναν ἠπείλησε, δεικνὺς ὅτι οὐ τῆς φιλοτιμίας τῶν ἀγωνιζομένων τὰ ζητούμενα, ὥσπερ ἡ παρθενία καὶ ἡ ἀκτημοσύνη, ἀλλὰ πάντως αὐτὰ ἀνυσθῆναι δεῖ.

Καὶ γὰρ τῶν ἀναγκαίων ἐστὶ καὶ κατεπειγόντων, καὶ ὁ μὴ ποιήσας τὴν ἐσχάτην δίδωσι δίκην. Διὰ τοῦτο ἔλεγεν· «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», ὁ δὲ τὴν βασιλείαν οὐχ ὁρῶν, εἰς γέενναν ἐμπεσεῖται πάντως. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· «ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν»· καὶ ἐνταῦθα πάλιν· «ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι Πνεύματος, καὶ οὐ παλαιότητι γράμματος». Οὐ γάρ ἐστι γράμμα καταδικάζον, τουτέστιν, ὁ νόμος ὁ παλαιός, ἀλλὰ Πνεῦμα βοηθοῦν. Διὰ τοῦτο ἐπὶ μὲν τῶν παλαιῶν εἴ πού τις ἐφάνη παρθενίαν ἀσκῶν, σφόδρα ἔκπληκτον ἦν, νυνὶ δὲ πανταχοῦ τῆς οἰ-

7. Ρωμ. 6, 14.

ματος, καί ὄχι στήν παλαιά πού ἐπικρατοῦσε τό γράμμα τοῦ νόμου».

Τί σημαίνει ὅμως αὐτό, πού λέγει; γιατί εἶναι ἀνάγκη νά τό ἐξηγήσουμε τώρα, ὥστε, ὅταν βρεθοῦμε στό χωρίο αὐτό, νά μήν ἀνησυχοῦμε. Ὅταν λοιπόν, λέγει, ἁμάρτησε ὁ Ἀδάμ, καί τό σῶμα του ἔγινε θνητό καί ὑπόκειτο σέ πάθη, καί δέχθηκε πολλά φυσικά ἐλλατώματα, ἔγινε τότε καί πιό βαρύ καί πιό ἀτίθασσο. Ἀλλ' ὅταν ἦρθε ὁ Χριστός, μέ τό βάπτισμα μᾶς ἔκανε πιό ἐλεφρό τό σῶμα, σηκώνοντας αὐτό μέ τά φτερά τοῦ Πνεύματος. Γι' αὐτό ἀκριβῶς δέν ὑπάρχουν καί σέ μᾶς οἱ ἴδιες μέ τούς παλαιούς δοκιμασίες, ἐπειδή δέν ἦταν τότε τόσο εὔκολος ὁ δρόμος. Γι' αὐτό καί αὐτός δέ ζητάει νά εἴμαστε καθαροί ἀπό τούς φόνους μόνο, ὅπως οἱ παλαιοί, ἀλλα καί ἀπό τήν ὀργή. Ὄχι ἀπό τή μοιχεία, ἀλλά καί ἀπό τό ἀκόλαστο βλέμμα προτρέπει ν' ἀπαλλαχθοῦμε. Ὄχι μόνο ἀπό τήν ἐπιορκία νά ἀπέχουμε, ἀλλά καί ἀπό τό νά κάνουμε ἀληθινούς ὅρκους, καί μαζί μέ τούς συγγενεῖς διατάσσει ν' ἀγαπᾶμε καί τούς ἐχθρούς. Καί σέ ὅλα τά ἄλλα ἔκανε μικρότερους τούς δρόμους, καί ἄν δέν ὑπακούομε, ἀπείλησε καί γέεννα, δείχνοντας ὅτι τά ζητούμενα δέν εἶναι ἔργο τῆς φιλοτιμίας αὐτῶν πού ἀγωνίζονται, ὅπως ἡ παρθενία καί ἡ ἀκτημοσύνη, ἀλλ' ὅτι πρέπει αὐτά ὁπωσδήποτε νά κατορθωθοῦν.

Γιατί πραγματικά ἀνήκουν στά ἀπαραίτητα καί ἐπείγοντα, καί ἐκεῖνος πού δέν τά ἔκανε τιμωρεῖται μέ τή χειρότερη τιμωρία. Γι' αὐτό ἔλεγε· «ἐάν δέν περισσέψει ἡ ἀρετή σας περισσότερο ἀπό τήν ἀρετή τῶν γραμματέων καί τῶν Φαρισαίων, δέ θά μπεῖτε στή βασιλεία τῶν οὐρανῶ». Ἐκεῖνος ὅμως πού δέ βλέπει τή βασιλεία, θά βρεθεῖ ὁπωσδήποτε στή γέεννα. Γι' αὐτό καί ὁ Παῦλος ἔλεγε· «γιατί ἡ ἁμαρτία δέ θά σᾶς ἐξουσιάσει, καθόσον δέν εἶστε κάτω ἀπό τήν ἐξουσία τοῦ νόμου, ἀλλά κάτω ἀπό τήν ἐξουσία τῆς χάριτος»[7]. Καί ἐδῶ πάλι λέγει, «ὥστε νά εἴμαστε δοῦλοι στή νέα κατάσταση τοῦ Πνεύματος, καί ὄχι στήν παλαιά πού ἐπικρατοῦσε τό γράμμα». Γιατί δέν ὑπάρχει γράμμα νά καταδικάζει, δηλαδή ὁ παλαιός νόμος, ἀλλά Πνεῦμα νά βοηθάει. Γι' αὐτό στους παλαιούς, ἐάν κάπου παρουσιάστηκε κανείς νά τηρεῖ τήν παρθενία, ἦταν

κουμένης τὸ πρᾶγμα ἔσπαρται· καὶ θανάτου τότε μὲν ὀλίγοι μόλις ὑπερεῖδον ἄνδρες, νυνὶ δὲ καὶ ἐν κώμαις καὶ ἐν πόλεσι δῆμοι μαρτύρων ἄπειροι, οὐκ ἐξ ἀνδρῶν μόνον, ἀλλὰ καὶ ἐκ γυναικῶν συνεστηκότες.

4. *Εἶτα, ἐπειδὴ ταῦτα εἶπεν, ἀντίθεσιν πάλιν ἀνακύπτουσαν λύει, ἐν τῇ λύσει κατασκευάζων ὃ βούλεται. Διόπερ οὐδὲ προηγουμένως εἰσάγει τὴν λύσιν, ἀλλ' ἐξ ἀντιλογίας, ἵνα τῇ ἀνάγκῃ τῆς λύσεως ἀφορμὴν εἰς τὸ εἰπεῖν ἃ βούλεται λάβῃ, καὶ ἀνεπαχθεστέραν ποιήσῃ τὴν κατηγορίαν. Ἐπειδὴ γὰρ εἶπεν, «ἐν καινότητι Πνεύματος, καὶ οὐ παλαιότητι γράμματος», ἐπήγαγε· «τί οὖν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο». Καὶ γὰρ πρὸ τούτου ἦν εἰρηκώς, ὅτι «τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν»· καί, «ἁμαρτία ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον»· καὶ ὅτι, «οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις»· καί, «νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα»· καί, «ὁ νόμος ὀργὴν κατεργάζεται». Ἐπεὶ οὖν ταῦτα πάντα ἐδόκει διαβολὴν φέρειν τῷ νόμῳ, ὡς διορθούμενος τὴν ἐκ τούτων ὑπόνοιαν, τίθησι καὶ ἀντίθεσιν, καί φησι· «τί οὖν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο».*

Πρὸ τῆς κατασκευῆς ἀπηγόρευσε, τὸν ἀκροατὴν οἰκειούμενος, καὶ τὸν σκανδαλιζόμενον θεραπεύων. Λοιπὸν γὰρ ἀκούσας, καὶ ὑπὲρ τῆς διαθέσεως αὐτοῦ πληροφορηθείς, ζητεῖ μετ' αὐτοῦ τὸ δοκοῦν εἶναι ἄπορον, καὶ οὐχ ὑποπτεύει τὸν λέγοντα. Διὸ καὶ τὴν ἀντίθεσιν προσλαβὼν ἐκεῖνον τέθεικεν. Οὐδὲ γὰρ εἶπε, 'τί οὖν εἴποιμι ἄν;' ἀλλά, «τί οὖν ἐροῦμεν;», ὡς βουλῆς καὶ γνώμης προκειμένης, καὶ ἐκκλησίας κοινῆς συγκεκροτημένης, καὶ οὐ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τῆς τῶν εἰρημένων ἀκολουθίας καὶ τῆς τῶν πραγμάτων ἀληθείας τῆς ἀντιθέσεως φανείσης. Ὅτι μὲν γὰρ τὸ γράμμα

8. Ρωμ. 4, 15.
9. Ρωμ. 5, 20.
10. Ρωμ. 4, 15.

πάρα πολύ καταπληκτικό, ἐνῶ τώρα εἶναι σπαρμένο σέ ὅλα τά μέρη τῆς γῆς τό πράγμα αὐτό. Καί τό θάνατο τότε μόλις τόν περιφρόνησαν λίγοι ἄνδρες, ἐνῶ τώρα καί στίς κωμοπόλεις καί στίς πόλεις ὑπάρχουν ἄπειρα πλήθη μαρτύρων, πού ἀποτελοῦνται ὄχι ἀπό ἄνδρες μόνο, ἀλλά καί ἀπό γυναῖκες.

4. Ἔπειτα, ἐπειδή εἶπε αὐτά, ἐξηγεῖ πάλι κάποια ἀντίθεση πού προκύπτει, ἀποδείχνοντας στήν ἐξήγηση αὐτό πού θέλει. Γι' αὐτό ἀκριβῶς δέν παρουσιάζει προηγουμένως τήν ἐξήγηση, ἀλλ' ἀπό τήν ἀντίφαση τήν παρουσιάζει, ὥστε νά λάβει μέ τήν ἀνάγκη τῆς ἐξήγησης τήν ἀφορμή γιά νά πεῖ αὐτά πού θέλει, καί νά κάνει λιγότερο δυσάρεστη τήν κατηγορία. Ἀφοῦ λοιπόν εἶπε, «στή νέα κατάσταση τοῦ Πνεύματος, καί ὄχι στήν παλαιά πού ἐπικρατοῦσε τό γράμμα τοῦ νόμου», πρόσθεσε· «τί λοιπόν θά ποῦμε; ὁ νόμος εἶναι ἁμαρτία; Μακριά μία τέτοια σκέψη». Γιατί καί πρίν ἀπ' αὐτό εἶχε πεῖ, ὅτι «τά ἁμαρτωλά πάθη μέ τίς ἀπαγορεύσεις τοῦ νόμου ἐνεργοῦσαν στά μέλη τοῦ σώματός μας»· καί «ἡ ἁμαρτία δέ θά σᾶς κυριεύσει, γιατί δέν εἶστε κάτω ἀπό τήν ἐξουσία τοῦ νόμου»· καί ὅτι, «ὅπου λοιπόν δέν ὑπάρχει νόμος, ἐκεῖ οὔτε παράβαση ὑπάρχει»[8]· καί, «ὁ νόμος ὅμως μπῆκε, γιά νά πληθύνει ἡ ἁμαρτία»[9]· καί, «ὁ νόμος φέρνει τήν ὀργή»[10]. Ἐπειδή λοιπόν ὅλα αὐτά φαινόταν πώς διαβάλλουν τό νόμο, σάν νά διορθώνει τήν ὑποψία ἀπ' αὐτά, ἀναφέρει καί τήν ἀντίθεση, καί λέγει· «τί λοιπόν; ὁ νόμος εἶναι ἁμαρτία; Μακριά μιά τέτοια σκέψη».

Πρίν ἀπό τήν ἀπόδειξη ἀπαγόρευσε, μέ σκοπό νά πλησιασει τόν ἀκροατή καί νά θεραπεύσει ἐκεῖνον πού σκανδαλίζεται. Γιατί, ἀφοῦ ἄκουσε στή συνέχεια καί ἔμαθε γιά τή διάθεσή του, ζητάει μαζί του ἐκεῖνο πού φαίνεται νά εἶναι ἀκατανόητο καί δέν ὑποψιάζεται τόν ὁμιλητή. Γι' αὐτό καί προλαβαίνοντας τήν ἀντίθεση ἀνέφερε τό νόμο. Γιατί δέν εἶπε, 'τί μποροῦμε λοιπόν νά ποῦμε;', ἀλλά, «τί θά ποῦμε λοιπόν;», σάν νά πρόκειται γιά θέληση καί ἀπόφαση, καί μάλιστα κοινῆς συναθροίσεως, καί ὅπου φάνηκε ἡ ἀντίθεση ὄχι ἀπ' αὐτόν, ἀλλ' ἀπό τό συμπέρασμα ἐκείνων πού λέχθηκαν καί ἀπό τήν ἀλήθεια τῶν πραγμάτων. Γιατί, λέγει, τό ὅτι βέβαια τό γράμμα τοῦ νόμου θανατώνει, κανείς δέν ἔχει ἀντίρρη-

ἀποκτείνει, οὐδεὶς ἀντερεῖ, φησί· καὶ ὅτι τὸ Πνεῦμα ζωοποιεῖ, καὶ τοῦτον δῆλον, καὶ οὐδεὶς ἂν φιλονεικήσειεν. Εἰ τοίνυν ταῦτα ὡμολογημένα, τί ἂν εἴπομεν περὶ τοῦ νόμου; ὅτι ἁμαρτία; μὴ γένοιτο. Λῦσον οὖν τὴν ἀπορίαν. Εἶδες πῶς μεθ' ἑαυτοῦ τὸν ἀντίδικον ἵστησι, καὶ τὸ τοῦ διδάσκοντος ἀξίωμα λαβών, ἐπὶ τὴν λύσιν ἔρχεται; Τίς οὖν ἡ λύσις; Ἁμαρτία μὲν οὐκ ἔστι, φησί· «τὴν δὲ ἁμαρτίαν οὐκ ἂν ἔγνων, εἰ μὴ διὰ νόμου». Ὅρα σοφίας ἐπίτασιν. Ὅπερ γὰρ οὐκ ἔστιν ὁ νόμος, ἐξ ἀντιθέσεως τέθεικεν, ἵνα ἀναιρῶν τοῦτο, καὶ ταύτῃ χαριζόμενος τῷ Ἰουδαίῳ, πείσῃ τὸ ἔλαττον αὐτὸν καταδέξασθαι. Τί δέ ἐστι τὸ ἔλαττον; Ὅτι «τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου».

«Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν», φησίν, «εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις». Ὁρᾷς πῶς κατὰ μικρὸν οὐχὶ μόνον κατήγορον αὐτὸν ὄντα δείκνυσι τῆς ἁμαρτίας, ἀλλὰ ἠρέμα καὶ κατασκευαστικόν; οὐ μὴν παρὰ τὴν αἰτίαν τὴν αὐτοῦ, ἀλλὰ παρὰ τὴν τῶν ἀγνωμόνων Ἰουδαίων ἀποφαίνει τοῦτο συμβαῖνον. Καὶ γὰρ καὶ Μανιχαίων ἐσπούδακεν ἐμφράξαι τὰ στόματα τῶν κατηγορούντων τοῦ νόμου. Εἰπὼν γάρ, ὅτι «τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου, καὶ τὴν ἐπιθυμίαν οὐκ ᾔδειν,εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις», ἐπήγαγεν· «ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν». Εἶδες πῶς αὐτὸν ἀπήλλαξεν ἐγκλημάτων; Ἀφορμὴν γὰρ λαβοῦσα, φησίν, ἡ ἁμαρτία, οὐχ ὁ νόμος, ηὔξησε τὴν ἐπιθυμίαν, καὶ τοὐναντίον οὗπερ ἐβούλετο ὁ νόμος, γέγονεν· ὅπερ ἀσθενείας ἦν, οὐ πονηρίας. Ὅταν γὰρ ἐπιθυμῶμεν, εἶτα κωλυώμεθα, αἴρεται μᾶλλον τῆς ἐπιθυμίας ἡ φλόξ. Ἀλλ' οὐ παρὰ τὸν νόμον τοῦτο· αὐτὸς μὲν γὰρ ἐκώλυσεν, ὥστε ἀπαγαγεῖν, ἡ δὲ ἁμαρτία, τουτέστιν, ἡ ῥᾳθυμία ἡ σὴ καὶ ἡ γνώμη ἡ πονηρὰ τῷ καλῷ πρὸς τὸ ἐναντίον ἐχρήσατο.

Ἀλλ' οὐ τοῦ ἰατροῦ τοῦτο ἔγκλημα, ἀλλὰ τοῦ ἀρρωστοῦντος τῷ φαρμάκῳ κακῶς χρησαμένου. Οὐ γὰρ διὰ τοῦτο ἔδωκεν τὸν νόμον, ἵνα ἀνάψῃ τὴν ἐπιθυμίαν, ἀλλ' ἵνα σβέσῃ· τοὐναντίον δὲ ἐξέβη· ἀλλ' οὐκ ἐκείνου, ἀλλ' ἡμῶν ἡ κατηγορία. Οὐδὲ γάρ, εἴ τις τῷ

---

11. Μανιχαῖοι· ὀπαδοί τοῦ Μανιχαϊσμοῦ, θρησκευτικῆς αἱρέσεως τοῦ 3ου μ. Χ. αἰώνα. Ἱδρυτής τῆς αἱρέσεως ἦταν ὁ Πέρσης Μάνης (216–277). Ὁ Μανιχαϊσμός ἀνήκει στό ποικιλόμορφο ρεῦμα τοῦ Γνωστικισμοῦ, μέσα στό

ση· καί ὅτι τό Πνεῦμα δίνει ζωή, καί αὐτό εἶναι φανερό καί κανείς δέν μπορεῖ νά φιλονεικήσει. Ἐάν λοιπόν αὐτά εἶναι παραδεκτά, τί μπορεῖ νά ποῦμε γιά τό νόμο; ὅτι εἶναι ἁμαρτία; Μακριά μιά τέτοια σκέψη. Σταμάτησε λοιπόν τήν ἀπορία. Εἶδες πῶς μαζί του σταματάει τόν ἀντίδικο, καί παίρνοντας τή θέση τοῦ διδασκάλου, ἔρχεται στήν ἐξήγηση; Ποιά λοιπόν εἶναι ἡ ἐξήγηση; Ἡ ἁμαρτία βέβαια δέν ὑπάρχει, λέγει· «τήν ἁμαρτία ὅμως δέ θά τή γνώριζα, παρά μόνο μέ τό νόμο». Πρόσεχε δύναμη σοφίας. Γιατί, ἐκεῖνο πού δέν εἶναι ὁ νόμος, ἀπό ἀντίθεση τό ἀνέφερε, ὥστε, ἀναιρώντας αὐτό καί χαριζόμενος ἔτσι στόν Ἰουδαῖο, νά τόν πείσει νά δεχθεῖ τό λιγότερο. Ποιό ὅμως εἶναι τό λιγότερο; Ὅτι «τήν ἁμαρτία δέ τή γνώρισα παρά μόνο μέ τό νόμο».

«Γιατί καί τήν ἐπιθυμία δέ θά γνώριζα», λέγει, «ἐάν ὁ νόμος δέν ἔλεγε, δέ θά ἐπιθυμήσεις». Βλέπεις πῶς λιγό - λίγο δείχνει ὅτι εἶναι ὄχι μόνο κατήγορος τῆς ἁμαρτίας, ἀλλά σιγά - σιγά καί δημιουργός της; Ὅμως δέν παρουσιάζει νά συμβαίνει αὐτό ἀπό τή δική του αἰτία, ἀλλ' ἀπό τήν αἰτία τῶν ἀχάριστων Ἰουδαίων. Γιατί φρόντισε νά κλείσει καί τά στόματα τῶν Μανιχαίων[11], πού κατηγοροῦσαν τό νόμο. Γιατί, ἀφοῦ εἶπε, ὅτι «τήν ἁμαρτία δέ θά γνώριζα, ἐάν ὁ νόμος δέν ἔλεγε, δέ θά ἐπιθυμήσεις», πρόσθεσε· «ἀφοῦ ὅμως ἔλαβε ἀφορμή ἀπό τήν ἐντολή ἡ ἁμαρτία, δημιούργησε μέσα μου κάθε ἐπιθυμία». Εἶδες πῶς ἀπάλλαξε τό νόμο ἀπό κατηγορίες; Γιατί, ἀφοῦ ἔλαβε ἀφορμή, λέγει, ἡ ἁμαρτία, ὄχι ὁ νόμος, μεγάλωσε τήν ἐπιθυμία, καί ἔγινε τό ἀντίθετο ἀπό ἐκεῖνο πού ἤθελε ὁ νόμος, πράγμα πού ἦταν ἀπόδειξη ἀδυναμίας καί ὄχι πονηρίας. Γιατί, ὅταν ἐπιθυμοῦμε καί στή συνέχεια ἐμποδιζόμαστε, αὐξάνεται περισσότερο ἡ φλόγα τῆς ἐπιθυμίας. Ἀλλ' αὐτό δέν εἶναι ἔργο τοῦ νόμου. Γιατί αὐτός ἐμπόδισε, γιά ν' ἀπομακρύνει, ἐνῶ ἡ ἁμαρτία, δηλαδή, ἡ δική σου ἀδιαφορία καί ἡ πονηρή διάθεση, χρησιμοποίησε τό καλό γιά τό ἀντίθετο.

Αὐτό ὅμως δέν εἶναι κατηγορία ἐναντίον τοῦ ἰατροῦ, ἀλλά ἐναντίον τοῦ ἀρρώστου πού χρησιμοποίησε κακῶς τό φάρμακο. Γιατί δέν ἔδωσε γι' αὐτό τό νόμο, γιά ν' ἀνάψει τήν ἐπιθυμία, ἀλλά γιά νά τή σβήσει. Ἀλλ' ἔγινε τό ἀντίθετο. Ἡ κατηγορία ὅμως δέν εἶναι ἐναντίον του, ἀλλά ἐναντίον μας. Γιατί, ἄν κάποιος σ' αὐτόν

πυρέττοντι, καὶ ψυχροποσίας ἀκαίρως ἐπιθυμοῦντι, μὴ παρασχὼν ἐμφορηθῆναι, τῆς ὀλεθρίας ταύτης ἡδονῆς αὐξήσειε τὴν ἐπιθυμίαν, ἐγκαλοῖτ' ἂν δικαίως· τοῦ γὰρ ἰατροῦ τὸ κωλῦσαι ἦν μόνον, τὸ δὲ ἀποσχέσθαι τοῦ κάμνοντος. Τί γὰρ εἰ ἡ ἁμαρτία ἐξ αὐτοῦ τὴν ἀφορμὴν ἔλαβε; Πολλοὶ γὰρ καὶ τῶν πονηρῶν ἐξ ἀγαθῶν ἐπιταγμάτων τὴν ἑαυτῶν πονηρίαν αὔξουσιν. Ἐπεὶ καὶ ὁ διάβολος οὕτω τὸν Ἰούδαν ἀπώλεσεν, εἰς φιλοχρηματίαν ἐμβαλὼν καὶ κλέπτειν τὰ τῶν πενήτων ποιήσας· ἀλλ' οὐ τὸ πιστευθῆναι τὸ γλωσσόκομον αὐτὸν τοῦτο εἰργάσατο, ἀλλ' ἡ τῆς γνώμης πονηρία. Καὶ ἡ Εὔα δὲ τὸν Ἀδὰμ ἀπὸ τοῦ ξύλου παρασκευάσασα φαγεῖν, ἐξέβαλεν ἐκ τοῦ παραδείσου, ἀλλ' οὐδὲ ἐκεῖ τὸ δένδρον αἴτιον, εἰ καὶ δι' αὐτοῦ ἀφορμὴν γέγονεν. Εἰ δὲ σφοδρότεροπν κέχρηται τῷ λόγῳ τῷ περὶ τοῦ νόμου, μὴ θαυμάσῃς· πρὸς γὰρ τὸ κατεπεῖγον ὁ Παῦλος ἵσταται, οὐκ ἀφιείς, μὲν οὐδὲ τοῖς ἄλλως ὑποπτεύουσι τὰ λεγόμενα λαβὴν παρασχεῖν, πολλὴν δὲ σπουδὴν ποιούμενος τὸ παρὸν διορθῶσαι.

Μὴ τοίνυν γυμνὰ ἐξέταζε τὰ ἐντεῦθεν λεγόμενα, ἀλλὰ καὶ τὴν ὑπόθεσιν προστίθει, δι' ἣν ταῦτα εἰπεῖν προάγεται, καὶ τὴν μανίαν λογίζου τὴν ἰουδαϊκήν, καὶ τὴν εὔτονον αὐτῶν φιλονεικίαν, ἣν καταλῦσαι σπεύδων δοκεῖ πολὺς κατὰ τοῦ νόμου πνεῖν, οὐχ ἵνα ἐκεῖνον διαβάλῃ, ἀλλ' ἵνα τούτων ἐκλύσῃ τὸν τόνον. Εἰ γὰρ καὶ ἔγκλημα τοῦ νόμου, τὸ δι' αὐτοῦ τὴν ἁμαρτίαν ἀφορμὴν λαβεῖν, εὑρεθήσεται καὶ ἐν τῇ Καινῇ τοῦτο συμβαῖνον. Καὶ γὰρ καὶ ἐν τῇ Καινῇ νόμοι μυρίοι, καὶ περὶ πολλῷ μειζόνων πραγμάτων· καὶ τὸ αὐτὸ ἴδοι τις ἂν ἐκβαῖνον κἀκεῖ, οὐκ ἐπὶ τῆς ἐπιθυμίας μόνον, ἀλλ' ἐπὶ πάσης ἁπλῶς κακίας. «Εἰ γὰρ μὴ ἦλθον», φησί, «καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον». Οὐκοῦν ἐντεῦθεν ἡ ἁμαρτία τὴν ὑπόθεσιν ἔλαβε, καὶ ἡ μείζων κόλασις. Καὶ πάλιν περὶ τῆς χάριτος ὁ Παῦλος διαλεγόμενος, φησί· «πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται

ὁποῖο κρατάει τή δυαρχική πτέρυγα μαζί μέ τό Μαρκιωνισμό.

12. Ἰω. 15, 22.

πού ἔχει πυρετό καί θέλει νά πιεῖ σέ ἀκατάλληλη ὥρα κρύο νερό, χωρίς νά τοῦ δώσει νά πιεῖ, μεγάλωνε τήν ἐπιθυμία τῆς ὀλέθριας αὐτῆς εὐχαρίστησης, δέ θά κατηγοροῦνταν δίκαια, γιατί στό χέρι τοῦ ἰατροῦ ἦταν τό νά ἐμποδίσει μόνο, ἐνῶ τό νά λάβει ἦταν στό χέρι τοῦ ἀρρώστου. Τί λοιπόν σημαίνει, ἄν ἡ ἁμαρτία ἔλαβε τήν ἀφορμή ἀπό τό νόμο; Γιατί πολλοί καί ἀπό τούς πονηρούς αὐξάνουν τήν πονηρία τους ἀπό ἀγαθές ἐντολές. Ἐπειδή καί ὁ διάβολος ἔτσι κατέστρεψε τόν Ἰούδα, ἀφοῦ τόν ἔκαμε νά πέσει στή φιλαργυρία καί νά κλέβει τούς φτωχούς. Ὅμως δέν τό ἔκαμε αὐτό ἐπειδή τόν ἐμπιστεύθηκαν τό χρηματοκιβώτιο, ἀλλ' ἡ πονηρία τῆς ἐπιθυμίας του. Καί ἡ Εὔα, ἀφοῦ ἔκαμε τόν Ἀδάμ νά φάγει ἀπό τό δένδρο, τόν ἔδιωξε ἀπό τόν παράδεισο. Ἀλλ' οὔτε ἐκεῖ τό δένδρο ἦταν ἡ αἰτία, ἄν καί μέ αὐτό ἔγινε ἡ ἀφορμή. Ἐάν ὅμως χρησιμοποιεῖ σφοδρότερα τό λόγο γιά τό νόμο, μήν ἀπορήσεις. Γιατί ὁ Παῦλος σταματάει αὐτό πού εἶναι πάρα πολύ κατεπεῖγον, χωρίς βέβαια νά ἀφήνει οὔτε ἐκείνους πού διαφορετικά ἐκλαμβάνουν τά λόγια του νά λάβουν ἀφορμή· ἡ ὅλη φροντίδα του εἶναι νά διορθώσει τό παρόν.

Μή ἐξετάζεις λοιπόν ἁπλῶς αὐτά πού λέγονται ἐδῶ, ἀλλά νά προσθέτεις καί τήν ἀφορμή γιά τήν ὁποία ἔρχεται νά πεῖ αὐτά, καί νά σκέφτεσαι τή μανία τῶν Ἰουδαίων καί τήν ἔντονη φιλονεικία τους, πού θέλοντας νά ἐξαλείψει ὁ Παῦλος, φαίνεται πώς ὀργίζεται πολύ ἐναντίον τοῦ νόμου, ὄχι γιά νά τόν διαβάλει, ἀλλά γιά νά καταργήσει τή δύναμή τους. Γιατί, ἄν ἦταν κατηγορία ἐναντίον τοῦ νόμου, τό ὅτι μέ αὐτόν ἡ ἁμαρτία ἔλαβε τήν ἀφορμή, θά βρεθεῖ νά συμβαίνει αὐτό καί στήν Καινή Διαθήκη. Γιατί πραγματικά καί στήν Καινή Διαθήκη ὑπάρχουν πάρα πολλοί νόμοι, καί μάλιστα γιά πολύ μεγαλύτερα πράγματα. Καί τό ἴδιο μπορεῖ νά δεῖ κανείς νά γίνεται καί ἐκεῖ, ὄχι στήν ἐπιθυμία μόνο, ἀλλά γενικά σέ κάθε κακία. «Γιατί ἄν δέν ἐρχόμουν», λέγει ὁ Χριστός, «καί δέ μιλοῦσα σ' αὐτούς, ἁμαρτία δέ θά εἶχαν»[12]. Ἐπομένως ἀπό ἐδῶ ἔλαβε τήν ἀφορμή ἡ ἁμαρτία, καί ἡ μεγαλύτερη τιμωρία. Καί πάλι ὅταν ὁ Παῦλος μιλοῦσε γιά τή χάρη, λέγει· «πόσο χειρότερης τιμωρίας νομίζετε, ὅτι θά κριθεῖ ἄξιος ἐκεῖνος πού ποδοπάτησε πε-

τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας;» Οὐκοῦν καὶ ἡ χείρων τιμωρία τὴν ἀφορμὴν ἐντεῦθεν ἔχει ἀπὸ τῆς μείζονος εὐεργεσίας. Καὶ τοὺς Ἕλληνας δέ φησι διὰ τοῦτο ἀναπολογήτους εἶναι, ὅτι καὶ λόγῳ τιμηθέντες, καὶ τῆς κτίσεως τὸ κάλλος καταμαθόντες, καὶ ἀπ᾽ αὐτῆς δυνάμενοι πρὸς τὸν δημιουργὸν χειραγωγηθῆναι, τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ εἰς δέον ἐχρήσαντο.

Ὁρᾷς πανταχοῦ τοῖς πονηροῖς τὰς ἀφορμὰς τοῦ μειζόνως κολάζεσθαι ἀπὸ τῶν ἀγαθῶν γινομένας πραγμάτων; Ἀλλ᾽ οὐ δήπου διὰ τοῦτο κατηγορήσομεν τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ἀλλὰ ταύτας μὲν θαυμασόμεθα μειζόνως καὶ μετὰ ταῦτα, τὴν δὲ γνώμην τῶν εἰς τἀναντία τοῖς ἀγαθοῖς κεχρημένων διαβαλοῦμεν. Τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ νόμου ποιῶμεν. Ἀλλὰ τοῦτον μὲν ῥᾴδιον καὶ εὔκολον, τὸ δὲ ἄπορον ἐκεῖνό ἐστι· πῶς φησι, τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, «οὐκ ἐπιθυμήσεις»; Εἰ γὰρ οὐκ ᾔδει τὴν ἐπιθυμίαν πρὶν ἢ λαβεῖν τὸν νόμον ὁ ἄνθρωπος, πόθεν ὁ κατακλυσμὸς γέγονε; πόθεν τὰ Σόδομα ἐνεπρήσθη; Τί οὖν φησι; Τὴν ἐπιτεταμένην. Διὰ τοῦτο οὐκ εἶπε, 'κατειργάσατο ἐν ἐμοὶ ἐπιθυμίαν', ἀλλά, «πᾶσαν ἐπιθυμίαν», τὸ σφοδρὸν ἐνταῦθα αἰνιττόμενος. Καὶ τί τοῦ νόμου τὸ κέρδος, εἰ τὸ πάθος ηὔξησε, φησίν; Οὐδέν, ἀλλὰ καὶ πολὺ τὸ βλάβος· ἀλλ᾽ οὐ τοῦτο τοῦ νόμου τὸ ἔγκλημα, ἀλλὰ τῆς ῥᾳθυμίας τῶν δεξαμένων. Ἡ γὰρ ἁμαρτία αὐτὸ κατειργάσατο, ἀλλὰ διὰ νόμου· ἀλλ᾽ οὐ τοῦτο τοῦ νόμου σπουδάζοντος, ἀλλὰ καὶ τὸ ἐναντίον. Ἰσχυροτέρα οὖν γέγονε, φησίν, ἡ ἁμαρτία, καὶ σφοδρά. Ἀλλ᾽ οὐδὲ τοῦτο ἔγκλημα τοῦ νόμου πάλιν, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης.

«Χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρά»· τουτέστιν, οὐχ οὕτω γνώριμος. Ἤιδεσαν μὲν γὰρ καὶ οἱ πρὸ τοῦ νόμου, ὅτι ἡμάρτανον, ἀκριβέστερον δὲ ἔμαθον μετὰ τὴν τοῦ νόμου δόσιν. Διὰ τοῦτο καὶ μείζονος ἦσαν κατηγορίας ὑπεύθυνοι. Οὐδὲ γὰρ ἴσον ἦν φύσιν ἔχειν κατήγορον, καὶ μετὰ τῆς φύσεως καὶ τὸν νόμον φανερῶς διαγορεύοντα ἅπαντα.

13. Ἑβρ. 10, 29.

ριφρονητικά τόν Υἱό τοῦ Θεοῦ»[13];. Ἐπομένως καί ἡ χειρότερη τιμωρία ἀπό ἐδῶ ἔχει τήν ἀφορμή, ἀπό τή μεγαλύτερη εὐεργεσία. Ἀλλά καί οἱ Ἕλληνες, λέγει, γι' αὐτό εἶναι ἀναπολόγητοι, γιατί, ἄν καί τιμήθηκαν μέ λόγο καί γνώρισαν καλά τήν ὀμορφιά τῆς κτίσεως, καί ἀπό αὐτή μποροῦσαν νά ὁδηγηθοῦν πρός τό δημιουργό της, δέ χρησιμοποίησαν ὅπως ἔπρεπε τή σοφία τοῦ Θεοῦ.

Βλέπεις ὅτι παντοῦ στούς πονηρούς οἱ ἀφορμές γιά νά τιμωροῦνται προέρχονται περισσότερο ἀπό τά ἀγαθά πράγματα; Ἀλλά βέβαια δέ θά κατηγορήσουμε γι' αὐτό τίς εὐεργεσίες τοῦ Θεοῦ, ἀλλά θά τίς θαυμάσουμε περισσότερο καί ὕστερα ἀπ' αὐτά, ἐνῶ θά κατηγορήσουμε τή διάθεση ἐκείνων πού χρησιμοποιοῦν τά ἀγαθά γιά τά ἀντίθετα. Αὐτό λοιπόν ἄς κάνουμε καί στήν περίπτωση τοῦ νόμου. Καί αὐτό βέβαια εἶναι ἁπλό καί εὔκολο, ἐνῶ τό ἀκατανόητο εἶναι ἐκεῖνο· πῶς λέγει, τήν ἐπιθυμία δέ γνώριζε, ἐάν ὁ νόμος δέν ἔλεγε, δέ θά ἐπιθυμήσεις; Γιατί, ἄν δέ γνώριζε τήν ἐπιθυμία ὁ ἄνθρωπος προτοῦ νά λάβει τό νόμο, ἀπό ποῦ ἔγινε ὁ κατακλυσμός; ἀπό ποῦ κάηκαν τά Σόδομα; Τί λοιπόν ἐννοεῖ; Τήν αὔξηση τῆς ἐπιθυμίας. Γι' αὐτό δέν εἶπε, 'προκάλεσε σ' ἐμένα ἐπιθυμία', ἀλλά, «κάθε ἐπιθυμία», ὑπονοώντας ἐδῶ τήν ὑπερβολική ἐπιθυμία. Καί ποιό εἶναι τό κέρδος τοῦ νόμου, λέγει, ἄν μεγάλωσε τό πάθος; Κανένα, ἀλλά καί μεγάλη ἡ ζημία. Ὅμως ἡ κατηγορία δέν ἀνήκει στό νόμο, ἀλλά στήν ἀδιαφορία ἐκείνων πού τόν δέχθηκαν. Γιατί ἡ ἁμαρτία προκάλεσε αὐτό, ἀλλά μέ τό νόμο. Ὅμως δέν εἶναι αὐτό πού φρόντιζε ὁ νόμος, ἀλλά καί τό ἀντίθετο. Ἰσχυρότερη λοιπόν ἔγινε, λέγει, ἡ ἁμαρτία καί ὁρμητική. Ἀλλ' οὔτε αὐτό εἶναι κατηγορία πάλι ἐναντίον τοῦ νόμου, ἀλλ' ἐναντίον τῆς ἀχαριστίας ἐκείνων.

«Γιατί χωρίς νά ὑπάρχει ὁ νόμος, ἡ ἁμαρτία εἶναι νεκρή». Δηλαδή, ὄχι τόσο γνωστή. Γιατί γνώριζαν βέβαια καί ἐκεῖνοι πού ἔζησαν πρίν ἀπό τή χορήγηση τοῦ νόμου, ὅτι ἁμάρταναν, πιό καλά ὅμως ἔμαθαν μετά τή χορήγησή του. Γι' αὐτό καί ἦταν ὑπεύθυνοι γιά μεγαλύτερη κατηγορία. Γιατί δέν ἦταν τό ἴδιο νά ἔχει τή φύση κανείς κατήγορο, καί μαζί μέ τή φύση καί τό νόμο νά τά λέγει ὅλα φανερά.

5. *«Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ». Πότε, εἰπέ μοι; Πρὸ Μωϋσέως. Ὅρα πῶς δεῖξαι σπουδάζει, καὶ ἀφ' ὧν ἐποίησε, καὶ ἀφ' ὧν οὐκ ἐποίησε, βαρήσαντα τὴν ἀνθρωπίνην φύσιν. Ὅτε γὰρ χωρὶς νόμου ἔζων, φησίν, οὐχ οὕτω κατεδικαζόμην, «ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον». Τοῦτο δοκεῖ μὲν εἶναι κατηγορία τοῦ νόμου, εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἐγκώμιον αὐτοῦ φανεῖται ὄν. Οὐ γὰρ μὴ οὖσαν ὑπεστήσατο, ἀλλὰ κρυπτομένην ἔδειξεν· ὅπερ καὶ ἔπαινός ἐστι τοῦ νόμου, εἴγε πρὸ τούτου μὲν ἀνεπαισθήτως ἡμάρτανον, τούτου δὲ ἐλθόντος, εἰ καὶ μηδὲν ἕτερον ἐκαρπώσαντο, τοῦτο γοῦν αὐτὸ ἀκριβῶς ἔμαθον, ὅτι ἡμάρτανον· ὅπερ οὐκ ἂν εἴη μικρὸν εἰς κακίας ἀπαλλαγήν. Εἰ δὲ μὴ ἀπηλλάγησαν τῆς κακίας, οὐδὲν τοῦτο πρὸς τὸν πάντα ὑπὲρ τούτου ποιήσαντα νόμον, ἀλλ' ἡ πᾶσα κατηγορία τῆς ἐκείνων γνώμης ἐστί, παρ' ἐλπίδα πᾶσαν διαφθαρείσης. Οὐδὲ γὰρ κατὰ λόγον ἦν τὸ γινόμρνον, τὸ διὰ τῶν ὠφελούντων βλάπτεσθαι. Διὸ καὶ ἔλεγεν, «εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον». Οὐκ εἶπε, 'γέγονε θάνατος', οὐδέ, 'ἔτεκε θάνατον', ἀλλ' «εὑρέθη», τὸ καινὸν καὶ παράδοξον τῆς ἀτοπίας οὕτως ἑρμηνεύων, καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπων κεφαλήν.*

Ἂν γὰρ τὸν σκοπὸν αὐτῆς ἐθέλῃς ἰδεῖν, εἰς τὴν ζωὴν ἦγε, φησί, καὶ διὰ τοῦτο ἐδόθη, εἰ δὲ θάνατος ἐντεῦθεν ἐξέβη, τῶν λαβόντων τὴν ἐντολὴν τὸ ἔγκλημα, οὐ τῆς ἐπὶ τὴν ζωὴν ἀγούσης. Σαφέστερον δὲ αὐτὸ τοῦτο καὶ διὰ τῶν ἑξῆς ἐδήλωσεν, εἰπών· «ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν». Εἶδες πῶς πανταχοῦ τῆς ἁμαρτίας ἔχεται, τὸν νόμον ἀπαλλάττων κατηγορίας ἁπάσης; διὸ καὶ ἐπήγαγε λέγων· «ὥστε ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή». Ἀλλ', εἰ βούλεσθε, καὶ τῶν παραποιούντων τὰς ἐξηγήσεις ταύτας

5. «Ἐγώ ὅμως κάποτε ζοῦσα χωρίς τό νόμο». Πότε, πές μου; Πρίν ἀπό τό Μωυσῆ. Πρόσεχε πῶς προσπαθεῖ νά δείξει, καί ἀπ' αὐτά πού ἔκανε, καί ἀπ' αὐτά πού δέν ἔκανε, ὅτι ὁ νόμος καταπίεσε τό ἀνθρώπινο γένος. Γιατί ὅταν ζοῦσα χωρίς τό νόμο, λέγει, δέν καταδικαζόμουν ἔτσι, «ὅταν ὅμως ἦρθε ἡ ἐντολή, ἡ ἁμαρτία ξαναζωντάνεψε, ἐνῶ ἐγώ πέθανα». Αὐτό βέβαια φαίνεται πώς εἶναι κατηγορία ἐναντίον τοῦ νόμου. Ἐάν ὅμως τό ἐξετάσει κανείς μέ προσοχή, θά φανεῖ πώς εἶναι καί ἔπαινός του. Γιατί ὁ νόμος δέν ἔδωσε ὑπόσταση στήν ἁμαρτία χωρίς νά ὑπάρχει, ἀλλά τήν ἔδειξε ὅτι ἦταν κρυμμένη, πράγμα πού εἶναι καί ἔπαινος τοῦ νόμου, ἀφοῦ βέβαια πρίν ἀπ' αὐτόν ἀνεπαίσθητα ἁμάρταναν, ἐνῶ ὅταν ἦρθε αὐτός, ἄν καί δέν κέρδισαν τίποτε ἄλλο, τουλάχιστο ἔμαθαν καλά αὐτό τό ἴδιο, ὅτι δηλαδή ἁμάρταναν, πράγμα πού δέν εἶναι μικρό γιά τήν ἀπαλλαγή τῆς κακίας. Ἐάν ὅμως δέν ἀπαλλάχτηκαν ἀπό τήν κακία, αὐτό δέ ἀποτελεῖ κατηγορία ἐναντίον τοῦ νόμου, πού ἔκαμε τά πάντα γι' αὐτό, ἀλλ' ὅλη ἡ κατηγορία ἀνήκει στή διάθεση ἐκείνων, πού φθάρθηκε τελείως ἀντίθετα ἀπό κάθε ἐλπίδα. Οὔτε βέβαια ἦταν λογικό αὐτό πού γινόταν, τό νά βλάπτονται δηλαδή μέ αὐτά πού ὠφελοῦνταν. Γι' αὐτό καί ἔλεγε, «βρέθηκε ἡ ἐντολή, πού δόθηκε γιά νά μέ ὁδηγήσει στή ζωή, νά μέ ὁδηγήσει στό θάνατο». Δέν εἶπε, 'ἔγινε θάνατος', οὔτε, 'γέννησε θάνατο', ἀλλά, «βρέθηκε», ἑρμηνεύοντας ἔτσι τό καινούργιο καί παράδοξο τοῦ παραλογισμοῦ αὐτοῦ, καί στρέφοντας τό καθετί ἐναντίον τους.

Γιατί, ἄν θέλεις νά δεῖς τό σκοπό τῆς ἐντολῆς, ὁδηγοῦσε σέ ζωή, λέγει, καί γι' αὐτό δόθηκε, ἐάν ὅμως ἀπό ἐδῶ βγῆκε ὁ θάνατος, ἡ κατηγορία ἀνήκει σ' ἐκείνους πού ἔλαβαν τήν ἐντολή, ὄχι σ' αὐτή πού ὁδηγοῦσε στή ζωή. Πιό καθαρά ὅμως αὐτό τό ἴδιο τό δήλωσε καί μέ τά ἑπόμενα, λέγοντας· «γιατί ἡ ἁμαρτία, παίρνοντας ἀφορμή ἀπό τήν ἐντολή, μέ ἐξαπάτησε, καί μέ τήν παράβασή της μέ θανάτωσε». Εἶδες παντοῦ καταπιάνεται μέ τήν ἁμαρτία, ἀπαλλάσσοντας ἀπό κάθε κατηγορία τό νόμο; Γι' αὐτό καί πρόσθεσε λέγοντας· «ὥστε ὁ νόμος εἶναι ἅγιος, καί ἡ ἐντολή του εἶναι ἅγια καί δίκαιη καί εὐεργετική». Ἀλλά, ἐάν θέλετε, ἄς ἀναφέρουμε καί τίς ἐξηγήσεις ἐκείνων πού παραποιοῦν αὐτές. Γιατί ἔτσι θά

εἰς μέσον τὸν λόγον ἀγάγωμεν· οὕτω γὰρ σαφέστερα ἔσται τὰ παρ' ἡμῶν λεγόμενα. Τινὲς γὰρ ἐνταῦθα οὐ περὶ τοῦ νόμου Μωϋσέως αὐτόν φασι λέγειν τὰ λεγόμενα, ἀλλ' οἱ μὲν περὶ τοῦ φυσικοῦ, οἱ δὲ περὶ τῆς ἐντολῆς τῆς ἐν τῷ παραδείσῳ δοθείσης. Καὶ μὴν πανταχοῦ σκοπὸς τῷ Παύλῳ τοῦτον ἀναπαῦσαι τὸν νόμον, πρὸς δὲ ἐκείνους οὐδένα λόγον ἔχει· καὶ μάλα εἰκότως· τοῦτον γὰρ οἱ Ἰουδαῖοι δεδοικότες καὶ φρίττοντες, ἐφιλονείκουν τῇ χάριτι. Τὴν δὲ ἐντολὴν τὴν ἐν τῷ παραδείσῳ οὐδὲ νόμον ποτὲ φαίνεται καλέσας, οὔτε αὐτὸς οὔτε ἄλλος οὐδείς.

Ἵνα δὲ καὶ ἀπ' αὐτῶν τῶν εἰρημένων τοῦτο σαφέστερον γένηται, ἐπεξέλθωμεν τοῖς ῥήμασι, μικρὸν ἀνωτέρω τὸν λόγον ἀναγαγόντες. Περὶ γὰρ πολιτείας ἀκριβοῦς αὐτοῖς διαλεχθείς, ἐπήγαγε λέγων· «ἢ ἀγνοεῖτε, ἀδελφοί, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; Ὥστε καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ». Οὐκοῦν εἰ περὶ τοῦ φυσικοῦ ταῦτα εἴρηται, εὑρεθησόμεθα μὴ ἔχοντες νόμον φυσικόν, εἰ δὲ τοῦτο ἀληθές, τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Περὶ γὰρ τοῦ ἐν τῷ παραδείσῳ οὐδὲ φιλονεικεῖν ἀναγκαῖον, ἵνα μὴ περιττὸν ἀναδεξόμεθα πόνον, πρὸς τὰ ὡμολογημένα ἀποδυόμενοι. Πῶς οὖν φησι, «τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου»; Οὐ τὴν καθόλου λέγων ἄγνοιαν, ἀλλὰ τὴν ἀκριβεστέραν γνῶσιν. Εἰ γὰρ περὶ τοῦ φυσικοῦ τοῦτο εἴρηται, πῶς ἂν τὸ ἑξῆς ἔχοι λόγον; «Ἐγὼ» γὰρ φησίν, ἔζων χωρὶς νόμου ποτέ». Οὔτε γὰρ ὁ Ἀδάμ, οὔτε ἄλλος ἄνθρωπος οὐδεὶς οὐδέποτε φαίνεται χωρὶς νόμου ζήσας φυσικοῦ· ὁμοῦ τε γὰρ αὐτὸν ἔπλαττεν ὁ Θεὸς καὶ ἐκεῖνον ἐνετίθει τὸν νόμον αὐτῷ, σύνοικον ἀσφαλῆ παρακαθιστὰς τῇ φύσει πάσῃ.

Χωρὶς δὲ τούτων οὐδαμοῦ φαίνεται ἐντολὴν τὸν φυσικὸν νόμον καλέσας· τοῦτον δὲ καὶ ἐντολήν, καὶ δικαίαν καὶ ἁγίαν καλεῖ, καὶ νόμον πνευματικόν. Ὁ δὲ φυσικὸς οὐκ ἀπὸ Πνεύματος ἡμῖν ἐδόθη· καὶ γὰρ καὶ βάρβαροι καὶ Ἕλληνες καὶ πάντες τὸν νόμον

γίνουν πιό καθαρά τά δικά μας λόγια. Μερικοί λοιπόν ἰσχυρίζονται ὅτι ἐδῶ ὁ Παῦλος δέ μιλάει γιά τό νόμο τοῦ Μωυσῆ, ἀλλά γιά τό φυσικό νόμο, ἐνῶ ἄλλοι γιά τήν ἐντολή πού δόθηκε στόν παράδεισο. Ἀλλ' ὅμως παντοῦ σκοπός τοῦ Παύλου ἦταν νά σταματήσει αὐτόν τό νόμο, καί δέν μιλάει καθόλου γιά ἐκείνους τούς νόμους. Καί πολύ φυσικά. Γιατί αὐτόν τό νόμο ἐπειδή φοβοῦνταν καί ἔτρεμαν οἱ Ἰουδαῖοι, γι' αὐτό φιλονεικοῦσαν μέ τή χάρη. Τήν ἐντολή ὅμως πού δόθηκε στόν παράδεισο δέ φαίνεται ποτέ νά τήν ὀνόμασε νόμο, οὔτε αὐτός οὔτε κανείς ἄλλος.

Γιά νά γίνει αὐτό σαφέστερα καί ἀπ' αὐτά πού λέχθηκαν, ἄς ἐξετάσουμε μέ ἀκρίβεια τά λόγια, φέρνοντας τό λόγο λίγο παραπάνω. Γιατί, ὅταν τούς μίλησε γιά τή σωστή συμπεριφορά, πρόσθεσε καί εἶπε· «ἤ δέν ξέρετε, ἀδελφοί, ὅτι ὁ νόμος ἐξουσιάζει τόν ἄνθρωπο, ὅσο χρόνο ζεῖ ὁ ἄνθρωπος; Ὥστε καί σεῖς πεθάνατε ὡς πρός τό νόμο». Ἐπομένως, ἐάν αὐτά λέχθηκαν γιά τό φυσικό νόμο, θά βρεθοῦμε νά μήν ἔχουμε φυσικό νόμο. Ἐάν ὅμως αὐτό εἶναι ἀλήθεια, εἴμαστε πιό ἀνόητοι ἀπό τά ἄλογα ζῶα. Ἀλλά δέν εἶναι αὐτά ἀλήθεια, δέν εἶναι. Γιατί γιά τό νόμο πού δόθηκε στόν παράδεισο δέν εἶναι ἀνάγκη οὔτε νά λογομαχοῦμε, γιά νά μή φορτοθοῦμε μέ περιττό κόπο, ἀναλαμβάνοντας τόν ἀγώνα γιά ἐκεῖνα πού ἔχουν γίνει δεκτά. Πῶς λοιπόν λέγει, «τήν ἁμαρτία δέ γνώρισα, παρά μόνο μέ τό νόμο»; Ἐννοώντας ὄχι τήν καθολική ἄγνοια, ἀλλά τήν ἀκριβέστερη γνώση. Γιατί, ἄν αὐτό λέχθηκε γιά τό φυσικό νόμο, πῶς μπορεῖ νά δικαιολογεῖται τό ἑπόμενο; «Γιατί ἐγώ», λέγει, «ζοῦσα κάποτε χωρίς τό νόμο». Γιατί οὔτε ὁ Ἀδάμ, οὔτε κανείς ἄλλος ἄνθρωπος ποτέ φαίνεται νά ἔζησε χωρίς τό φυσικό νόμο. Γιατί δημιουργώντας τόν Ἀδάμ ὁ Θεός συγχρόνως τοῦ ἔβαλε μέσα του καί τό νόμο ἐκεῖνο, καθιστώντας αὐτόν πιστό σύντροφο σ' ὅλη τή φύση.

Ἐκτός ὅμως ἀπ' αὐτά, πουθενά δέ φαίνεται νά ὀνόμασε ἐντολή τό φυσικό νόμο, ἐνῶ αὐτόν τόν ὀνομάζει καί ἐντολή, καί δίκαιη καί ἅγια, καί νόμο πνευματικό. Ὁ φυσικός ὅμως νόμος δέ μᾶς δόθηκε ἀπό τό ἅγιο Πνεῦμα, γιατί καί οἱ βάρβαροι καί οἱ Ἕλληνες καί ὅλοι οἱ ἄνθρωποι ἔχουν αὐτόν τό νόμο. Ἐπομένως εἶναι φανε-

τοῦτον ἔχουσιν ἄνθρωποι. Ὅθεν δῆλον, ὅτι περὶ τοῦ Μωϋσαϊκοῦ καὶ ἄνω καὶ κάτω καὶ πανταχοῦ διαλέγεται. Διὸ καὶ ἅγιον αὐτὸν καλεῖ λέγων· «Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή». Εἰ γὰρ καὶ ἀκάθαρτοι γεγόνασιν οἱ Ἰουδαῖοι μετὰ τὸν νόμον, καὶ ἄδικοι καὶ πλεονέκται, οὐ καταργεῖ τοῦτο τοῦ νόμου τὴν ἀρετήν, ὥσπερ τοῦ Θεοῦ τὴν πίστιν οὐκ ἀναιρεῖ ἡ ἀπιστία αὐτῶν. Ὥστε ἐξ ἁπάντων τούτων δῆλον, ὅτι περὶ τοῦ Μωϋσέως ταῦτα διαλέγεται νόμου.

6. «Τὸ οὖν ἀγαθόν», φησίν, «ἐμοὶ γέγονε θάνατος; Μὴ γένοιτο· ἀλλ' ἡ ἁμαρτία, ἵνα φανῇ ἡ ἁμαρτία». Τουτέστιν, ἵνα δειχθῇ ὅσον κακὸν ἡ ἁμαρτία, ἡ ῥᾴθυμος προαίρεσις καὶ ἡ ἐπὶ τὸ χεῖρον ὁρμή, καὶ αὐτὴ δὲ ἡ πρᾶξις καὶ ἡ διεφθαρμένη γνώμη· τοῦτο γὰρ πάντων αἴτιον τῶν κακῶν. Αὔξει δὲ αὐτήν, δεικνὺς τῆς τοῦ Χριστοῦ χάριτος τὴν ὑπερβολήν, καὶ διδάσκων οἵου κακοῦ τὸ τῶν ἀνθρώπων ἀπήλλαξε γένος, ὃ καὶ διὰ τῶν ἰατρικῶν φαρμάκων χεῖρον ἐγίνετο, καὶ διὰ τῶν κωλυόντων ηὔξετο. Διὸ καὶ ἐπάγει λέγων· «ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς». Εἶδες πανταχοῦ πῶς ταύτῃ συμπλέκεται, καὶ δι' ὧν αὐτῆς κατηγορεῖ, δείκνυσι πάλιν μειζόνως τοῦ νόμου τὴν ἀρετήν; Οὐδὲ γὰρ μικρὸν ἤνυσε δείξας ὅσον ἡ ἁμαρτία κακόν, καὶ πάντα τὸν ἰὸν αὐτῆς ἐκκαλύψας, καὶ εἰς μέσον προθείς· τοῦτο γὰρ ἐδήλωσεν εἰπών, «ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς». Τουτέστιν, ἵνα φανῇ ἡλίκον κακόν, ἡλίκος ὄλεθρος ἡ ἁμαρτία· τοῦτο δὲ διὰ τῆς ἐντολῆς ἐδείχθη. Ἐκ τούτων καὶ τὴν ὑπεροχὴν δείκνυσι τῆς χάριτος πρὸς τὸν νόμον· τὴν ὑπεροχήν, οὐ τὴν μάχην.

Μὴ γὰρ τοῦτο ἴδῃς, ὅτι χείρους ἐγένοντο οἱ δεξάμενοι, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι οὐ μόνον εἰς ἐπίτασιν τὴν κακίαν ἀγαγεῖν οὐκ ἤθελεν ὁ νόμος, ἀλλὰ καὶ τὴν προϋπάρχουσαν ἐκκόψαι ἐσπούδαζεν. Εἰ δὲ οὐκ ἴσχυε, στεφάνου μὲν ἐκεῖνον ἀπὸ τῆς γνώμης· προσκύνει δὲ μειζόνως τοῦ Χριστοῦ τὴν δύναμιν, ἣ ποικίλον οὕτω κακὸν καὶ δυσκαταγώνιστον ἠφάνισέ τε καὶ πρόρριζον ἐκτεμνοῦσα

ρό, ὅτι γιά τό Μωσαϊκό νόμο μιλάει καί παραπάνω καί παρακάτω καί παντοῦ. Γι' αὐτό καί τόν ὀνομάζει ἅγιο λέγοντας· «ὥστε ὁ νόμος εἶναι ἅγιος, καί ἡ ἐντολή του ἅγια καί δίκαιη καί εὐεργετική». Ἐάν λοιπόν ἔγιναν οἱ Ἰουδαῖοι μετά τό νόμο καί ἀκάθαρτοι καί ἄδικοι καί πλεονέκτες, δέν καταργεῖ αὐτό τήν ἀρετή τοῦ νόμου, ὅπως ἀκριβῶς δέν καταργεῖ τήν πίστη στό Θεό ἡ ἀπιστία τους. Ὥστε ἀπ' ὅλα αὐτά εἶναι φανερό, ὅτι αὐτά τά λέγει γιά τό Μωσαϊκό νόμο.

6. «Τό ἀγαθό λοιπόν», λέγει, «ἔγινε γιά μένα θάνατος; μακριά μιά τέτοια σκέψη, ἀλλ' ἡ ἁμαρτία ἔγινε γιά μένα θάνατος, γιά νά φανεῖ ἡ ἁμαρτία». Δηλαδή, γιά νά φανεῖ πόσο κακό εἶναι ἡ ἁμαρτία, ἡ ἀδιάφορη προαίρεση, ἡ ὁρμή πρός τό χειρότερο, ἀλλά καί ἡ ἴδια ἡ πράξη καί ἡ κακή ἐπιθυμία. Γιατί αὐτό εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν. Αὐξάνει ὅμως τήν ἁμαρτία, γιά νά ἀποδείξει τήν ὑπεροχή τῆς χάριτος τοῦ Χριστοῦ, καί νά διδάξει ἀπό ποιό κακό ἀπάλλαξε τό ἀνθρώπινο γένος, πού καί μέ τά φάρμακα τῶν ἰατρῶν γινόταν χειρότερο καί μ' ἐκείνους πού τό ἐμπόδιζαν αὐξανόταν. Γι' αὐτό προσθέτει καί λέγει· «γιά νά γίνει ὑπερβολικά ἁμαρτωλή ἡ ἁμαρτία μέ τήν ἐντολή». Εἶδες πῶς παντοῦ ἡ μάχη του εἶναι ἐναντίον τῆς ἁμαρτίας, καί μέ αὐτά πού τήν κατηγορεῖ, ἀποδεικνύει πάλι περισσότερο τήν ἀρετή τοῦ νόμου; Γιατί δέν κατόρθωσε κάτι μικρό δείχνοντας πόσο κακό εἶναι ἡ ἁμαρτία, φανερώνοντας ὅλο τό δηλητήριο της καί παρουσιάζοντας αὐτήν μπροστά τους. Γιατί αὐτό δήλωσε λέγοντας, «γιά νά γίνει ὑπερβολικά ἁμαρτωλή ἡ ἁμαρτία μέ τήν ἐντολή». Δηλαδή, γιά νά φανεῖ πόσο μεγάλο κακό, πόση μεγάλη καταστροφή εἶναι ἡ ἁμαρτία. Ἀπό αὐτά δείχνει καί τήν ὑπεροχή τῆς χάριτος ἀπό τό νόμο· τήν ὑπεροχή, ὄχι τή μάχη.

Μή λοιπόν δεῖς αὐτό, ὅτι ἔγιναν χειρότεροι ἐκεῖνοι πού τόν δέχθηκαν, ἀλλ' ἐκεῖνο νά προσέχεις, ὅτι ὁ νόμος ὄχι μόνο δέν ἤθελε νά ὁδηγήσει σέ αὔξηση τῆς κακίας, ἀλλά καί προσπαθοῦσε νά ξερριζώσει ἐκείνη πού ὑπῆρχε ἀπό προηγουμένως. Ἐάν ὅμως δέν τό κατόρθωσε αὐτό, νά στεφανώνεις τό νόμο ἀπό τή διάθεσή του, ἀλλά νά προσκυνᾶς περισσότερο τή δύναμη τοῦ Χριστοῦ, ἡ ὁποία ἕνα τόσο πολύμορφο καί δυσκολονίκητο κακό καί τό ἐξα-

ἀνέσπασεν. Ἁμαρτίαν δὲ ὅταν ἀκούσῃς, μὴ δύναμίν τινα ἐνυπόστατον νομίσῃς, ἀλλὰ τὴν πρᾶξιν τὴν πονηράν, ἐπιγινομένην τε καὶ ἀπογινομένην ἀεί, καὶ οὔτε πρὸ τοῦ γενέσθαι οὖσαν, καὶ μετὰ τὸ γενέσθαι πάλιν ἀφανιζομένην. Διὰ γὰρ τοῦτο καὶ νόμος ἐδόθη· νόμος δὲ οὐδέποτε ἐπ' ἀναιρέσει τῶν φυσικῶν δίδοται, ἀλλ' ἐπὶ διορθώσει τῆς κατὰ προαίρεσιν πονηρᾶς πράξεως. Καὶ τοῦτο καὶ οἱ ἔξωθεν ἴσασιν νομοθέται, καὶ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις. Τὰ γὰρ ἐκ ῥᾳθυμίας γινόμενα κακὰ ἀναστέλλουσι μόνον, οὐ τὰ τῇ φύσει συγκεκληρωμένα ἐπαγγέλλονται ἐκκόπτειν· οὐδὲ γὰρ δυνατόν. Τὰ γὰρ τῆς φύσεως ἀκίνητα μένει, ὃ πολλάκις πρὸς ὑμᾶς καὶ ἐν ἑτέραις εἰρήκαμεν διαλέξεσι.

7. Διόπερ τοὺς ἀγῶνας τούτους ἀφέντες, τὸν ἠθικὸν πάλιν γυμνάσωμεν λόγον· μᾶλλον δὲ καὶ τοῦτο τὸ μέρος τῶν ἀγώνων ἐκείνων ἐστίν. Ἂν γὰρ κακίαν ἐκβάλωμεν, καὶ ἀρετὴν εἰσαγάγωμεν, καὶ διὰ τούτων σαφῶς διδάξομεν, ὅτι οὐ φύσει πονηρὸν ἡ κακία, καὶ τοὺς ζητοῦντας πόθεν τὰ κακά, οὐκ ἀπὸ λόγων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν πραγμάτων ἐπιστομίσαι δυνησόμεθα ῥᾳδίως, τῆς μὲν αὐτῆς κοινωνοῦντες αὐτοῖς φύσεως, ἀπηλλαγμένοι δὲ τῆς πονηρίας αὐτῶν. Μὴ γὰρ δὴ τοῦτο ἴδωμεν, ὅτι ἐπίπονον ἡ ἀρετή, ἀλλ' ὅτι κατορθωθῆναι δυνατόν· ἐὰν δὲ σπουδάζωμεν, καὶ κοῦφον ἡμῖν ἔσται καὶ εὔκολον. Εἰ δὲ τὴν ἡδονήν μοι λέγεις τῆς κακίας, λέγε καὶ τὸ τέλος αὐτῆς· εἰς γὰρ θάνατον αὕτη καταστρέφει, καθάπερ ἡ ἀρετὴ εἰς τὴν ζωὴν ἡμᾶς χειραγωγεῖ. Μᾶλλον δέ, εἰ δοκεῖ, καὶ πρὸ τοῦ τέλους ἑκατέραν αὐτῶν ἐξετάσωμεν· ὀψόμεθα γάρ τὴν μὲν κακίαν πολλὴν ἔχουσαν τὴν ὀδύνην, τὴν δὲ ἀρετὴν τὴν ἡδονήν. Τί γὰρ ἀλγεινότερον, εἰπέ μοι, συνειδότος πονηροῦ; τί δὲ ἥδιον ἐλπίδος χρηστῆς; Οὐδὲν γὰρ οὕτως, οὐδὲν κόπτειν ἡμᾶς εἴωθεν καὶ πιέζειν, ὡς προσδοκία πονηρά· οὐδὲν οὕτως ἀνέχει καὶ μικροῦ πέτεσθαι ποιεῖ, ὡς συνειδὸς ἀγαθόν.

Καὶ τοῦτο καὶ ἀπὸ τῶν παρ' ἡμῖν γινομένων ἔστι μαθεῖν. Τῶν γὰρ διὰ τοῦ στενωποῦ χωρούντων ἐπαιτῶν, καὶ μηδὲν ἑαυ-

φάνισε καί, ἀφοῦ τό ἔκοψε σύρριζα, τό κατέστρεψε. Ὅταν ὅμως ἀκούσεις ἁμαρτία, νά μή νομίσεις κάποια δύναμη πού ἔχειὑπόστα-ση, ἀλλά τήν πράξη τήν κακή, πού πάντοτε καί γίνεται καί χάνεται, καί οὔτε πρίν νά γίνει ὑπάρχει, καί ἀφοῦ γίνει πάλι ἐξαφανίζεται. Γιατί γι' αὐτό δόθηκε καί ὁ νόμος. Ὁ νόμος ὅμως ποτέ δέ δίνεται γιά τήν κατάργηση τῶν φυσικῶν πραγμάτων, ἀλλά γιά τή διόρθωση τῆς πονηρῆς πράξεως πού γίνεται ἀπό κακή προαίρεση. Καί αὐτό τό ξέρουν καί οἱ ἐθνικοί νομοθέτες καί ὅλο τό ἀνθρώπινο γένος. Γιατί σταματοῦν μόνο τά κακά πού γίνονται ἀπό ἀδιαφορία, δέν ὑπόσχονται νά ξερριζώσουν αὐτά πού εἶναι ἑνωμένα μέ τή φύση, γιατί δέν εἶναι δυνατό. Καθόσον ἐκεῖνα πού ἀνήκουν στή φύση παραμένουν ἀκίνητα, πράγμα πού πολλές φορές σᾶς ἔχουμε πεῖ καί σέ ἄλλες ὁμιλίες.

7. Γι' αὐτό ἀκριβῶς, ἀφοῦ ἀφήσουμε τούς ἀγῶνες αὐτούς, ἄς ἀσχοληθοῦμε πάλι μέ τόν ἠθικό λόγο· ἤ καλύτερα καί αὐτό τό μέρος τῶν ἀγώνων ἀνήκει σ' ἐκείνους. Γιατί, ἄν ἀπομακρύνουμε τήν κακία καί βάλουμε μέσα μας τήν ἀρετή, μέ αὐτά θά διδάξουμε καθαρά ὅτι δέν εἶναι ἀπό τή φύση της πονηρό πράγμα ἡ κακία, καί ἐκείνους πού προσπαθοῦν νά βροῦν ἀπό ποῦ προέρχονται τά κακά, ὄχι μόνο μέ τά λόγια, ἀλλά καί μέ τά πράγματα θά μπορέσουμε εὔκολα νά τούς ἀποστομώσουμε, ἐπειδή συμμετέχουμε στήν ἴδια μέ αὐτούς φύση, ἐνῶ εἴμαστε ἀπαλλαγμένοι ἀπό τήν πονηρία τους. Ἄς μή δοῦμε λοιπόν, ὅτι ἡ ἀρετή εἶναι δύσκολο πράγμα, ἀλλ' ὅτι εἶναι δυνατό νά κατορθωθεῖ, καί ἐάν προσπαθοῦμε, θά γίνει γιά μᾶς ἐλαφρό καί εὔκολο πράγμα. Ἐάν ὅμως μοῦ ἀναφέρεις τήν ἡδονή τῆς κακίας, νά πεῖς καί τό τέλος της. Γιατί αὐτή ὁδηγεῖ σέ θάνατο, ὅπως ἀκριβῶς πάλι ἡ ἀρετή μᾶς ὁδηγεῖ στή ζωή. Ἤ καλύτερα, ἄν θέλεις, ἄς ἐξετάσουμε τήν καθεμιά καί πρίν ἀπό τό τέλος τους. Γιατί θά δοῦμε πώς ἡ κακία ἔχει πολύ πόνο, ἐνῶ ἡ ἀρετή πολλή ἡδονή. Τί λοιπόν εἶναι πιό εὐχάριστο ἀπό τήν ἀγαθή ἐλπίδα; Γιατί τίποτε, τίποτε συνήθως δέ μᾶς πληγώνει καί δέ μᾶς πιέζει τόσο, ὅσο ἡ πονηρή προσδοκία· τίποτε δέ μᾶς στηρίζει τόσο, καί σχεδόν μᾶς κάνει νά πετᾶμε, ὅσο ἡ ἀγαθή συνείδηση.

Καί αὐτό εἶναι δυνατό νά τό μάθουμε καί ἀπ' αὐτά πού γίνονται σ' ἐμᾶς. Γιατί ἀπό τούς ἐπαῖτες πού βαδίζουν στό στενό δρόμο

τοῖς συνειδότων πονηρόν, οἱ τὸ δεσμωτήριον οἰκοῦντες καὶ καταδίκην ἀναμένοντες, κἂν μυριάκις τρυφῆς ἀπολαύωσιν, ἀλγεινότερον ζῶσιν· ἡ γὰρ προσδοκία τῶν δεινῶν οὐκ ἀφίησι τῶν ἐν χερσὶν ἡδέων αἰσθάνεσθαι. Καὶ τί λέγω τοὺς δεσμώτας; Τῶν γὰρ ἔξω διατριβόντων καὶ πλουτούντων, πονηρά τε συνειδότων ἑαυτοῖς, ἄμεινόν εἰσι πολλῷ διακείμενοι οἱ κάμνοντες χειροτέχναι, καὶ δι' ὅλης ἡμέρας πόνοις συζῶντες. Καὶ τοὺς μονομάχους δὲ διὰ τοῦτο ταλανίζομεν, καίτοιγε ἐν καπηλείοις ὁρῶντες μεθύοντας, τρυφῶντας, γαστριζομένους, καὶ πάντων ἀθλιωτέρους εἶναί φαμεν, ὅτι πολλῷ μείζων τῆς ἡδονῆς ἐκείνης ἡ τῆς προσδοκωμένης τελευτῆς συμφορά. Εἰ δὲ ἐκείνοις ἡδὺς οὗτος ὁ βίος εἶναι δοκεῖ, ἀναμνήσθητε τοῦ λόγου, οὗ συνεχῶς λέγω πρὸς ὑμᾶς, ὅτι οὐδὲν θαυμαστὸν μὴ φυγεῖν κακίας πικρίαν καὶ λύπην ἐν κακίᾳ ζῶντα. Ἰδοὺ γὰρ πρᾶγμα οὕτως ἐπάρατον ἐπέραστον τοῖς μετιοῦσιν εἶναι δοκεῖ. Ἀλλ' οὐ διὰ τοῦτο αὐτοὺς μακαρίζομεν, ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ταλανίζομεν, ὅτι οὐδὲ οἷ τῶν κακῶν εἰσιν, ἴσασι.

Τί δὲ ἂν εἴποις περὶ τῶν μοιχῶν, οἳ διὰ μικρὰν ἡδονὴν καὶ δουλείαν ἀπρεπῆ καὶ χρημάτων δαπάνην καὶ φόβον διηνεκῆ καὶ βίον ἁπλῶς τὸν τοῦ Κάϊν ὑπομένουσι, μᾶλλον δὲ ἐκείνου πολλῷ χαλεπώτερον, καὶ τὰ παρόντα δεδοικότες καὶ τὰ μέλλοντα τρέμοντες, καὶ φίλους καὶ ἐχθροὺς ὑποπτεύοντες, καὶ τοὺς εἰδότας καὶ τοὺς μηδὲν εἰδότας; Καὶ οὐδὲ ἡνίκα ἂν καθεύδωσι, ταύτης ἀπαλλάττονται τῆς ἀγωνίας, τοῦ πονηροῦ συνειδότος ὀνείρατα πολλῶν γέμοντα φόβων ἀναπλάττοντος αὐτοῖς, καὶ ἐκδειματοῦντος οὕτως. Ἀλλ' οὐχ ὁ σώφρων τοιοῦτος, ἀλλ' ἐν ἀνέσει καὶ ἐλευθερίᾳ πολλῇ τὸν ἅπαντα διάγει βίον. Ἀντίστησον τοίνυν ἐκείνῃ τῇ μικρᾷ ἡδονῇ τὰ πολλὰ κύματα τῶν φόβων τούτων, καὶ τῷ βραχεῖ πόνῳ τῆς ἐγκρατείας τὴν γαλήνην τῆς διηνεκοῦς ζωῆς, καὶ ὄψει ταύτην ἐκείνης οὖσαν ἡδίω. Ὁ δὲ ἁρπάζειν βουλόμενος, εἰπέ μοι, καὶ τοῖς ἀλλο-

καί δέν φέρουν μαζί τους κανένα κακό, οἱ φυλακισμένοι πού περιμένουν τήν καταδίκη τους, καί ἄν ἀκόμη ἀπολαμβάνουν ἄπειρες φορές τήν καλοπέραση, ζοῦν πιό ὀδυνηρά, γιατί ἡ ἀναμονή τῶν κακῶν δέν τούς ἐπιτρέπει νά αἰσθάνονται τά εὐχάριστα πού βρίσκονται στά χέρια τους. Καί γιατί ἀναφέρω τούς φυλακισμένους; Γιατί ἀπό ἐκείνους πού ζοῦν καί πλουτίζουν ἔξω, καί διαισθάνονται στόν ἑαυτό τους κακά, εἶναι πολύ καλύτερα οἱ χειροτέχνες πού ἐργάζονται καί ζοῦν ὅλη τήν ἡμέρα μέ κόπους. Καί τούς μονομάχους γι' αὐτό τούς ταλανίζουμε, ἄν καί τούς βλέπουμε νά μεθοῦν στά καπηλεῖα, νά διασκεδάζουν, νά τρώγουν λαίμαργα, καί λέμε πώς εἶναι πιό δυστυχισμένοι ἀπ' ὅλους, ἐπειδή εἶναι πολύ μεγαλύτερη ἀπό τήν εὐχαρίστηση ἐκείνη ἡ συμφορά τοῦ θανάτου πού ἀναμένεται. Ἐάν ὅμως σ' ἐκείνους ἡ ζωή αὐτή φαίνεται πώς εἶναι εὐχάριστη, νά θυμηθεῖτε τό λόγο, πού συνέχεια σᾶς λέγω, ὅτι δηλαδή δέν εἶναι καθόλου παράδοξο νά μήν ἀποφύγει τήν πικρία καί τή λύπη τῆς κακίας ἐκεῖνος πού ζεῖ μέσα στήν κακία. Νά λοιπόν, πράγμα τόσο μισητό φαίνεται πώς εἶναι ἀξιαγάπητο σ' ἐκείνους πού τό ἐπιδιώκουν. Δέν τούς μακαρίζουμε ὅμως γι' αὐτό, ἀλλά καί γι' αὐτό ἀκριβῶς τό ἴδιο τούς ταλανίζουμε, γιατί δέν γνωρίζουν σέ ποιό σημεῖο τῶν κακῶν βρίσκονται.

Τί ὅμως μπορεῖς νά πεῖς γιά τούς μοιχούς, οἱ ὁποῖοι γιά λίγη εὐχαρίστηση ὑπομένουν καί ἄπειρη δουλεία καί δαπάνη καί διαρκή φόβο καί ζωή γενικά σάν τοῦ Κάιν, ἤ καλύτερα καί πολύ χειρότερη ἀπ' αὐτόν, διότι καί τά παρόντα φοβοῦνται, καί τά μελλοντικά τρέμουν, καί ὑποψιάζονται φίλους καί ἐχθρούς, καί ἐκείνους πού γνωρίζουν καί ἐκείνους πού δέν γνωρίζουν τίποτε; Καί οὔτε ὅταν κοιμοῦνται ἀπαλλάσσονται ἀπό τήν ἀγωνία αὐτή, ἀφοῦ ἡ πονηρή τους συνείδηση ξαναπλάθει σ' αὐτούς ὄνειρα πού εἶναι γεμάτα μέ πολλούς φόβους, καί τούς κατατρομάζει ἔτσι. Ὁ ἐγκρατής ὅμως δέν εἶναι τέτοιος, ἀλλά ζεῖ ὅλη του τή ζωή μέ ἄνεση καί ἐλευθερία πολλή. Κάνε σύγκριση λοιπόν τά πολλά κύματα τῶν φόβων αὐτῶν μέ τή μικρή εὐχαρίστηση ἐκείνη, καί τή γαλήνη τῆς αἰώνιας ζωῆς μέ τό σύντομο κόπο τῆς ἐγκράτειας, καί θά δεῖς πώς αὐτή εἶναι πιό εὐχάριστη ἀπό ἐκείνη. Ἐκεῖνος πού θέλει νά ἁρπά-

τρίοις ἐπιτίθεσθαι χρήμασιν, οὐχὶ μυρίους ὑπομένει πόνους, περιτρέχων, κολακεύων δούλους, ἐλευθέρους, θυρωρούς, φοβῶν, ἀπειλῶν, ἀναισχυντῶν, ἀγρυπνῶν, τρέμων, ἀγωνιῶν, ὑφορώμενος ἅπαντα; Ἀλλ' οὐχ ὁ χρημάτων καταφρονῶν τοιοῦτος, ἀλλὰ καὶ οὗτος πάλιν πολλῆς ἀπολαύει τῆς ἡδονῆς, ἐν ἀδείᾳ ζῶν καὶ μετὰ ἀσφαλείας ἁπάσης.

Καὶ τὰ ἄλλα δὲ εἴ τις ἐπέλθοι τῆς κακίας μέρη, πολὺν τὸν θόρυβον ὄψεται, πολλοὺς τοὺς σκοπέλους. Καὶ τὸ δὴ μεῖζον, ὅτι ἐπὶ μὲν τῆς ἀρετῆς πρῶτα μὲν τὰ ἐπίπονα, μετὰ δὲ ταῦτα τὰ ἡδέα, ὥστε καὶ ταύτῃ τὸν πόνον κουφίζεσθαι, ἐπὶ δὲ τῆς κακίας ἀντιστρόφως· μετὰ τὴν ἡδονὴν αἱ ὀδύναι καὶ αἱ κολάσεις, ὥστε καὶ ἐντεῦθεν τὴν ἡδονὴν ἀφανίζεσθαι. Ὥσπερ γὰρ ὁ στεφάνους ἀναμένων, οὐδενὸς αἰσθάνεται τῶν παρόντων φορτικῶν, οὕτως ὁ μετὰ τὴν ἡδονὴν κολάσεις προσδοκῶν, οὐ δύναται καρποῦσθαι καθαρὰν εὐφροσύνην, τοῦ φόβου πάντα διαταράττοντος. Μᾶλλον δέ, εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ πρὸ τῆς κολάσεως τῆς ἐπὶ τούτοις κειμένης πολλὴν καὶ ἐν αὐτῷ τῷ τολμᾶσθαι τὴν κακίαν ὀδύνην εὕροι τις ἂν γινομένην. Καὶ εἰ δοκεῖ, τοῦτο ἐπὶ τῶν τὰ ἀλλότρια ἁρπαζόντων ἐξετάσωμεν, ἢ καὶ τῶν ὁπωσοῦν χρήματα περιβαλλομένων· καὶ φόβους ἀποστήσαντες καὶ κινδύνους καὶ τρόμον καὶ ἀγωνίαν καὶ φροντίδα καὶ πάντα ταῦτα, ὑποθώμεθα εἶναί τινα ἀπραγμόνως πλουτοῦντα, καὶ περὶ τῆς φυλακῆς τῶν ὄντων θαρροῦντα, ὅπερ ἀμήχανον, πλὴν ἀλλ' ὅμως κείσθω τῷ λόγῳ· ποίαν οὖν οὗτος καρπώσεται ἡδονήν; Ὅτι πολλὰ περιεβάλετο; Ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο οὐκ ἀφίησιν αὐτὸν εὐφραίνεσθαι· ἕως γὰρ ἂν ἑτέρων πλειόνων ἐπιθυμῇ, ἐπιτείνεται τὰ τῆς βασάνου.

Ἡ γὰρ ἐπιθυμία, ὅταν στῇ, τότε παρέχει τὴν ἡδονήν· ἐπεὶ καὶ διψῶντες τότε ἀνακτώμεθα ἑαυτούς, ὅταν ὅσον βουλόμεθα πίνωμεν· ἕως δ' ἂν διψῶμεν, κἂν πάσας ἐξαντλήσωμεν τὰς πηγάς, μείζων ἡμῖν ἡ βάσανος γίνεται, κἂν μυρίους ἐκπίωμεν ποταμούς, χα-

ζει, πές μου, καί νά ἐπιτίθεται στά ξένα χρήματα, δέν ὑπομένει πάρα πολλούς κόπους, ὅταν τρέχει ἐδῶ καί ἐκεῖ, κολακεύει δούλους, ἐλεύθερους, θυρωρούς, φοβερίζει, ἀπειλεῖ, συμπεριφέρεται ἀναίσχυντα, ξαγρυπνάει, τρέμει, ἀγωνιᾶ, ὑποψιάζεται τά πάντα; Ἐκεῖνος ὅμως πού περιφρονεῖ τά χρήματα δέν εἶναι τέτοιος, ἀλλά καί αὐτός πάλι ἀπολαμβάνει πολλή εὐχαρίστηση, ἀφοῦ ζεῖ χωρίς φόβο καί μέ κάθε ἀσφάλεια.

Καί τά ἄλλα εἴδη τῆς κακίας ἄν ἐξετάσει κανείς, θά δεῖ πολύ θόρυβο, πολλά ἐμπόδια. Καί τό μεγαλύτερο, ὅτι στήν ἀρετή πρῶτα εἶναι τά δύσκολα, ἐνῶ ὕστερα τά εὐχάριστα, ὥστε καί ἔτσι νά ἀνακουφίζεται ὁ κόπος· στήν κακία ὅμως εἶναι ἀντίστροφα, ὕστερα ἀπό τήν εὐαχαρίστηση ἀκολουθοῦν οἱ πόνοι καί οἱ τιμωρίες, ὥστε καί ἀπό ἐδῶ νά ἐξαφανίζεται ἡ εὐχαρίστηση. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος πού περιμένει στεφάνια, δέν αἰσθάνεται τίποτε ἀπό τά παρόντα ἐνοχλητικά πράγματα, ἔτσι ἐκεῖνος πού μετά τήν εὐχαρίστηση περιμένει τιμωρίες, δέν μπορεῖ νά ἀπολαύσει καθαρή εὐφροσύνη, ἀφοῦ ὅλα τά ἀνατρέπει ὁ φόβος. Ἤ καλύτερα, ἄν κανείς ἐξετάσει μέ προσοχή, καί πρίν ἀπό τήν τιμωρία πού ὑπάρχει γι' αὐτούς καί στήν ὥρα ἀκριβῶς πού τολμοῦν τήν κακία θά βρεθεῖ νά ὑπάρχει πολύς πόνος. Καί ἄν θέλεις, ἄς ἐξετάσουμε αὐτό σ' ἐκείνους πού ἁρπάζουν τά ξένα, ἤ καί σ' ἐκείνους πού προσπαθοῦν κατά κάποιο τρόπο νά κερδίσουν χρήματα. Καί ἀφοῦ ἀπομακρύνουμε φόβους καί κινδύνους, τρόμο καί ἀγωνία καί φροντίδα καί ὅλα αὐτά, ἄς ὑποθέσουμε ὅτι ὑπάρχει κάποιος πού πλουτίζει χωρίς κόπο καί πού δέ φοβᾶται γιά τή φύλαξη τῶν ὑπαρχόντων, πράγμα ἀδύνατο, ἀλλ' ὅμως ἄς εἶναι δεδομένο στό λόγο. Ποιά λοιπόν εὐχαρίστηση θ' ἀπολαύσει αὐτός; Ὅτι κέρδισε πολλά; Ἀλλά τοῦτο ἀκριβῶς δέν τόν ἀφήνει νά εὐχαριστεῖται. Γιατί μέχρι πού θά ἐπιθυμεῖ ἄλλα περισσότερα, αὐξάνονται τά βάσανά του.

Γιατί ἡ ἐπιθυμία, ὅταν σταματήσει, τότε δίνει τήν εὐχαρίστηση. Ἀφοῦ καί ὅταν διψοῦμε, τότε συνερχόμαστε, ὅταν πιοῦμε ὅσο θέλουμε· ἐνῶ ὅσο θά διψοῦμε, καί ἄν ἀκόμη ἀδειάσουμε ὅλες τίς πηγές, γίνεται μεγαλύτερη ἡ δοκιμασία μας· καί ἄν ἀκόμη πιοῦμε πάρα πολλούς ποταμούς, γίνεται πιό φοβερή ἡ τιμωρία.

λεπώτερα τὰ τῆς κολάσεως. Καὶ σὺ τοίνυν ἂν τὰ τοῦ κόσμου λάβῃς, ἔτι δὲ ἐπιθυμῇς, μείζονα εἰργάσω τὴν κόλασιν, ὅσῳ πλειόνων ἀπεγεύσω. Μὴ τοίνυν ἀπὸ τοῦ πολλὰ περιβάλλεσθαι νόμιζέ σοι προσγίνεσθαί τινα ἡδονήν, ἀλλ' ἀπὸ τοῦ μὴ θέλειν πλουτεῖν· ἐὰν γὰρ ἐπιθυμῇς πλουτεῖν, οὐδέποτε παύσῃ μαστιζόμενος. Ἔρως γάρ ἐστιν οὗτος ἀτέλεστος, καὶ ὅσῳπερ ἂν πλείονα προέλθῃς ὁδόν, τοσούτῳ μᾶλλον τοῦ τέλους ἀφέστηκας. Ἆρ' οὖν οὐκ αἴνιγμα τοῦτο καὶ παραπληξία καὶ ἐσχάτη μανία;

Ἀποστῶμεν τοίνυν ἐκ πρώτης τῶν κακῶν· μᾶλλον δὲ μηδὲ ὅλως ἀψώμεθα τῆς τοιαύτης ἐπιθυμίας· κἂν ἀψώμεθα δέ, ἐκ προοιμίων ἀποπηδήσωμεν· ὅπερ ὁ παροιμιαστὴς περὶ πόρνης γυναικὸς παραινεῖ λέγων, «ἀποπήδησον, μὴ ἐγχρονίσῃς, καὶ μὴ ἔλθῃς ἐπὶ θύραις οἴκων αὐτῆς», τοῦτό σοι καὶ ἐγὼ περὶ τῆς φιλοχρηματίας λέγω. Ἂν γὰρ ἐμπέσῃς κατὰ μικρὸν εἰς τὸ πέλαγος εἰσιὼν τῆς μανίας ἐκείνης, δυσκόλως ἐπανελθεῖν δυνήσῃ. Καὶ καθάπερ ἐν τοῖς ἰλίγγοις κἂν μυριάκις φιλονεικῇς, οὐ περιέσῃ ῥᾳδίως, οὕτω, καὶ πολλῷ χαλεπώτερον, εἰς τὸ βάθος τῆς ἐπιθυμίας ταύτης ἐμπεσών, ἀπολεῖς σεαυτὸν μετὰ τῶν ὄντων ἁπάντων.

***8.** Διό, παρακαλῶ, τὴν ἀρχὴν φυλαττώμεθα, καὶ τὰ μικρὰ φεύγωμεν κακά· τὰ γὰρ μεγάλα ἀπὸ τούτων τίκτεται. Ὁ γὰρ καθ' ἕκαστον ἁμάρτημα μαθὼν λέγειν, 'οὐδὲν παρὰ τοῦτο', κατὰ μικρὸν πάντα ἀπολεῖ. Τοῦτο γοῦν τὴν κακίαν εἰσήγαγε, τοῦτο τὰς θύρας ἀνέῳξε τῷ λῃστῇ, τοῦτο τῆς πόλεως τὰ τείχη κατέβαλε, τὸ καθ' ἕκαστον λέγειν,' οὐδὲν παρὰ τοῦτο'. Οὕτω καὶ ἐπὶ τῶν σωμάτων τὰ μέγιστα αὔξεται νοσήματα, ὅταν τὰ μικρὰ καταφρονῆται. Ὁ Ἠσαῦ εἰ μὴ προέδωκε τὰ πρωτοτόκια, οὐκ ἂν ἀνάξιος ἐγένετο τῶν εὐλογιῶν· εἰ μὴ τῶν εὐλογιῶν ἀνάξιον ἑαυτὸν κατέστησεν, οὐκ ἂν εἰς ἀδελφοκτονίαν προελθεῖν ἐπεθύμησεν. Ὁ Κάϊν εἰ μὴ τῶν πρωτείων ἠράσθη, ἀλλὰ τῷ Θεῷ παρεχώρησε τούτων, οὐκ ἂν ἔσχε τὰ δευτερεῖα· τὰ δευτερεῖα ἔχων πάλιν, εἰ τῆς παραινέσεως ἤκουσεν, οὐκ ἂν ὤδινε τὸν φόνον· πάλιν τὸν φόνον ἐργασάμενος, εἰ*

---

14. Παροιμ. 5, 8.

Καί σύ λοιπόν ἄν λάβεις τά πράγματα τοῦ κόσμου, ἀλλ' ἐξακολουθεῖς νά ἐπιθυμεῖς, ἔκαμες μεγαλύτερη τήν τιμωρία τόσο, ὅσα περισσότερα δοκίμασες. Νά μή νομίζεις λοιπόν πώς δημιουργεῖται σέ σένα κάποια ἡδονή ἀπό τό ὅτι ἔχεις πολλά, ἀλλ' ἀπό τό νά μή θέλεις νά πλουτίζεις. Γιατί, ἄν ἐπιθυμεῖς νά πλουτίζεις, ποτέ δέ θά σταματήσεις νά βασανίζεσαι. Γιατί ἔρωτας εἶναι αὐτός χωρίς τέλος, καί ὅσο περισσότερο δρόμο βαδίσεις, τόσο περισσότερο ἀπομακρύνθηκες ἀπό τό τέλος. Ἄραγε λοιπόν δέν εἶναι αἴνιγμα αὐτό καί παραφροσύνη καί ἡ χειρότερη τρέλλα;

Πρῶτα ἀπ' ὅλα λοιπόν ἄς ἀπομακρυνθοῦμε ἀπό τά κακά. Ἤ καλύτερα, ἄς μήν ἐπιχειρήσουμε καθόλου μιά τέτοια ἐπιθυμία· ἀλλά καί ἄν τήν ἐπιχειρήσουμε, ἄς ἀπομακρυνθοῦμε ἀπό τήν ἀρχή, πράγμα πού ὁ παροιμιαστής συμβουλεύει γιά πόρνη γυναίκα, λέγοντας· «ἀπομακρύνσου, μήν μπεῖς, καί μήν πλησιάσεις στίς πόρτες τοῦ σπιτιοῦ της»[14]. Τό ἴδιο καί ἐγώ σοῦ λέγω γιά τή φιλαργυρία. Γιατί, ἄν πέσεις καί μπεῖς λίγο μέσα στό πέλαγος τῆς μανίας αὐτῆς, δύσκολα θά μπορέσεις νά ἐπιστρέψεις. Καί ὅπως ἀκριβῶς στούς ἴλιγγους, καί ἄν ἀκόμη χίλιες φορές ἀγωνισθεῖς, δέ θά σωθεῖς εὔκολα, ἔτσι καί πολύ χειρότερα, ὅταν πέσεις στό βάθος τῆς ἐπιθυμίας αὐτῆς, θά καταστρέψεις τόν ἑαυτό σου μαζί μέ ὅλα τά ὑπάρχοντα.

8. Γι' αὐτό, παρακαλῶ, ἄς προσέχουμε τήν ἀρχή, καί ἄς ἀποφύγουμε τά μικρά κακά, καθόσον ἀπό αὐτά προέρχονται τά μεγάλα. Γιατί ἐκεῖνος πού ἔμαθε σέ κάθε ἁμάρτημα νά λέγει, τίποτε ἄλλο ἐκτός ἀπ' αὐτό, σιγά - σιγά θά τά χάσει ὅλα. Αὐτό λοιπόν ἔφερε τήν κακία, αὐτό ἄνοιξε τίς πόρτες στό ληστή, αὐτό γκρέμισε τά τείχη τῆς πόλεως, τό νά λέμε δηλαδή σέ κάθε ἁμάρτημα, τίποτε ἄλλο ἐκτός ἀπό αὐτό. Ἔτσι καί στά σώματα αὐξάνουν οἱ πιό μεγάλες ἀρρώστιες, ὅταν περιφρονοῦνται οἱ μικρές. Ὁ Ἡσαῦ ἄν δέν παρέδινε τά πρωτοτόκια, δέ θά γινόταν ἀνάξιος γιά τίς εὐλογίες, καί ἄν δέν καταστοῦσε τόν ἑαυτό του ἀνάξιο γιά τίς εὐλογίες δέ θά ἐπιθυμοῦσε νά φθάσει στήν ἀδελφοκτονία. Ὁ Κάιν ἐάν δέν ἀγαποῦσε πολύ τά πρωτεῖα, ἀλλά τά παραχωροῦσε στό Θεό, δέ θά εἶχε τή δεύτερη θέση· ὅταν πάλι εἶχε τή δεύτερη θέση, ἄν ἄκουε τή συμβουλή, δέ θά ἔκαμε τό φόνο· ἀφοῦ πάλι ἔκαμε τό φόνο, ἄν

πρὸς μετάνοιαν ἦλθε, τοῦ Θεοῦ καλοῦντος αὐτόν, καὶ μὴ ἀναισχύντως ἀπεκρίνατο, οὐκ ἂν τὰ μετὰ ταῦτα ὑπέμεινε δεινά.

Εἰ δὲ οἱ πρὸ τοῦ νόμου ἀπὸ τῆς ῥᾳθυμίας ταύτης κατὰ μικρὸν εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας ἦλθον, ἐννόησον τί πεισόμεθα ἡμεῖς οἱ πρὸς μείζονα καλούμενοι σκάμματα, ἂν μὴ μετὰ ἀκριβείας ἑαυτοῖς προσέχωμεν, καὶ τοὺς σπινθῆρας τῶν κακῶν, πρὶν ἢ τὴν πυρὰν ἀναφθῆναι, προλαβόντες σβεννύωμεν. Οἷόν τι λέγω· ἐπιορκεῖς συνεχῶς; Μὴ πρὸς τοῦτο στῇς μόνον, ἀλλὰ καὶ τὸ ὀμνύναι ἄνελε, καὶ οὐ δεήσῃ πόνου λοιπόν· πολὺ γὰρ δυσκολώτερον, ὀμνύντα μὴ ἐπιορκεῖν, ἢ μηδὲ ὀμνύναι ὅλως. Ὑβριστὴς εἶ καὶ λοίδορος καὶ πλήκτης; Γράψον σεαυτῷ νόμον μὴ ὀργίζεσθαι μηδὲ κράζειν ὅλως, καὶ συναναιρεῖται τῇ ῥίζῃ καὶ ὁ καρπός. Λάγνος καὶ ἄσωτος εἶ; Τίθει σαυτῷ πάλιν ὅρον, ὥστε μὴ ὁρᾶν εἰς γυναῖκα, μήτε εἰς θέατρον ἀναβαίνειν, μηδὲ ἐν ἀγορᾷ τὰ ἀλλότρια περιεργάζεσθαι κάλλη. Πολὺ γὰρ εὐκολώτερον, τὴν ἀρχὴν μὴ ἰδεῖν εὔμορφον γυναῖκα, ἢ θεασάμενον καὶ δεξάμενον τὴν ἐπιθυμίαν, ἐκβαλεῖν τὸν ἐκ ταύτης θόρυβον. Κουφότεροι γὰρ ἐν προοιμίοις οἱ ἀγῶνες· μᾶλλον δὲ οὐδὲ ἀγῶνος ἡμῖν δεῖ, ἂν μὴ τὰς θύρας ἀνοίξωμεν τῷ πολεμίῳ, μηδὲ τὰ σπέρματα τῆς κακίας δεξώμεθα.

Διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν ἀκολάστως ὁρῶντα εἰς γυναῖκα ἐκόλασεν, ἵνα πλείονος ἡμᾶς ἀπαλλάξῃ πόνου, πρὶν ἢ γενέσθαι τὸν ἀνταγωνιστὴν ἰσχυρὸν κελεύων ἐκβάλλειν τῆς οἰκίας, ὅτε καὶ εὐκόλως ἐκβάλλεσθαι δύναται. Ποία γὰρ ἀνάγκη πράγματα ἔχειν περιττά, καὶ συμπλέκεσθαι τοῖς ἀνταγωνισταῖς, παρὸν χωρὶς συμπλοκῆς στῆσαι τὸ τρόπαιον, καὶ πρὸ τῆς πάλης ἁρπᾶσαι τὸ βραβεῖον; Οὐ γὰρ τοσοῦτος πόνος μὴ ὁρᾶν γυναικὸς ὡραίας, ὅσος πόνος ὁρῶντα κατέχειν· μᾶλλον δὲ οὐδὲ πόνος τὸ πρότερον ἂν εἴη, ἀλλ' ὁ πολὺς ἱδρὼς καὶ μόχθος μετὰ τὸ ἰδεῖν ἐγγίνεται. Ὅταν οὖν καὶ ὁ πόνος, καὶ τὸ κέρδος μεῖζον, τί σπουδάζομεν εἰς τὸ πέλαγος

μετανοοῦσε, ὅταν ὁ Θεός τό καλοῦσε, καί δέν ἀπαντοῦσε ἀναίσχυντα, δέ θά ὑπέφερε τά κατοπινά δεινά.

Ἐάν ὅμως ἐκεῖνοι πού ἔζησαν πρίν ἀπό τή χορήγηση τοῦ νόμου ἀπό τήν ἀδιαφορία αὐτή σιγά - σιγά ἔφθασαν σ' αὐτόν τόν πυθμένα τῆς κακίας, σκέψου τί θά πάθουμε ἐμεῖς πού καλούμαστε σέ μεγαλύτερες δοκιμασίες, ἐάν δέν προσέχουμε μέ ἀκρίβεια τούς ἑαυτούς μας, ἐάν δέν προλάβουμε νά σβήσουμε τούς σπινθῆρες τῶν κακῶν, προτοῦ νά ἀνάψει ἡ φωτιά. Τί θέλω νά πῶ· παραβαίνεις συνέχεια τούς ὅρκους; Νά μή σταθεῖς σ' αὐτό μόνο, ἀλλά καί τόν ὅρκο νά ἐξαφανίσεις, καί δέ θά χρειασθεῖς κόπο στή συνέχεια. Γιατί εἶναι πολύ πιό δύσκολο, ὅταν ὁρκίζεσαι νά μήν παραβαίνεις τούς ὅρκους, παρά νά μήν ὁρκίζεσαι καθόλου. Εἶσαι ὑβριστής καί κακολόγος καί φιλόνεικος; Ὅρισε νόμο στόν ἑαυτό σου νά μήν ὀργίζεσαι οὔτε νά φωνάζεις καθόλου, καί θά καταστραφεῖ μαζί μέ τή ρίζα καί ὁ καρπός. Εἶσαι λάγνος καί ἄσωτος; Βάλε πάλι στόν ἑαυτό σου ὅρο, ὥστε νά μή βλέπεις σέ γυναίκα, οὔτε νά πηγαίνεις σέ θέατρο, οὔτε νά περιεργάζεσαι στήν ἀγορά τά ξένα κάλλη. Γιατί εἶναι πολύ πιό εὔκολο νά μή δεῖς στήν ἀρχή μιά ὄμορφη γυναίκα, παρά ὅταν τή δεῖς καί δεχθεῖς τήν ἐπιθυμία, νά διώξεις τήν ταραχή πού προέρχεται ἀπό αὐτή. Γιατί εἶναι πιό εὔκολοι στήν ἀρχή οἱ ἀγῶνες· ἤ καλύτερα, οὔτε ἀγώνας μᾶς χρειάζεται, ἄν δέν ἀνοίξουμε τίς πόρτες στόν ἐχθρό, οὔτε δεχθοῦμε τά σπέρματα τῆς κακίας.

Γι' αὐτό καί ὁ Χριστός τιμώρησε ἐκεῖνον πού βλέπει ἀκόλαστα σέ γυναίκα, γιά νά μᾶς ἀπαλλάξει ἀπό περισσότερο κόπο, διατάζοντας νά διώξουμε ἀπό τό σπίτι τόν ἀντίπαλό μας προτοῦ νά γίνει δυνατός, τότε πού εἶναι δυνατο εὔκολα νά διωχθεῖ. Γιατί ποιά ἀνάγκη ὑπάρχει νά ἔχει κανείς ἄχρηστα πράγματα καί νά ἔρχεται στά χέρια μέ τούς ἀντιπάλους, ἐνῶ μπορεῖ νά στήσει τό τρόπαιο χωρίς συμπλοκή καί νά ἁρπάξει τό βραβεῖο πρίν ἀπό τόν ἀγώνα; Γιατί δέν εἶναι τόσο μεγάλος κόπος νά μή βλέπει κανείς ὄμορφες γυναῖκες, ὅσος κόπος εἶναι ὅταν βλέπει νά συγκρατεῖται. Ἤ καλύτερα, οὔτε κόπος μπορεῖ νά εἶναι τό προηγούμενο, ἀλλ' ὁ πολύς ἱδρώτας καί μόχθος ὑπάρχει ἀφοῦ δεῖ καί μετά. Ὅταν λοιπόν καί

ἐμπεσεῖν τῶν μυρίων κακῶν; Οὐδὲ γὰρ εὐκολώτερον μόνον ὁ μὴ ὁρῶν γυναίκα, ἀλλὰ καὶ καθαρώτερον περιέσται τῆς τοιαύτης ἐπιθυμίας, ὥσπερ οὖν ὁ ὁρῶν καὶ μετὰ πόνου πλείονος καὶ μετὰ κηλῖδός τινος ἀπαλλάττεται, ἐὰν ἄρα ποτὲ ἀπαλλαγῇ. Ὁ μὲν γὰρ μὴ ἰδὼν τὴν εὔμορφον ὄψιν, καὶ τῆς ἐπιθυμίας τῆς ἐντεῦθέν ἐστι καθαρός, ὁ δὲ ἐπιθυμήσας ἰδεῖν, πρότερον καταβαλὼν τὸν λογισμόν, καὶ μολύνας αὐτὸν μυριάκις, τότε ἐκβάλλει τὴν ἀπὸ τῆς ἐπιθυμίας κηλῖδα, ἂν ἄρα καὶ ἐκβάλῃ.

Διὰ δὴ τοῦτο καὶ ὁ Χριστός, ἵνα μὴ ταῦτα πάσχωμεν, οὐ φόνον κωλύει μόνον, ἀλλὰ καὶ ὀργήν· οὐ μοιχείαν, ἀλλὰ καὶ ὄψιν ἀκόλαστον· οὐκ ἐπιορκίαν, ἀλλὰ καὶ τὸ ὀμνύναι καθόλου. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται τοῦ μέτρου τῆς ἀρετῆς, ἀλλ' ἐπειδὴ ταῦτα ἐνομοθέτησε, καὶ ἐπὶ τὸ μεῖζον πρόεισιν. Ἀποστήσας γὰρ τῶν φόνων καὶ κελεύσας καθαρὸν εἶνα ὀργῆς, κελεύει καὶ πρὸς τὸ πάσχειν κακῶς ἕτοιμον εἶναι, καὶ μὴ τοσοῦτον παρασκευάσθαι παθεῖν, ὅσον ὁ ἐπιβουλεύων βούλεται, ἀλλ' ὑπερβαίνειν περαιτέρω, καὶ νικᾶν αὐτοῦ τῆς μανίας τὴν ὑπερβολὴν τῇ τῆς οἰκείας φιλοσοφίας περιουσίᾳ. Οὐδὲ γὰρ εἶπεν, 'ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, φέρε γενναίως καὶ ἡσύχαζε', ἀλλὰ προσέθηκε τούτῳ καὶ τὸ τὴν ἑτέραν αὐτῷ παρασχεῖν· «στρέψον γὰρ αὐτῷ», φησί, «καὶ τὴν ἄλλην». Τοῦτο γὰρ ἡ λαμπρὰ νίκη, τὸ πλείονα αὐτῷ παρασχεῖν ὧν βούλεται, καὶ τοὺς ὅρους τῆς πονηρᾶς ἐπιθυμίας αὐτοῦ τῇ δαψιλείᾳ τῆς οἰκείας ὑπερβῆναι μακροθυμίας. Οὕτω γὰρ καὶ τὴν ἐκείνου καταλύσεις μανίαν, καὶ τοῦ προτέρου λήψῃ μισθὸν ἐκ τοῦ δευτέρου, καὶ τὴν ἐπ' ἐκείνῳ καταλύσας ὀργήν.

Ὁρᾷς, ὅτι πανταχοῦ τοῦ μὴ κακῶς πάσχειν ἡμεῖς ἐσμεν κύριοι, οὐχ οἱ ποιοῦντες ἡμᾶς; Μᾶλλον δὲ οὐ τοῦ μὴ πάσχειν κακῶς μόνον, ἀλλὰ καὶ τοῦ παθεῖν εὖ αὐτοὶ τὴν ἐξουσίαν ἔχομεν· ὃ δὴ μάλιστά ἐστι θαυμαστόν, ὅτι οὐ μόνον οὐκ ἀδικούμεθα, ἐὰν νήφωμεν,

---

15. Ματθ. 5, 39.

ὁ κόπος εἶναι λιγότερος, ἤ καλύτερα, ὅταν δέν ὑπάρχει καθόλου μόχθος οὔτε κόπος, καί τό κέρδος εἶναι μεγαλύτερο, γιατί ἀγωνιζόμαστε νά πέσουμε μέσα στό πέλαγος τῶν ἀμέτρητων κακῶν; Γιατί ὄχι μόνο εἶναι πιό εὔκολο ἐκεῖνος πού δέ βλέπει γυναίκα, ἀλλά καί πιό καθαρά θά νικήσει μιά τέτοια ἐπιθυμία, ὅπως πάλι ἐκεῖνος πού βλέπει καί μέ περισσότερο κόπο καί μέ κάποια κηλίδα ἀπαλλάσσεται ἀπό αὐτήν, ἐάν βέβαια ἀπαλλαχθεῖ κάποτε. Γιατί ἐκεῖνος βέβαια πού δέν εἶδε τό ὄμορφο πρόσωπο, εἶναι καθαρός καί ἀπό τήν ἐπιθυμία πού προέρχεται ἀπό ἐδῶ, ἐνῶ ἐκεῖνος πού ἐπιθύμησε νά δεῖ, ἀφοῦ πρῶτα νικήσει τή σκέψη καί μολύνει τόν ἑαυτό του πάρα πολλές φορές, ὕστερα διώχνει τήν κηλίδα ἀπό τήν ἐπιθυμία, ἐάν φυσικά τή διώξει.

Γι' αὐτό ἀκριβῶς καί ὁ Χριστός, γιά νά μήν παθαίνουμε αὐτά, ὄχι μόνο τό φόνο ἀπαγορεύει, ἀλλά καί τήν ὀργή· ὄχι τή μοιχεία, ἀλλά καί τό ἀκόλαστο βλέμμα· ὄχι τήν ἐπιορκία, ἀλλά καί τόν ὅρκο γενικά. Καί οὔτε ἐδῶ σταματάει τό μέτρο τῆς ἀρετῆς, ἀλλ' ἀφοῦ νομοθέτησε αὐτά, προχωράει καί στό μεγαλύτερο. Ἀφοῦ λοιπόν ἀπομάκρυνε τόν ἄνθρωπο ἀπό τούς φόνους, καί ἀφοῦ διέταξε νά εἶναι καθαρός ἀπό ὀργή, διατάσσει καί νά εἶναι ἕτοιμος γιά νά ὑποφέρει, καί νά μήν ἔχει προετοιμασθεῖ νά πάθει τόσο, ὅσο θέλει ἐκεῖνος πού τόν ἐπιβουλεύεται, ἀλλά νά προχωράει παραπέρα, καί νά νικάει τή δύναμη τῆς μανίας του μέ τήν ἀφθονία τῆς δικῆς του ἐγκράτειας. Γιατί δέν εἶπε, 'ἐάν σέ κτυπήσει κάποιος στό δεξί σαγόνι, νά τό ὑποφέρεις μέ γενναιότητα καί νά ἡσυχάζεις', ἀλλά πρόσθεσε σ' αὐτό καί τό νά προσφέρεις καί τό ἄλλο σ' αὐτόν· «στρέψε σ' αὐτόν», λέγει, «καί τό ἄλλο σαγόνι»[15]. Γιατί αὐτό εἶναι ἡ λαμπρή νίκη, τό νά προσφέρεις δηλαδή σ' αὐτόν περισσότερα ἀπ' ὅσα θέλει καί νά ξεπεράσεις τά ὅρια τῆς πονηρῆς ἐπιθυμίας του μέ τή δική σου πλούσια μακροθυμία. Γιατί ἔτσι θά ἐξαφανίσεις καί τή δική του μανία, καί θά πάρεις μισθό γιά τό πρῶτο ἀπό τό δεύτερο, ἀφοῦ ἐξαφανίσεις καί τήν ὀργή ἐναντίον ἐκείνου.

Βλέπεις ὅτι παντοῦ ἀπό μᾶς ἐξαρτᾶται νά μήν ὑποφέρουμε, ὄχι ἀπό ἐκείνους πού μᾶς κακοποιοῦν; Ἤ καλύτερα, ὄχι τό νά μήν ὑποφέρουμε μόνο, ἀλλά καί τό νά εὐεργετούμαστε εἶναι στό δικό μας χέρι. Αὐτό βέβαια εἶναι ἰδιαίτερα θαυμαστό, ὅτι δηλαδή ὄχι

ἀλλὰ καὶ εὐεργετούμεθα, καὶ δι' αὐτῶν ὧν ἀδικούμεθα παρ' ἑτέρων. Σκόπει δέ. Ὕβρισεν ὁ δεῖνα; Κύριος εἶ σὺ ποιῆσαι τὴν ὕβριν ταύτην ἐγκώμιον σόν. Ἂν μὲν γὰρ ἀνθυβρίσῃς, ἐπέτεινας τὴν αἰσχύνην, ἂν δὲ εὐλογήσῃς τὸν ὑβρικότα, πάντας ὄψει τοὺς παρόντας στεφανοῦντάς σε καὶ ἀνακηρύττοντας. Εἶδες πῶς δι' ὧν ἀδικούμεθα, εὐεργετούμεθα, ἂν ἐθέλωμεν; Τοῦτο καὶ ἐπὶ χρημάτων, τοῦτο καὶ ἐπὶ πληγῶν, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ἔστιν ἰδεῖν συμβαῖνον. Ἂν γὰρ τοῖς ἐναντίοις αὐτοὺς ἀμειβώμεθα, καὶ ὑπὲρ ὧν κακῶς ἐπάθομεν, καὶ ὑπὲρ ὧν εὐεργετοῦμεν, διπλοῦν ἑαυτοῖς ὑφαίνομεν στέφανον. Ὅταν τοίνυν ἐλθών τις εἴπῃ, ὅτι ὁ δεῖνά σε ὕβρισε, καὶ κακῶς σε πρὸς ἅπαντας λέγων διατελεῖ, ἐπαίνεσον πρὸς τοὺς λέγοντας τὸν εἰρηκότα· οὕτω γάρ, κἂν ἀμύνασθαι βουληθῇς, δυνήσῃ δίκην λαβεῖν.

Οἱ γὰρ ἀκούοντες κἂν σφόδρα ἀνόητοι ὦσι, σὲ μὲν ἐπαινέσονται, μισήσουσι δὲ ἐκεῖνον ὡς θηρίου παντὸς χαλεπώτερον, ὅτι ὁ μὲν οὐδὲν ἠδικημένος ἐλύπησε, σὺ δὲ καὶ κακῶς παθών, τοῖς ἐναντίοις ἠμείψω. Καὶ τὰ εἰρημένα δὲ πάντα οὕτω δεῖξαι δυνήσῃ ἕωλα ὄντα. Ὁ μὲν γὰρ δακνόμενος τοῦ συνειδέναι τοῖς εἰρημένοις ἀπόδειξιν παρέχεται τὸ ἀλγεῖν, ὁ δὲ καταγελάσας, αὐτῷ τούτῳ παρὰ τοῖς παροῦσι πάσης ἑαυτὸν ἀπήλλαξεν ὑποψίας. Σκόπει τοίνυν πόσα ἐκ τούτου συλλέγεις καλά. Πρότερον ἀπαλλάττεις σεαυτὸν θορύβου καὶ ταραχῆς· εἶτα, μᾶλλον δὲ τοῦτο κείσθω πρῶτον, κἂν ἁμαρτήματα ἔχῃς, καὶ ταῦτα ἀποδύῃ, καθάπερ ὁ τελώνης τὴν τοῦ Φαρισαίου κατηγορίαν πρᾴως ἐνεγκών. Πρὸς τούτοις, φιλόσοφον κατασκευάζεις σου τὴν ψυχὴν τῇ τοιαύτῃ μελέτῃ, καὶ μυρίων παρὰ πάντων ἀπολαύσεις ἐπαίνων, καὶ τὴν ἐπὶ τοῖς εἰρημένοις ὑποψίαν ἀποδύσῃ πᾶσαν. Εἰ δὲ καὶ ἐκεῖνον ἀμύνεσθαι ἐπιθυμεῖς, καὶ τοῦτο ἐκ περιουσίας ἕψεται, καὶ τοῦ Θεοῦ κολάζοντος αὐτὸν

μόνο δέν ἀδικούμαστε, ἐάν εἴμαστε ἐγκρατεῖς, ἀλλά καί εὐεργετούμαστε, καί μέ αὐτά μέ τά ὁποῖα ἀδικούμαστε ἀπό ἄλλους. Πρόσεχε ὅμως. Σ' ἔβρισε ὁ τάδε; Ἀπό σένα ἐξαρτᾶται νά κάμεις τήν ὕβρη αὐτή δικό σου ἔπαινο. Γιατί βέβαια ἄν ἀνταποδώσεις τήν ὕβρη, ἔκαμες μεγαλύτερη τήν ντροπή, ἐάν ὅμως εὐλογήσεις τόν ὑβριστή σου, θά δεῖς ὅλους τούς παρόντες νά σέ στεφανώνουν καί νά σέ χειροκροτοῦν. Εἶδες πῶς μ' ἐκεῖνα πού ἀδικούμαστε, εὐεργετούμαστε, ἄν θέλουμε; Τό ἴδιο εἶναι δυνατό νά τό δοῦμε νά συμβαίνει καί μέ τά χρήματα, τό ἴδιο καί μέ τά κτυπήματα, τό ἴδιο καί μέ ὅλα τά ἄλλα. Γιατί, ἄν τούς ἀπαντοῦμε μέ τά ἀντίθετα, καί γιά ἐκεῖνα πού ὑποφέραμε, καί γιά ἐκεῖνα πού εὐεργετοῦμε, πλέκουμε διπλό στεφάνι γιά τόν ἑαυτό μας. Ὅταν λοιπόν κάποιος ἔρθει καί σοῦ πεῖ, ὅτι ὁ τάδε σ' ἔβρισε, καί συνέχεια σέ κακολογεῖ σέ ὅλους, νά ἐπαινέσεις σ' αὐτούς πού λέγουν αὐτά ἐκεῖνον πού σέ ἔχει βρίσει, γιατί ἔτσι, καί ἄν ἀκόμη θελήσεις ν' ἀμυνθεῖς, θά μπορέσεις νά κερδίσεις τή δίκη.

Γιατί ἐκεῖνοι πού ἀκοῦν, καί ἄν ἀκόμη εἶναι πάρα πολύ ἀνόητοι, ἐσένα θά ἐπαινέσουν, ἐνῶ θά μισήσουν ἐκεῖνον σάν πιό φοβερό ἀπό κάθε θηρίο, γιατί ἐκεῖνος χωρίς νά εἶναι καθόλου ἀδικημένος σέ λύπησε, ἐνῶ ἐσύ, ἄν καί ὑποφέρεις, τόν πλήρωσες μέ τά ἀντίθετα. Καί ὅλα τά λόγια θά μπορέσεις ἔτσι νά τά ἀποδείξεις ὅτι εἶναι ἀηδίες. Γιατί ἐκεῖνος πού μέ δυσκολία παραδέχεται τά λόγια αὐτά παρέχει ἀπόδειξη τοῦ ὅτι ὑποφέρει, ἐνῶ ἐκεῖνος πού τά περιφρόνησε, μέ τήν περιφρόνησή του αὐτή ἀπάλλαξε τόν ἑαυτό του μπροστά στούς παρόντες ἀπό κάθε ὑποψία. Πρόσεχε λοιπόν πόσα καλά μαζεύεις ἀπ' αὐτό. Πρῶτα, ἀπαλλάσσεις τόν ἑαυτό σου ἀπό τή σύγχυση καί τήν ταραχή. Ἔπειτα, ἤ καλύτερα αὐτό ἄς εἶναι πρῶτο, καί ἄν ἀκόμη ἔχεις ἁμαρτήματα, καί αὐτά τά σβήνεις, ὅπως ὁ τελώνης πού ὑπέμεινε μέ πραότητα τήν κατηγορία τοῦ Φαρισαίου. Κοντά σ' αὐτά, κάνεις ἐγκρατή τήν ψυχή σου μέ τέτοια ἐξάσκηση, καί θ' ἀπολαύσεις ἀπό ὅλους πάρα πολλούς ἐπαίνους καί θά διώξεις κάθε ὑποψία ἀπό αὐτά πού λέχθηκαν. Ἐάν ὅμως ἐπιθυμεῖς καί ἐκεῖνον νά ἐκδικηθεῖς, καί αὐτό θά ἀκολουθήσει μέ ἀφθονία, ἀφοῦ καί ὁ Θεός τόν τιμωρεῖ γι' αὐτά πού εἶπε, καί πρίν

ἀνθ' ὧν εἴρηκε, καὶ πρὸ τῆς κολάσεως ἐκείνης τῆς σῆς φιλοσοφίας ἀντὶ καιρίας αὐτῷ γινομένης πληγῆς. Οὐδὲν γὰρ οὕτω τοὺς ὑβρίζοντας ὑμᾶς δάκνειν εἴωθεν, ὡς τὸ τοὺς ὑβριζομένους ἡμᾶς τῶν ὕβρεων καταγελᾶν.

Ὥσπερ οὖν ἐκ τοῦ φιλοσοφεῖν τοσαῦτα ἔσται καλά, οὕτως ἐκ τοῦ μικροψύχους εἶναι τὰ ἐναντία συμβήσεται ἅπαντα. Καὶ γὰρ ἑαυτοὺς καταισχύνομεν, καὶ ὑπεύθυνοι παρὰ τοῖς παροῦσιν δοκοῦμεν εἶναι τοῖς λεγομένοις, καὶ τὴν ψυχὴν θορύβου πληροῦμεν, καὶ τὸν ἐχθρὸν εὐφραίνομεν, καὶ τὸν Θεὸν παροξύνομεν, καὶ τοῖς ἁμαρτήμασι προστίθεμεν τοῖς προτέροις.

Ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, φύγωμεν τῆς μικροψυχίας τὸ βάραθρον, καὶ πρὸς τὸν λιμένα τῆς μακροθυμίας καταδράμωμεν, ἵνα καὶ ἐνταῦθα εὕρωμεν ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν, καθὼς καὶ ὁ Χριστὸς ἀπεφήνατο, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀπό τήν τιμωρία αὐτή ἡ δική σου ἐγκράτεια γίνεται γι' αὐτόν σάν θανάσιμο κτύπημα. Γιατί συνήθως τίποτε δέ στενοχωρεῖ τόσο τούς ὑβριστές μας, ὅσο τό νά περιφρονοῦμε τίς ὕβρεις ἐμεῖς πού ὑβριζόμαστε.

Ὅπως λοιπόν ἀπό τήν ἐγκράτεια θά ὑπάρξουν τόσα καλά, ἔτσι θά συμβοῦν ὅλα τά ἀντίθετα ἀπό τό νά εἶμαστε μικρόψυχοι. Γιατί πραγματικά καί καταντροπιάζουμε τούς ἑαυτούς μας, καί φαινόμαστε μπροστά στούς παρόντες πώς εἶμαστε ὑπεύθυνοι γι' αὐτά πού λέγονται, καί τήν ψυχή μας γεμίζουμε ἀπό ταραχή, καί εὐχαριστοῦμε τόν ἐχθρό, καί τό Θεό ὀργίζουμε, καί προσθέτουμε καί ἄλλα στά προηγούμενα ἁμαρτήματά μας.

Σκεπτόμενοι λοιπόν ὅλα αὐτά, ἄς ἀποφύγουμε τό βάραθρο τῆς μικροψυχίας, καί ἄς καταφύγουμε στό λιμάνι τῆς μακροθυμίας, ὥστε καί ἐδῶ νά βροῦμε ἀνάπαυση γιά τίς ψυχές μας, ὅπως καί ὁ Χριστός εἶπε, καί νά ἐπιτύχουμε τά μελλοντικά ἀγαθά, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΔ'

(Ρωμ. 7,14–8,11)

«Οἴδομεν γὰρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν».

1. Ἐπειδὴ εἶπεν, ὅτι μεγάλα γέγονε κακά, καὶ ἡ ἁμαρτία δυνατωτέρα κατέστη τῆς ἐντολῆς ἐπιλαβομένη, καὶ τοὐναντίον οὗπερ ἐσπούδαζεν ὁ νόμος ἐξέβη, καὶ εἰς πολλὴν τὸν ἀκροατὴν ἐνέβαλεν ἀπορίαν, λέγει καὶ τὸν λογισμὸν λοιπόν, καθ' ὃν ταῦτα γέγονε, πρότερον ἀπαλλάξας τὸν νόμον πονηρᾶς ὑποψίας. Ἵνα γὰρ μὴ ἀκούων, ὅτι διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀφορμὴν ἔλαβε, καὶ ὅτι ἐλθούσης αὐτῆς ἡ ἁμαρτία ἀνέζησε, καὶ ὅτι δι' αὐτῆς ἐξηπάτησε καὶ ἀπεκτεινε, τὸν νόμον τῶν κακῶν τούτων νομίσῃ τις αἴτιον εἶναι, πρότερον τὴν ὑπὲρ αὐτοῦ τίθησιν ἀπολογίαν μετὰ πολλῆς τῆς περιουσίας, οὐ μόνον κατηγορίας αὐτὸν ἀπαλλάττων, ἀλλὰ καὶ ἐγκώμιον αὐτῷ πλέκων μέγιστον. Καὶ τοῦτο οὐχ ὡς αὐτὸς χαριζόμενος τίθησιν, ἀλλ' ὡς κοινὴν ἐκφέρων ψῆφον. «Οἴδαμεν», γάρ φησιν, «ὅτι ὁ νόμος πνευματικός ἐστιν». Ὡσανεὶ ἔλεγεν, ὡμολογημένον τοῦτο καὶ δῆλόν ἐστιν, ὅτι πνευματικός ἐστι· τοσοῦτον ἀπέχει ἁμαρτίας αἴτιος εἶναι καὶ τῶν γεγενημένων κακῶν ὑπεύθυνος.

Ὅρα πῶς οὐ κατηγορίας αὐτὸν ἀπαλλάττει μόνον, ἀλλὰ καὶ ἐπαινεῖ μεθ' ὑπερβολῆς ἁπάσης. Πνευματικὸν γὰρ εἰπών, διδάσκαλον αὐτὸν ἀρετῆς δείκνυσιν ὄντα, καὶ κακίας πολέμιον· τοῦτο γάρ ἐστιν εἶναι πνευματικόν, τὸ πάντων ἁμαρτημάτων ἀπάγειν· ὅπερ

Ο Μ Ι Λ Ι Α ΙΔ΄

(Ρωμ. 7,14 - 18,11)

«Γιατί γνωρίζουμε ὅτι ὁ νόμος εἶναι πνευματικός, ἐνῶ ἐγώ εἶμαι σαρκικός σάν σκλάβος στήν ἁμαρτία».

1. Ἐπειδή εἶπε, ὅτι ἔγιναν μεγάλα κακά, καί ἡ ἁμαρτία ἔγινε πιό δυνατή, ὅταν ἔλαβε τήν ἐντολή, καί πραγματοποιήθηκε τό ἀντίθετο ἀπό ἐκεῖνο γιά τό ὁποῖο προσπαθοῦσε ὁ νόμος, καί ἔβαλε σέ μεγάλη ἀπορία τόν ἀκροατή, λέγει στή συνέχεια καί τή σκέψη, σύμφωνα μέ τήν ὁποία ἔγιναν, ἀφοῦ πρῶτα ἀπάλλαξε τό νόμο ἀπό τήν πονηρή ὑποψία. Γιά νά μή νομίσει κανείς, ἀκούοντας ὅτι ἡ ἁμαρτία ἔλαβε ἀφορμή ἀπό τήν ἐντολή καί πώς, ὅταν ἦρθε αὐτή, ἡ ἁμαρτία ξανάζησε, καί πώς μέ αὐτήν ἐξαπάτησε καί θανάτωσε, ὅτι ὁ νόμος εἶναι αἴτιος αὐτῶν τῶν κακῶν, πρῶτα ἀναφέρει τήν ἀπολογία γι' αὐτόν μέ πολλά λόγια, ὄχι μόνο ἀπαλλάσσοντας αὐτόν ἀπό τήν κατηγορία, ἀλλά πλέκοντας γι' αὐτόν καί μέγιστο ἔπαινο. Καί τό ἀναφέρει αὐτό ὄχι χαριζόμενος σ' αὐτόν, ἀλλά σάν νά ἐκφράζει κοινή ἀπόφαση. «Γιατί γνωρίζουμε», λέγει, «ὅτι ὁ νόμος εἶναι πνευματικός». Σάν νά ἔλεγε· εἶναι πολύ γνωστό καί φανερό αὐτό, ὅτι εἶναι πνευματικός· τόσο πολύ ἀπέχει ἀπό τό νά εἶναι αἴτιος τῆς ἁμαρτίας καί ὑπεύθυνος τῶν κακῶν πού ἔγιναν.

Πρόσεχε πῶς ὄχι μόνο ἀπαλλάσσει τό νόμο ἀπό κατηγορία, ἀλλά καί τόν ἐπαινεῖ μέ κάθε ὑπερβολή. Γιατί λέγοντας «πνευματικό», δείχνει πώς ὁ νόμος εἶναι διδάσκαλος τῆς ἀρετῆς καί ἐχθρός τῆς κακίας. Γιατί αὐτό σημαίνει ὅτι «εἶναι πνευματικός», τό ὅτι δηλαδή ἀπομακρύνει ἀπ' ὅλα τά ἁμαρτήματα, πράγμα λοι-

οὖν καὶ ὁ νόμος ἐποίει, φοβῶν, νουθετῶν, κολάζων, διορθούμενος, τὰ περὶ ἀρετῆς συμβουλεύων ἅπαντα. Πόθεν οὖν ἡ ἁμαρτία γέγονεν, εἰ οὕτω θαυμαστὸς ὁ διδάσκαλος; Παρὰ τὴν τῶν μαθητῶν ῥᾳθυμίαν. Διὸ ἐπήγαγε λέγων, «ἐγὼ δὲ σαρκικός εἰμι», τὸν ἐν τῷ νόμῳ καὶ πρό τοῦ νόμου πολιτευόμενον ἄνθρωπον ὑπογράφων νῦν. «Πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν». Μετὰ γὰρ τοῦ θανάτου, φησί, καὶ ὁ τῶν παθῶν ἐπεισῆλθεν ὄχλος. Ὅτε γὰρ θνητὸν ἐγένετο τὸ σῶμα, ἐδέξατο καὶ ἐπιθυμίαν ἀναγκαίως λοιπὸν καὶ ὀργὴν καὶ λύπην καὶ τὰ ἄλλα πάντα, ἃ πολλῆς ἐδεῖτο φιλοσοφίας, ἵνα μὴ πλημμύραντα ἐν ἡμῖν καταποντίσῃ τὸν λογισμὸν εἰς τὸν τῆς ἁμαρτίας βυθόν. Αὐτὰ μὲν γὰρ οὐκ ἦν ἁμαρτία, ἡ δὲ ἀμετρία αὐτῶν μὴ χαλινουμένη, τοῦτο εἰργάζετο. Οἷον, ἵνα ὡς ἐπὶ ὑποδείγματος ἓν αὐτῶν μεταχειρίσας εἴπω, ἡ ἐπιθυμία ἁμαρτία μὲν οὐκ ἔστιν, ὅταν δὲ εἰς ἀμετρίαν ἐκπέσῃ, εἴσω τῶν τοῦ γάμου νόμων οὐκ ἐθέλουσα μένειν, ἀλλὰ καὶ ἀλλοτρίαις ἐπιπηδῶσα γυναιξί, τότε λοιπὸν μοιχεία τὸ πρᾶγμα γίνεται, ἀλλ' οὐ παρὰ τὴν ἐπιθυμίαν, ἀλλὰ παρὰ τὴν ταύτης πλεονεξίαν.

Καὶ σκόπει σοφίαν Παύλου. Ἐγκωμιάσας γὰρ τὸν νόμον, ἐπὶ τὸν ἀνωτέρω χρόνον ἔδραμεν εὐθέως, ἵνα δείξας πῶς καὶ τότε τὸ γένος διέκειτο τὸ ἡμέτερον, καὶ ἡνίκα τὸν νόμον ἔλαβεν, ἀποφήνῃ τῆς χάριτος ἀναγκαίαν οὖσαν τὴν παρουσίαν, ὅπερ πανταχοῦ κατασκευάσαι ἐσπούδακε. Τὸ γάρ, «πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν» ὅταν λέγῃ, οὐ περὶ τῶν ἐν τῷ νόμῳ λέγει μόνον, ἀλλὰ καὶ περὶ τῶν πρὸ τοῦ νόμου βεβιωκότων καὶ τῶν ἐξ ἀρχῆς γενομένων ἀνθρώπων.

2. Εἶτα καὶ τὸν τρόπον λέγει τῆς πράσεως καὶ τῆς ἐκδόσεως. «Ὃ γὰρ κατεργάζομαι», φησίν, «οὐ γιγνώσκω». Τί ἐστιν, «οὐ γιγνώσκω»; Ἀγνοῶ. Καὶ πότε τοῦτο γέγονεν; οὐδεὶς γὰρ οὐδέποτε ἐν ἀγνοίᾳ ἥμαρτεν. Ὁρᾷς ὅτι ἂν μὴ μετὰ τῆς προσηκούσης εὐλαβείας τὰς λέξεις ἐκδεξώμεθα, καὶ πρὸς τὸν ἀποστολικὸν ἴδωμεν σκοπόν, μυρία ἕψεται τὰ ἄτοπα; Εἰ γὰρ ἀγνοοῦντες ἥμαρτανον,

πόν πού ἔκανε καί ὁ νόμος, φοβερίζοντας, νουθετώντας, τιμωρώντας, διορθώνοντας, δίνοντας ὅλες τίς συμβουλές γιά τήν ἀρετή. Ἀπό πού λοιπόν δημιουργήθηκε ἡ ἁμαρτία, ἀφοῦ ἦταν θαυμαστός ὁ διδάσκαλος; Ἀπό τήν ἀδιαφορία τῶν μαθητῶν. Γι' αὐτό πρόσθεσε λέγοντας, «ἐγώ ὅμως εἶμαι σαρκικός», περιγράφοντας τώρα τόν ἄνθρωπο πού ζοῦσε μέσα στό νόμο καί πρίν ἀπό τό νόμο. «Πουλημένος σάν σκλάβος στήν ἁμαρτία». Γιατί μαζί μέ τό θάνατο, λέγει, ἐμφανίστηκαν καί τά πολλά πάθη. Ὅταν λοιπόν ἔγινε θνητό τό σῶμα, δέχθηκε ἀναγκαστικά στή συνέχεια καί τήν ἐπιθυμία καί τήν ὀργή καί τή λύπη καί ὅλα τά ἄλλα, πού χρειάζονταν πολλή ἐγκράτεια, γιά νά μήν πλημμυρίσουν μέσα μας καί καταποντίσουν τή σκέψη μας στό βυθό τῆς ἁμαρτίας. Γιατί αὐτά βέβαια δέν ἦταν ἁμαρτία, ἡ ὑπερβολή τους ὅμως, πού δέ χαλιναγωγοῦνταν, προξενοῦσε αὐτό. Δηλαδή, γιά νά μεταχειρισθῶ ἕνα ἀπό τά παραδείγματα αὐτά, ἡ ἐπιθυμία βέβαια δέν εἶναι ἁμαρτία, ὅταν ὅμως πέσει σέ ὑπερβολή, χωρίς νά θέλει νά παραμένει μέσα στούς νόμους τοῦ γάμου, ἀλλά νά πηγαίνει καί σέ ξένες γυναῖκες, τότε τό πράγμα στή συνέχεια γίνεται μοιχεία, ὄχι ὅμως ἀπό τήν ἐπιθυμία, ἀλλ' ἀπό τήν πλεονεξία της.

Καί πρόσεχε τή σοφία τοῦ Παύλου. Γιατί, ἀφοῦ ἐπαίνεσε τό νόμο, ἔτρεξε ἀμέσως στόν προηγούμενο χρόνο, ὥστε, δείχνοντας πῶς ζοῦσε τότε τό ἀνθρώπινο γένος, καί πῶς ὅταν ἔλαβε τό νόμο, νά φανερώσει ὅτι ἦταν ἀναγκαία ἡ παρουσία τῆς χάριτος, πράγμα πού εἶχε φροντίσει νά ἀποδείξει παντοῦ. Γιατί ὅταν λέγει τό, «πουλημένος σάν σκλάβος στήν ἁμαρτία», δέν τό λέγει μόνο γι' αὐτούς πού ζοῦσαν μέσα στό νόμο, ἀλλά καί γι' αὐτούς πού ἔζησαν πρίν ἀπό τό νόμο καί γιά τούς ἀνθρώπους πού ὑπῆρξαν ἀπό τήν ἀρχή.

2. Στή συνέχεια λέγει καί τόν τρόπο τῆς πωλήσεως καί τῆς ἐκδόσεως. «Γιατί ἐκεῖνο πού ἐκτελῶ», λέγει, «δέν τό γνωρίζω». Τί σημαίνει «οὐ γιγνώσκω»; Ἀγνοῶ. Καί πότε ἔγινε αὐτό; γιατί κανείς ποτέ δέν ἁμάρτησε χωρίς νά γνωρίζει. Βλέπεις ὅτι, ἄν δέ δεχθοῦμε τίς λέξεις μέ τήν εὐλάβεια πού ταιριάζει, καί ἄν δέν ἀποβλέψουμε πρός τόν ἀποστολικό σκοπό, θ' ἀκολουθήσουν πάρα πολλά ἄτοπα; Γιατί, ἄν ἁμάρταναν χωρίς νά γνωρίζουν, δέν ἔπρε-

οὐδὲ δίκην ἦσαν ἄξιοι δοῦναι. Ὥσπερ οὖν ἀνωτέρω ἔλεγε, «χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά», οὐ τοῦτο δηλῶν, ὅτι οὐκ ᾔδεσαν ἁμαρτάνοντες, ἀλλ' ὅτι ᾔδεσαν μέν, οὐχ οὕτω δὲ ἀκριβῶς· διόπερ ἐκολάζοντο μέν, οὐχ οὕτω δὲ σφοδρῶς· καὶ πάλιν, «τὴν ἐπιθυμίαν οὐκ ᾔδειν», οὐ τὴν καθόλου ἄγνοιαν δηλῶν, ἀλλὰ τὴν σαφεστάτην γνῶσιν ἐμφαίνων· ἔλεγε δέ, ὅτι καὶ κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν, οὐ τοῦτο λέγων, ὅτι ἡ ἐντολὴ τὴν ἐπιθυμίαν ἐποίησεν, ἀλλ' ὅτι τὴν ἐπίτασιν τῆς ἐπιθυμίας ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς ἐπεισήγαγεν· οὕτω καὶ ἐνταῦθα οὐ τὴν καθόλου ἄγνοιαν δηλοῖ, λέγων, «ὃ γὰρ κατεργάζομαι, οὐ γιγνώσκω»· ἐπεὶ πῶς συνήδετο τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον;

Τί οὖν ἐστιν, «οὐ γινώσκω»; Σκοτοῦμαι, φησί, συναρπάζομαι, ἐπήρειαν ὑπομένω, οὐκ οἶδα πῶς ὑποσκελίζομαι· ὅπερ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, οὐκ οἶδα πῶς ὁ δεῖνα ἐλθὼν συνήρπασεν, οὐκ ἄγνοιαν προβαλλόμενοι, ἀλλὰ ἀπάτην τινὰ καὶ περίστασιν καὶ ἐπιβουλὴν ἐμφαίνοντες. «Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ». Πῶς οὖν οὐ γιγνώσκεις, ὃ κατεργάζῃ; Εἰ γὰρ θέλεις τὸ καλὸν καὶ μισεῖς τὸ πονηρὸν, γνώσεως τοῦτο ἀπηρτισμένης ἐστὶν. Ὅθεν δῆλον, ὅτι καὶ τό, «ὃ οὐ θέλω», εἴρηκεν, οὐχὶ τὸ αὐτεξούσιον ἀναιρῶν, οὐδὲ ἀνάγκην τινὰ εἰσάγων βεβιασμένην. Εἰ γὰρ οὐχ ἑκόντες, ἀλλ' ἀναγκαζόμενοι ἡμαρτάνομεν, πάλιν τὰ τῶν κολάσεων τῶν ἔμπροσθεν γεγενημένων οὐκ ἂν ἔχοι λόγον. Ἀλλ' ὥσπερ, «οὐ γινώσκω», εἰπών, οὐκ ἄγνοιαν ἐνέφηνεν, ἀλλ' ἅπερ εἰρήκαμεν, οὕτω καὶ τὸ «ὃ οὐ θέλω», προσθείς, οὐκ ἀνάγκην ἐδήλωσεν, ἀλλὰ τὸ μὴ ἐπαινεῖν τὰ γινόμενα. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν δηλώσας τῷ εἰπεῖν, «ὃ οὐ θέλω, τοῦτο πράσσω», ἐπήγαγεν ἄν, ἀλλ' ὃ ἀναγκάζομαι καὶ βιάζομαι, τοῦτο ποιῶ· τοῦτο γὰρ τῷ θέλειν καὶ τῇ ἐξουσίᾳ ἀντίκειται. Νυνὶ δὲ οὐ τοῦτο εἴρηκεν, ἀλλ' ἀντὶ τούτου τό, «ὃ μισῶ», τέθεικεν, ἵνα μάθῃς ὅτι καὶ ἐν τῷ εἰπεῖν, «ὃ θέλω», οὐ τὴν ἐξουσίαν ἀνεῖλε. Τί οὖν ἐστι τό, «ὃ οὐ θέλω»; Ὃ

1. Ρωμ. 7, 8.
2. Ρωμ. 7, 7.

πε οὔτε νά τιμωρηθοῦν. Ὅπως ἀκριβῶςς ἔλεγε παραπάνω, «γιατί χωρίς τό νόμο ἡ ἁμαρτία εἶναι νεκρή»[1], ὄχι γιά νά δηλώσει αὐτό, ὅτι δηλαδή δέν ἁμάρταναν γνωρίζοντας, ἀλλ' ὅτι γνώριζαν βέβαια, ὄχι ὅμως μέ τόση ἀκρίβεια. Γι' αὐτό τιμωροῦνταν, ὄχι ὅμως τόσο αὐστηρά. Καί πάλι ἔλεγε, «τήν ἐπιθυμία δέ γνώριζα»[2], γιά νά δηλώσει ὄχι τήν ὁλοκληρωτική ἄγνοια, ἀλλά γιά νά παρουσιάσει τή σαφέστατη γνώση. Ἔλεγε ὅμως, ὅτι καί δημιούργησε μέσα μου κάθε ἐπιθυμία, ἐννοώντας ὄχι αὐτό, ὅτι ἡ ἐντολή ἔκαμε τήν ἐπιθυμία, ἀλλ' ὅτι ἡ ἁμαρτία μέ τήν ἐντολή ἔφερε τήν αὔξηση τῆς ἐπιθυμίας. Ἔτσι καί ἐδῶ δέ δηλώνει τήν καθολική ἄγνοια, λέγοντας, «γιατί ἐκεῖνο πού ἐκτελῶ, δέν τό γνωρίζω»· γιατί τότε πῶς ἔνιωθε εὐχαρίστηση μέ τό νόμο τοῦ Θεοῦ κατά τόν ἐσωτερικό ἄνθρωπο;

Τί λοιπόν σημαίνει, «οὐ γιγνώσκω»; Σκοτίζομαι, λέγει, ξεγελιέμαι, ἀπειλοῦμαι, δέν ξέρω πῶς ἀνατρέπομαι, πράγμα πού καί ἐμεῖς συνήθως λέμε, δέν ξέρω πῶς ὁ τάδε ἦρθε καί μέ ξεγέλασε, χωρίς νά προφασιζόμαστε ἄγνοια, ἀλλά φανερώνοντας κάποιαν ἀπάτη καί περίσταση καί ἐπιβουλή. «Γιατί δέν κάνω ἐκεῖνο, πού θέλω, ἀλλ' ἐκεῖνο πού μισῶ, αὐτό κάμνω». Πῶς λοιπόν δέ γνωρίζεις ἐκεῖνο πού ἐκτελεῖς; Γιατί, ἄν θέλεις τό καλό καί μισεῖς τό κακό, αὐτό εἶναι ἀπόδειξη τέλειας γνώσεως. Ἐπομένως εἶναι φανερό, ὅτι καί τό, «ἐκεῖνο πού δέ θέλω», τό εἶπε, ὄχι γιά νά καταργήσει τήν ἐλευθερία, οὔτε γιά νά παρουσιάσει κάποια πιεστική ἀνάγκη. Γιατί, ἄν ἁμαρτάνουμε ὄχι μέ τή θέλησή μας, ἀλλ' ἐπειδή μᾶς πιέζει ἡ ἀνάγκη, πάλι δέ θά μποροῦσαν νά δικαιολογηθοῦν οἱ τιμωρίες πού ἔγιναν προηγουμένως. Ἀλλ' ὅπως λέγοντας, «δέ γνωρίζω», δέ φανέρωσε ἄγνοια, ἀλλ' αὐτά ἀκριβῶς πού εἴπαμε, ἔτσι προσθέτοντας καί τό «ἐκεῖνο πού δέ θέλω», δέ δήλωσε ἀνάγκη, ἀλλά τό νά μήν ἐπαινοῦμε αὐτά πού γίνονται. Γιατί, ἄν δέ δήλωνε αὐτό μέ τό νά πεῖ, «ἐκεῖνο πού δέ θέλω, αὐτό κάνω», θά πρόσθετε, ἀλλ' ἐκεῖνο πού ἀναγκάζομαι καί πιέζομαι, αὐτό κάνω. Γιατί αὐτό εἶναι ἀντίθετο μέ τή θέληση καί μέ τήν ἐξουσία μας. Τώρα ὅμως, δέν εἶπε αὐτό, ἀλλ' ἀντί γι' αὐτό ἀνέφερε τό, «ἐκεῖνο πού μισῶ», γιά νά μάθεις ὅτι καί μέ τό νά πεῖ «ἐκεῖνο πού θέλω»,

μὴ ἐπαινῶ, ὃ μὴ ἀποδέχομαι, ὃ μὴ φιλῶ, οὗ πρὸς ἀντιδιαστολὴν καὶ τὰ ἑξῆς ἐπήγαγεν εἰπών, «ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός».

3. Ὁρᾷς τέως τὴν διάνοιαν οὐ διεφθαρμένην, ἀλλὰ καὶ ἐν τῇ πράξει τὴν οἰκείαν διατηροῦσαν εὐγένειαν; Εἰ γὰρ καὶ μετέρχεται τὴν κακίαν, ἀλλὰ μισοῦσα μετέρχεται, ὃ καὶ τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ μέγιστον ἐγκώμιον ἂν εἴη. Ὅτι γὰρ καλὸς ὁ νόμος, φησί, δῆλον ἐξ ὧν ἐμαυτοῦ κατηγορῶ, παρακούων τοῦ νόμου, καὶ μισῶν τὸ γεγενημένον. Καίτοι εἰ ἁμαρτίας αἴτιος ἦν ὁ νόμος, πῶς αὐτῷ συνηδόμενος τὸ ὑπ' αὐτοῦ κελευόμενον γεγνέσθαι ἐμίσει; «Σύμφημι γὰρ τῷ νόμῳ», φησίν, «ὅτι καλός. Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. Οἶδα γάρ, ὅτι οἰκεῖ ἐν ἐμοί, τουτέστιν, ἐν τῇ σαρκί μου, ἀγαθόν». Ἐνταῦθα ἐπιτίθενται οἱ τὴν σάρκα διαβάλλοντες καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἀλλοτριοῦντες. Τί οὖν ἂν εἴπομεν; Ἃ καὶ περὶ τοῦ νόμου πρώην διαλεγόμενοι εἰρήκαμεν· ὅτι, ὥσπερ ἐκεῖ τὸ πᾶν τῆς ἁμαρτίας εἶναί φησιν, οὕτω καὶ ἐνταῦθα. Οὐ γὰρ εἶπεν, ὅτι 'ἡ σὰρξ αὐτὸ κατεργάζεται', ἀλλὰ καὶ τοὐναντίον, ὅτι «οὐκ ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία». Εἰ δὲ λέγει, ὅτι οὐκ οἰκεῖ ἐν αὐτῇ ἀγαθόν, οὔπω τοῦτο ἔγκλημα τῆς σαρκός· οὐ γὰρ τὸ μὴ οἰκεῖν ἀγαθὸν ἐν αὐτῇ, πονηρὰν αὐτὴν δείκνυσιν οὖσαν.

Ἡμεῖς δὲ ἐλάττονα μὲν ὁμολογοῦμεν εἶναι τῆς ψυχῆς τὴν σάρκα καὶ καταδεεστέραν, οὐ μὴν ἐναντίαν οὐδὲ μαχομένην οὐδὲ πονηράν, ἀλλ' ὡς κιθάραν κιθαριστῇ, καὶ ὡς ναῦν κυβερνήτῃ, οὕτως αὐτὴν ὑποκεῖσθαι τῇ ψυχῇ· ἅπερ οὐκ ἐναντία τοῖς ἄγουσι καὶ χρωμένοις ἐστίν, ἀλλὰ καὶ σφόδρα συμβαίνοντα, οὐ μὴν ὁμότιμα τῷ τεχνίτῃ. Ὥσπερ οὖν ὁ λέγων, ὅτι οὐκ ἐν τῇ κιθάρᾳ, οὐδὲ ἐν τῇ νηΐ ἡ τέχνη, ἀλλ' ἐν τῷ κυβερνήτῃ καὶ τῷ κιθαρῳδῷ, οὐ τὰ ὄργα-

δέν κατάργησε τήν ἐξουσία. Τί λοιπόν σημαίνει τό «αὐτό πού δέ θέλω»; Ἐκεῖνο πού δέν ἐπαινῶ, ἐκεῖνο πού δέ δέχομαι, ἐκεῖνο πού δέν ἀγαπῶ, πρός διάκριση τού ὁποίου πρόσθεσε καί τά ἑπόμενα, λέγοντας, «ἀλλ' ἐκεῖνο πού μισῶ, αὐτό κάνω. Ἐάν ὅμως ἐκεῖνο πού δέ θέλω, αὐτό κάνω, συμφωνῶ μέ τό νόμο ὅτι εἶναι καλός».

3. Βλέπεις κατ' ἀρχή πώς ἡ διάνοια δέν εἶναι διαφθαρμένη, ἀλλά καί στήν πράξη διατηρεῖ τή δική της εὐγένεια; Γιατί, ἄν καί ἀσχολεῖται μέ τήν κακία, ἀσχολεῖται ὅμως ἐπειδή τή μισεῖ, πράγμα πού μποροῦσε νά εἶναι πάρα πολύ μεγάλος ἔπαινος καί τοῦ φυσικοῦ καί τοῦ γραπτοῦ νόμου. Γιατί, ὅτι ὁ νόμος εἶναι καλός, λέγει, εἶναι φανερό ἀπ' αὐτά πού κατηγορῶ τόν ἑαυτό μου, παραβαίνοντας τό νόμο καί μισώντας αὐτό πού ἔγινε. Ἄν βέβαια ὁ νόμος ἦταν αἴτιος τῆς ἁμαρτίας, πῶς μισοῦσε αὐτό πού διέτασσε νά γίνει, ἐνῶ εὐχαριστιόταν μαζί του; «Γιατί συμφωνῶ μέ τό νόμο», λέγει, «ὅτι εἶναι καλός. Τώρα ὅμως δέν ἐκτελῶ ἐγώ τό κακό, ἀλλ' ἡ ἁμαρτία πού κατοικεῖ μέσα μου. Γιατί γνωρίζω, ὅτι δέν κατοικεῖ μέσα μου, δηλαδή, στή σάρκα μου, τό ἀγαθό». Ἐδῶ ἐπιτίθενται ἐκεῖνοι πού κατηγοροῦν τή σάρκα καί τήν ἀποξενώνουν ἀπό τή δημιουργία τοῦ Θεοῦ. Τί λοιπόν θά ποῦμε; Ἐκεῖνα πού εἴπαμε προηγουμένως, ὅταν μιλούσαμε γιά τό νόμο, ὅτι δηλαδή ὅπως ἐκεῖ λέγει ὅτι τό κάθε τι ἀνήκει στήν ἁμαρτία, ἔτσι καί ἐδῶ. Γιατί δέν εἶπε, ὅτι 'ἡ σάρκα ἐκτελεῖ αὐτό', ἀλλά καί τό ἀντίθετο, ὅτι «Δέν ἐκτελῶ ἐγώ αὐτό, ἀλλ' ἡ ἁμαρτία πού κατοικεῖ μέσα μου». Ἐάν ὅμως λέγει, ὅτι δέν κατοικεῖ μέσα σ' αὐτήν ἀγαθό, δέν εἶναι καθόλου αὐτό κατηγορία ἐναντίον τῆς σάρκας, γιατί τό νά μήν κατοικεῖ σ' αὐτή τό ἀγαθό, δέν ἀποδεικνύει πώς εἶναι πονηρή.

Ἐμεῖς βέβαια παραδεχόμαστε ὅτι ἡ σάρκα εἶναι κατώτερη καί ὑποδεέστερη ἀπό τήν ψυχή, ἀλλ' ὅμως δέν εἶναι ἀντίθετη οὔτε ἐχθρική οὔτε πονηρή, ἀλλ' ἔτσι αὐτή ὑπακούει στήν ψυχή, ὅπως ἡ κιθάρα στόν κιθαριστή καί ὅπως τό πλοῖο στόν κυβερνήτη, πού δέν εἶναι ἀντίθετα σ' αὐτούς πού τά ὁδηγοῦν καί τά χρησιμοποιοῦν, ἀλλά καί ὑπερβολικά φιλικά, χωρίς βέβαια νά εἶναι ἰσότιμα μέ τόν τεχνίτη. Ὅπως ἀκριβῶς λοιπόν ἐκεῖνος πού λέγει, ὅτι ἡ τέχνη δέν ὑπάρχει στήν κιθάρα, οὔτε στό πλοῖο, ἀλλά στόν κυβερνήτη καί τόν κιθαρωδό, δέν κατηγόρησε τά ὄργανα, ἀλλ' ἔδειξε τή

να διέβαλεν, ἀλλὰ τὸ μέσον τὸ πρὸς τὸν τεχνίτην ἔδειξεν, οὕτω καὶ ὁ Παῦλος εἰπών, «οὐκ οἰκεῖ ἐν τῇ σαρκί μου ἀγαθόν», οὐ τὸ σῶμα διέβαλεν, ἀλλὰ τὸ ὑπερέχον τῆς ψυχῆς ἔδειξεν. Αὕτη γάρ ἐστιν ἡ τὸ πᾶν ἐγκεχειρισμένη τῆς κυβερνήσεως καὶ τῆς κιθαρῳδίας, ὅπερ καὶ Παῦλος ἐνταῦθα δείκνυσι, τὸ κῦρος τῇ ψυχῇ τιθέμενος. Καὶ εἰς δύο ταῦτα τὸν ἄνθρωπον διελών, ψυχὴν καὶ σῶμα, λέγει ὅτι ἀλογωτέρα μὲν ἡ σάρξ, καὶ συνέσεως ἔρημος, καὶ τῶν ἀγομένων, ἀλλ' οὐ τῶν ἀγόντων· σοφωτέρα δὲ ἡ ψυχή, καὶ τὸ πρακτέον καὶ τὸ μὴ πρακτέον συνιδεῖν δυναμένη, οὐ μὴν ἀρκοῦσα πρὸς τὸ τὸν ἵππον ἄγχειν ὡς βούλεται· ὅπερ οὐ τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς γένοιτ' ἂν ἔγκλημα, εἰδυίας μὲν ἅπερ δεῖ πράττειν, οὐκέτι δὲ εἰς ἔργον ἐκφερούσης τὰ δόξαντα. «Τὸ γὰρ θέλειν παράκειταί μοι», φησί, «τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω».

Πάλιν ἐνταῦθα εἰπών, «οὐχ εὑρίσκω», οὐκ ἄγνοιάν φησιν, οὐδὲ ἀπορίαν, ἀλλ' ἐπήρειάν τινα καὶ ἐπιβουλὴν τῆς ἁμαρτίας, ὅπερ οὖν καὶ σαφέστερον δεικνύς, ἐπήγαγεν· «οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω. Εἰ δὲ ὃ οὐ θέλω ἐγώ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία». Εἶδες πῶς καὶ τὴν οὐσίαν τῆς ψυχῆς, καὶ τὴν οὐσίαν τῆς σαρκὸς ἀπαλλάξας ἐγκλήματος, τὸ πᾶν ἐπὶ τὴν πονηρὰν πρᾶξιν μετέστησεν; Εἰ γὰρ οὐ θέλει τὸ κακόν, ἀπήλλακται ἡ ψυχή, καὶ εἰ αὐτὸς αὐτὸ μὴ κατεργάζεται, ἠλευθέρωται καὶ τὸ σῶμα, καὶ μόνης τῆς πονηρᾶς προαιρέσεώς ἐστι τὸ πᾶν. Οὐ γὰρ ταὐτὸν ψυχῆς οὐσία καὶ σώματος, καὶ προαιρέσεως, ἀλλὰ τὰ μέν ἐστιν ἔργα Θεοῦ, τὸ δὲ ἐξ ἡμῶν αὐτῶν γινομένη κίνησις, πρὸς ὅπερ ἂν αὐτὴν βουληθῶμεν ἀγαγεῖν. Ἡ μὲν γὰρ βούλησις ἔμφυτον καὶ παρὰ τοῦ Θεοῦ, ἡ δὲ τοιάδε βούλησις ἡμέτερον καὶ τῆς γνώμης ἡμῶν.

«Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται». Ἀσαφὲς τὸ εἰρημένον. Τί οὖν ἐστι τὸ λεγόμενον; Ἐπαινῶ τὸν νόμον, φησί, κατὰ τὸ συνειδός, καὶ αὐτὸν δὲ εὑρίσκω ἐμοὶ τῷ βουλομένῳ τὸ καλὸν ποιεῖν συνήγορον,

διαφορά πού ὑπάρχει πρός τόν τεχνίτη, ἔτσι καί ὁ Παῦλος λέγοντας, «Δέν κατοικεῖ στή σάρκα μου ἀγαθό», δέν κατηγόρησε τό σῶμα, ἀλλ' ἔδειξε τήν ὑπεροχή τῆς ψυχῆς. Γιατί αὐτή ἔχει ἀναλάβει ὅλη τήν κυβέρνηση καί τήν κιθαρωδία, πράγμα πού καί ὁ Παῦλος δείχνει ἐδῶ, ἀναφέροντας τήν ἐξουσία στήν ψυχή. Καί χωρίζοντας τόν ἄνθρωπο σ' αὐτά τά δύο, τήν ψυχή καί τό σῶμα, λέγει ὅτι ἡ σάρκα εἶναι πιό ἄλογη καί χωρίς σύνεση, καί ὅτι ἀνήκει στά πράγματα πού ὁδηγοῦνται καί ὄχι πού ὁδηγοῦν, ἐνῶ ἡ ψυχή εἶναι πιό σοφή, καί ὅτι μπορεῖ νά γνωρίζει καλά ἐκεῖνο πού πρέπει νά κάνει καί ἐκεῖνο πού δέν πρέπει, χωρίς νά τῆς λείπει ἡ δύναμη νά ὁδηγεῖ τόν ἵππο ὅπου αὐτή θέλει, πράγμα πού θά ἦταν κατηγορία ὄχι μόνο γιά τή σάρκα, ἀλλά καί γιά τήν ψυχή, ἐφόσον γνωρίζει ἐκεῖνα πού πρέπει νά κάνει, δέν ἐκτελεῖ ὅμως ἐκεῖνα πού ἀποφάσισε. «Γιατί τό νά θέλω εἶναι κοντά μου», λέγει, «τό νά ἐκτελῶ ὅμως τό καλό δέν τό βρίσκω».

Λέγοντας πάλι πάλι ἐδῶ «δέν τό βρίσκω», δέν ἐννοεῖ ἄγνοια, οὔτε ἀπορία, ἀλλά κάποια βλάβη καί ἐπιβουλή τῆς ἁμαρτίας. Καί γιά νά τό δείξει αὐτό σαφέστερα, πρόσθεσε· «δέν κάνω δηλαδή τό ἀγαθό πού θέλω, ἀλλ' ἐκεῖνο πού δέ θέλω, αὐτό κάνω. Ἐάν ὅμως ἐγώ κάνω ἐκεῖνο πού δέ θέλω, δέν τό ἐκτελῶ πιά ἐγώ αὐτό, ἀλλ' ἡ ἁμαρτία πού κατοικεῖ μέσα μου». Εἶδες πῶς ἀπαλλάσσοντας τήν οὐσία καί τῆς ψυχῆς καί τῆς σάρκας ἀπό τήν κατηγορία, μετέθεσε τά πάντα στήν πονηρή πράξη; Γιατί, ἄν δέ θέλει τό κακό, εἶναι ἐλεύθερο καί τό σῶμα, καί τό κάθε τι ἀνήκει μόνο στήν πονηρή προαίρεση. Γιατί δέν εἶναι τό ἴδιο ἡ οὐσία τῆς ψυχῆς καί τοῦ σώματος, καί τῆς προαίρεσης, ἀλλά τά πρῶτα εἶναι δημιουργήματα τοῦ Θεοῦ, ἐνῶ τό ἄλλο κίνηση πού προέρχονται ἀπό μᾶς τούς ἴδιους καί τήν ὁδηγοῦμε ἐκεῖ πού θέλουμε. Αὐτή δηλαδή ἡ βούληση εἶναι ἔμφυτη καί προέρχεται ἀπό τό Θεό, ἐνῶ μία τέτοια βούληση ἀνήκει σέ μᾶς καί στή δική μας ἀπόφαση.

4. «Συνεπῶς βρίσκω τό νόμο πού θέλει νά κάνω τό καλό, ὅτι τό κακό εἶναι πολύ κοντά σ' ἐμένα». Εἶναι ἀσαφές αὐτό πού λέγεται. Τί λοιπόν σημαίνει αὐτό; Ἐπαινῶ τό νόμο, λέγει, σύμφωνα μέ τή συνείδησή μου, καί τόν βρίσκω συνήγορο σ' ἐμένα πού θέλω νά

καὶ ἐπιτείνοντά μοι τὸ βούλημα· ὥσπερ γὰρ ἐγὼ αὐτῷ συνήδομαι, οὕτω καὶ αὐτὸς ἐπαινεῖ τὴν γνώμην τὴν ἐμήν. Ὁρᾷς πῶς δείκνυσι τὴν μὲν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων γνῶσιν ἐξ ἀρχῆς ἡμῖν καταβεβλημένην, τὸν δὲ νόμον Μωϋσέως ἐπαινοῦντα αὐτὴν καὶ ἐπαινούμενον παρ' αὐτῆς; Οὐδὲ γὰρ ἀνωτέρω εἶπεν, 'ὅτι διδάσκομαι παρὰ τοῦ νόμου', ἀλλά, «σύμφημι τῷ νόμῳ»· οὔτε προϊών, ὅτι 'παιδεύομαι παρ' αὐτοῦ', ἀλλ' ὅτι «συνήδομαι αὐτῷ». Τί δέ ἐστι, «συνήδομαι»; Ὁμολογῶ ὡς καλῶς ἔχοντι, ὥσπερ οὖν καὶ αὐτὸς ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλόν. Ὥστε τὸ θέλειν τὸ καλόν, καὶ τὸ μὴ θέλειν τὸ πονηρόν, ἄνωθεν ἦν προκαταβεβλημένον, ὁ δὲ νόμος ἐλθὼν καὶ ἐν τοῖς κακοῖς κατήγορος ἐγένετο πλείων, καὶ ἐν τοῖς ἀγαθοῖς ἐπαινέτης μείζων.

Ὁρᾷς πανταχοῦ ἐπίτασίν τινα καὶ προσθήκην αὐτῷ μαρτυροῦντα μόνον, πλέον δὲ οὐδέν; Καὶ γὰρ ἐπαινοῦντος αὐτοῦ, καὶ ἐμοῦ συνηδομένου καὶ θέλοντος τὸ καλόν, τὸ κακὸν ἔτι παράκειται, καὶ ἡ πρᾶξις αὐτοῦ οὐκ ἀνῄρηται. Ὥστε ὁ νόμος τῷ προῃρημένῳ καλόν τι ποιῆσαι κατὰ τοῦτο σύμμαχος γίνεται μόνον, καθὸ καὶ αὐτὸς τὰ αὐτὰ αὐτῷ βούλεται. Εἶτα ἐπειδὴ ἀσαφῶς αὐτὸ τέθεικε, προϊὼν ἑρμηνεύει αὐτὸ καὶ σαφέστερον ποιεῖ, δεικνὺς πῶς τὸ κακὸν παράκειται, καὶ πῶς τῷ θέλοντι ποιεῖν τὸ καλὸν μόνῳ νόμος ἐστὶν ὁ νόμος. «Συνήδομαι» γάρ, φησί, «τῷ νόμῳ τοῦ Θεοῦ, κατὰ τὸν ἔσω ἄνθρωπον». Ἤιδειν μὲν γὰρ καὶ πρὸ τούτου, φησί, τὸ καλόν, εὑρὼν δὲ αὐτὸ καὶ ἐν γράμμασι κείμενον ἐπαινῶ. «Βλέπω δὲ ἕτερον νόμον, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου». Νόμον ἐνταῦθα πάλιν ἀντιστρατευόμενον τὴν ἁμαρτίαν ἐκάλεσεν, οὐ διὰ τὴν εὐταξίαν, ἀλλὰ διὰ τὴν σφοδρὰν ὑπακοὴν τῶν πειθομένων αὐτῇ. Ὥσπερ οὖν κύριον τὸν μαμωνᾶν καλεῖ, καὶ θεὸν τὴν κοιλίαν, οὐ διὰ τὴν οἰκείαν ἀξίαν, ἀλλὰ διὰ τὴν πολλὴν τῶν ὑποταγμένων δουλείαν, οὕτω καὶ ἐνταῦθα νόμον ἐκάλεσεν ἁμαρτίας, διὰ τοὺς οὕτως αὐτῇ δουλεύοντας καὶ φοβουμένους αὐτὴν ἀφεῖναι, ὥσπερ δεδοίκασιν οἱ νόμον λαβόντες ἀφεῖναι τὸν νόμον. Αὕτη οὖν,

κάνω τό καλό, καί νά μοῦ δυναμώνει τή θέληση. Ὅπως ἀκριβῶς δηλαδή ἐγώ εὐχαριστιέμαι μ' αὐτόν, ἔτσι καί αὐτός ἐπαινεῖ τή δική μου ἀπόφαση. Βλέπεις πῶς ἡ γνώση τῶν καλῶν καί τῶν κακῶν εἶναι φυτεμένη μέσα μας ἀπό τήν ἀρχή, ἐνῶ ὁ Μωσαϊκός νόμος τήν ἐπαινεῖ καί ἐπαινεῖται ἀπ' αὐτή; Γιατί δέν εἶπε παραπάνω, ὅτι διδάσκομαι ἀπό τό νόμο, ἀλλά, «συμφωνῶ μέ τό νόμο», οὔτε παρακάτω, ὅτι ἐκπαιδεύομαι ἀπ' αὐτόν, ἀλλ' ὅτι «εὐχαριστιέμαι μ' αὐτόν». Καί τί σημαίνει, «συνήδομαι»; Παραδέχομαι ὅτι εἶναι καλός, ὅπως ἀκριβῶς λοιπόν καί αὐτός γιά μένα πού θέλω νά κάνω τό καλό. Ἐπομένως τό νά θέλουμε τό καλό, καί τό νά μή θέλουμε τό κακό, ἦταν φυτεμένο προκαταβολικά ἀπό τό Θεό. Ὅταν ὅμως ἦρθε ὁ νόμος, καί στά κακά ἔγινε πιό πολύ κατήγορος, καί στά ἀγαθά πιό μεγάλος ἐπαινετής.

Βλέπεις ὅτι παντοῦ βεβαιώνει γι' αὐτόν κάποια αὔξηση καί προσθήκη μόνο καί τίποτε περισσότερο; Γιατί καί ὅταν αὐτός ἐπαινεῖ, καί ὅταν ἐγώ εὐχαριστιέμαι καί θέλω τό καλό, τό κακό εἶναι ἀκόμη κοντά μου καί ἡ πράξη του δέν ἔχει καταργηθεῖ. Ἐπομένως ὁ νόμος, σύμφωνα μέ τό προηγούμενο, γίνεται σύμμαχος σ' αὐτό μόνο, στό νά κάνει κάποιο καλό, ἀφοῦ καί αὐτός τά ἴδια θέλει μ' αὐτόν. Ἔπειτα, ἐπειδή ἀνέφερε αὐτό μέ ἀσάφεια, προχωρώντας τό ἑρμηνεύει καί τό κάνει σαφέστερο, ἀποδεικνύοντας πῶς τό κακό εἶναι κοντά, καί ὅτι ὁ νόμος εἶναι νόμος μόνο σ' ἐκεῖνον πού θέλει νά κάνει τό καλό. «Γιατί εὐχαριστιέμαι», λέγει, «μέ τό νόμο τοῦ Θεοῦ, κατά τόν ἐσωτερικό μου ἄνθρωπο». Γνώριζα βέβαια καί πρίν ἀπ' αὐτόν, λέγει, τό καλό, ὅταν ὅμως τό βρῆκα νά ὑπάρχει καί στό νόμο, τό ἐπαινῶ. «Βλέπω ὅμως ἄλλο νόμο, πού ἐναντιώνεται στό νόμο τοῦ νοῦ μου». Ἐδῶ πάλι νόμο πού ἐναντιώνεται ὀνόμασε τήν ἁμαρτία, ὄχι γιά τούς καλούς νόμους της, ἀλλά γιά τήν ὑπερβολική πειθαρχία ἐκείνων πού ὑπακοῦν σ' αὐτήν. Ὅπως ἀκριβῶς λοιπόν ὀνομάζει κύριο τό μαμωνᾶ, καί θεό τήν κοιλιά, ὄχι γιά τή δική τους ἀξία, ἀλλά γιά τήν μεγάλη ὑποδούλωση ἐκείνων πού εἶναι δοῦλοι, ἔτσι καί ἐδῶ ὀνόμασε νόμο τῆς ἁμαρτίας, γι' αὐτούς πού εἶναι ἔτσι δοῦλοι της καί φοβοῦνται νά τήν ἐγκαταλείψουν, ὅπως φοβοῦνται νά ἐγκαταλείψουν τό νόμο

φησίν, ἀντίκειται τῷ νόμῳ τῷ φυσικῷ· τοῦτο γάρ ἐστι, τῷ νόμῳ τοῦ νοός μου.».

Καὶ εἰσάγει λοιπὸν παράταξιν καὶ μάχην, καὶ τὸν ἀγῶνα ὅλον ἀνατίθησι τῷ φυσικῷ νόμῳ. Ὁ γὰρ Μωϋσέως ἐκ περιουσίας ὕστερον προσετέθη· ἀλλ' ὅμως καὶ οὗτος κἀκεῖνος, ὁ μὲν διδάξας, ὁ δὲ ἐπαινέσας τὰ δέοντα, οὐδὲν ἐν τῇ μάχῃ ταύτῃ μέγα ἤνυσαν· τοσαύτη τῆς ἁμαρτίας ἡ τυραννίς, νικῶσα καὶ περιγινομένη, ὅπερ οὖν ὁ Παῦλος ἐμφαίνων, καὶ τὴν κατὰ κράτος ἧτταν δηλῶν ἔλεγε, «βλέπω δὲ ἕτερον νόμον, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με». Οὐ γὰρ εἶπε, 'νικῶντα' ἁπλῶς, ἀλλ', «αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας». Οὐκ εἶπε, 'τῇ ὁρμῇ τῆς σαρκός', οὐδέ, 'τῇ φύσει τῆς σαρκός', ἀλλά, «τῷ νόμῳ τῆς ἁμαρτίας»· ἕτερον γὰρ τὸ ἔν τινι ὄν, καὶ τὸ ἐν ᾧ ἐστιν ἐκεῖνο. Ὥσπερ οὖν καὶ ἡ ἐντολὴ οὐκ ἔστι πονηρά, ἐπειδὴ δι' αὐτῆς ἀφορμὴν ἔλαβεν ἡ ἁμαρτία, οὕτως οὐδὲ τῆς σαρκὸς ἡ φύσις, εἰ καὶ δι' αὐτῆς ἡμᾶς καταγωνίζεται· ἐπεὶ οὕτως ἔσται καὶ ἡ ψυχὴ πονηρά, καὶ πολλῷ μᾶλλον ἐκείνη, ὅσῳ καὶ τὸ κῦρος τῶν πρακτέων ἔχει.

Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Οὐδὲ γὰρ εἰ θαυμαστὸν οἶκον καὶ βασιλικὰς αὐλὰς τύραννος λάβοι καὶ λῃστής, διαβολὴ τῆς οἰκίας τὸ γινόμενον, ἀλλ' ἡ κατηγορία πᾶσα τῶν τὰ τοιαῦτα ἐπιβουλευσάντων ἐστίν. Ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ μετὰ τῆς εὐσεβείας καὶ ἀνοίᾳ πολλῇ περιπίπτοντες, οὐκ αἰσθάνονται. Οὐδὲ γὰρ τῆς σαρκὸς μόνον κατηγοροῦσιν, ἀλλὰ καὶ τὸν νόμον διαβάλλουσι. Καίτοιγε εἰ πονηρὸν ἡ σάρξ, καλὸν ὁ νόμος· ἀντιστρατεύεται γὰρ καὶ ἐναντιοῦται· εἰ δὲ οὐ καλὸν ὁ νόμος, καλὸν ἡ σάρξ· μάχεται γὰρ αὐτῷ κατ' ἐκείνους καὶ πολεμεῖ. Πῶς οὖν ἀμφότερα τοῦ διαβόλου

ἐκεῖνοι πού ἔλαβαν τό νόμο. Αὐτή λοιπόν, λέγει, ἐναντιώνεται στό φυσικό νόμο. Γιατί αὐτό σημαίνει, «στό νόμο τοῦ νοῦ μου».

Καί παρουσιάζει στή συνέχεια παράταξη καί μάχη, καί ἀναθέτει ὅλο τόν ἀγώνα στό φυσικό νόμο. Γιατί ὁ ἰσχυρότερος Μωσαϊκός νόμος προστέθηκε ἀργότερα. 'Αλλ' ὅμως καί αὐτός καί ἐκεῖνος, ὁ πρῶτος διδάσκοντας καί ὁ ἄλλος ἐπαινώντας αὐτά πού πρέπει νά γίνονται, δέν κατόρθωσαν τίποτε στή μάχη αὐτή. Τόσο μεγάλη εἶναι ἡ ἐξουσία τῆς ἁμαρτίας, πού νικάει καί ὑπερισχύει. Αὐτό ἀκριβῶς φανερώνοντας ὁ Παῦλος καί δηλώνοντας τήν ὁλοκληρωτική ἥττα ἔλεγε, «βλέπω ὅμως ἄλλο νόμο νά ἐναντιώνεται στό νόμο τοῦ νοῦ μου καί νά μέ κάνει αἰχμάλωτο». Δέν εἶπε ἁπλῶς 'νά νικάει', ἀλλά, «νά μέ κάνει αἰχμάλωτο στό νόμο τῆς ἁμαρτίας». Δέν εἶπε, 'στήν ἐπιθυμία τῆς σάρκας', οὔτε, 'στή φύση τῆς σάρκας', ἀλλά, «στό νόμο τῆς ἁμαρτίας», δηλαδή, στήν τυραννική ἐξουσία του, στή δύναμή του. Πῶς λοιπόν λέγει, «πού ὑπάρχει στά μέλη μου»; Καί τί σημαίνει αὐτό; Βέβαια αὐτό δέν κάνει ἁμαρτία τά μέλη, ἀλλά τά ξεχωρίζει πάρα πολύ ἀπό τήν ἁμαρτία, γιατί ἄλλο εἶναι αὐτό πού ὑπάρχει σέ κάτι, καί ἄλλο αὐτό στό ὁποῖο ὑπάρχει ἐκεῖνο. Ὅπως ἀκριβῶς λοιπόν καί ἡ ἐντολή δέν εἶναι κακή, ἐπειδή μ' αὐτή ἔλαβε τήν ἀφορμή ἡ ἁμαρτία, ἔτσι δέν εἶναι καί ἡ φύση τῆς σάρκας, ἄν καί μ' αὐτή μᾶς πολεμάει. Γιατί ἔτσι θά εἶναι καί ἡ ψυχή κακή, καί πολύ περισσότερο ἐκείνη, ἀφοῦ ἔχει καί τήν ἐξουσία ὅλη γι' αὐτά πού πρέπει νά γίνονται.

'Αλλά δέν εἶναι ἔτσι, πραγματικά δέν εἶναι. Γιατί, ἄν κάποιος τύραννος καί ληστής κλέψει πλούσιο σπίτι καί βασιλικές αὐλές, δέν ἀποτελεῖ τό γεγονός αὐτό κατηγορία ἐναντίον τοῦ σπιτιοῦ, ἀλλ' ἡ κατηγορία ὅλη ἀνήκει σ' ἐκείνους πού ἔκαμαν αὐτά τά πράγματα. 'Αλλ' οἱ ἐχθροί τῆς ἀλήθειας, πέφτοντας μαζί μέ τήν ἀσέβεια καί σέ πολλή ἀνοησία, δέν τό αἰσθάνονται. Γιατί δέν κατηγοροῦν μόνο τή σάρκα, ἀλλά συκοφαντοῦν καί τό νόμο. Ἄν καί βέβαια, ἄν ἡ σάρκα εἶναι κακό, ὁ νόμος εἶναι καλό, γιατί ἀντιστρατεύεται καί ἐναντιώνεται· ἄν ὅμως ὁ νόμος δέν εἶναι καλό, ἡ σάρκα εἶναι καλό, γιατί σύμφωνα μ' αὐτούς μάχεται καί πολεμάει τό νόμο. Πῶς λοιπόν λέγουν ὅτι καί τά δύο ἀνήκουν στό διάβολο,

φασὶν εἶναι, ἐναντιούμενα ἀλλήλοις εἰσάγοντες; Ὁρᾷς ὅση μετὰ τῆς ἀσεβείας καὶ ἡ ἄνοια; Ἀλλ' οὐ τῆς Ἐκκλησίας τὰ δόγματα τοιαῦτα, ἀλλὰ τὴν ἁμαρτίαν κατακρίνει μόνον, καὶ τὸν νόμον ἑκάτερον παρὰ τοῦ Θεοῦ δεδομένον, καὶ τὸν τῆς φύσεως, καὶ τὸν Μωϋσέως, ταύτῃ πολέμιον εἶναί φησιν, οὐ τῇ σαρκί· οὐδὲ γὰρ τὴν σάρκα ἁμαρτίαν εἶναι, ἀλλ' ἔργον Θεοῦ σφόδρα καὶ πρὸς ἀρετὴν ἡμῖν ἐπιτήδειον, ἐὰν νήφωμεν.

5. *«Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ρύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;» Εἶδες πόση τῆς κακίας ἡ τυραννίς, ὅτι καὶ συνηδόμενον τῷ νόμῳ τὸν νοῦν νικᾷ; Οὐδὲ γὰρ ἔχει τις εἰπεῖν, φησίν, ὅτι μισοῦντά με τὸν νόμον καὶ ἀποστρεφόμενον ἡ ἁμαρτία χειροῦται· συνήδομαι γὰρ αὐτῷ καὶ σύμφημι, καὶ καταφεύγω πρὸς αὐτόν· ἀλλ' ὅμως ἐκεῖνος μὲν οὐδὲ φυγόντα πρὸς αὐτὸν ἴσχυσε σῶσαι, ὁ δὲ Χριστὸς καὶ φεύγοντα ἀπ' αὐτοῦ ἔσωσεν. Εἶδες ὅση τῆς χάριτος ἡ ὑπερβολή; Ἀλλ' οὕτω μὲν οὐκ ἔθηκεν αὐτὸ ὁ ἀπόστολος· ἀνοιμώξας δὲ μόνον καὶ θρηνήσας μέγα, ὡς ἐν ἐρημίᾳ τῶν βοηθησάντων, διὰ τῆς ἀπορίας δείκνυσι τοῦ Χριστοῦ τὴν δύναμιν, καί φησι, «ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ρύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;». Νόμος οὐκ ἴσχυσε, τὸ συνειδὸς οὐκ ἤρκεσε, καίτοιγε ἐπαινοῦν τὰ καλά, καὶ οὐκ ἐπαινοῦν μόνον, ἀλλὰ καὶ ἀπομαχόμενον πρὸς τὰ ἐναντία. Τῷ γὰρ εἰπεῖν, «ἀντιστρατευόμενον», ἔδειξε καὶ αὐτὸν ἀντιταττόμενον. Πόθεν οὖν ἔσται σωτηρίας ἐλπίς; «Εὐχαριστῶ τῷ Θεῷ», φησί, «διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν».*

Εἶδες πῶς ἔδειξεν ἀναγκαίαν τῆς χάριτος τὴν παρουσίαν καὶ κοινὰ Πατρὸς καὶ Υἱοῦ τὰ κατορθώματα; Εἰ γὰρ καὶ τῷ Πατρὶ εὐχαριστεῖ, ἀλλὰ τῆς εὐχαριστίας ταύτης καὶ ὁ Υἱὸς αἴτιος. Ὅταν δὲ ἀκούσῃς λέγοντος αὐτοῦ, «τίς με ρύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;», μὴ νόμιζε τῆς σαρκὸς αὐτὸν κατηγορεῖν. Οὐδὲ γὰρ εἶπε, 'σῶμα ἁμαρτίας', ἀλλὰ «σῶμα θανάτου»· τουτέστι, τὸ θνητὸν σῶμα, τὸ χειροθὲν ὑπὸ τοῦ θανάτου, οὐ τὸ γεννῆσαν τὸν θάνατον·

παρουσιάζοντας νά εἶναι ἀντίθετα μεταξύ τους; Βλέπεις πόση εἶναι μαζί μέ τήν ἀσέβεια καί ἡ ἀνοησία τους; Τά δόγματα ὅμως τῆς Ἐκκλησίας δέν εἶναι τέτοια, ἀλλά κατακρίνουν τήν ἁμαρτία μόνο, καί λέγουν πώς κάθε νόμος πού δόθηκε ἀπό τό Θεό, καί ὁ φυσικός δηλαδή καί ὁ Μωσαϊκός, εἶναι ἐχθρός τῆς ἁμαρτίας, ὄχι τῆς σάρκας. γιατί δέ λέγουν πώς ἡ σάρκα εἶναι ἁμαρτία, ἀλλά δημιούργημα τοῦ Θεοῦ καί ὑπερβολικά κατάλληλο γιά νά ἐπιτύχουμε τήν ἀρετή, ἄν εἴμαστε ἐγκρατεῖς.

5. «Πόσο δυστυχισμένος ἄνθρωπος εἶμαι! ποιός θά μέ ἐλευθερώσει ἀπό τό σῶμα τοῦ θανάτου αὐτοῦ;». Βλέπεις πόση εἶναι ἡ δύναμη τῆς κακίας, ἀφοῦ νικάει τό νοῦ, ἄν καί εὐχαριστιέται μέ τό νόμο; Γιατί δέν μπορεῖ νά πεῖ κανείς, λέγει, ὅτι νικιέται ἡ ἁμαρτία, ὅταν μισῶ καί ἀποστρέφομαι τό νόμο, γιατί εὐχαριστιέμαι μ' αὐτόν καί συμφωνῶ μαζί του, καί καταφεύγω σ' αὐτόν· ἀλλ' ὅμως ὁ νόμος δέν μπόρεσε νά μέ σώσει, οὔτε ὅταν κατέφυγα σ' αὐτόν, ἐνῶ ὁ Χριστός μ' ἔσωσε, ἄν καί ἀπομακρυνόμουν ἀπ' αὐτόν. Εἶδες πόση εἶναι ἡ ὑπεροχή τῆς χάριτος; Ὅμως δέν τό ἀνέφερε ἔτσι ὁ ἀπόστολος, ἀλλ', ἀφοῦ στέναξε μόνο καί θρήνησε δυνατά, σάν νά μήν ὑπάρχουν αὐτοί πού πρόκειται νά βοηθήσουν, μέ τήν ἀπορία δείχνει τή δύναμη τοῦ Χριστοῦ, καί λέγει, «πόσο δυστυχισμένος ἄνθρωπος εἶμαι ἐγώ! ποιός θά μέ ἐλευθερώσει ἀπό τό σῶμα τοῦ θανάτου αὐτοῦ;». Ὁ νόμος δέν μπόρεσε, ἡ συνείδηση δέν τό κατόρθωσε, ἄν καί ἐπαινοῦσε βέβαια τά καλά, καί δέν ἐπαινοῦσε μόνο, ἀλλά καί πολεμοῦσε πρός τά ἀντίθετα. Γιατί μέ τό νά πεῖ, «πού ἀντιστρατεύεται», ἔδειξε ὅτι καί αὐτός ἐναντιώνεται. Ἀπό ποῦ λοιπόν θά ὑπάρξει ἐλπίδα σωτηρίας; «Εὐχαριστῶ τό Θεό», λέγει, «πού μέ ἔσωσε μέ τόν Ἰησοῦ Χριστό τόν Κύριό μας».

Εἶδες πῶς ἔδειξε ἀναγκαία τήν παρουσία τῆς χάριτος καί κοινά τά κατορθώματα τοῦ Πατέρα καί τοῦ Υἱοῦ; Γιατί, ἄν εὐχαριστεῖ τόν Πατέρα, γιά τήν εὐχαριστία ὅμως αὐτή αἴτιος εἶναι καί ὁ Υἱός. Ὅταν ὅμως τόν ἀκούσεις νά λέγει, «ποιός θά μέ ἐλευθερώσει ἀπό τό σῶμα τοῦ θανάτου αὐτοῦ;», νά μή νομίζεις ὅτι κατηγορεῖ τή σάρκα. Γιατί δέν εἶπε, 'σῶμα ἁμαρτίας', ἀλλά «σῶμα θανάτου». Δηλαδή, τό θνητό σῶμα, πού νικήθηκε ἀπό τό θάνατο, ὄχι

ὅπερ οὐ τῆς πονηρίας τῆς σαρκός, ἀλλὰ τῆς ἐπηρείας, ἧς ὑπέμεινε, δεῖγμά ἐστιν. Ὥσπερ ἂν εἴη τις αἰχμαλωτισθεὶς παρὰ βαρβάρων, λέγοιτο εἶναι τῶν βαρβάρων, οὐκ ἐπειδὴ βάρβαρός ἐστιν, ἀλλ' ἐπειδὴ ὑπ' ἐκείνων κατέχεται· οὕτω καὶ τὸ σῶμα θανάτου λέγεται, ἐπειδὴ κατεσχέθη παρ' αὐτοῦ, οὐκ ἐπειδὴ προεξένησεν αὐτόν. Διόπερ οὐδὲ αὐτὸς τοῦ σώματος ρυσθῆναι βούλεται, ἀλλὰ τοῦ θνητοῦ σώματος, αἰνιττόμενος ὃ πολλάκις ἔφην, ὅτι ἐκ τοῦ παθητὸν γενέσθαι, καὶ εὐεπιχείρητον γέγονε τῇ ἁμαρτίᾳ. Καὶ τίνος ἕνεκεν, φησίν, εἰ τοσαύτη τῆς ἁμαρτίας τυραννὶς πρὸ τῆς χάριτος ἦν, ἐκολάσθησαν οἱ ἁμαρτάνοντες; Ὅτι τοιαῦτα ἐπετάγησαν, οἷα δυνατὸν ἦν καὶ τῆς ἁμαρτίας κρατούσης κατορθοῦν.

Οὐδὲ γὰρ εἰς ἄκραν αὐτοὺς εἷλκε πολιτείαν, ἀλλὰ καὶ χρημάτων ἀπολαύειν ἐπέτρεπε, καὶ γυναιξὶ κεχρῆσθαι πλείοσιν οὐκ ἐκώλυε, καὶ θυμῷ χαρίσασθαι μετὰ τοῦ δικαίου, καὶ τρυφῇ κεχρῆσθαι συμμέτρῳ· καὶ τοσαύτη ἦν ἡ συγκατάβασις, ὡς καὶ ἐλάττονα ὧν ὁ φυσικὸς διηγόρευε νόμος, τὸν γραπτὸν ἀπαιτεῖν. Ὁ μὲν γὰρ τῆς φύσεως νόμος ἕνα ἄνδρα μιᾷ γυναικὶ διηνεκῶς ὁμιλεῖν ἐκέλευεν, ὅπερ οὖν καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν, ὅτι «ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς», ὁ δὲ Μωϋσέως νόμος οὔτε τὴν μὲν ἐκβάλλειν, τὴν δὲ ἀντεισάγειν ἐκώλυεν, οὔτε δύο κατ' αὐτὸν ἔχειν ἀπηγόρευε. Χωρὶς δὲ τούτου καὶ ἕτερα πλείονα τῶν ἐν τῷ νόμῳ τοὺς πρὸ τούτου κατορθωκότας ἴδοι τις ἂν τῷ τῆς φύσεως παιδευομένους νόμῳ. Οὐ τοίνυν ἐπηρεάσθησαν οἱ ἐν τῇ παλαιᾷ πολιτευσάμενοι, συμμέτρου νομοθεσίας οὕτως εἰσενεχθείσης αὐτοῖς. Εἰ δὲ μηδὲ οὕτως ἤρκησαν περιγενέσθαι, τῆς αὐτῶν ῥᾳθυμίας τὸ ἔγκλημα. Διὰ τοῦτο καὶ ὁ Παῦλος εὐχαριστεῖ, ὅτι οὐδὲν τούτων ἀκριβολογησάμενος ὁ Χριστός, οὐ μόνον τῶν συμμέτρων οὐκ

3. Ματθ. 19, 4.

πού γέννησε τό θάνατο, πράγμα πού εἶναι ἀπόδειξη ὄχι τῆς κακίας τῆς σάρκας, ἀλλά τῆς βλάβης πού εἶχε ὑποστεῖ. Ὅπως ἀκριβῶς ἄν κάποιος, πού αἰχμαλωτίσθηκε ἀπό τούς βαρβάρους, λεγόταν ὅτι ἀνήκει στούς βαρβάρους, ὄχι γιατί εἶναι βάρβαρος, ἀλλά γιατί κατέχεται ἀπό ἐκείνους, ἔτσι καί τό σῶμα λέγεται «σῶμα θανάτου», γιατί κυριεύθηκε ἀπ' αὐτόν, ὄχι γιατί προξένησε τό θάνατο. Γι' αὐτό ἀκριβῶς οὔτε θέλει νά ἐλευθερωθεῖ ἀπό τό σῶμα, ἀλλ' ἀπό τό θνητό σῶμα, ὑπονοώντας αὐτό πού πολλές φορές εἶπα, ὅτι, ἀφοῦ τό σῶμα ἔγινε παθητό, στή συνέχεια εὔκολα κυριεύθηκε ἀπό τήν ἁμαρτία. Καί γιά ποιό λόγο, λέγει, ἀφοῦ ἦταν τόσο μεγάλη ἡ ἐξουσία τῆς ἁμαρτίας πρίν ἀπό τή χάρη, τιμωρήθηκαν ἐκεῖνοι πού ἁμάρταναν; Γιατί πῆραν τέτοιες ἐντολές, πού ἦταν δυνατό νά τίς ἐκτελοῦν, ἄσχετα ἄν ἐπικρατοῦσε ἡ ἁμαρτία.

Γιατί ὁ νόμος δέν τούς ὁδηγοῦσε σέ τέλεια ζωή, ἀλλά καί χρήματα τούς ἐπέτρεπε νά ἀπολαμβάνουν, καί γυναῖκες περισσότερες δέν τούς ἐμπόδιζε νά χρησιμοποιοῦν, καθώς καί νά θυμώσουν δίκαια καί νά χρησιμοποιήσουν μέ μέτρο τίς ἀπολαύσεις· καί τόσο μεγάλη ἦταν ἡ συγκατάβαση, ὥστε ὁ γραπτός νόμος νά ἔχει καί λιγότερες ἀπαιτήσεις ἀπό ἐκεῖνες πού ὅριζε ὁ φυσικός. Γιατί ὁ φυσικός νόμος διέτασσε ἕνας ἄνδρας νά ἔχει συνέχεια σαρκικές σχέσεις μέ μία γυναίκα, πράγμα βέβαια πού καί ὁ Χριστός γιά νά δηλώσει, ἔλεγε, ὅτι «ἐκεῖνος πού τούς δημιούργησε ἀπό τήν ἀρχή, ἔκαμε ἕνα ἄνδρα καί μία γυναίκα»[3]. Ὁ Μωσαϊκός ὅμως νόμος δέν ἐμπόδιζε τόν ἄνδρα τή μία νά διώχνει καί νά παίρνει ἄλλη στή θέση της, οὔτε ἀπαγόρευε νά ἔχει δύο γυναῖκες συγχρόνως. Ἐκτός ὅμως ἀπ' αὐτό, θά μποροῦσε νά δεῖ κανείς πώς ἐκεῖνοι πού ἔζησαν πρίν ἀπό τό νόμο ἔχουν κατορθώσει καί ἄλλα περισσότερα ἀπ' ὅσα ἀναφέρονται στό νόμο, βοηθούμενοι ἀπό τό φυσικό νόμο. Δέν ἐπηρεάστηκαν λοιπόν ἐκεῖνοι πού ἔζησαν στήν Παλαιά Διαθήκη, ἀφοῦ εἶχε δοθεῖ σ' αὐτούς τέτοια νομοθεσία πού ἦταν σύμφωνη μέ τίς δικές τους δυνάμεις. Ἐάν ὅμως οὔτε ἔτσι κατόρθωσαν νά σωθοῦν, ἡ κατηγορία ἀνήκει στήν ἀδιαφορία τους. Γι' αὐτό καί ὁ Παῦλος εὐχαριστεῖ, γιατί χωρίς νά ἐξετάσει λεπτομερῶς τίποτε ἀπ' αὐτά ὁ Χριστός, ὄχι μόνο δέ ζήτησε εὐθύνες γι' αὐτά πού ἦταν σύμφωνα μέ τίς δυνάμεις μας, ἀλλά καί μᾶς ἔκανε ἱκανούς γιά με-

ἀπήτησεν εὐθύνας, ἀλλὰ καὶ ἐπιτηδείους ἐποίησε πρὸς μείζονα δρόμον. Διό φησιν, «εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ».

Καὶ τὴν σωτηρίαν ἀφεὶς ὡς ὡμολογημένην, ἐκ τῶν ἤδη κατασκευασθέντων ἐπ' ἄλλο μεταβαίνει πλέον λέγων, ὅτι οὐ τῶν προτέρων ἀπηλλάγημεν μόνον, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀχείρωτοι γεγόναμεν. «Οὐδὲν» γάρ, φησί, «κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν». Ἀλλ' οὐ πρότερον αὐτὸ εἴρηκεν, ἕως ἀνέμνησε πάλιν τῆς προτέρας καταστάσεως. Πρότερον γὰρ εἰπών, «ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας», τότε ἐπήγαγεν· «οὐδὲν ἄρα κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ». Εἶτα, ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολλοὺς καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνειν, διὰ τοῦτο πρὸς αὐτὸ ἐπείγεται, καὶ οὐχ ἁπλῶς φησι, «τοῖς ἐν Χριστῷ Ἰησοῦ», ἀλλά, «τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι», δεικνύς, ὅτι ἐκ ῥᾳθυμίας τὸ πᾶν λοιπὸν τῆς ἡμετέρας. Δυνατὸν γὰρ νῦν μὴ κατὰ σάρκα περιπατεῖν, τότε δὲ δύσκολον ἦν.

6. *Εἶτα καὶ ἑτέρως αὐτὸ κατασκευάζει διὰ τῶν ἑξῆς λέγων· «ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με», νόμον Πνεύματος ἐνταῦθα τὸ Πνεῦμα καλῶν. Ὥσπερ γὰρ νόμον ἁμαρτίας τὴν ἁμαρτίαν, οὕτω νόμον Πνεύματος τὸ Πνεῦμά φησι. Καίτοι καὶ τὸν Μωϋσέως οὕτως ἐκάλει, λέγων, «οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι»· τί οὖν τὸ μέσον; Πολὺ καὶ ἄπειρον· ἐκεῖνος μὲν γὰρ πνευματικός, οὗτος δὲ νόμος Πνεύματος. Καὶ τί τοῦτο ἐκείνου διέστηκεν; Ὅτι ὁ μὲν ὑπὸ Πνεύματος ἐδόθη μόνον, οὗτος δὲ καὶ Πνεῦμα ἐχορήγει τοῖς δεχομένοις αὐτὸν δαψιλές. Διὸ καὶ ζωῆς αὐτὸν νόμον ἐκάλεσε, πρὸς ἀντιδιαστολὴν ἐκείνου τοῦ τῆς ἁμαρτίας, οὐ τοῦ Μωσαϊκοῦ. Ὅταν γὰρ λέγῃ, «ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου», οὐ τὸν Μωϋσέως νόμον λέγει*

γαλύτερο δρόμο. Γι' αὐτό λέγει, «Εὐχαριστῶ τό Θεό μου μέ τόν Ἰησοῦ Χριστό».

Καί ἀφήνοντας τή σωτηρία σάν δεδομένη, ἀπ' αὐτά πού ἤδη ἀποδείχθηκαν, πηγαίνει σέ ἄλλο θέμα λέγοντας περισσότερα, ὅτι δέν ἀπαλλαχθήκαμε μόνο ἀπό τά προηγούμενα, ἀλλά καί γιά τό μέλλον γίναμε ἀνίκητοι. «Γιατί δέν ὑπάρχει», λέγει καμιά καταδίκη τώρα γιά τούς ἑνωμένους μέ τόν Ἰησοῦ Χριστό, πού δέ συμπεριφέρονται σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς σάρκας». Ἀλλά δέν τό ἀνέφερε αὐτό προηγουμένως, μέχρι πού θύμισε πάλι τήν προηγούμενη κατάσταση. Γιατί, ἀφοῦ εἶπε προηγουμένως, «ἄρα λοιπόν ἐγώ ὁ ἴδιος μέ τό νοῦ μου δουλεύω στό νόμο τοῦ Θεοῦ, μέ τή σάρκα μου ὅμως στό νόμο τῆς ἁμαρτίας», τότε πρόσθεσε· «δέν ὑπάρχει ἑπομένως καταδίκη τώρα γιά τούς ἑνωμένους μέ τόν Ἰησοῦ Χριστό». Ἔπειτα, ἐπειδή ἦταν ἀντίθετο σ' αὐτό τό ὅτι ἁμαρτάνουν πολλοί καί μετά τό βάπτισμα, γι' αὐτό προχωρεῖ πρός αὐτό, καί δέ λέγει ἁπλῶς, «γιά τούς ἑνωμένους μέ τόν Ἰησοῦ Χριστό», ἀλλά «γι' αὐτούς πού δέ συμπεριφέρονται σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς σάρκας», γιά νά δείξει, ὅτι τό κάθε τι στή συνέχεια προέρχεται ἀπό τή δική μας ἀδιαφορία. Γιατί εἶναι δυνατό νά μή συμπεριφερόμαστε τώρα σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς σάρκας, τότε ὅμως ἦταν δύσκολο.

6. Ἔπειτα καί διαφορετικά τό ἀποδεικνύει αὐτό μέ τά ἑπόμενα, λέγοντας· «γιατί ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς μέ ἐλευθέρωσε», ὀνομάζοντας ἐδῶ νόμο τοῦ Πνεύματος τό ἅγιο Πνεῦμα. Γιατί, ὅπως λέγει «νόμο τῆς ἁμαρτίας» τήν ἁμαρτία, ἔτσι λέγει «νόμο τοῦ Πνεύματος» τό ἅγιο Πνεῦμα. Βέβαια καί τό Μωσαϊκό νόμο ὀνόμαζε ἔτσι, λέγοντας, «γιατί γνωρίζουμε ὅτι ὁ νόμος εἶναι πνευματικός». Ποιά λοιπόν εἶναι ἡ διαφορά; Μεγάλη καί ἄπειρη. Γιατί ἐκεῖνος εἶναι πνευματικός, αὐτός ὅμως «νόμος τοῦ Πνεύματος». Καί τί διαφέρει αὐτό ἀπό ἐκεῖνο; Ὅτι ὁ ἕνας δόθηκε μόνο ἀπό τό ἅγιο Πνεῦμα, ἐνῶ αὐτός χορήγουσε καί ἄφθονο Πνεῦμα σέ ὅσους τόν δέχονταν. Γι' αὐτό τόν ὀνόμασε καί «νόμο τῆς ζωῆς», πρός διάκριση ἀπό τό νόμο τῆς ἁμαρτίας, ὄχι ἀπό τό Μωσαϊκό. Γιατί, ὅταν λέγει, «μέ ἐλευθέρωσε ἀπό τό νόμο τῆς ἁμαρτίας καί τοῦ θα-

ἐνταῦθα· οὐδαμοῦ γὰρ αὐτὸν νόμον ἁμαρτίας καλεῖ· πῶς γάρ, ὃν δίκαιον καὶ ἅγιον πολλάκις ὠνόμασε, καὶ ἁμαρτίας ἀναιρετικόν; ἀλλ' ἐκεῖνον τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός. Τοῦτον γὰρ τὸν χαλεπὸν κατέλυσε πόλεμον θανατώσασα τὴν ἁμαρτίαν ἡ τοῦ Πνεύματος χάρις, καὶ ποιήσασα τὸν ἀγῶνα κοῦφον ἡμῖν, καὶ πρότερον στεφανώσασα, καὶ τότε μετὰ πολλῆς τῆς συμμαχίας ἐπὶ τὰ παλαίσματα ἑλκύσασα.

Εἶτα ὅπερ ἀεὶ ποιεῖ, ἀπὸ τοῦ Υἱοῦ εἰς τὸ Πνεῦμα μεταβαίνων, ἀπὸ τοῦ Πνεύματος εἰς τὸν Υἱὸν καὶ τὸν Πατέρα, καὶ τῇ Τριάδι πάντα τὰ παρ' ἡμῶν λογιζόμενος, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. Καὶ γὰρ εἰπών, «τίς με ρύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου»; ἔδειξε τὸν Πατέρα διὰ τοῦ Υἱοῦ τοῦτο ποιοῦντα· εἶτα πάλιν τὸ Πνεῦμα τὸ ἅγιον μετὰ τοῦ Υἱοῦ· «ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με», φησίν· εἶτα πάλιν τὸν Πατέρα καὶ τὸν Υἱόν· «τὸ γὰρ ἀδύνατον τοῦ νόμου», φησίν, «ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί». Πάλιν δοκεῖ μὲν διαβάλλειν τὸν νόμον, εἰ δέ τις ἀκριβῶς προσέχοι, καὶ σφόδρα αὐτὸν ἐπαινεῖ, σύμφωνον τῷ Χριστῷ δεικνὺς καὶ τὰ αὐτὰ προῃρημένον. Οὐδὲ γὰρ εἶπε, 'τὸ πονηρὸν τοῦ νόμου', ἀλλά, «τὸ ἀδύνατον»· καὶ πάλιν, «ἐν ᾧ ἠσθένει», οὐκ, 'ἐν ᾧ ἐκακούργει ἢ ἐπεβούλευε'. Καὶ οὐδὲ τὴν ἀσθένειαν αὐτῷ λογίζεται, ἀλλὰ τῇ σαρκί, λέγων, «ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός»· σάρκα πάλιν ἐνταῦθα οὐχὶ τὴν οὐσίαν αὐτὴν καὶ τὸ ὑποκείμενον, ἀλλὰ τὸ σαρκικώτερον φρόνημα καλῶν· δι' ὧν καὶ τὸ σῶμα καὶ τὸν νόμον ἀπαλλάττει κατηγορίας.

Οὐ διὰ τούτων δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς. Εἰ γὰρ ἐναντίος ἦν ὁ νόμος, πῶς ὁ Χριστὸς εἰς βοήθειαν αὐτοῦ παραγέγονε καὶ τὸ δικαίωμα αὐτοῦ πληροῖ καὶ χεῖρα ὤρεξε, κατακρίνας τὴν ἁμαρτίαν ἐν τῇ σαρκί; Τοῦτο γὰρ ὑπολέλειπτο, ἐπειδήπερ ἐν τῇ

νάτου», δέν ἐννοεῖ ἐδῶ τό Μωσαϊκό νόμο, ἐπειδή πουθενά δέν τόν ὀνομάζει αὐτόν νόμο τῆς ἁμαρτίας. Γιατί πῶς θά τόν ὀνόμαζε αὐτόν, πού πολλές φορές τόν ὀνόμασε δίκαιο καί ἅγιο καί ἱκανό γιά τήν καταστροφή τῆς ἁμαρτίας; 'Αλλ' ἐννοεῖ ἐκεῖνον πού ἐναντιώνεται στό νόμο τοῦ νοῦ. Αὐτόν λοιπόν τό φοβερό πόλεμο στάμάτησε ἡ χάρη τοῦ ἁγίου Πνεύματος, ἀφοῦ θανάτωσε τήν ἁμαρτία καί μᾶς ἔκανε τόν ἀγώνα εὔκολο, ἀφοῦ μᾶς στεφάνωσε πρῶτα, καί μᾶς ὁδήγησε ὕστερα μέ πολλή βοήθεια στούς ἀγῶνες.

Ἔπειτα, πράγμα πού πάντοτε κάνει, μεταβαίνοντας ἀπό τόν Υἱό πηγαίνει στό ἅγιο Πνεῦμα, ἀπό τό ἅγιο Πνεῦμα στόν Υἱό καί στόν Πατέρα, καί ἀναθέτοντας ὅλα τά δικά μας στήν ἁγία Τριάδα, αὐτό κάνει καί ἐδῶ. Γιατί πραγματικά μέ τό νά πεῖ, «ποιός θά μέ σώσει ἀπό τό σῶμα τοῦ θανάτου αὐτοῦ;», ἔδειξε τόν Πατέρα μέ τόν Υἱό νά κάμνει αὐτό. Ἔπειτα πάλι τό ἅγιο Πνεῦμα μαζί μέ τόν Υἱό· «Γιατί ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς μέ τή βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ μέ ἐλευθέρωσε», λέγει. Ἔπειτα πάλι ἔδειξε τόν Πατέρα καί τόν Υἱό· «Γιατί ἐκεῖνο πού δέν μποροῦσε νά κάνει ὁ νόμος», λέγει, «ἐπειδή τοῦ ἔλειπε ἡ δύναμη ἐξ αἰτίας τῆς σάρκας, τό ἔκανε ὁ Θεός στέλνοντας τόν Υἱό του μέ ὁμοίωμα τῆς σάρκας τῆς ἁμαρτίας, καί γιά τήν ἁμαρτία, καί καταδίκασε τήν ἁμαρτία στή σάρκα του». Πάλι φαίνεται βέβαια πώς κατηγορεῖ τό νόμο, ἄν ὅμως κανείς προσέχει μέ ἀκρίβεια, καί ἐπαινεῖ τό νόμο πάρα πολύ, ἀποδεικνύοντας ὅτι συμφωνεῖ μέ τό Χριστό, καί ὅτι τά ἴδια ἐπιθυμεῖ. Γιατί δέν εἶπε, 'τό πονηρό τοῦ νόμου', ἀλλά, «τό ἀδύνατο»· καί πάλι, «ἐπειδή δέν εἶχε δύναμη», ὄχι , ἐπειδή ἔβλαπτε ἤ ὀργάνωνε σκευωρίες. Καί οὔτε καταλογίζει σ' αὐτόν τήν ἀδυναμία, ἀλλά στή σάρκα, λέγοντας, «ἐπειδή δέν εἶχε δύναμη ἐξ αἰτίας τῆς σάρκας», ὀνομάζοντας σάρκα πάλι ἐδῶ ὄχι τήν ἴδια τή φύση καί τήν οὐσία, ἀλλά τό περισσότερο σαρκικό φρόνημα, μέ τά ὁποῖα ἀπαλλάσσει καί τό σῶμα καί τό νόμο ἀπό τήν κατηγορία.

Ὄχι μόνο μ' αὐτά τόν ἀπαλλάσσει, ἀλλά καί μέ τά ἑπόμενα. Γιατί, ἄν ὁ νόμος ἦταν ἀντίθετος, πῶς ὁ Χριστός ἦρθε σέ βοήθειά του, καί ἐκπληρώνει τήν ἐντολή του, καί ἅπλωσε χέρι βοήθειας, καταδικάζοντας τήν ἁμαρτία στή σάρκα του; Γιατί αὐτό εἶχε μεί-

ψυχῇ πάλαι ὁ νόμος αὐτὴν κατακρίνας ἦν. Τί οὖν; τὸ μεῖζον ὁ νόμος ἐποίησε, τὸ δὲ ἔλαττον ὁ τοῦ Θεοῦ μονογενής; Οὐδαμῶς. Μάλιστα μὲν γὰρ κἀκεῖνο ὁ Θεὸς εἰργάσατο, ὁ τὸν φυσικὸν δεδωκὼς νόμον, καὶ τὸν γραπτὸν προσθείς· ἄλλως δέ, οὐδὲν ὄφελος τοῦ μείζονος ἦν, τοῦ ἐλάττονος μὴ προσκειμένου. Τί γὰρ ὄφελος εἰδέναι τὰ πρακτέα μὴ μετιόντα αὐτά; Οὐδέν, ἀλλὰ καὶ μείζων κατάκρισις. Ὥστε ὁ καὶ τὴν ψυχὴν σώσας, οὗτός ἐστιν ὁ τὴν σάρκα εὐήνιον καταστήσας. Τὸ μὲν γὰρ διδάξαι, εὔκολον, τὸ δὲ καὶ ὁδόν τινα δεῖξαι, δι' ἧς μετ' εὐκολίας ταῦτα ἐγίνετο, τοῦτό ἐστι τὸ θαυμαστόν. Διὰ δὴ τοῦτο ἦλθεν ὁ μονογενής, καὶ οὐ πρότερον ἀπέστη, ἕως ἂν ἀπήλλαξε τῆς δυσκολίας ἡμᾶς ἐκείνης. Καὶ τὸ δὴ μεῖζον, ὁ τρόπος τῆς νίκης. Οὐδὲ γὰρ ἑτέραν ἔλαβε σάρκα, ἀλλ' αὐτὴν ταύτην τὴν καταπονουμένην· ὥσπερ ἂν εἴ τις ἐν ἀγορᾷ γυναῖκα εὐτελῆ καὶ ἀγοραῖον τυπτομένην ἰδών, εἴποι αὐτῆς υἱὸς εἶναι, βασιλέως ὢν υἱός, καὶ οὕτως αὐτὴν ἀπαλλάξειε τῶν ἐπηρεαζόντων. Ὅπερ αὐτὸς ἐποίησε, καὶ υἱὸς ἀνθρώπου εἶναι ὁμολογήσας, καὶ παραστὰς αὐτῇ, καὶ κατακρίνας τὴν ἁμαρτίαν.

Οὐ τοίνυν ἐτόλμησεν αὐτὴν τυπτῆσαι λοιπόν· μᾶλλον δὲ ἐτύπτησε μὲν τῇ τοῦ θανάτου πληγῇ, τούτῳ δὲ αὐτῷ κατεκρίθη καὶ ἀπώλετο, οὐχ ἡ τυπτηθεῖσα σάρξ, ἀλλ' ἡ τυπτήσασα ἁμαρτία· ὅπερ ἁπάντων ἐστὶ θαυμαστότατον. Καὶ γὰρ εἰ μὴ ἐν τῇ σαρκὶ ἡ νίκη γέγονεν, οὐχ οὕτω θαυμαστόν, ὅτι μετὰ σαρκὸς τρόπαιον ἔστη, καὶ ἡ μυριάκις ὑπὸ τῆς ἁμαρτίας καταβληθεῖσα, αὕτη λαμπρὰν κατ' αὐτῆς τὴν νίκην ἤρατο. Ὅρα γὰρ πόσα τὰ παράδοξα γέγονεν· ἓν μέν, ὅτι οὐκ ἐνίκησεν ἡ ἁμαρτία τὴν σάρκα, ἕτερον δέ, ὅτι καὶ ἐνικήθη, καὶ παρ' αὐτῆς ἐνικήθη· οὐ γάρ ἐστιν ἴσον μὴ νικηθῆναι, καὶ νικῆσαι τὴν ἀεὶ καταβάλλουσαν. Τρίτον, ὅτι οὐ μόνον ἐνίκησεν, ἀλλὰ καὶ ἐκόλασε. Τῷ μὲν γὰρ μὴ ἁμαρτεῖν οὐκ ἐνικήθη, τῷ δὲ

νει νά γίνει, ἐπειδή στήν ψυχή τήν καταδίκαζε τήν παλαιά ἐποχή ὁ νόμος. Τί λοιπόν; τό μεγαλύτερο ἔκαμε ὁ νόμος καί τό μικρότερο ὁ Μονογενής τοῦ Θεοῦ; Καθόλου. Μάλιστα βέβαια καί ἐκεῖνο τό ἔκαμε ὁ Θεός, πού ἔδωσε τό φυσικό νόμο καί πρόσθεσε τό γραπτό. Ἐξάλλου, δέν ὑπῆρχε κανένα ὄφελος ἀπό τό μεγαλύτερο, ἄν δέν ὑπῆρχε καί τό μικρότερο. Ποιό λοιπόν εἶναι τό ὄφελος νά γνωρίζουμε ἐκεῖνα πού πρέπει νά κάνουμε, χωρίς νά ἐκτελοῦνται αὐτά; Κανένα, ἀλλά καί μεγαλύτερη εἶναι ἡ καταδίκη. Ὥστε, ἐκεῖνος πού ἔσωσε καί τήν ψυχή, αὐτός εἶναι πού ἔκαμε τή σάρκα ὑπάκουη. Γιατί τό νά διδάξει κανείς, εἶναι εὔκολο, τό νά δείξει ὅμως καί κάποιο τρόπο, μέ τόν ὁποῖο γίνονταν εὔκολα αὐτά, αὐτό εἶναι τό θαυμαστό. Ἀκριβῶς γι' αὐτό ἦρθε ὁ Μονογενής, καί δέν ἔφυγε μέχρι πού μᾶς ἀπάλλαξε ἀπό τή δυσκολία ἐκείνη. Καί τό πιό μεγάλο εἶναι ὁ τρόπος τῆς νίκης. Γιατί δέν ἔλαβε διαφορετική σάρκα, ἀλλ' αὐτή τήν ἴδια πού καταβάλλεται. Ὅπως ἀκριβῶς ἄν κάποιος, βλέποντας στήν ἀγορά νά κτυποῦν μία γυναίκα κοινή καί τοῦ ὄχλου, πεῖ ὅτι εἶναι υἱός της, ἐνῶ εἶναι υἱός βασιλιᾶ, καί τήν ἀπαλλάξει ἔτσι ἀπ' αὐτούς πού τήν κακοποιοῦν. Αὐτό καί αὐτός ἔκαμε, ὁμολογώντας ὅτι εἶναι υἱός τοῦ ἀνθρώπου, καί βοηθώντας τή σάρκα, καί καταδικάζοντας τήν ἁμαρτία.

Δέν τόλμησε λοιπόν νά τήν κτυπήσει στή συνέχεια. Ἤ καλύτερα τήν κτύπησε μέ τό κτύπημα τοῦ θανάτου, μ' αὐτό ὅμως τό ἴδιο κτύπημα καταδικάστηκε καί χάθηκε, ὄχι ἡ σάρκα πού κτυπήθηκε, ἀλλ' ἡ ἁμαρτία πού κτύπησε, πράγμα πού εἶναι τό πιό θαυμαστό ἀπ' ὅλα. Γιατί πραγματικά, ἄν ἡ νίκη δέ σημειωνόταν στή σάρκα, δέ θά ἦταν τόσο θαυμαστό, ἀφοῦ καί ὁ νόμος τό ἔκανε αὐτό. Τό θαυμαστό ὅμως εἶναι, ὅτι τό τρόπαιο στήθηκε μαζί μέ τή σάρκα, καί ὅτι ἐκείνη πού ἄπειρες φορές νικήθηκε ἀπό τήν ἁμαρτία, αὐτή κέρδισε λαμπρή νίκη ἐναντίον της. Βλέπε λοιπόν πόσα παράδοξα ἔγιναν. Πρῶτο ὅτι ἡ ἁμαρτία δέ νίκησε τή σάρκα· δεύτερο, ὅτι καί νικήθηκε, καί μάλιστα νικήθηκε ἀπ' αὐτή· γιατί δέν εἶναι τό ἴδιο νά μή νικηθεῖ, καί νά νικήσει ἐκείνην πού πάντα νικοῦσε· τρίτο, ὄχι μόνο νίκησε, ἀλλά καί τήν τιμώρησε· γιατί μέ τό νά μήν ἁμαρτήσει, δέ νικήθηκε, μέ τό νά πεθάνει ὅμως, νίκησε καί

καὶ ἀποθανεῖν ἐνίκησε καὶ κατέκρινεν αὐτήν, φοβερὰν αὐτῇ τὴν σάρκα ἀποφήνας τὴν πρότερον οὖσαν εὐκαταφρόνητον. Οὕτω γοῦν αὐτῆς καὶ τὴν δύναμιν ἐξέλυσε, καὶ τὸν δι' αὐτῆς εἰσενεχθέντα θάνατον ἀνεῖλεν. Ἕως μὲν γὰρ ἁμαρτωλοὺς ἐλάμβανε, κατὰ τὸν τοῦ δικαίου λόγον ἐπῆγε τὴν τευλευτήν, ἐπειδὴ δὲ ἀναμάρτητον εὑροῦσα σῶμα τῷ θανάτῳ παρέδωκεν, ὡς ἀδικήσασα κατεκρίθη.

Ὁρᾷς ὅσα τὰ νικητήρια γέγονε; τὸ μὴ ἡττηθῆναι τὴν σάρκα ὑπὸ τῆς ἁμαρτίας, τὸ καὶ νικῆσαι αὐτὴν καὶ καταδικάσαι, τὸ μὴ ἁπλῶς καταδικάσαι, ἀλλὰ καὶ ὡς ἁμαρτοῦσαν καταδικάσαι; Πρότερον γὰρ ἐλέγξας ἠδικηκυῖαν, οὕτως αὐτὴν κατεδίκασεν, οὐχ ἁπλῶς ἰσχύϊ καὶ ἐξουσίᾳ, ἀλλὰ καὶ τῷ τοῦ δικαίου λόγῳ. Τοῦτο γὰρ ἐδήλωσεν εἰπών, «περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί»· ὡσανεὶ ἔλεγεν, ὅτι μέγα ἡμαρτηκυῖαν ἤλεγξε, καὶ τότε αὐτὴν κατεδίκασεν. Ὁρᾷς πανταχοῦ τὴν ἁμαρτίαν καταδικαζομένην, οὐχὶ τὴν σάρκα, ἀλλὰ ταύτην καὶ στεφανουμένην καὶ τὴν ἀπόφασιν κατ' αὐτῆς ἐκφέρουσαν; Εἰ δὲ ἐν ὁμοιώματι σαρκός φησι πέμψαι τὸν Υἱόν, μὴ διὰ τοῦτο ἄλλην ἐκείνην σάρκα εἶναι νόμιζε· ἐπειδὴ γὰρ εἶπεν ἁμαρτίας, διὰ τοῦτο καὶ τὸ ὁμοίωμα τέθεικεν. Οὐδὲ γὰρ ἁμαρτωλὸν σάρκα εἶχεν ὁ Χριστός, ἀλλ' ὁμοίαν μὲν τῇ ἡμετέρᾳ τῇ ἁμαρτωλῷ, ἀναμάρτητον δέ, καὶ τῇ φύσει τὴν αὐτὴν ἡμῖν. Ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐκ ἦν πονηρὰ τῆς σαρκὸς ἡ φύσις. Οὔτε γὰρ ἑτέραν ἀντὶ τῆς προτέρας λαβὼν ὁ Χριστὸς, οὔτε αὐτὴν ταύτην μεταβαλὼν κατ' οὐσίαν, οὕτως αὐτὴν ἀναμαχέσασθαι παρασκεύασεν, ἀλλ' ἀφεὶς μένειν ἐπὶ τῆς αὐτῆς φύσεως, τὸν στέφανον ἀναδήσασθαι ἐποίησε κατὰ τῆς ἁμαρτίας· καὶ τότε αὐτὴν μετὰ τὴν νίκην ἀνέστησε καὶ ἀθάνατον εἰργάσατο.

7. Τί οὖν πρός με τοῦτο, φησίν, εἰ ταῦτα ἐν ἐκείνῃ τῇ σαρκὶ γέγονε; Πρὸς σὲ μὲν οὖν μάλιστα· διὸ καὶ ἐπήγαγεν, «ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι». Τί ἐστι, «τό δικαίωμα»; Τὸ τέλος, ὁ σκοπός, τὸ κατόρθωμα. Τί

τήν καταδίκασε, ἀποδεικνύοντας φοβερή σ' αὐτήν τή σάρκα πού προηγουμένως ἦταν εὐκαταφρόνητη. Ἔτσι λοιπόν καί τή δύναμή της διέλυσε καί ἐξόντωσε τό θάνατο πού αὐτή ἔφερε. Γιατί μέχρι πού ἐλάμβανε ἁμαρτωλούς, δίκαια πρόσθετε τό θάνατο, ὅταν ὅμως, βρίσκοντας ἀναμάρτητο σῶμα, τό παρέδωσε στό θάνατο, καδικάσθηκε, γιατί διέπραξε ἀδικία.

Βλέπεις πόσα ἔγιναν τά βραβεῖα τῆς νίκης; τό νά μή νικηθεῖ ἡ σάρκα ἀπό τήν ἁμαρτία καί μάλιστα τό νά τή νικήσει καί νά τήν καταδικάσει, τό νά μήν τήν καταδικάσει ἁπλῶς, ἀλλά καί νά τήν καταδικάσει σάν νά ἔκαμε ἁμαρτία; Γιατί, ἀφοῦ τήν ἔλεγξε πρῶτα σάν νά εἶχε κάνει ἀδικία, ἔτσι τήν καταδίκασε, ὄχι ἁπλῶς μέ τή δύναμη καί τήν ἐξουσία της, ἀλλά καί σύμφωνα μέ τό δίκαιο. Γιατί αὐτό δήλωσε λέγοντας, «γιά τήν ἁμαρτία καταδίκασε τήν ἁμαρτία στή σάρκα». Σάν νά ἔλεγε, ὅτι τήν ἔλεγξε, ἐπειδή εἶχε ἁμαρτήσει πολύ, καί ὕστερα τήν καταδίκασε. Βλέπεις πώς παντοῦ καταδικάζεται ἡ ἁμαρτία, ὄχι ἡ σάρκα, ἐνῶ αὐτή καί στεφανώνεται, καί διακηρύσσεται ἡ ἀπόφαση ἐναντίον τῆς ἁμαρτίας; Ἐάν ὅμως λέγει ὅτι ἔστειλε τόν Υἱό του μέ ὁμοίωμα σάρκας, νά μή νομίζεις γι' αὐτό πώς ἐκείνη εἶναι ἄλλη σάρκα. Γιατί, ἐπειδή εἶπε σάρκα ἁμαρτίας, γι' αὐτό ἀνέφερε καί τό ὁμοίωμα. Γιατί ὁ Χριστός δέν εἶχε ἁμαρτωλή σάρκα, ἀλλ' ὅμοια βέβαια μέ τή δική μας τήν ἁμαρτωλή, ἀναμάρτητη ὅμως, καί στή φύση τήν ἴδια μ' ἐμᾶς. Ὥστε καί ἀπό ἐδῶ εἶναι φανερό, ὅτι δέν ἦταν κακή ἡ φύση τῆς σάρκας. Γιατί, οὔτε ἀφοῦ ἔλαβε ὁ Χριστός ἄλλη σάρκα ἀντί γιά τήν προηγούμενη, οὔτε ἀφοῦ ἄλλαξε αὐτήν τήν ἴδια στήν οὐσία της, τήν προετοίμασε μετά ἔτσι νά πολεμήσει, ἀλλ' ἀφοῦ τήν ἄφησε νά παραμένει στήν ἴδια φύση της, τήν ἔκαμε νά κερδίσει τό στεφάνι τῆς νίκης ἐναντίον τῆς ἁμαρτίας καί ὕστερα τήν ἀνέστησε μετά τή νίκη καί τήν ἔκανε ἀθάνατη.

7. Ποιά λοιπόν σχέση ἔχει αὐτό μ' ἐμένα, λέγει, ἐάν αὐτά ἔγιναν σ' ἐκείνη τή σάρκα; Ἰδιαίτερα μάλιστα ἔχει σχέση μ' ἐσένα, γι' αὐτό καί πρόσθεσε, «γιά νά ἐκπληρωθεῖ τό δικαίωμα τοῦ νόμου σ' ἐμᾶς, πού δέ συμπεριφερόμαστε σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς σάρκας». Τί σημαίνει, «τό δικαίωμα»; Τό τέλος, ὁ σκοπός, τό κατόρθωμα. Τί λοιπόν ἤθελε ἐκεῖνος, καί τί τέλος πάντων διέτασσε;

γὰρ ἐκεῖνος ἐβούλετο, καὶ τί ποτε ἐπέταττεν; Ἀναμάρτητον εἶναι. Τοῦτο τοίνυν κατώρθωται νῦν ἡμῖν διὰ τοῦ Χριστοῦ· καὶ τὸ μὲν ἀντιστῆναι καὶ περιγενέσθαι, γέγονεν ἐκείνου, τὸ δὲ ἀπολαῦσαι τῆς νίκης, ἡμέτερον. Οὐκοῦν οὐχ ἁμαρτησόμεθα λοιπόν; Οὐχ ἁμαρτησόμεθα, ἂν μὴ σφόδρα ὦμεν ἐκλελυμένοι καὶ ἀναπεπτωκότες· διὸ καὶ προσέθηκε, «τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν». Ἵνα γὰρ μή, ἀκούσας ὅτι σε ἐρρύσατο ὁ Χριστὸς τοῦ πολέμου τῆς ἁμαρτίας, καὶ ὅτι τὸ δικαίωμα τοῦ νόμου πεπλήρωται ἐν σοί, τῆς ἁμαρτίας κατακριθείσης ἐν τῇ σαρκί, καταλύσῃς τὴν παρασκευὴν ἅπασαν, διὰ τοῦτο καὶ ἐκεῖ εἰπών, «οὐδὲν ἄρα κατάκριμα», προσέθηκε, «τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι»· καὶ ἐνταῦθα, «ἵνα πληρωθῇ τὸ δικαίωμα τοῦ νόμου ἐν ἡμῖν», λέγων, τὸ αὐτὸ τοῦτο ἐπήγαγε. Μᾶλλον δὲ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ πλέον.

Εἰπὼν γάρ, ὅτι «ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν», ἐπήγαγεν, «ἀλλὰ κατὰ Πνεῦμα», δεικνύς, ὅτι οὐ κακῶν ἀπέχεσθαι δεῖ μόνον, ἀλλὰ καὶ ἐν ἀγαθοῖς κομᾶν. Τὸ μὲν γὰρ δοῦναί σοι τὸν στέφανον, ἐκείνου, τὸ δὲ κατασχεῖν δοθέντα, σόν. Καὶ γὰρ ὅπερ ἦν δικαίωμα νόμου, τὸ μὴ γενέσθαι ὑπεύθυνον τῇ ἀρᾷ, τοῦτο ἤνυσέ σοι ὁ Χριστός. Μὴ τοίνυν προδῷς τὴν τοσαύτην δωρεάν, ἀλλὰ μένε φυλάττων τὸν καλὸν τοῦτον θησαυρόν. Δείκνυσι γὰρ ἐνταῦθά σοι, ὅτι οὐκ ἀρκεῖ τὸ λουτρὸν ἡμῖν εἰς σωτηρίαν, ἂν μὴ μετὰ τὸ λουτρὸν ἄξιον ἐπιδειξώμεθα βίον τῆς δωρεᾶς. Ὥστε πάλιν τῷ νόμῳ συνηγορεῖ, ταῦτα λέγων. Καὶ γὰρ μετὰ τὸ πεισθῆναι τῷ Χριστῷ, πάντα δεῖ ποιεῖν καὶ πραγματεύεσθαι ὥστε τὸ ἐκείνου δικαίωμα μένειν ἐν ἡμῖν, ὅπερ ἐπλήρωσεν ὁ Χριστός, καὶ μὴ διαφθαρῆναι.

«Οἱ γὰρ κατὰ σάρκα ὄντες», φησί, «τὰ τῆς σαρκὸς φρονοῦσιν». Ἀλλ' οὐδὲ τοῦτο διαβολὴ τῆς σαρκός. Ἕως μὲν γὰρ ἂν τὴν οἰκείαν φυλάττῃ τάξιν, οὐδὲν ἄτοπον γίνεται, ὅταν δὲ αὐτῇ πάντα

Νά εἶσαι ἀναμάρτητος. Αὐτό λοιπόν κατορθώθηκε τώρα ἀπό μᾶς μέ τό Χριστό· καί ἡ ἀντίσταση βέβαια καί ἡ νίκη ἀνήκει σ' αὐτόν, ἐνῶ ἡ ἀπόλαυση τῆς νίκης εἶναι δική μας. Δέ θά ἁμαρτήσουμε λοιπόν στό ἑξῆς; Δέ θά ἁμαρτήσουμε, ἄν δέν εἴμαστε ὑπερβολικά ἀδιάφοροι καί ἄτολμοι. Γι' αὐτό καί πρόσθεσε, «οἱ ὁποῖοι δέ συμπεριφερόμαστε σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς σάρκας». Γιά νά μήν παραμελήσεις λοιπόν ὅλη τήν προετοιμασία, ὅταν ἀκούσεις ὅτι ὁ Χριστός σέ ἔσωσε ἀπό τόν πόλεμο τῆς ἁμαρτίας, καί ὅτι ἡ ἀπαίτηση τοῦ νόμου ἐκπληρώθηκε σ' ἐσένα, ἀφοῦ ἡ ἁμαρτία καταδικάσθηκε στή σάρκα, γι' αὐτό καί ἐκεῖ, ἀφοῦ εἶπε, «δέν ὑπάρχει ἑπομένως καταδίκη», πρόσθεσε, «γιά ἐκείνους πού δέ συμπεριφέρονται σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς σάρκας», καί ἐδῶ λέγοντας, «γιά νά ἐκπληρωθεῖ ἡ ἀπαίτηση τοῦ νόμου σ' ἐμᾶς», τό ἴδιο ἀκριβῶς πρόσθεσε. Ἤ καλύτερα, ὄχι μόνο αὐτό, ἀλλά καί πολύ περισσότερο.

Γιατί, ἀφοῦ εἶπε, «γιά νά ἐκπληρωθεῖ ἡ ἀπαίτηση τοῦ νόμου σ' ἐμᾶς πού δέ συμπεριφερόμαστε σύμφωνα μέ τίς ἐπιθυμίες τοῦ ἁγίου Πνεύματος», γιά νά δείξει ὅτι δέν πρέπει μόνο νά ἀπομακρυνόμαστε ἀπό τά κακά ἀλλά καί νά καυχόμαστε γιά τά ἀγαθά μας ἔργα. Γιατί τό νά σοῦ δώσει βέβαια τό στεφάνι, ἀνήκει σ' ἐκεῖνον, τό νά τό κρατήσεις ὅμως, ἀφοῦ σοῦ δοθεῖ, εἶναι στό δικό σου χέρι. Γιατί καί ἐκεῖνο πού ἦταν ἀπαίτηση τοῦ νόμου, τό νά μή γίνεις ὑπεύθυνος στήν κατάρα, αὐτό τό κατόρθωσε γιά σένα ὁ Χριστός. Μήν προδώσεις λοιπόν τήν τόσο μεγάλη δωρεά, ἀλλά νά φυλάσσεις πάντοτε τόν καλό αὐτόν θησαυρό. Γιατί σοῦ ἀποδεικνύει ἐδῶ, ὅτι δέν εἶναι ἀρκετό τό βάπτισμα γιά τή σωτηρία μας, ἄν δέ δείξουμε μετά τό βάπτισμα ἄξιο τῆς δωρεᾶς τρόπο ζωῆς. Ἑπομένως πάλι ὑπερασπίζεται τό νόμο, λέγοντας αὐτά. Γιατί πραγματικά, ἀφοῦ πιστέψουμε στό Χριστό, τά πάντα πρέπει νά κάνουμε καί νά φροντίζουμε, ὥστε ἡ ἀπαίτηση τοῦ νόμου, πού ἐκπλήρωσε ὁ Χριστός, νά μένει σ' ἐμᾶς καί νά μήν καταστραφεῖ.

«Γιατί, ὅσοι βρίσκονται κάτω ἀπό τήν ἐξουσία τῆς σάρκας», λέγει, «φρονοῦν ἐκεῖνα πού ζητάει ἡ σάρκα». Ἀλλ' οὔτε αὐτό εἶναι συκοφαντία τῆς σάρκας. Γιατί μέχρι πού κρατάει τή δική της θέση, δέ γίνεται τίποτε παράδοξο, ὅταν ὅμως ἐπιτρέπουμε σ' αὐ-

ἐπιτρέπωμεν, καὶ τοὺς οἰκείους ὑπερβᾶσα ὅρους κατεξανιστᾶται τῆς ψυχῆς, τότε πάντα ἀπόλλυσι καὶ διαφθείρει, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀμετρίαν καὶ τὴν ἐκ ταύτης ἀταξίαν. «Οἱ δὲ κατὰ Πνεῦμα, τὰ τοῦ Πνεύματος. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος». Οὐκ εἶπεν, 'ἡ γὰρ τῆς σαρκὸς φύσις', οὐδὲ 'ἡ οὐσία τοῦ σώματος', ἀλλά, «τὸ φρόνημα», ὃ διορθωθῆναι δύνατ' ἂν καὶ ἀναιρεθῆναι. Τοῦτο δὲ λέγει, οὐ τῇ σαρκὶ λογισμὸν διδοὺς ἴδιον, ἄπαγε, ἀλλὰ τὴν παχυτέραν τῆς διανοίας ὁρμὴν ἐνδεικνύμενος, καὶ ἀπὸ τοῦ χείρονος αὐτὴν καλῶν, ὥσπερ οὖν καὶ σάρκα πολλάκις ὁλόκληρον ἄνθρωπον καὶ ψυχὴν ἔχοντα εἴωθε καλεῖν.

«Τὸ δὲ φρόνημα τοῦ πνεύματος». Πάλιν κἀνταῦθα τὴν πνευματικὴν διάνοιαν λέγει, ὥσπερ οὖν καὶ προϊὼν φησιν, «ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος»· καὶ δείκνυσι πολλὰ τὰ ἐκ ταύτης ἀγαθὰ καὶ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι. Τῶν γὰρ κακῶν, ὧν τὸ φρόνημα εἰσάγει τὸ σαρκικόν, πολλῷ πλείονα ἀγαθὰ παρέχει τὸ πνευματικόν, ἅπερ ἐδήλωσεν εἰπών, «ζωὴ καὶ εἰρήνη»· τὸ μὲν πρὸς ἀντιδιαστολὴν τοῦ προτέρου, «τὸ γὰρ φρόνημα», φησί, «τῆς σαρκὸς θάνατος», τὸ δὲ πρὸς ἀντιδιαστολὴν τοῦ ἑξῆς. Εἰπὼν γάρ, «εἰρήνη», ἐπήγαγε, «διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν», ὃ τοῦ θανάτου χεῖρόν ἐστιν. Εἶτα δείκνυσι, πῶς καὶ θάνατος καὶ ἔχθρα. «Τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται». Ἀλλὰ μὴ θορυβηθῇς ἀκούων, «οὐδὲ γὰρ δύναται»· καὶ γὰρ εὔκολον ἡ ἀπορία αὕτη τὴν λύσιν ἔχει. Φρόνημα γὰρ σαρκός ἐνταῦθά φησι τὸν γεώδη λογισμόν, τὸν παχύν, τὸν πρὸς τὰ βιωτικὰ καὶ τὰς πονηρὰς πράξεις ἐπτοημένον· τοῦτόν φησιν ἀδύνατον εἶναι ὑποταγῆναι Θεῷ.

Καὶ ποία λοιπὸν ἐλπὶς σωτηρίας, εἰ ἀδύνατον κακὸν ὄντα γενέσθαι καλόν; Οὐ τοῦτό φησιν· ἐπεὶ πῶς ὁ Παῦλος ἐγένετο τοιοῦ-

4. Ρωμ. 8, 27.

τήν τά πάντα καί ξεπερνώντας τά δικά της ὅρια ἐπαναστατεῖ ἐναντίον τῆς ψυχῆς, τότε χάνει καί καταστρέφει τά πάντα, ὄχι ἐξ αἰτίας τῆς φύσεως της, ἀλλ' ἐξ αἰτίας τῆς ἀκολασίας καί τῆς ἁμαρτίας πού προέρχεται ἀπ' αὐτήν. «Ὅσοι ὅμως εἶναι κάτω ἀπό τήν ἐξουσία τοῦ Πνεύματος, φρονοῦν ἐκεῖνα πού θέλει τό Πνεῦμα. Γιατί τό φρόνημα τῆς σάρκας εἶναι θάνατος». Δέν εἶπε 'γιατί ἡ φύση τῆς σάρκας', οὔτε 'ἡ οὐσία τοῦ σώματος', ἀλλά, «τό φρόνημα», πού μποροῦσε νά διορθωθεῖ καί νά καταστραφεῖ. Καί λέγει αὐτό, ὄχι ἀποδίδοντας στή σάρκα δική της σκέψη, μακριά μιά τέτοια σκέψη, ἀλλά παρουσιάζοντας τήν πιό ἀνόητη ἐπιθυμία τῆς διάνοιας καί ὀνομάζοντας αὐτήν ἀπό τό χειρότερο πράγμα, ὅπως βέβαια συνήθιζε πολλές φορές νά ὀνομάζει καί σάρκα ὅλο τόν ἄνθρωπο, μολονότι ἔχει καί ψυχή.

«Τό φρόνημα ὅμως τοῦ πνεύματος». Πάλι καί ἐδῶ ἐννοεῖ τήν πενευματική διάνοια, ὅπως ἀκριβῶς καί παρακάτω λέγει, «ἐκεῖνος ὅμως πού ἐρευνάει τίς καρδιές γνωρίζει ποιό εἶναι τό φρόνημα τοῦ πνεύματος»[4], καί δείχνει πώς εἶναι πολλά τά ἀγαθά πού προέρχονται ἀπ' αὐτήν καί στό παρόν καί τό μέλλον. Γιατί ἀπό τά κακά, πού φέρνει τό φρόνημα τῆς σάρκας, πολύ περισσότερα ἀγαθά παρέχει τό φρόνημα τοῦ πνεύματος. Αὐτά ἀκριβῶς δήλωσε μέ τό νά πεῖ, «Ζωή καί εἰρήνη». Τό ἕνα πρός ἀντιδιαστολή τοῦ πρώτου· «Γιατί τό φρόνημα τῆς σάρκας», λέγει, «εἶναι θάνατος»· ἐνῶ τό ἄλλο πρός ἀντιδιαστολή τοῦ ἑπομένου. Γιατί, ἀφοῦ εἶπε, «εἰρήνη», πρόσθεσε, «γιατί τό φρόνημα τῆς σάρκας εἶναι ἔχθρα στό Θεό», πράγμα πού εἶναι χειρότερο ἀπό τό θάνατο. Στή συνέχεια δείχνει, πῶς εἶναι καί θάνατος καί ἔχθρα. «Γιατί στό νόμο τοῦ Θεοῦ δέν ὑποτάσσεται, ἀλλ' οὔτε μπορεῖ νά ὑποταχθεῖ». Μήν ἀνησυχήσεις ὅμως ὅταν ἀκοῦς, «ἀλλ' οὔτε μπορεῖ νά ὑποταχθεῖ». Γιατί πραγματικά ἡ ἀπορία αὐτή εὔκολα λύνεται. Καθόσον φρόνημα τῆς σάρκας ἐννοεῖ ἐδῶ τό γήινο λογισμό, τόν ἀνόητο, πού εἶναι στραμμένος στά βιωτικά καί τίς πονηρές πράξεις. Γι' αὐτόν τό λογισμό λέγει ὅτι εἶναι ἀδύνατο νά ὑποταχθεῖ.

Καί ποιά ἐλπίδα σωτηρίας ὑπάρχει ὕστερα, ἄν εἶναι ἀδύνατο, ὅταν εἶναι κακός κανείς, νά γίνει καλός; Δέν ἐννοεῖ αὐτό. Γιατί

τος; πῶς ὁ λῃστής; πῶς ὁ Μανασσῆς; πῶς οἱ Νινευῖται; πῶς ὁ Δαυῒδ πεσὼν ἑαυτὸν ἀνεκτήσατο; πῶς ὁ Πέτρος ἀρνησάμενος ἑαυτὸν ἀνέλαβε; πῶς ὁ πεπορνευκὼς εἰς τὴν ἀγέλην κατελέγη τοῦ Χριστοῦ; πῶς οἱ Γαλάται τῆς χάριτος ἐκπεσόντες πρὸς τὴν προτέραν ἐπανῆλθον εὐγένειαν; Οὐ τοίνυν τοῦτό φησιν, ὅτι ἀδύνατον τὸν πονηρὸν γενέσθαι καλόν, ἀλλ' ὅτι ἀδύνατον πονηρὸν μένοντα ὑποταγῆναι τῷ Θεῷ· ματαβαλλόμενον μέντοι, καλὸν γενέσθαι καὶ ὑποταγῆναι ῥᾴδιον. Οὐ γὰρ εἶπεν, 'ὅτι ὁ ἄνθρωπος οὐ δύναται ὑποταγῆναι τῷ Θεῷ', ἀλλ' ὅτι ἡ πονηρὰ πρᾶξις οὐ δύναται εἶναι καλή· ὡσανεὶ ἔλεγεν, ἡ πορνεία οὐ δύναται εἶναι σωφροσύνη, οὐδὲ ἡ κακία ἀρετή. Ὅπερ οὖν καὶ ἐν τῷ εὐαγγελίῳ φησίν, «οὐ δύναται δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν»· οὐ τὴν ἀπὸ κακίας εἰς ἀρετὴν μεταβαλὴν κωλύων, ἀλλὰ τὴν ἐν τῇ κακίᾳ διατριβὴν λέγων μὴ δύνασθαι φέρειν καρποὺς καλούς. Οὐ γὰρ εἶπεν, 'οὐ δύναται δένδρον πονηρὸν καλὸν γενέσθαι', ἀλλ' ὅτι φέρειν καρποὺς καλοὺς οὐ δύναται μένον πονηρόν. Ἐπεὶ ὅτι γε δυνατὸν μεταβληθῆναι, καὶ ἐντεῦθεν καὶ ἐξ ἄλλης ἔδειξε τοῦτο παραβολῆς, ὅταν εἰσάγῃ τὰ ζιζάνια γινόμενα σῖτον· διὸ καὶ ἐκριζῶσαι αὐτὰ κωλύει· «μήποτε» γάρ, φησί, «σὺν αὐτοῖς ἀνασπάσητε καὶ τὸν σῖτον»· τουτέστι, τὸν μέλλοντα γίνεσθαι ἐξ αὐτῶν.

Φρόνημα τοίνυν σαρκὸς τὴν κακίαν φησί, καὶ φρόνημα Πνεύματος τὴν χάριν τὴν δεδομένην, καὶ τὴν ἐνέργειαν τὴν τῇ προαιρέσει κρινομένην τῇ χρηστῇ, οὐδαμοῦ περὶ ὑποστάσεως καὶ οὐσίας ἐνταῦθα διαλεγόμενος, ἀλλὰ περὶ ἀρετῆς καὶ κακίας. Ὅπερ γὰρ οὐκ ἴσχυσας ἐν τῷ νόμῳ, φησί, τοῦτο δυνήσῃ νῦν, ὀρθὰ βαδίζειν καὶ ἀδιάπτωτα, εἰ τῆς τοῦ Πνεύματος ἐπιλάβοιο βοηθείας. Οὐ γὰρ ἀρκεῖ τὸ μὴ κατὰ σάρκα περιπατεῖν, ἀλλὰ δεῖ καὶ κατὰ πνεῦμα βαδίζειν· ἐπειδήπερ οὐκ ἀπόχρη πρὸς σωτηρίαν ἡμῖν ἐκκλῖναι ἀπὸ κακοῦ, ἀλλὰ δεῖ καὶ τὰ ἀγαθὰ ποιεῖν. Τοῦτο δὲ ἔσται, ἂν τῷ Πνεύματι τὴν ψυχὴν ἐκδῶμεν, καὶ τὴν σάρκα πείσωμεν τὴν οἰκείαν τά-

5. Μανασσῆς· βασιλιάς τοῦ κράτους τοῦ Ἰούδα. Βλ. Δ' Βασ. 21, 1–18 καὶ Β' Παραλ. 33, 1–20.

6. Ματθ. 7, 18.

7. Ματθ. 13, 29.

πῶς ὁ Παῦλος ἔγινε καλός; πῶς ὁ ληστής; πῶς ὁ Μανασσῆς[5]; πῶς οἱ Νινευίτες; πῶς ὁ Δαυίδ, ἀφοῦ ἁμάρτησε, ξαναγεννήθηκε; πῶς ὁ Πέτρος, ἀφοῦ ἀρνήθηκε τό Χριστό, διόρθωσε τό σφάλμα του; πῶς ἐκεῖνος πού ἔκαμε πορνεία συγκαταλέγηκε στήν ποίμνη τοῦ Χριστοῦ; πῶς οἱ Γαλάτες, ἀφοῦ ξέπεσαν ἀπό τή χάρη, ἐπέστρεψαν στήν προηγούμενη εὐγένεια; Δέν ἐννοεῖ λοιπόν αὐτό, ὅτι δηλαδή εἶναι ἀδύνατο ὁ κακός νά γίνει καλός, ἀλλ' ὅτι εἶναι ἀδύνατο νά ὑποταχθεῖ στό Θεό, ὅταν ἐξακολουθεῖ νά εἶναι κακός. Ὅταν ὅμως ἀλλάζει, εἶναι εὔκολο νά γίνει καλός καί νά ὑποταχθεῖ. Γιατί δέν εἶπε, 'ὅτι ὁ ἄνθρωπος δέν μπορεῖ νά ὑποταχθεῖ στό Θεό', ἀλλ' ὅτι ἡ κακή πράξη δέν μπορεῖ νά εἶναι καλή. Σάν νά ἔλεγε· ἡ πορνεία δέν μπορεῖ νά εἶναι ἐγκράτεια, οὔτε ἡ κακία ἀρετή. Αὐτό βέβαια καί στό εὐαγγέλιο λέγει, «δέν μπορεῖ ἕνα δένδρο σαπρό νά παράγει καλούς καρπούς»[6], ὄχι γιά νά ἀποκλείσει τήν ἀλλαγή ἀπό τήν κακία στήν ἀρετή, ἀλλά γιά νά ἐννοήσει ὅτι ἡ παραμονή στήν κακία δέν μπορεῖ νά παράγει καρπούς καλούς. Γιατί δέν εἶπε, 'δέν μπορεῖ ἕνα ἄγριο δένδρο νά γίνει καλό', ἀλλ' ὅτι δέν μπορεῖ νά παράγει καρπούς καλούς, ὅταν παραμένει ἄγριο. Ἐπειδή, ὅτι βέβαια εἶναι δυνατό νά ἀλλάξει, καί ἀπό ἐδῶ καί ἀπό ἄλλη παραβολή τό ἔδειξε, ὅταν παρουσιάζει τά ζιζάνια νά γίνονται σιτάρι. Γι' αὐτό καί ἐμποδίζει νά τά ξερριζώσουμε· «γιατί μήπως μαζί μέ αὐτά», λέγει, «ξερριζώσετε καί τό σιτάρι»[7], δηλαδή, τό σιτάρι πού πρόκειται νά γίνει ἀπ' αὐτά.

Φρόνημα λοιπόν τῆς σάρκας λέγει τήν κακία, καί φρόνημα τοῦ Πνεύματος τή χάρη πού ἔχει δοθεῖ, καί τήν ἐνέργεια πού κρίνεται μέ τήν ἀγαθή προαίρεση, χωρίς νά μιλάει καθόλου ἐδῶ γιά ὑπόσταση καί οὐσία, ἀλλά γιά ἀρετή καί κακία. Γιατί ἐκεῖνο πού δέν κατόρθωσες στό νόμο, λέγει, αὐτό θά τό κατορθώσεις τώρα, νά βαδίζεις δηλαδή τό σωστό δρόμο καί χωρίς σφάλματα, ἄν δεχθεῖς τή βοήθεια τοῦ Πνεύματος. Γιατί δέ φθάνει νά μή ζοῦμε σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς σάρκας, ἀλλά πρέπει νά βαδίζουμε σύμφωνα μέ τίς ἐπιθυμίες τοῦ Πνεύματος, ἐπειδή ἀκριβῶς δέν εἶναι ἀρκετό γιά τή σωτηρία μας νά ἀποφεύγουμε τό κακό, ἀλλά πρέπει νά κάνουμε καί τά ἀγαθά. Αὐτό ὅμως θά γίνει, ἄν παραδώσουμε τήν ψυχή στό πνεῦμα καί πείσουμε τή σάρκα νά γνωρίζει τή

ξιν ἐπιγινώσκειν. Οὕτω γὰρ καὶ αὐτὴν ἐργασόμεθα πνευματικήν· ὥσπερ οὖν, ἐὰν ρᾳθυμῶμεν, καὶ τὴν ψυχὴν ποιήσομεν σαρκικήν. Ἐπειδὴ γὰρ οὐκ ἀνάγκῃ φύσεως τὸ δῶρον ἐνέθηκεν, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως ἐνεχείρισεν, ἐν σοὶ λοιπόν ἐστι καὶ τοῦτο γενέσθαι κἀκεῖνο. Τὰ γὰρ παρ' αὐτοῦ πάντα ἀπήρτισται. Οὐδὲ αἰχμαλωτίζει, καθάπερ ἔμπροσθεν, ἀλλὰ πάντα ἐκεῖνα πέπαυται καὶ καταλύεται, καὶ κατέπτηχε τὰ πάθη δεδοικότα καὶ τρέμοντα τὴν τοῦ Πνεύματος χάριν. Εἰ δὲ σὺ τὸ φῶς σβεννύεις καὶ τὸν ἡνίοχον ἐκβάλλεις καὶ τὸν κυβερνήτην ἐλαύνεις, σαυτῷ λογίζου λοιπὸν τὸ κλυδώνιον.

8. *Ὅτι γὰρ νῦν εὐκολωτέρα ἡ ἀρετὴ γέγονε, διὸ καὶ πολλὴ ἡ ἐπίτασις τῆς φιλοσοφίας, κατάμαθε πῶς μέν, ἡνίκα ὁ νόμος ἐκράτει, τὰ τῶν ἀνθρώπων διέκειτο πράγματα, πῶς δὲ νῦν, ἐπειδὴ ἡ χάρις ἔλαμψεν. Ἃ γὰρ μηδενὶ πρότερον ἐδόκει εἶναι δυνατά, παρθενία καὶ θανάτου ὑπεροψία καὶ τῶν ἄλλων τῶν πλειόνων παθῶν, ταῦτα πανταχοῦ τῆς οἰκουμένης κατώρθωται νῦν. Καὶ οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ Σκύθαις καὶ Θρᾳξὶ καὶ Ἰνδοῖς καὶ Πέρσαις, καὶ ἑτέροις δὲ βαρβάροις πλείοσι, καὶ παρθένων χοροί, καὶ μαρτύρων δῆμοι, καὶ μοναχῶν συμμορίαι, καὶ πλείους οὗτοι λοιπὸν τῶν γεγαμηκότων εἰσί, καὶ νηστείας ἐπίτασις, καὶ ἀκτημοσύνης ὑπερβολή· ἅπερ, πλὴν ἑνὸς ἢ δυοῖν, οὐδὲ φαντασθῆναι ὄναρ οἱ κατὰ τὸν νόμον ἠδυνήθησαν πολιτευόμενοι. Ὁρῶν τοίνυν σάλπιγγος λαμπρότερον βοῶσαν τὴν τῶν πραγμάτων ἀλήθειαν, μὴ καταμαλακίζου, μηδὲ προδίδου τὴν τοσαύτην χάριν. Οὐδὲ γὰρ δυνατόν, οὐδὲ μετὰ τὴν πίστιν, ρᾳθυμοῦντα σωθῆναι. Εὔκολα γὰρ τὰ παλαίσματα, ἵνα νικήσῃς ἀγωνιζόμενος, οὐχ ἵνα καθεύδῃς, οὐδ' ἵνα τῷ μεγέθει τῆς χάριτος πρὸς ρᾳθυμίας ὑπόθεσιν ἀποχρήσῃ, τῷ βορβόρῳ*

δική της θέση. Γιατί έτσι θά τήν κάνουμε καί αὐτήν πνευματική, ὅπως ἀκριβῶς βέβαια, ἐάν εἴμαστε ἀδιάφοροι, θά κάνουμε καί τήν ψυχή σαρκική. Ἐπειδή λοιπόν δέν ἔβαλε τό δῶρο στήν ἀνάγκη τῆς φύσεως, ἀλλά τό ἐμπιστεύθηκε στήν ἐλευθερία τῆς προαιρέσεως, εἶναι στό χέρι σου πλέον νά γίνει καί αὐτό καί ἐκεῖνο. Γιατί τά πάντα ἀπ' αὐτό ἔχουν συμπληρωθεῖ. Οὔτε βέβαια ἀντιστρεύεται στό νόμο τοῦ νοῦ μας ἡ ἁμαρτία, οὔτε αἰχμαλωτίζει, ὅπως ἀκριβῶς προηγουμένως, ἀλλ' ὅλα ἐκεῖνα ἔχουν σταματήσει καί διαλύονται, συμμαζεύονται τά πάθη, ἐπειδή φοβοῦνται καί τρέμουν τή χάρη τοῦ Πνεύματος. Ἐάν ὅμως ἐσύ σβήνεις τό φῶς καί διώχνεις τόν ἡνίοχο, καί ἀπομακρύνεις τόν κυβερνήτη, νά λογαριάζεις στή συνέχεια τήν τρικυμία στόν ἑαυτό σου.

8. Ὅτι βέβαια τώρα ἡ ἀρετή ἔγινε πιό εὔκολη, γι' αὐτό καί εἶναι πολλή ἡ αὔξηση τῆς ἐγκράτειας, μάθε καλά πῶς ἦταν τά πράγματα τῶν ἀνθρώπων, ὅταν ἐπικρατοῦσε ὁ νόμος, καί πῶς εἶναι τώρα, πού ἔλαμψε ἡ χάρη. Γιατί ἐκεῖνα πού προηγουμένως σέ κανένα δέ φαίνονταν πώς εἶναι δυνατά, ἡ παρθενία καί ἡ περιφρόνηση τοῦ θανάτου καί τῶν ἄλλων τῶν περισσοτέρων παθῶν, αὐτά ἔχουν κατορθωθεῖ τώρα σέ ὅλα τά σημεῖα τῆς οἰκουμένης. Καί ὄχι σ' ἐμᾶς μόνο, ἀλλά καί στούς Σκύθες καί Θράκες καί Ἰνδούς καί Πέρσες, καί σέ ἄλλους βαρβάρους τούς περισσοτέρους, καί ὑπάρχουν χοροί παρθένων, καί πλήθη μαρτύρων, καί ὁμάδες μοναχῶν, καί οἱ μοναχοί πλέον εἶναι περισσότεροι ἀπό τού ἔγγαμους, καί αὔξηση τῆς νηστείας καί ὑπερβολική ἀκτημοσύνη. Αὐτά, ἐκτός ἀπό ἕνας ἤ δύο, δέν μπόρεσαν οὔτε στό ὄνειρό τους νά φαντασθοῦν ἐκεῖνοι πού ζοῦσαν σύμφωνα μέ τό νόμο. Βλέποντας λοιπόν τήν ἀλήθεια τῶν πραγμάτων νά φωνάζει πιό δυνατά ἀπό σάλπιγγα, νά μή δείχνεις ὑπερβολική ἀδυναμία, οὔτε νά προδίνεις τήν τόσο μεγάλη χάρη. Γιατί δέν εἶναι δυνατό, οὔτε μετά τήν πίστη, ὅταν ἀδιαφορεῖς, νά σωθεῖς. Γιατί τά ἀγωνίσματα εἶναι εὔκολα, γιά νά νικήσεις ὅταν ἀγωνίζεσαι, ὄχι γιά νά κοιμᾶσαι, οὔτε γιά νά χρησιμοποιήσεις τό μέγεθος τῆς χάριτος γι' ἀφορμή ραθυμίας, ζώντας πάλι μέσα στόν προηγούμενο βόρβορο. Γι' αὐτό καί προσθέτει λέ-

πάλιν ἐγκαλινδούμενος τῷ προτέρῳ. Διὸ καὶ ἐπάγει λέγων· «οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται».

Τί οὖν; κατακόψομεν τὸ σῶμα, φησίν, ἵνα ἀρέσωμεν τῷ Θεῷ, καὶ ἐξέλθωμεν ἀπὸ τῆς σαρκός; καὶ ἀνδροφόνους ἡμᾶς εἶναι κελεύεις, ἐπ' ἀρετὴν ἄγων; Ὁρᾷς πόσα ἄτοπα τίκτεται, ἐὰν ἁπλῶς τὰ λεγόμενα ἐκδεξώμεθα; Σάρκα γὰρ ἐνταῦθα οὐ τὸ σῶμά φησιν, οὐδὲ τὴν οὐσίαν τοῦ σώματος, ἀλλὰ τὸν σαρκικὸν βίον καὶ κοσμικόν, καὶ τρυφῆς καὶ ἀσωτίας γέμοντα, τὸν ὅλον σάρκα ποιοῦντα τὸν ἄνθρωπον. Ὥσπερ γὰρ οἱ τῷ Πνεύματι πτερούμενοι καὶ τὸ σῶμα πνευματικὸν ἐργάζονται, οὕτως οἱ τούτου μὲν ἀποπηδῶντες, γαστρὶ δὲ καὶ ἡδοναῖς δουλεύοντες καὶ τὴν ψυχὴν σάρκα ποιοῦσιν, οὐ τὴν οὐσίαν αὐτῆς μεταβάλλοντες, ἀλλὰ τὴν εὐγένειαν αὐτῆς ἀπολλύντες. Καὶ οὗτος τῆς λέξεως ὁ τρόπος καὶ ἐν τῇ Παλαιᾷ πολλαχοῦ κεῖται, σάρκα σημαίνων τὸν παχὺν καὶ γεώδη βίον, καὶ ἡδοναῖς ἐμπεπλεγμένον ἀτόποις. Καὶ γὰρ τῷ Νῶέ φησιν, «οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκα». Καίτοι καὶ αὐτὸς ὁ Νῶε σάρκα περιέκειτο· ἀλλ' οὐκ ἦν τοῦτο ἔγκλημα τὸ περικεῖσθαι σάρκα, τοῦτο γὰρ τῆς φύσεως, ἀλλὰ τὸ σαρκικὸν ἀνῃρῆσθαι βίον.

Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· «οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται»· καὶ ἐπήγαγεν, «ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν Πνεύματι», οὐχ ἁπλῶς σάρκα λέγων πάλιν, ἀλλὰ τὴν τοιαύτην σάρκα, τὴν συρομένην ὑπὸ τῶν παθῶν, τὴν τυραννουμένην. Καὶ τίνος ἕνεκεν, φησίν, οὐχ οὕτως εἶπεν, οὐδὲ τὴν διαφορὰν τέθεικεν; Ἐπαίρων τὸν ἀκροατήν, καὶ δεικνὺς ὅτι οὐδὲ ἐν σώματί ἐστιν ὁ ὀρθῶς βιῶν. Ἐπειδὴ γὰρ τὸ ἐν ἁμαρτίᾳ μὴ εἶναι τὸν πνευματικόν, παντί που δῆλον ἦν, οὗτος τὸ μεῖζον τίθησιν, ὅτι οὐ μόνον ἐν ἁμαρτίᾳ, ἀλλ' οὐδὲ ἐν σαρκὶ λοιπόν ἐστιν ὁ πνευματικὸς ἄνθρωπος, ἄγγελος ἐντεῦθεν ἤδη γενόμενος, καὶ πρὸς τὸν οὐρανὸν ἀναβάς, καὶ λοιπὸν τὸ σῶμα ἁπλῶς περιφέρων. Εἰ δὲ διὰ τοῦτο τὴν σάρκα διαβάλλεις, ἐπειδὴ τῷ ὀνόματι αὐτῆς τὸν σαρκικὸν καλεῖ

8. Γεν. 6, 3.

γοντας· «ὅσοι ὅμως εἶναι σαρκικοί δέν μποροῦν νά ἀρέσουν στό Θεό».

Τί λοιπόν; θά καταστρέψουμε τό σῶμα, λέγει, γιά νά ἀρέσουμε στό Θεό καί θά βγοῦμε ἀπό τή σάρκα; καί μᾶς συμβουλεύεις νά εἴμαστε φονιάδες, ὁδηγώντας μας στήν ἀρετή; Βλέπεις πόσα παράλογα γεννιοῦνται, ἄν δεχθοῦμε τά λεγόμενα χωρίς σκέψη; Γιατί σάρκα ἐδῶ δέ λέγει τό σῶμα, οὔτε τήν οὐσία τοῦ σώματος, ἀλλά τή σαρκική καί κοσμική ζωή, πού εἶναι γεμάτη ἀπό ἀπολαύσεις καί ἀσωτίες, καί κάνει σάρκα ὅλο τόν ἄνθρωπο. Ὅπως ἀκριβῶς λοιπόν ἐκεῖνοι πού ἀναπτερώνονται μέ τό Πνεῦμα, κάνουν καί τό σῶμα πνευματικό, ἔτσι ἐκεῖνοι πού τό ἐγκαταλείπουν, καί εἶναι δοῦλοι στήν κοιλιά καί στίς ἡδονές, κάνουν καί τήν ψυχή σάρκα, χωρίς νά μεταβάλλουν τήν οὐσία της, ἀλλά καταστρέφοντας τήν εὐγενική της καταγωγή. Καί αὐτή ἡ σημασία τῆς λέξεως συναντᾶται σέ πολλά σημεῖα καί στήν Παλαιά Διαθήκη, σημαίνοντας σάρκα τήν ἀνόητη καί γήινη ζωή, τήν μπλεγμένη σέ παράλογες ἡδονές. Γιατί καί στό Νῶε λέγει, «δέ θά παραμείνει τό Πνεῦμα μου στούς ἀνθρώπους αὐτούς, γιατί αὐτοί εἶναι σάρκες»[8]. Ἄν καί βέβαια καί ὁ ἴδιος ὁ Νῶε εἶχε σάρκα. Ἀλλά δέν ἦταν αὐτό κατηγορία, τό ὅτι δηλαδή εἶχε σάρκα, γιατί αὐτό ἦταν φυσικό, ἀλλά τό ὅτι δέχθηκαν τή σαρκική ζωή.

Γι' αὐτό καί ὁ Παῦλος λέγει· «ὅσοι εἶναι σαρκικοί δέν μποροῦν να ἀρέσουν στό Θεό»· καί πρόσθεσε· «ἐσεῖς ὅμως δέν εἶστε σαρκικοί, ἀλλά πνευματικοί», ἐννοώντας πάλι ὄχι ἁπλῶς τή σάρκα, ἀλλά τή σάρκα αὐτή πού σύρεται ἀπό τά πάθη, πού βασανίζεται. Καί γιά ποιό λόγο, λέγει, δέ μίλησε ἔτσι, οὔτε τή διαφορά ἀνέφερε; Γιά νά ἐξυψώσει τόν ἀκροατή καί γιά νά δείξει ὅτι οὔτε σέ σῶμα βρίσκεται ὅποιος ζεῖ μέ ὀρθό τρόπο ζωῆς. Ἐπειδή λοιπόν τό νά μή ζεῖ στήν ἁμαρτία ὁ πνευματικός ἦταν βέβαια στόν καθένα φανερό, αὐτός ἀναφέρει τό μεγαλύτερο, ὅτι ὄχι μόνο στήν ἁμαρτία, ἀλλ' οὔτε στή σάρκα ζεῖ πλέον ὁ πνευματικός ἄνθρωπος, ἀφοῦ ἔγινε πιά ἄγγελος ἀπό ἐδῶ ἀκόμη καί ἀνέβηκε πρός τόν οὐρανό, φέροντας στό ἑξῆς ἁπλῶς καί μόνο τό σῶμα. Ἐάν ὅμως γι' αὐτό κατηγορεῖς τή σάρκα, ἐπειδή μέ τό ὄνομά της ὀνομάζει τή

βίον, καὶ τὸν κόσμον οὕτω διαβαλεῖς, ἐπειδὴ ἐντεῦθεν ἡ πονηρία καλεῖται πολλάκις, καθάπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστός· «ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου»· καὶ τοῖς ἀδελφοῖς τοῖς ἑαυτοῦ πάλιν ἔλεγεν, «οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ μισεῖ». Καὶ τὴν ψυχὴν δὲ ἀλλοτρίαν εἶναι φήσετε τοῦ Θεοῦ, ἐπειδὴ τοὺς ἐν πλάνῃ ζῶντας ψυχικοὺς ἐκάλεσεν.

Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Οὐ γὰρ ἁπλῶς ταῖς λέξεσιν, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος ἀναγκαῖον πανταχοῦ προσέχειν, καὶ τὴν ἀκριβῆ τῶν εἰρημένων εἰδέναι διαίρεσιν. Τὰ μὲν γάρ ἐστιν ἀγαθά, τὰ δὲ κακά, τὰ δὲ μέσα· οἷον ψυχὴ καὶ σὰρξ τῶν μέσων ἐστί, καὶ τοῦτο κἀκεῖνο γενέσθαι δυναμένη, τὸ δὲ Πνεῦμα, τῶν ἀγαθῶν ἀεί, καὶ οὐδέποτε ἕτερόν τι γινόμενον. Πάλιν τὸ φρόνημα τῆς σαρκός, τουτέστιν, ἡ πονηρὰ πρᾶξις, τῶν ἀεὶ κακῶν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. Ἂν τοίνυν τῷ βελτίονι δῷς τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐγένου τῆς ἐκείνου μερίδος, ἂν τῷ χείρονι πάλιν, τῆς ἐνταῦθα ἀπωλείας κατέστης κοινωνός, οὐ παρὰ τὴν φύσιν τῆς ψυχῆς καὶ τῆς σαρκός, ἀλλὰ παρὰ τὴν γνώμην τὴν κυρίαν ἀμφοτέρα ταῦτα ἑλέσθαι.

***9.** Καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ οὐ σαρκὸς διαβολὴ τὰ εἰρημένα, πάλιν αὐτὴν μεταχειρίσαντες τὴν λέξιν, ἐξετάσωμεν ἀκριβέστερον. «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί», φησίν, «ἀλλ' ἐν Πνεύματι». Τί οὖν; οὐκ ἦσαν ἐν σαρκί, ἀλλ' ἀσώματοι περιήεσαν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Ὁρᾷς, ὅτι τὸν σαρκικὸν βίον ᾐνίξατο; Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν ἁμαρτίᾳ; Ἵνα μάθῃς, ὅτι οὐχὶ τῆς ἁμαρτίας μόνον τὴν τυραννίδα ἔσβεσεν ὁ Χριστός, ἀλλὰ καὶ τὴν σάρκα κουφοτέραν καὶ πνευματικωτέραν ἐποίησεν, οὐ τῷ τὴν φύσιν μεταβαλεῖν, ἀλλὰ τῷ πτερῶσαι μᾶλλον αὐτήν. Καθάπερ γὰρ πυρὸς ὁμιλοῦντος σιδήρῳ, καὶ ὁ σίδηρος γίνεται πῦρ ἐν τῇ οἰκείᾳ μένων φύσει, οὕτω καὶ τῶν πιστῶν καὶ Πνεῦμα ἐχόντων καὶ ἡ σὰρξ λοιπὸν πρὸς ἐκείνην μεθίσταται πάντοθεν, καὶ τῇ ψυχῇ συναναπτερουμένη· οἷον ἦν καὶ τὸ σῶμα τοῦ ταῦτα λέγο-*

9. Ἰω. 15, 19.
10. Ἰω. 7, 7.

σαρκική ζωή, θά κατηγορήσεις ἔτσι καί τόν κόσμο, ἐπειδή ἔτσι ὀνομάζεται καί ἡ κακία πολλές φορές, ὅπως ἀκριβῶς ἔλεγε καί στούς μαθητές του ὁ Χριστός· «ἐσεῖς δέν εἶστε ἀπό τόν κόσμο αὐτόν»[9]. Καί στούς ἀδελφούς του πάλι ἔλεγε· «δέν μπορεῖ νά σᾶς μισήσει ὁ κόσμος, ἐμένα ὅμως μέ μισεῖ»[10]. Καί τήν ψυχή θά πεῖτε ὅτι εἶναι ξένη γιά τό Θεό, ἐπειδή ὀνόμασε ψυχικούς ἐκείνους πού ζοῦν στήν πλάνη.

Δέν εἶναι ὅμως ἔτσι αὐτά, δέν εἶναι. Γιατί ὄχι ἁπλῶς στίς λέξεις, ἀλλά στή γνώμη τοῦ ὁμιλητῆ πρέπει νά προσέχουμε παντοῦ καί νά γνωρίζουμε τή σωστή ἔννοια τῶν λόγων του. Γιατί ἄλλα εἶναι ἀγαθά, ἄλλα κακά, καί ἄλλα ἐνδιάμεσα· ὅπως ἡ ψυχή καί ἡ σάρκα ἀνήκουν στά ἐνδιάμεσα, καί μπορεῖ νά γίνουν καί τό ἕνα καί τό ἄλλο, ἐνῶ τό πνεῦμα ἀνήκει πάντοτε στά ἀγαθά καί ποτέ δέ γίνεται τίποτε ἄλλο. Πάλι τό φρόνημα τῆς σάρκας, δηλαδή ἡ πονηρή πράξη, ἀνήκει στά μόνιμα κακά, γιατί δέν ὑποτάσσεται στό νόμο τοῦ Θεοῦ. Ἄν λοιπόν παραδώσεις στό καλύτερο τήν ψυχή καί τό σῶμα, θ' ἀνήκεις στήν παράταξή του, ἄν ὅμως πάλι στό χειρότερο, θά γίνεις μέτοχος τῆς ἐδῶ καταστροφῆς, ὄχι ἀπό τή φύση τῆς ψυχῆς καί τῆς σάρκας, ἀλλ' ἀπό τή διάθεση πού εἶναι στό χέρι της νά προτιμήσει καί τά δύο αὐτά.

9. Καί ὅτι αὐτά ἔχουν αὐτή τή σημασία καί αὐτά πού λέχθηκαν δέν εἶναι κατηγορία τῆς σάρκας, χρησιμοποιώντας πάλι αὐτή τή λέξη, ἄς ἐξετάσουμε τό πράγμα μέ περισσότερη ἀκρίβεια. «Ἐσεῖς ὅμως δέν εἶστε σαρκικοί», λέγει, «ἀλλά πνευματικοί». Τί λοιπόν; δέν εἶχαν σάρκα, ἀλλ' ἀσώματοι περιφέρονταν; καί πῶς θά ἔχει δικαιολογία αὐτό; Βλέπεις, ὅτι ὑπαινίχθηκε τή σαρκική ζωή; Καί γιά ποιό λόγο δέν εἶπε, 'ἐσεῖς ὅμως δέν εἶστε ἁμαρτωλοί'; Γιά νά μάθεις, ὅτι ὁ Χριστός ὄχι μόνο ἔσβησε τήν ἐξουσία τῆς ἁμαρτίας, ἀλλά καί τή σάρκα ἔκαμε πιό ἐλαφριά καί πιό πνευματική, ὄχι μεταβάλλοντας τή φύση, ἀλλά ἀναπτερώνοντας αὐτήν περισσότερο. Γιατί, ὅπως ἀκριβῶς, ὅταν ἡ φωτιά συναντιέται μέ τό σίδερο, καί τό σίδερο γίνεται φωτιά, ἐνῶ παραμένει στή δική του φύση, ἔτσι καί ἡ σάρκα τῶν πιστῶν πού ἔχουν καί πνεῦμα συμμετέχει σ' ἐκείνη τήν ἐνέργεια, γίνεται ὅλη πνευματική, σταυρώνεται ἀπό παντοῦ, καί ἀναπτερώνεται μαζί μέ τή ψυχή, ὅπως βέβαια ἦταν καί

ντος. Διὸ τρυφῆς μὲν ἁπάσης καὶ ἡδονῆς κατεγέλα, ἐνετρύφα δὲ λιμῷ καὶ μάστιξι καὶ δεσμωτηρίοις, καὶ οὐδὲ ἤλγει ταῦτα πάσχων. Καὶ τοῦτο δηλῶν ἔλεγε, «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως»· οὕτως ἦν καλῶς καὶ τὴν σάρκα παιδεύσας συντρέχειν τῷ πνεύματι.

«Εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν». Τὸ «εἴπερ» τοῦτο πολλαχοῦ οὐκ ἀμφιβάλλων τίθησιν, ἀλλὰ καὶ σφόδρα πιστεύων, καὶ ἀντὶ τοῦ ἐπείπερ, ὡς ὅταν λέγῃ· «εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν»· πάλιν· «τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ». «Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει». Οὐκ εἶπεν, 'εἰ δὲ ὑμεῖς οὐκ ἔχετε', ἀλλ' ἐπ' ἄλλων προήγαγε τὸ λυπηρόν. «Οὗτος οὐκ ἔστιν αὐτοῦ», φησίν. «Εἰ δὲ Χριστὸς ἐν ὑμῖν». Πάλιν τὸ χρηστὸν ἐπ' αὐτῶν. Καὶ τὸ μὲν λυπηρόν, βραχὺ καὶ μέσον, τὸ δὲ ποθεινόν, ἑκατέρωθεν καὶ διὰ πολλῶν, ὥστε ἐκεῖνο συσκιάσαι. Τοῦτο δὲ ἔλεγεν, οὐ τὸ Πνεῦμα Χριστὸν λέγων, ἄπαγε, ἀλλὰ δεικνὺς ὅτι τὸ Πνεῦμα ἔχων, οὐ μόνον τοῦ Χριστοῦ χρηματίζει, ἀλλὰ καὶ αὐτὸν ἔχει τὸν Χριστόν. Οὐ γὰρ ἔστι Πνεύματος παρόντος, μὴ καὶ Χριστὸν παρεῖναι. Ὅπου γὰρ ἂν μία τῆς Τριάδος ὑπόστασις παρῇ, πᾶσα πάρεστιν ἡ Τριάς· ἀδιασπάστως γὰρ ἔχει πρὸς ἑαυτήν, καὶ ἥνωται μετ' ἀκριβείας ἁπάσης. Καὶ τί ἔσται, φησίν, ἐὰν ᾖ ὁ Χριστὸς ἐν ἡμῖν; «Τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνη».

Εἶδες ὅσα κακὰ ἐκ τοῦ μὴ ἔχειν Πνεῦμα ἅγιον; θάνατος, ἔχθρα εἰς Θεόν, τὸ μὴ δύνασθαι ἀρέσαι τοῖς ἐκείνου νόμοις, τὸ μὴ εἶναι ὡς χρὴ τοῦ Χριστοῦ, τὸ μὴ ἔχειν αὐτὸν ἔνοικον. Σκόπει τοίνυν καὶ ὅσα ἀγαθὰ ἐκ τοῦ Πνεῦμα ἔχειν· τὸ Χριστοῦ εἶναι, τὸ αὐτὸν

11. Β' Κορ. 4, 17.
12. Β' Θεσ. 1, 6.
13. Γαλ. 3, 4.

τό σῶμα ἐκείνου πού ἔλεγε αὐτά. Γι' αὐτό περιφρονοῦσε κάθε ἀπόλαυση καί ἡδονή, καί χαιρόταν μέ τήν πείνα καί τή μαστίγωση καί τίς φυλακές, καί δέν πονοῦσε παθαίνοντας αὐτά. Καί γιά νά δηλώσει αὐτό ἔλεγε· «γιατί οἱ θλίψεις μας περνοῦν γρήγορα καί εἶναι ἐλαφρές»[11]· τόσο καλά ἄσκησε καί τή σάρκα νά βοηθάει τό πνεῦμα.

«Ἐάν βέβαια κατοικεῖ μέσα σας Πνεῦμα Θεοῦ». Τό «ἐάν βέβαια» αὐτό τό ἀναφέρει σέ πολλά σημεῖα, ὄχι γιατί ἀμφιβάλλει, ἀλλά γιατί πιστεύει καί πολύ μάλιστα, καί τό λέγει ἀντί γιά τό «ἐπειδή βέβαια», ὅπως ὅταν λέγει· «ἐάν βέβαια εἶναι δίκαιο ἐνώπιον τοῦ Θεοῦ ν' ἀνταποδώσει θλίψη σ' ἐκείνους πού σᾶς θλίβουν»[12]· καί πάλι, «τόσες εὐεργεσίες πῆγαν στά χαμένα, ἐάν βέβαια μόνο στά χαμένα»[13]. «Ἐάν ὅμως κάποιος δέν ἔχει Πνεῦμα Χριστοῦ». Δέν εἶπε, 'ἐάν ὅμως ἐσεῖς δέν ἔχετε', ἀλλά σ' ἐκείνους μετέθεσε τό δυσάρεστο. «Αὐτός δέν ἀνήκει στό Χριστό», λέγει. «Ἐάν ὅμως ὁ Χριστός κατοικεῖ μέσα σας». Πάλι τό ἀγαθό ἀνέφερε σ' αὐτούς. Καί τό δυσάρεστο βέβαια ἀναφέρεται σύντομα καί ἐνδιάμεσα, ἐνῶ τό ποθητό καί ἀπό τά δύο μέρη καί μέ πολλά, ὥστε νά ἐπισκιάσει ἐκεῖνο. Καί ἔλεγε αὐτό, ὄχι ὀνομάζοντας Χριστό τό Πνεῦμα, μακριά μιά τέτοια σκέψη, ἀλλά γιά νά δείξει, ὅτι ὅποιος ἔχει Πνεῦμα, ὄχι μόνο ὀνομάζεται τοῦ Χριστοῦ, ἀλλά καί τόν ἴδιο τό Χριστό ἔχει. Γιατί δέν εἶναι δυνατό, ὅταν παραβρίσκεται τό Πνεῦμα, νά μήν παραβρίσκεται καί ὁ Χριστός. Γιατί, ὅπου παραβρίσκεται μία ὑπόσταση τῆς Τριάδος, ἐκεῖ παραβρίσκεται ὅλη ἡ Τριάς, ἀφοῦ εἶναι ἀδιάσπαστη καί εἶναι ἑνωμένη μέ κάθε ἀκρίβεια. Καί τί θά συμβεῖ, λέγει, ἐάν εἶναι ὁ Χριστός μέσα σας; «Τότε τό σῶμα εἶναι νεκρό ἐξ αἰτίας τῆς ἁμαρτίας, ἐνῶ τό πνεῦμα εἶναι ζωή ἐξ αἰτίας τῆς δικαιώσεως».

Εἶδες πόσα κακά προέρχονται ἀπό τό ἄν δέν ἔχει κάποιος τό ἅγιο Πνεῦμα; θάνατος, ἔχθρα πρός τό Θεό, τό νά μήν μπορεῖ νά ἀρέσει στούς νόμους ἐκείνου, τό νά μήν ἀνήκει ὅπως πρέπει στό Χριστό, τό νά μήν ἔχει αὐτόν μέσα του. Πρόσεχε λοιπόν καί πόσα ἀγαθά προέρχονται ἀπό τό ἄν ἔχει τό Πνεῦμα· τό ὅτι ἀνήκει στό Χριστό, τό ὅτι ἔχει τόν ἴδιο τό Χριστό, τό ὅτι συναγωνίζεται τούς

ἔχειν τὸν Χριστὸν, τὸ τοῖς ἀγγέλοις ἁμιλλᾶσθαι. Τοῦτο γάρ ἐστι νεκρῶσαι τήν σάρκα, τὸ ζωὴν ἀθάνατον ζῆν, τὸ ἐντεῦθεν ἤδη τῆς ἀναστάσεως ἔχειν τὰ ἐνέχυρα, τὸ μετ' εὐκολίας τὸν τῆς ἀρετῆς τρέχειν δρόμον. Οὐδὲ γὰρ εἶπεν, ἀργεῖν τὸ σῶμα λοιπὸν τῇ ἁμαρτίᾳ, ἀλλὰ καὶ νεκρὸν εἶναι, ἐπιτείνων τὴν εὐκολίαν τῶν δρόμων. Χωρὶς γὰρ πραγμάτων καὶ πόνων ὁ τοιοῦτος στεφανοῦται λοιπόν. Διὰ τοῦτο καί, «τῇ ἁμαρτίᾳ», προσέθηκεν, ἵνα μάθῃς, ὅτι τὴν πονηρίαν, ἀλλ' οὐ τὴν φύσιν τοῦ σώματος καθάπαξ ἀνεῖλεν. Εἰ γὰρ τοῦτο γένοιτο, πολλὰ καὶ τῶν τὴν ψυχὴν ὠφελῆσαι δυναμένων ἀνῄρηται. Οὐ τοίνυν τοῦτό φησιν, ἀλλὰ ζῶν καὶ μένον, νεκρὸν εἶναι βούλεται. Τοῦ γὰρ τὸν Υἱὸν ἔχειν, τοῦ τὸ Πνεῦμα ἐν ἡμῖν εἶναι σημεῖόν ἐστι, τὸ μηδὲν τῶν ἐν τῇ σορῷ κειμένων σωμάτων διαφέρειν ἡμῶν τὰ σώματα πρὸς τὴν τῆς ἁμαρτίας ἐργασίαν.

Ἀλλὰ μὴ φοβηθῇς, νέκρωσιν ἀκούσας· ἔχεις γὰρ τὴν ὄντως ζωήν, ἣν οὐδεὶς διαδέξεται θάνατος. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος· οὐκ εἴκει θανάτῳ λοιπόν, ἀλλ' ἀναλίσκει θάνατον καὶ δαπανᾷ, καὶ ὅπερ ἔλαβεν, ἀθάνατον διατηρεῖ. Διόπερ εἰπὼν τὸ σῶμα νεκρόν, οὐκ εἶπε τὸ Πνεῦμα ζῶν, ἀλλὰ ζωήν, ἵνα δείξῃ καὶ ἑτέροις τοῦτο δυνάμενον παρασχεῖν. Εἶτα πάλιν ἐπισφίγγων τὸν ἀκροατήν, λέγει καὶ τὴν αἰτίαν τῆς ζωῆς καὶ τὴν ἀπόδειξιν· αὕτη δέ ἐστιν ἡ δικαιοσύνη. Ἁμαρτίας γὰρ οὐκ οὔσης, οὐδὲ θάνατος φαίνεται, θανάτου δὲ μὴ φαινομένου, ἀκατάλυτος ἡ ζωή. «Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Κύριον ἡμῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ὑμῖν». Πάλιν τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, ἐπειδὴ αὕτη μάλιστα τὸν ἀκροατὴν ἤλειφεν ἡ ἐλπίς, καὶ βεβαιοῖ αὐτὸν ἀπὸ τῶν ἐπὶ τοῦ Χριστοῦ συμβάντων. Μὴ γὰρ δὴ φοβηθῇς, φησίν, ὅτι νεκρὸν περίκεισαι σῶμα· ἐχέτω Πνεῦμα, καὶ ἀναστήσεται πάντως.

Τί οὖν; τὰ μὴ ἔχοντα Πνεῦμα σώματα οὐκ ἀνίστανται; καὶ πῶς ἅπαντας δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ; πῶς δὲ ὁ

ἀγγέλους. Γιατί αὐτό σημαίνει νά νεκρώσεις τή σάρκα. Τό νά ζεῖς ζωή ἀθάνατη, τό νά ἔχεις ἤδη ἀπό ἐδῶ τά ἐνέχυρα τῆς ἀνάστασης, τό νά τρέχεις μέ εὐκολία τό δρόμο τῆς ἀρετῆς. Γιατί δέν εἶπε, 'ὅτι τό σῶμα δέν κάνει πλέον τήν ἁμαρτία', ἀλλ' ὅτι «εἶναι καί νεκρό», μεγαλώνοντας τήν εὐκολία τῶν δρόμων. Γιατί χωρίς δυσκολίες καί κόπους στεφανώνεται αὐτός στό ἑξῆς. Γι' αὐτό καί, «στήν ἁμαρτία», πρόσθεσε, γιά νά μάθεις, ὅτι τήν κακία καί ὄχι τή φύση τοῦ σώματος ἐξαφάνισε μιά γιά πάντα. Γιατί, ἄν γινόταν αὐτό, θά ἐξαφανίζονταν καί πολλά ἀπό ἐκεῖνα πού μποροῦν νά ὠφελήσουν τήν ψυχή. Δέν ἐννοεῖ λοιπόν αὐτό, ἀλλ', ἐνῶ ζεῖ καί μένει, θέλει νά εἶναι νεκρό. Γιατί ἀποτελεῖ ἀπόδειξη, τοῦ ὅτι ἔχουμε τόν Υἱό, τοῦ ὅτι τό Πνεῦμα εἶναι μέσα μας, τό ὅτι τά σώματά μας δέ διαφέρουν καθόλου ἀπό τά νεκρά σώματα στή διάπραξη τῆς ἁμαρτίας.

Ἀλλά μή φοβηθεῖς, ἐπειδή ἄκουσες νέκρωση, γιατί ἔχεις τήν ἀληθινή ζωή, πού δέ θά τή διαδεχθεῖ κανένας θάνατος. Τέτοια λοιπόν εἶναι ἡ ζωή τοῦ Πνεύματος. Δέν ὑποχωρεῖ πλέον στό θάνατο, ἀλλά ἐξοντώνει καί ἐξαφανίζει τό θάνατο, καί ἐκεῖνο πού ἔλαβε, τό διατηρεῖ ἀθάνατο. Γι' αὐτό ἀκριβῶς, ὅταν εἶπε τό σῶμα νεκρό, δέν εἶπε τό πνεῦμα ζωντανό, ἀλλά ζωή, γιά νά δείξει πώς μποροῦσε νά χορηγήσει αὐτό καί σ' ἄλλους. Ἔπειτα, συγκρατώντας πάλι τόν ἀκροατή, λέγει καί τήν αἰτία τῆς ζωῆς καί τήν ἀπόδειξη· καί αὐτή εἶναι ἡ δικαίωση. Γιατί, ὅταν δέν ὑπάρχει ἁμαρτία, οὔτε θάνατος φαίνεται· καί ὅταν θάνατος δέ φαίνεται, ἡ ζωή εἶναι αἰώνια. «Ἐάν ὅμως τό Πνεῦμα τοῦ Θεοῦ, πού ἀνέστησε τόν Ἰησοῦ ἀπό τούς νεκρούς, κατοικεῖ μέσα σας, αὐτός, πού ἀνέστησε τόν Κύριό μας, θά δώσει ζωή καί στά θνητά σώματά σας ἐξ αἰτίας τοῦ Πνεύματός του πού κατοικεῖ μέσα σας». Πάλι ξαναφέρνει τό λόγο στήν ἀνάσταση, ἐπειδή αὐτή ἡ ἐλπίδα ἔδινε πάρα πολύ θάρρος στόν ἀκροατή, καί τόν ἐπιβεβαιώνει ἀπ' αὐτά πού συνέβηκαν στό Χριστό. Μή φοβηθεῖς λοιπόν, λέγει, γιατί ἔχεις νεκρό σῶμα· ἔχε τό Πνεῦμα μέσα σου , καί θ' ἀναστηθεῖ αὐτό ὁπωσδήποτε.

Τί λοιπόν; τά σώματα πού δέν ἔχουν Πνεῦμα δέν ἀνασταίνονται; καί πῶς πρέπει ὅλοι νά παρουσιασθοῦν στό βῆμα τοῦ Χρι-

τῆς γεέννης ἀξιόπιστος ἔσται λόγος; Εἰ γὰρ οἱ μὴ ἔχοντες Πνεῦμα οὐκ ἀνίστανται, οὐδὲ γέεννα ἔσται. Τί οὖν ἐστι τὸ λεγόμενον; πάντες μὲν ἀναστήσονται, οὐ πάντες δὲ εἰς ζωήν, ἀλλ' οἱ μὲν εἰς κόλασιν, οἱ δὲ εἰς ζωήν. Διὰ τοῦτο οὐκ εἶπεν, 'ἀναστήσει', ἀλλά, «ζωοποιήσει», ὃ πλέον τῆς ἀναστάσεως ἦν καὶ τοῖς δικαίοις μόνοις δεδωρημένον. Καὶ τὴν αἰτίαν τῆς τοσαύτης τιμῆς τιθείς, προσέθηκε λέγων, «διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ὑμῖν». Ὥστε ἂν ἀπελάσῃς ἐνταῦθα ὢν τοῦ Πνεύματος τὴν χάριν, καὶ μὴν σῴαν αὐτὴν ἔχων ἀπέλθῃς, ἀπολῇ πάντως, κἂν ἀναστῇς. Ὥσπερ γὰρ οὐκ ἀνέχεται, τὸ Πνεῦμα αὐτοῦ λάμπον ὁρῶν ἐν σοὶ τότε, κολάσει σε παραδοῦναι, οὕτως οὐ καταδέξαται, ἐσβεσμένον ἰδών, εἰς τὸν νυμφῶνα εἰσαγαγεῖν, καθάπερ οὐδὲ τὰς παρθένους ἐκείνας.

10. *Μὴ τοίνυν ἀφῇς τὸ σῶμα ζῆσαι νῦν, ἵνα τότε ζήσῃ· ποίησον αὐτὸ ἀποθανεῖν, ἵνα μὴ ἀποθάνῃ. Ἐὰν γὰρ μένῃ ζῶν, οὐ ζήσεται, ἐὰν δὲ ἀποθάνῃ, τότε ζήσεται. Τοῦτο καὶ ἐπὶ τῆς ἀναστάσεως γίνεται τῆς καθόλου· πρότερον γὰρ ἀποθανεῖν αὐτὸ δεῖ καὶ ταφῆναι, καὶ τότε γενέσθαι ἀθάνατον. Τοῦτο καὶ ἐν τῷ λουτρῷ γέγονεν· ἐσταρώθη γοῦν πρότερον καὶ ἐτάφη, καὶ τότε ἠγέρθη. Τοῦτο τοίνυν καὶ ἡμεῖς ποιῶμεν· ἐπὶ τῶν ἔργων αὐτοῦ διηνεκῶς αὐτὸ νεκρώσωμεν. Οὐχὶ τὴν οὐσίαν λέγω, μὴ γένοιτο, ἀλλὰ τὰς ὁρμὰς τὰς ἐπὶ τὰς πονηρὰς πράξεις. Καὶ γὰρ καὶ τοῦτο ζωή, μᾶλλον δὲ τοῦτο μόνον ζωή, τὸ μηδὲν ἀνθρώπινον ὑπομένειν, μηδὲ ἡδοναῖς δουλεύειν. Ὁ γὰρ ταύταις ἑαυτὸν ὑποτάξας, οὐδὲ ζῆν δύναται λοιπὸν διὰ τὰς ἐξ αὐτῶν ἀθυμίας, καὶ τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ τὸν μυρίον τῶν παθῶν ἑσμόν. Ἄν τε γὰρ θάνατος προσδοκηθῇ τέθνηκε πρὸ τοῦ θανάτου τῷ δέει· ἄν τε νόσον ὑποπτεύσῃ, ἂν ὕβριν, ἂν πε-*

στοῦ; πῶς θά εἶναι ἀξιόπιστος ὁ λόγος γιά τή γέεννα; Γιατί, ἄν δέν ἀνασταίνονται ἐκεῖνοι πού δέν ἔχουν Πνεῦμα, οὔτε γέεννα θά ὑπάρξει. Τί λοιπόν σημαίνει αὐτός ὁ λόγος; Ὅλοι βέβαια θ' ἀναστηθοῦν, ὄχι ὅμως ὅλοι γιά τή ζωή, ἀλλ' ἄλλοι γιά τήν κόλαση καί ἄλλοι γιά τή ζωή. Γι' αὐτό δέν εἶπε, 'θ' ἀναστήσει', ἀλλά, «θά δώσει ζωή», πράγμα πού ἦταν περισσότερο ἀπό τήν ἀνάσταση καί πού ἔχει δοθεῖ μόνο στούς δικαίους. Καί ἀφοῦ ἀνέφερε τήν αἰτία αὐτῆς τῆς μεγάλης τιμῆς, πρόσθεσε καί εἶπε, «ἐξ αἰτίας τοῦ Πνεύματός του πού κατοικεῖ μέσα σας». Ἐπομένως, ἐάν ἀπομακρύνεις, ἐνῶ βρίσκεσαι στή ζωή αὐτή, τή χάρη τοῦ Πνεύματος, καί πεθάνεις χωρίς νά τήν ἔχεις σώα, θά χαθεῖς ὁπωσδήποτε, ἔστω καί ἄν ἀναστηθεῖς. Γιατί, ὅπως δέν ἀνέχεται νά σέ παραδώσει στήν κόλαση, ὅταν βλέπει νά λάμπει τότε σέ σένα τό Πνεῦμα του, ἔτσι, ὅταν δεῖ νά εἶναι σβησμένο, δέ θά δεχθεῖ νά σέ ὁδηγήσει μέσα στό νυμφώνα, ὅπως ἀκριβῶς ἐκεῖνες τίς παρθένες.

10. Μήν ἀφήσεις λοιπόν τό σῶμα νά ζήσει τώρα, γιά νά ζήσει τότε· κάνε το νά πεθάνει, γιά νά μήν πεθάνει. Γιατί, ἄν παραμείνει ζωντανό, δέ θά ζήσει. Αὐτό γίνεται καί στήν καθολική ἀνάσταση· γιατί πρέπει πρῶτα νά πεθάνει τό σῶμα καί νά ταφεῖ, καί ὕστερα νά γίνει ἀθάνατο. Αὐτό ἔγινε καί στό βάπτισμα· σταυρώθηκε λοιπόν πρῶτα καί θάφτηκε, καί ὕστερα ἀναστήθηκε. Αὐτό ἔγινε καί στό σῶμα τοῦ Κυρίου· γιατί πραγματικά καί ἐκεῖνο σταυρώθηκε καί θάφτηκε καί ὕστερα ἀναστήθηκε. Αὐτό λοιπόν ἄς κάνουμε καί ἐμεῖς· ἄς τό νεκρώσουμε παντοτινά στά ἔργα του. Δέν ἐννοῶ τήν οὐσία, μακριά μιά τέτοια σκέψη, ἀλλά τίς ἐπιθυμίες γιά τίς πονηρές πράξεις. Γιατί πραγματικά καί αὐτό εἶναι ζωή, ἤ καλύτερα αὐτό μόνο εἶναι ζωή, τό νά μήν ὑπομένει κανείς τίποτε ἀνθρώπινο, οὔτε νά εἶναι δοῦλος στίς ἡδονές. Γιατί, ὅποιος ὑπέταξε τόν ἑαυτό του σ' αὐτές, δέν μπορεῖ πιά νά ζεῖ ἀπό τίς στεναχώριες πού προέρχονται ἀπ' αὐτές, ἀπό τούς φόβους καί τούς κινδύνους καί τό ἄπειρο πλῆθος τῶν παθῶν. Γιατί ἄν ἀντιληφθεῖ ὅτι ἔρχεται θάνατος, ἔχει πεθάνει ἀπό τό φόβο πρίν ἀπό τό θάνατο· ἄν ὑποψιασθεῖ ἀρρώστια, ἄν περιφρόνηση, ἄν φτώχεια, ἄν κάτι ἄλλο ἀπό τά

νίαν, ἂν ἄλλο τι τῶν ἀδοκήτων, ἀπόλωλε καὶ διέφθαρται. Τί τοίνυν τῆς ζωῆς ταύτης γένοιτ' ἂν ἀθλιώτερον;

Ἀλλ' οὐχ ὁ τῷ Πνεύματι ζῶν τοιοῦτος, ἀλλὰ καὶ φόβων καὶ λύπης καὶ κινδύνων καὶ μεταβολῆς ἁπάσης ἕστηκεν ἀνώτερος, οὐ τῷ μηδὲν ὑπομένειν, ἀλλ' ὃ πολλῷ μεῖζόν ἐστι, τῷ καὶ ἐπιόντων αὐτῶν καταφρονεῖν. Πῶς δὲ τοῦτο ἔσται; Ἐάν τὸ Πνεῦμα διόλου κατοικῇ ἐν ὑμῖν. Οὐδὲ γὰρ ἁπλῶς αὐτὸ εἶπεν οἰκεῖν πρὸς βραχύ, ἀλλ' ἐνοικεῖν διηνεκῶς. Διὰ τοῦτο οὐκ εἶπε, 'τὸ ἐνοικῆσαν Πνεῦμα', ἀλλά, «τὸ ἐνοικοῦν», τὴν διόλου μονὴν ἐνδεικνύμενος. Οὐκοῦν ὁ ζῶν οὗτος μάλιστά ἐστιν ὁ νεκρωθεὶς τῷ βίῳ. Διὸ καὶ ἔλεγε, «τὸ Πνεῦμα ζωὴ διὰ δικαιοσύνην». Καὶ ἵνα σαφέστερον τὸ λεγόμενον γένηται, δύο παραγάγωμεν ἀνθρώπους, τὸν μὲν ἐκδεδομένον ἀσωτίαις καὶ ἡδοναῖς καὶ τῇ ἀπάτῃ τοῦ βίου, τὸν δὲ νενεκρωμένον τούτοις· καὶ ἴδωμεν τίς ἐστι μᾶλλον ὁ ζῶν. Ἔστω γὰρ τοῖν δυοῖν τούτοιν ὁ μὲν σφόδρα πλούσιος καὶ ἐπίσημος, παρασίτους τρέφων καὶ κόλακας, καὶ πᾶσαν εἰς τοῦτο ἀναλισκέτω τὴν ἡμέραν, κωμάζων καὶ κραιπαλῶν, ὁ δὲ ἕτερος, πενίᾳ συζῶν καὶ νηστείᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ τε καὶ φιλοσοφίᾳ, ἐν ἑσπέρᾳ τῆς ἀναγκαίας μεταλαμβανέτω τροφῆς μόνον, ἢ εἰ βούλει, καὶ δύο καὶ τρεῖς ἄσιτος ἡμέρας μενέτω· τίς οὖν ἡμῖν ἔσται ἐκ τῶν δύο τούτων ὁ μάλιστα ζῶν;

Οἱ μὲν πολλοὶ εὖ οἶδ' ὅτι ἐκεῖνον ἡγήσονται, τὸν σκιρτῶντα καὶ σκορπίζοντα τὰ αὐτοῦ, ἡμεῖς δὲ ἐκεῖνον τὸν συμμετρίας ἀπολαύοντα. Οὐκοῦν ἐπειδὴ μάχη καὶ φιλονεικία τέως ἐστίν, εἰς τὰς ἑκατέρων εἰσέλθωμεν οἰκίας, καὶ τότε μάλιστα, ὅτε σοι μάλιστα δοκεῖ ζῆν ὁ πλούσιος, ἐν αὐτῷ τῷ καιρῷ τῆς τρυφῆς, καὶ εἰσελθόντες κατίδωμεν ἐν τίσιν ἐστὶν ἑκάτερος τούτων· ἀπὸ γὰρ τῶν πράξεων καὶ ὁ ζῶν καὶ ὁ τεθνηκὼς φαίνεται. Οὐκοῦν τὸν μὲν ἐν βίβλοις εὑρήσομεν ὄντα, ἢ ἐν εὐχῇ καὶ νηστείᾳ, ἢ ἐν ἄλλῳ τινὶ τῶν

ἀπροσδόκητα, χάθηκε τότε καί καταστράφηκε. Τί λοιπόν θά μποροῦσε νά ὑπάρξει πιό ἄθλιο ἀπό τή ζωή αὐτή;

Δέν εἶναι ὅμως τέτοιος ἐκεῖνος πού ζεῖ μέ τό Πνεῦμα, ἀλλ' στέκεται πάνω ἀπό φόβους καί ἀπό λύπη καί ἀπό κινδύνους καί ἀπό κάθε μεταβολή, ὄχι μέ τό νά μήν ὑπομένει τίποτε, ἀλλά, πράγμα πού εἶναι πολύ πιό σπουδαιότερο, μέ τό νά περιφρονεῖ αὐτά ὅταν ἔρθουν. Πῶς ὅμως θά γίνει αὐτό; Ἐάν τό Πνεῦμα κατοικεῖ ἐντελῶς μέσα σας. Γιατί δέν εἶπε ἁπλῶς ὅτι κατοικεῖ αὐτό γιά λίγο, ἀλλ' ὅτι κατοικεῖ παντοτινά. Γι' αὐτό δέν εἶπε, τό Πνεῦμα πού κατοίκησε', ἀλλά «πού κατοικεῖ», δείχνοντας τήν παντοτινή παραμονή του. Ἑπομένως ἐκεῖνος πού ζεῖ αὐτός εἶναι κυρίως ἐκεῖνος πού νεκρώθηκε ὡς πρός τή ζωή. Γι' αὐτό καί ἔλεγε, «τό πνεῦμα εἶναι ζωή ἐξ αἰτίας τῆς δικαιώσεως». Καί γιά νά γίνει σαφέστερο τό λεγόμενο, ἄς παρουσιάσουμε δύο ἀνθρώπους, τόν ἕναν πού ἔχει παραδοθεῖ στίς ἀσωτίες, τίς ἡδονές καί στήν ἀπάτη τῆς ζωῆς, καί τόν ἄλλον πού εἶναι νεκρός γι' αὐτά, καί ἄς δοῦμε ποιός εἶναι ἐκεῖνος πού ζεῖ περισσότερο. Ἄς ὑποτεθεῖ λοιπόν πώς ἀπ' αὐτούς τούς δύο ὁ ἕνας εἶναι πάρα πολύ πλούσιος καί ἐπίσημος, τρέφοντας παράσιτους καί κόλακες, καί ξοδεύει ὅλη τήν ἡμέρα σ' αὐτό τό σκοπό, διασκεδάζοντας καί μεθώντας, ἐνῶ ὁ ἄλλος, ζώντας μαζί μέ τή φτώχεια καί τή νηστεία καί τήν ὑπόλοιπη σκληραγωγία καί ἐγκράτεια, τό βράδυ μόνο τρώγει τήν ἀπαραίτητη τροφή, ἤ ἄν θέλεις, πώς μένει νηστικός καί δύο καί τρεῖς ἡμέρες. Ποιός λοιπόν θά εἶναι γιά μᾶς ἀπ' αὐτούς τούς δύο ἐκεῖνος πού κυρίως ζεῖ;

Οἱ πολλοί βέβαια, ξέρω καλά, ὅτι θά θεωρήσουν ἐκεῖνον πού ζεῖ μέ ἀπολαύσεις καί σκορπίζει τήν περιουσία του, ἐμεῖς ὅμως θά θεωρήσουμε ἐκεῖνον πού ἀπολαμβάνει μέ μέτρο. Λοιπόν, ἐπειδή ὑπάρχει διαμάχη καί φιλονεικία, ἄς μποῦμε στά σπίτια καί τῶν δύο, καί τότε μάλιστα, ὅταν κυρίως νομίζεις ὅτι ὁ πλούσιος ζεῖ, τήν ἴδια τήν ὥρα τῆς ἀπόλαυσης, καί, ἀφοῦ μποῦμε, ἄς δοῦμε καλά σέ ποιά κατάσταση βρίσκεται ὁ καθένας τους, γιατί ἀπό τίς πράξεις φαίνεται καί ἐκεῖνος πού ζεῖ καί ἐκεῖνος πού ἔχει πεθάνει. Λοιπόν, τόν ἕνα θά βροῦμε νά μελετάει ἤ νά προσεύχεται καί νά νηστεύει, ἤ σέ κάποιο ἄλλο ἀπό τά ἀπαραίτητα, νά εἶναι ξυπνητός

ἀναγκαίων, ἐγρηγορότα καὶ νήφοντα καὶ Θεῷ διαλεγόμενον, τὸν δὲ ὑπὸ τῆς μέθης βαπτισθέντα, καὶ νεκροῦ οὐδὲν ἄμεινον δικείμενον ὀψόμεθα. Κἂν μέχρι τῆς ἑσπέρας μείνωμεν, πλείονα τὸν θάνατον τοῦτον ἐπιόντα αὐτῷ θεασόμεθα, κἀκεῖθεν πάλιν ὕπνον διαδεχόμενον, τὸν δὲ καὶ ἐν νυκτὶ νήφοντα καὶ ἐγρηγορότα. Τίνα οὖν ἂν εἴπομεν μᾶλλον ζῆν, τὸν ἀναισθήτως κείμενον καὶ προκείμενον ἅπασι γέλωτα, ἢ τὸν ἐνεργοῦντα καὶ Θεῷ διαλεγόμενον; Ἐκείνῳ μὲν γὰρ ἂν προσέλθῃς καὶ εἴπῃς τι τῶν ἀναγκαίων, οὐδὲν ἀκούσῃ φθεγγομένου, ὥσπερ οὐδὲ τοῦ νεκροῦ, τούτῳ δὲ κἂν ἐν νυκτί, κἂν ἐν ἡμέρᾳ συγγενέσθαι ἐπιθυμήσῃς, ἄγγελον ὄψει μᾶλλον ἢ ἄνθρωπον, καὶ φιλοσοφοῦντος ἀκούσῃ περὶ τῶν ἐν οὐρανῷ πραγμάτων.

Ὁρᾷς ὅτι ὁ μὲν ὑπὲρ τοὺς ζῶντας ἅπαντας ζῇ, ὁ δὲ καὶ τῶν τεθνηκότων ἐλεεινότερον κεῖται; Κἂν ἐνεργεῖν δόξῃ, ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ, καὶ τοῖς μαινομένοις ἔοικε, μᾶλλον δὲ καὶ ἐκείνων ἐστὶν ἀθλιώτερος. Εἰς ἐκείνους μὲν γὰρ ἄν τις ὑβρίσῃ, καὶ ἐλεοῦμεν ἅπαντες τὸν ὑβριζόμενον, καὶ ἐπιτιμῶμεν τῷ ὑβρίζοντι, τούτῳ δὲ κἂν ἐναλλόμενόν τινα ἴδωμεν, οὐ μόνμον οὐκ ἐπικαμπτόμεθα εἰς ἔλεον, ἀλλὰ καὶ καταψηφιζόμεθα αὐτοῦ κειμένου. Τοῦτο οὖν , εἰπέ μοι, ζωή, ἀλλ' οὐ μυρίων θανάτων χαλεπώτερον; Ὁρᾷς ὅτι οὐ μόνον νεκρὸς ὁ τρυφῶν, ἀλλὰ καὶ νεκροῦ χείρων καὶ δαιμονῶντος ἀθλιώτερος; Ὁ μὲν γὰρ ἐλεεῖται, ὁ δὲ μισεῖται· καὶ ὁ μὲν συγγνώμης ἀπολαύει, ὁ δὲ κόλασιν δίδωσιν ὑπὲρ ὧν νοσεῖ. Εἰ δὲ ἔξωθεν οὕτως ἐστὶ καταγέλαστος, σεσηπότα σίελον ἔχων, καὶ οἴνου πνέων ὀδωδότος, ἐννόησον τὴν ἀθλίαν ψυχὴν τὴν ὥσπερ ἐν τάφῳ τῷ τοιούτῳ σώματι κατορωρυγμένην, πῶς εἰκὸς διακεῖσθαι. Ταὐτὸν γάρ ἐστιν ἰδεῖν, οἷον ἂν εἰ κόρῃ κοσμίᾳ καὶ σώφρονι καὶ ἐλευθέρᾳ καὶ εὐγενεῖ καὶ καλῇ θεραπαινίδα βάρβαρόν τινα καὶ αἰσχρὰν καὶ

καί νηφάλιος καί νά μιλάει μέ τό Θεό, ἐνῶ τόν ἄλλο θά τόν βροῦμε νά εἶναι μεθυσμένος καί θά τόν δοῦμε νά μήν εἶναι καθόλου καλύτερος ἀπό νεκρό. Καί ἄν μείνουμε μέχρι τό βράδυ, θά δοῦμε τό θάνατο νά ἔρχεται περισσότερο σ' αὐτόν, καί ἀπό ἐκεῖ πάλι τόν ὕπνο νά τόν διαδέχεται, ἐνῶ ἐκεῖνον θά τόν δοῦμε καί κατά τή νύχτα νά εἶναι νηφάλιος καί ἐπάγρυπνος. Ποιόν λοιπόν θά ποῦμε ὅτι ζεῖ περισσότερο, ἐκεῖνον πού εἶναι ξαπλωμένος ἀναίσθητα καί πού προξενεῖ γέλια σ' ὅλους, ἤ ἐκεῖνον πού ἐνεργεῖ καί μιλάει μέ τό Θεό; Γιατί, ἄν πλησιάσεις ἐκεῖνον καί τοῦ πεῖς κάτι ἀπό τά ἀναγκαῖα, δέ θ' ἀκούσεις τίποτε νά λέγει, ὅπως ἀκριβῶς καί ὁ νεκρός. Ἄν ὅμως ἐπιθυμήσεις νά συναναστραφεῖς μ' αὐτόν εἴτε τή νύχτα εἴτε τήν ἡμέρα, θά δεῖς ἄγγελο περισσότερο παρά ἄνθρωπο, καί θά τόν ἀκούσεις νά φιλοσοφεῖ γιά τά πράγματα πού βρίσκονται στόν οὐρανό.

Βλέπεις ὅτι ὁ ἕνας ζεῖ περισσότερο ἀπ' ὅλους τούς ζωντανούς, ἐνῶ ὁ ἄλλος εἶναι πιό δυστυχισμένος καί ἀπό τούς πεθαμένους; Καί ἄν ἀποφασίσει νά κάνει κάτι, βλέπει ἄλλα στή θέση ἄλλων, καί μοιάζει μέ τούς τρελλούς, ἤ καλύτερα καί ἀπό ἐκείνους εἶναι πιό ἄθλιος. Γιατί σ' ἐκείνους ἄν βρίσει κάποιος, καί συμπαθοῦμε αὐτόν πού βρίζεται, καί ἐπιτιμοῦμε τόν ὑβριστή· σ' αὐτόν ὅμως καί ἄν ἀκόμη δοῦμε κάποιον νά ὁρμάει ἐπάνω του, ὄχι μόνο δέ συγκινούμαστε γιά συμπάθεια, ἀλλά καί καταψηφίζουμε αὐτόν πού εἶναι ξαπλωμένος κάτω. Αὐτό λοιπόν, πές μου, εἶναι ζωή, καί ὄχι πιό φοβερό ἀπό μύριους θανάτους; Βλέπεις ὅτι ὄχι μόνο εἶναι νεκρός αὐτός πού διασκεδάζει, ἀλλά καί χειρότερος ἀπό νεκρό καί πιό δυστυχισμένος ἀπό τό δαιμονιζόμενο; Γιατί ὁ ἕνας συμπαθεῖται, ἐνῶ ὁ ἄλλος μισεῖται· καί ὁ πρῶτος ἀπολαμβάνει συγγνώμη, ἐνῶ ὁ ἄλλος τιμωρεῖται γι' αὐτές τίς ἀρρώστιες του. Ἐάν ὅμως ἀπό ἔξω εἶναι τόσο καταγέλαστος, ἔχοντας βρώμιο σάλιο καί μυρίζοντας κρασί, σκέψου τήν ἄθλια ψυχή πού εἶναι θαμμένη σάν σέ τάφο σ' αὐτό τό σῶμα, σέ ποιά κατάσταση εἶναι φυσικό νά βρίσκεται. Τό ἴδιο εἶναι δυνατό νά δεῖς, ὅπως ἄν κάποιος ἔδινε τή δυνατότητα σέ κάποια βάρβαρη ὑπηρέτρια καί αἰσχρή νά ὁρμάει καί

ἀκάθαρτον ἐνάλλεσθαι καὶ ἐνυβρίζειν μετὰ πολλῆς τις παρασκευάσειε τῆς ἐξουσίας. Τοιοῦτον γὰρ ἡ μέθη.

Τίς οὖν οὐκ ἂν ἕλοιτο τῶν νοῦν ἐχόντων μυριάκις ἀποθανεῖν, ἢ μίαν οὕτω ζῆσαι ἡμέραν; Κἂν γὰρ ἡμέρας γενομένης ἐκ τῆς κωμῳδίας ἐκείνης ἀναστὰς δόξῃ νήφειν, οὐδὲ τότε καθαρᾶς ἀπολαύει σωφροσύνης, ἔτι τῆς νεφέλης ἐκείνης τῆς ἀπὸ τοῦ χειμῶνος τῆς μέθης πρὸ τῶν ὀφθαλμῶν ἱσταμένης. Εἰ δὲ καὶ δοίημεν αὐτὸν καθαρῶς νήφειν, τί τὸ ὄφελος; Εἰς οὐδὲν γὰρ αὐτῷ χρήσιμος ἡ νῆψις αὕτη, ἀλλ' ἢ εἰς τὸ τοὺς κατηγόρους ἰδεῖν. Ὅταν μὲν γὰρ ἀσχημονῇ, τοσοῦτον κερδαίνει, ὅσον οὐκ αἰσθάνεται τῶν γελώντων· ἡμέρας δὲ γενομένης, καὶ ταύτην ἀπόλλυσι τὴν παραθυμίαν, καὶ οἰκετῶν γογγυζόντων, καὶ γυναικὸς αἰσχυνομένης, καὶ φίλων διαβαλλόντων, καὶ ἐχθρῶν καταγελώντων αἰσθανόμενος. Τί ταύτης ἐλεεινότερον γένοιτ' ἂν τῆς ζωῆς, γελᾶσθαι μεθ' ἡμέραν ὑπὸ πάντων, καὶ δείλης πάλιν τὰ αὐτὰ ἀσχημονεῖν;

11. Ἀλλὰ τί; βούλει τοὺς πλεονέκτας εἰς μέσον ἀγάγωμεν; Καὶ γὰρ καὶ αὕτη πάλιν ἑτέρα μέθη χαλεπωτέρα· εἰ δὲ μέθη, καὶ θάνατος πάντως πολλῷ χείρων ἐκείνου, ἐπειδὴ καὶ ἡ μέθη χαλεπωτέρα. Καὶ γὰρ οὐχ οὕτω δεινὸν οἴνῳ μεθύειν, ὡς ἐπιθυμίᾳ χρημάτων. Ἐκεῖ μὲν γὰρ ἡ ζημία μέχρι τοῦ πάθους ἵσταται, καὶ εἰς ἀναισθησίαν τελευτᾷ, καὶ τὴν αὐτοῦ τοῦ μεθύοντος ἀπώλειαν, ἐνταῦθα δὲ εἰς μυρίας ἡ βλάβη διαβαίνει ψυχάς, ποικίλους πάντοθεν ἀνάπτουσα πολέμους. Φέρε οὖν, καὶ τοῦτον ἐκείνῳ παραβάλωμεν, καὶ ἴδωμεν ἐν τίσι μὲν αὐτῷ κοινωνεῖ, ἐν τίσι δὲ αὐτοῦ πλεονεκτεῖ πάλιν, καὶ μεθυόντων ποιήσωμεν σύγκρισιν σήμερον. Πρὸς γὰρ ἐκεῖνον τὸν μακάριον, τὸν Πνεύματι ζῶντα, μηδὲ παραβαλέσθωσαν οὗτοι λοιπόν, ἀλλὰ πρὸς ἀλλήλους ἐξεταζέσθωσαν. Καὶ πάλιν τὴν τράπεζαν εἰς μέσον ἀγάγωμεν, τὴν μυρίων γέμουσαν φόνων. Ἐν τίσιν οὖν κοινωνοῦσι, καὶ ἀλλήλοις ἐοίκασιν; Ἐν αὐτῇ τῇ τοῦ νοσήματος φύσει.

Τὸ μὲν γὰρ εἶδος τῆς μέθης διάφορον, ἐπειδὴ τὸ μὲν ἐξ οἴνου,

νά προσβάλλει μία κόρη κόσμια, συνετή, ἐλεύθερη, εὐγενή καί καλή. Γιατί τέτοιο πράγμα εἶναι ἡ μέθη.

Ποιός λοιπόν ἀπό ἐκείνους πού ἔχουν νοῦ δέ θά προτιμοῦσε χίλιες φορές νά πεθάνει, παρά νά ζήσει ἔτσι μία ἡμέρα; Γιατί καί ἄν ἀκόμη φανεῖ ὅτι εἶναι νηφάλιος, ἀφοῦ ξημερώσει καί σηκωθεῖ ἀπό τή γελοιοποίηση ἐκείνη, οὔτε τότε ἔχει καθαρή σωφροσύνη, ἀφοῦ ἡ ὁμίχλη ἐκείνη, πού προέρχεται ἀπό τό πάθος τῆς μέθης, ἁπλώνεται ἀκόμη μπροστά στά μάτια του. Ἐάν ὅμως συμβεῖ νά εἶναι ἐντελῶς νηφάλιος, ποιό τό ὄφελος; Γιατί σέ τίποτε δέν εἶναι γι' αὐτόν χρήσιμη ἡ νηφαλιότητα αὐτή, παρά μόνο στό νά δεῖ τούς κατηγόρους. Γιατί ὅταν ἀσχημονεῖ, τόσο κερδίζει, ὅσο δέν καταλαβαίνει αὐτούς πού γελοῦν, ὅταν ὅμως ἔρθει ἡ ἡμέρα, χάνει καί αὐτή τήν παρηγοριά, ἀφοῦ καταλαβαίνει πώς καί οἱ ὑπηρέτες γογγύζουν καί ἡ γυναίκα του ντρέπεται καί οἱ φίλοι τόν συκοφαντοῦν καί οἱ ἐχθροί τόν περιγελοῦν. Τί μπορεῖ νά ὑπάρξει πιό ἄθλιο ἀπό τή ζωή αὐτή, νά περιπαίζεται ἀπ' ὅλους στή διάρκεια τῆς ἡμέρας καί τό βράδυ πάλι νά κάνει τίς ἴδιες ἀσχήμιες;

11. Ἀλλά τί; θέλεις νά μιλήσουμε γιά τούς πλεονέκτες; Γιατί πραγματικά καί αὐτή πάλι εἶναι ἄλλη μέθη πιό φοβερή. Ἀφοῦ ὅμως εἶναι μέθη, ὁπωσδήποτε εἶναι καί θάνατος πολύ χειρότερος ἀπό ἐκεῖνον, ἐπειδή καί ἡ μέθη εἶναι πιό φοβερή. Γιατί δέν εἶναι τόσο κακό νά μεθάει κανείς μέ κρασί, ὅσο μέ τήν ἐπιθυμία τῶν χρημάτων. Γιατί ἐκεῖ ἡ ζημία φθάνει μέχρι τό πάθος, καί τελειώνει στήν ἀναισθησία καί τήν καταστροφή τοῦ ἴδιου τοῦ μέθυσου, ἐδῶ ὅμως ἡ βλάβη μεταβαίνει σέ χίλιες ψυχές, ἐπειδή ἀνάβει ἀπό παντοῦ διαφόρους πολέμους. Ἐμπρός λοιπόν ἄς συγκρίνουμε καί αὐτόν μ' ἐκεῖνον, καί ἄς δοῦμε σέ ποιά σημεῖα συμφωνεῖ μ' αὐτόν καί σέ ποιά εἶναι ἀνώτερος πάλι ἀπό αὐτόν, καί ἄς κάνουμε σύγκριση τῶν μέθυσων σήμερα. Γιατί μ' ἐκεῖνον τό μακάριο, πού ζεῖ πνευματικά, ἄς μή συγκριθοῦν ἀκόμη αὐτοί, ἀλλ' ἄς ἐξετασθοῦν μεταξύ τους. Καί πάλι ἄς φέρουμε στή μέση τό τραπέζι, πού εἶναι γεμάτο ἀπό ἄπειρους φόνους. Σέ ποιά λοιπόν σημεῖα συμφωνοῦν καί μοιάζουν μεταξύ τους; Στήν ἴδια τή φύση τοῦ νοσήματος.

Γιατί βέβαια τό εἶδος τῆς μέθης εἶναι διαφορετικό, ἀφοῦ

τὸ δὲ ἀπὸ χρημάτων γίνεται, τὸ δὲ πάθος ὅμοιον· καὶ γὰρ ὁμοίως ἀμφότεροι ἐπιθυμίᾳ ἀτόπῳ κατέχονται. Ὅ τε γὰρ οἴνῳ μεθύων, ὅσῳ ἂν πλείους ἐκπίῃ κύλικας, τοσούτῳ πλειόνων ἐφίεται· ὅ τε χρημάτων ἐρῶν, ὅσῳπερ ἂν περιβάληται πλείω, τοσούτῳ μᾶλλον ἀνάπτει τῆς ἐπιθυμίας τὴν φλόγα καὶ χαλεπώτερον αὐτῷ κατασκευάζει τὸ δίψος. Τούτῳ μὲν οὖν ἐοίκασιν· ἑτέρῳ δ' αὖ πάλιν ὁ φιλάργυρος πλεονεκτεῖ. Ποίῳ δὴ τούτῳ; Ὅτι ἐκεῖνος μὲν πρᾶγμα πάσχει κατὰ φύσιν· ὁ γὰρ οἶνος θερμὸς ὢν καὶ τὴν ἔμφυτον ἐπιτείνων ξηρότητα, οὕτω τοὺς μεθύοντας ποιεῖ διψῆν· ἐκεῖνος δὲ πόθεν ἀεὶ πλειόνων ἀφίεται; πόθεν, ἐπειδὰν μειζόνως πλουτήσῃ, τότε μάλιστά ἐστιν ἐν πενίᾳ; Ἄπορον γὰρ τουτὶ τὸ πάθος καὶ αἰνίγματι μᾶλλόν ἐστιν ἐοικός.

Ἀλλ' ἴδωμεν αὐτούς, εἰ δοκεῖ, καὶ μετὰ τὴν μέθην· μᾶλλον δὲ τὸν φιλάργυρον οὐδέποτε ἔστιν ἰδεῖν μετὰ τὴν μέθην· οὕτως ἐν τῷ μεθύειν ἐστὶν ἀεί. Οὐκοῦν ἐν αὐτῷ τῷ μεθύειν ὄντας ἀμφοτέρους ἴδωμεν, καὶ διασκεψώμεθα τίς μᾶλλόν ἐστι καταγέλαστος, καὶ σχηματίσωμεν αὐτοὺς ἀκριβῶς πάλιν ὑπογράφοντες. Ὀψόμεθα γὰρ τὸν ἐξ οἴνου παραπαίοντα, γενομένης ἑσπέρας, τῶν ὀφθαλμῶν ἀνεῳγμένων οὐδένα βλέποντα, ἀλλὰ ἁπλῶς καὶ εἰκῇ περιφερόμενον, καὶ τοῖς ἀπαντῶσιν ἐγκρούοντα, καὶ ἐμοῦντα, καὶ σπαραττόμενον, καὶ γυμνούμενον ἀσχημόνως, κἂν γυνὴ παρῇ, κἂν θυγάτηρ, κἂν θεραπαινίς, κἂν ὁστισοῦν. Ἐγελάσατε δαψιλές; Οὐκοῦν φέρε καὶ τὸν πλεονέκτην εἰς μέσον ἀγάγωμεν. Ἐνταῦθα γὰρ οὐ γέλωτος τὰ γινόμενα μόνον, ἀλλὰ καὶ ἀρᾶς καὶ πολλοῦ τοῦ θυμοῦ καὶ μυρίων σκηπτῶν· τέως μέντοι τὸν γέλωτα ἴδωμεν. Καὶ γὰρ οὗτος ὁμοίως ἐκείνῳ πάντας ἀγνοεῖ, καὶ φίλους καὶ ἐχθρούς, καὶ ὁμοίως τῶν ὀφθαλμῶν ἀνεῳγμένων πεπήρωται· καὶ ὥσπερ ἐκεῖνος πάντα οἶνον, οὕτως οὗτος πάντα χρήματα βλέπει.

Καὶ ὁ ἔμετος δὲ πολὺ χαλεπώτερος. Οὐ γὰρ τροφὴν προΐεται, ἀλλὰ ῥήματα λοιδορίας, ὕβρεων, πολέμων, θανάτων, μυρίους ἄνω-

ἕνα προέρχεται ἀπό κρασί καί τό ἄλλο ἀπό χρήματα. Τό πάθος ὅμως εἶναι ὅμοιο, γιατί καί οἱ δύο κατέχονται τό ἴδιο ἀπό παράλογη ἐπιθυμία· γιατί καί ἐκεῖνος πού μεθάει, ὅσο περισσότερα ποτήρια θά πιεῖ, τόσο περισσότερα ἐπιθυμεῖ· καί ἐκεῖνος πού ἀγαπάει πολύ τά χρήματα, ὅσο περισσότερα ἔχει, τόσο περισσότερο ἀνάβει τή φλόγα τῆς ἐπιθυμίας καί πιό φοβερή κάνει γι' αὐτόν τή δίψα. Σ' αὐτό λοιπόν μοιάζουν. Σ' ἄλλο πάλι ὁ φιλάργυρος εἶναι ἀνώτερος. Ποιό λοιπόν εἶναι αὐτό; Ὅτι ἐκεῖνος πάσχει πράγμα φυσικό, γιατί τό κρασί πού εἶναι θερμό καί αὐξάνει τήν ἔμφυτη ξηρότητα, κάνει ἔτσι τούς μεθυσμένους νά διψοῦν, ἐνῶ ὁ ἄλλος ἀπό ποῦ ἐπιθυμεῖ πάντοτε ὅλο καί περισσότερα; πῶς, ὅταν γίνει πολύ πλούσιος, τότε κυρίως βρίσκεται σέ φτώχεια; Ἀνεξήγητο λοιπόν εἶναι αὐτό ἐδῶ τό πάθος καί φαίνεται νά μοιάζει περισσότερο μέ αἴνιγμα.

Ἀλλ' ἄς δοῦμε αὐτούς, ἐάν θέλεις, καί μετά τή μέθη. Ἤ καλύτερα τόν φυλάργυρο ποτέ δέν εἶναι δυνατό νά τόν δοῦμε μετά τή μέθη· τόσο πολύ βρίσκεται πάντοτε σέ κατάσταση μέθης. Ἐπομένως ἄς δοῦμε, ὅταν βρίσκονται καί οἱ δύο στήν ἴδια τή μέθη, καί ἄς ἐξετάσουμε ποιός εἶναι περισσότερο καταγέλαστος καί ἄς τούς σκιαγραφήσουμε περιγράφοντας αὐτούς μέ ἀκρίβεια πάλι. Θά δοῦμε λοιπόν ἐκεῖνον πού παραπαίει ἀπό κρασί, ὅταν βραδιάσει, νά μή βλέπει κανέναν, ἐνῶ τά μάτια του εἶναι ἀνοικτά, ἀλλά νά περιφέρεται ἄσκοπα καί χωρίς λόγο, νά χτυπάει ἐκείνους πού τόν συναντοῦν, νά κάνει ἐμετό, νά χτυπιέται καί νά γυμνώνεται ἄπρεπα, εἴτε εἶναι ἐκεῖ παρούσα ἡ γυναίκα του, εἴτε ἡ θυγατέρα του, εἴτε ἡ ὑπηρέτριά του, εἴτε ὁποιοσδήποτε ἄλλος. Γελάσατε πολύ; Ἄς φέρουμε λοιπόν καί τόν πλεονέκτη στή μέση. Γιατί ἐδῶ τά πράγματα δέν ἀξίζουν γέλια μόνο, ἀλλά καί κατάρα καί πολύ θυμό καί ἄπειρους κεραυνούς. Πρῶτα ὅμως ἄς δοῦμε τό γέλιο. Γιατί πραγματικά καί αὐτός τό ἴδιο μ' ἐκεῖνον ἀγνοεῖ ὅλους, καί φίλους καί ἐχθρούς, καί τό ἴδιο εἶναι τυφλός, ἄν καί τά μάτια του εἶναι ἀνοικτά· καί ὅπως ἐκεῖνος τά βλέπει ὅλα σάν κρασί, ἔτσι καί αὐτός τά βλέπει ὅλα σάν χρήματα.

Καί ὁ ἐμετός εἶναι πολύ φοβερός. Γιατί δέ βγάζει τροφή, ἀλλά λόγια προσβολῆς, ὕβρεων, πολέμων, θανάτων, πού τραβοῦν

θεν κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἕλκοντα κεραυνούς. Καὶ οἷόν ἐστι τὸ σῶμα τοῦ μεθύοντος πελιδνὸν καὶ διαρρέον, τοιαύτη ἡ ἐκείνου ψυχή· μᾶλλον δὲ οὐδὲ τὸ σῶμα αὐτὸ τῆς νόσου ταύτης ἀπήλλακται, ἀλλὰ καὶ μᾶλλον ἁλίσκεται, οἴνου χαλεπώτερον τῆς φροντίδος καὶ τοῦ θυμοῦ καὶ τῆς ἀγρυπνίας κατεσθιούσης αὐτό, καὶ κατὰ μικρὸν δαπανώσης ἅπαν. Καὶ ὁ μὲν οἰνοφλυγίᾳ κατεχόμενος, κἂν μετὰ τὴν νύκτα δύναται νήφειν, ὁ δὲ διαπαντὸς μεθύει, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί, καὶ ἐγρηγορὼς καὶ καθεύδων, δεσμώτου παντὸς καὶ τῶν τὰ μέταλλα ἐργαζομένων, καὶ εἴ τις ἑτέρα ταύτης ἐστὶ χαλεπωτέρα τιμωρία, μείζονα διδοὺς δίκην.

Τοῦτο οὖν, εἰπέ μοι, ζωή, ἀλλ' οὐ θάνατος, μᾶλλον δὲ καὶ θανάτου παντὸς ἐλεεινότερον; Ὁ μὲν γὰρ θάνατος ἀναπαύει τὸ σῶμα καὶ γέλωτος καὶ ἀσχημοσύνης καὶ ἁμαρτημάτων ἀπαλλάτει, αὗται δὲ αἱ μέθαι εἰς πάντα ταῦτα ἐμβάλλουσι, τὰς ἀκοὰς ἐμφράττουσαι, τοὺς ὀφθαλμοὺς πηροῦσαι, τὴν διάνοιαν ἐν πολλῷ τῷ σκότῳ κατέχουσαι. Οὔτε γὰρ ἀκοῦσαι, οὔτε εἰπεῖν ἕτερόν τι ἀνέχεται, ἀλλ' ἢ τόκους καὶ τόκους τόκων, καὶ ἀναίσχυντα κέρδη, καὶ καπηλείας μεμισημένας, καὶ πραγματείας ἀνελευθέρους καὶ δουλοπρεπεῖς, καθάπερ κύων πρὸς ἅπαντας ὑλακτῶν, πάντας μισῶν, πάντας ἀποστρεφόμενος, πολεμῶν ἅπασιν, οὐδεμιᾶς ὑποκειμένης αἰτίας, πενήτων κατεξανιστάμενος, τοῖς πλουτοῦσι βασκαίνων, πρὸς οὐδένα ἡδέως ἔχων. Κἂν γυναῖκα ἔχῃ, κἂν παιδία, κἂν φίλους, ἂν μὴ πάντοθεν ἐξῇ κερδαίνειν αὐτῷ, τῶν φύσει πολεμίων αὐτῷ οὗτοι πολεμιώτεροι. Τί ταύτης τοίνυν γένοιτ' ἂν τῆς μανίας χεῖρον· τί δὲ ἀθλιώτερον, ὅταν αὐτὸς ἑαυτῷ πανταχοῦ σκοπέλους κατασκευάζῃ καὶ ὑφάλους καὶ κρημνοὺς καὶ φάραγγας καὶ μύρια βάραθρα, σῶμα ἔχων ἕν, καὶ γαστρὶ δουλεύων μιᾷ;

Κἂν μὲν εἰς πολιτικάς τις ἐμβάλῃ σε λειτουργίας, δραπετεύεις, τὸ δαπανηρὸν δεδοικώς, σεαυτῷ δὲ μυρίας κατασκευάζεις πασῶν ἐκείνων, οὐχὶ δαπανηροτέρας μόνον, ἀλλὰ καὶ σφαλερωτέρας λειτουργίας, τῷ μαμωνᾷ τελούμενος, καὶ οὐ χρήματα μόνον τῷ πο-

ἐναντίον τῆς κεφαλῆς του ἄπειρους κεραυνούς ἀπό τούς οὐρανούς. Καί ὅπως εἶναι τό σῶμα τοῦ μεθυσμένου πελιδνό καί παραλυμένο, ἔτσι εἶναι καί ἡ ψυχή ἐκείνου. Ἤ καλύτερα οὔτε τό ἴδιο τό σῶμα του εἶναι ἀπαλλαγμένο ἀπό τήν ἀρρώστια αὐτή, ἀλλά καί περισσότερο κυριεύεται ἀπ' αὐτήν, ἀφοῦ ἡ φροντίδα καί ὁ θυμός καί ἡ ξαγρύπνια τό κατατρώγουν αὐτό χειρότερα ἀπό τό κρασί, καί σιγά - σιγά τό καταστρέφουν ὅλο. Καί ἐκεῖνος βέβαια πού κατέχεται ἀπό τό πάθος τῆς μέθης, τουλάχιστο μετά τή νύχτα μπορεῖ νά εἶναι νηφάλιος· αὐτός ὅμως διαρκῶς εἶναι μεθυσμένος, καί τήν ἡμέρα καί τή νύχτα, καί ὅταν εἶναι ξυπνητός καί ὅταν κοιμᾶται, καί τιμωρεῖται μέ μεγαλύτερη τιμωρία ἀπό κάθε φυλακισμένο καί ἐργαζόμενο στά μεταλλεῖα, καί ἀπό κάθε ἄλλη τιμωρία πού εἶναι πιό φοβερή ἀπό αὐτήν.

Αὐτό λοιπόν, πές μου, εἶναι ζωή, καί ὄχι θάνατος, ἤ καλύτερα δέν εἶναι πιό ἄθλιο ἀπό κάθε θάνατο; Γιατί ὁ θάνατος βέβαια ξεκουράζει τό σῶμα καί τό ἀπαλλάσσει ἀπό γέλια καί ἀσχημοσύνες καί ἁμαρτήματα, ἐνῶ αὐτές οἱ μέθες τό ρίχνουν σέ ὅλα αὐτά, ἀφοῦ βουλώνουν τά αὐτιά, τυφλώνουν τά μάτια, κρατοῦν τό νοῦ σέ πολύ σκοτάδι. Γιατί δέν ἀνέχεται ν' ἀκούσει, οὔτε νά πεῖ κάτι ἄλλο, παρά μόνο τόκους τόκων, καί ἀναίσχυντα κέρδη, μισητά ἐμπόρια, ὑποθέσεις φαῦλες καί δουλοπρεπεῖς, σάν σκυλί γαυγίζοντας πρός ὅλους, μισώντας ὅλους, ἀποστρέφοντας ὅλους, πολεμώντας ἐναντίον ὅλων, χωρίς νά ὑπάρχει καμιά αἰτία, ἀγανακτώντας ἐναντίον τῶν φτωχῶν, φθονώντας τούς πλούσιους, χωρίς νά εὐχαριστιέται μέ κανέναν. Καί ἄν ἀκόμη ἔχει γυναίκα ἤ παιδιά ἤ φίλους, ἄν δέν εἶναι δυνατό ἀπό παντοῦ νά κερδίζει, αὐτοί εἶναι περισσότερο ἐχθροί του ἀπό τούς φυσικούς ἐχθρούς. Τί θά μποροῦσε νά ὑπάρξει λοιπόν χειρότερο ἀπό τή μανία αὐτή; καί τί πιό ἄθλιο, ὅταν αὐτός ἑτοιμάζει γιά τόν ἑαυτό του παντοῦ σκοπέλους καί ὑφάλους καί γκρεμούς καί φαράγγια καί ἄπειρα βάραθρα, ἄν καί ἔχει ἕνα σῶμα καί εἶναι δοῦλος σέ μιά κοιλιά;

Καί ἄν κάποιος σέ βάλει σέ πολιτικές λειτουργίες, δραπετεύεις, ἐπειδή φοβᾶσαι γιά τίς δαπάνες. Στόν ἑαυτό σου ὅμως ἑτοιμάζεις ἄπειρες λειτουργίες, ὄχι μόνο πιό δαπανηρές ἀπ' ὅλες ἐκεῖνες, ἀλλά καί πιό ἐπικίνδυνες, ἀνήκοντας στό μαμωνᾶ καί

νηρῷ τούτῳ τυράννῳ, οὐδὲ πόνον σώματος καὶ βάσανον ψυχῆς καὶ ἀλγηδόνας, ἀλλὰ καὶ αὐτὸ εἰσφέρων τὸ αἷμα, ἵνα τί σοι γένηται πλέον, ἄθλιε καὶ ταλαίπωρε, ἐκ τῆς βαρβαρικῆς ταύτης δουλείας; Οὐχ ὁρᾷς τοὺς καθ' ἑκάστην ἡμέραν ἐπὶ τὰ μνήματα φερομένους, πῶς γυμνοὶ καὶ πάντων ἔρημοι πρὸς τοὺς τάφους ἐκείνους ἀπάγονται, οὐδὲν τῶν οἴκοθεν λαβεῖν δυνάμενοι, ἀλλὰ καὶ αὐτὰ ἃ περιβάλλονται τῷ σκώληκι φέροντες; Τούτους καθ' ἑκάστην περισκόπει τὴν ἡμέραν, καὶ τάχα λωφήσει τὸ πάθος, εἰ μὴ κἀκεῖθεν μέλλοις ἀπὸ τῆς πολυτελείας τῶν ἐνταφίων μαίνεσθαι μειζόνως· καὶ γὰρ χαλεπὸν τὸ πάθος καὶ δεινὸν τὸ νόσημα. Διὰ δὴ τοῦτο καὶ ἡμεῖς καθ' ἑκάστην ὑμῖν ἐκκλησίαν ὑπὲρ τούτου διαλεγόμεθα, καὶ συνεχῶς ἐπαντλοῦμεν ὑμῶν τὰς ἀκοάς, ἵνα κἂν τῇ συνηθείᾳ δυνηθῇ τι γενέσθαι πλέον.

Ἀλλὰ μὴ φιλονεικήσητε· οὐδὲ γὰρ κατὰ τὴν μέλλουσαν ἡμέραν μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνης πολλὰς τοῦτο τὸ ποκίλον πάθος ἐπάγει τὰς τιμωρίας. Κἂν γὰρ τοὺς διηνεκῶς δεδεμένους εἴπω, κἂν τὸν νόσῳ μακρᾷ προσηλωμένον, κἂν τὸν λιμῷ παλαίοντα, κἂν ὁτιοῦν ἕτερον, οὐδένα δυνήσομαι δεῖξαι πάσχοντα τοιαῦτα, οἷα τοὺς χρημάτων ἐρῶντας. Τί γὰρ γένοιτ' ἂν χαλεπώτερον τοῦ παρὰ πάντων μισεῖσθαι; τοῦ πάντας μισεῖν; τοῦ πρὸς μηδένα ἡδέως ἔχειν; τοῦ μηδέποτε κορέννυσθαι; τοῦ διόλου διψῆν; τοῦ λιμῷ παλαίειν διηνεκεῖ καὶ χαλεπωτέρῳ τοῦ παρὰ πᾶσι νενομισμένου; τοῦ λύπας ἔχειν καθημερινάς; τοῦ μηδέποτε νήφειν; τοῦ διαπαντὸς ἐν θορύβοις εἶναι καὶ ταραχαῖς; Ταῦτα γὰρ ἅπαντα καὶ τούτων πλείονα οἱ πλεονέκται ὑφίστανται· ἐν μὲν τῷ κερδαίνειν, κἂν τὰ πάντων περιβάλωνται, οὐδεμιᾶς αἰσθανόμενοι ἡδονῆς, τῷ πλειόνων ἐφίεσθαι, ἐν δὲ τῷ ζημιοῦσθαι, κἂν ὀβολὸν ἀπολέσωσι, πάντων ἡγούμενοι χαλεπώτερα πεπονθέναι, καὶ αὐτῆς ἐκπεπτωκέναι τῆς ζωῆς.

προσφέροντας στόν κακό αὐτόν τύραννο ὄχι μόνο χρήματα, οὔτε κόπο σώματος καί ταλαιπωρία ψυχῆς καί πόνους, ἀλλά καί αὐτό τό αἶμα σου, γιά νά σοῦ συμβεῖ κάτι περισσότερο, ἄθλιε καί ταλαίπωρε, ἀπό τή βαρβαρική αὐτή δουλεία; Δέ βλέπεις ἐκείνους πού καθημερινά ὁδηγοῦνται στά μνήματα, πῶς μεταφέρονται γυμνοί καί ἔρημοι ἀπ' ὅλα στούς τάφους τους, χωρίς νά μποροῦν νά πάρουν τίποτε ἀπό τά δικά τους, ἀλλά καί αὐτά πού ἔχουν νά τά φέρνουν στά σκουλήκια; Αὐτούς νά σκέπτεσαι κάθε ἡμέρα, καί ἴσως σταματήσει τό πάθος, ἐάν δέν πρόκειται καί ἀπό ἐκεῖ, ἀπό τήν πολυτέλεια τῶν ἐνταφίων, νά γίνεσαι περισσότερο παράφρονας. Γιατί πραγματικά τό πάθος εἶναι δύσκολο καί ἡ ἀσθένεια φοβερή. Γι' αὐτό καί ἐμεῖς σέ κάθε συγκέντρωση σᾶς μιλᾶμε γι' αὐτό, καί συνέχεια κατακλύζουμε τά αὐτιά σας μέ αὐτό, γιά νά γίνει τουλάχιστο μέ τή συνήθεια κάτι περισσότερο.

Ἀλλά μή διαφωνήσετε, γιατί ὄχι μόνο στή μέλλουσα κρίση, ἀλλά καί πρίν ἀπό αὐτήν πολλές τιμωρίες προκαλεῖ τό πολύμορφο αὐτό πάθος. Γιατί, καί ἄν ἀκόμη ἀναφέρω ἐκείνους πού παντοτινά εἶναι φυλακισμένοι, ἤ ἐκεῖνον πού εἶναι καθηλωμένος σέ μακροχρόνια ἀρρώστια, ἤ ἐκεῖνον πού παλεύει μέ τήν πείνα, ἤ ὁποιονδήποτε ἄλλον, κανένα δέ θά μπορέσω ν' ἀποδείξω πώς παθαίνει τέτοια, πού παθαίνουν αὐτοί πού ἀγαποῦν ὑπερβολικά τά χρήματα. Τί λοιπόν μπορεῖ νά ὑπάρξει πιό φοβερό ἀπό τό νά μισεῖται κανείς ἀπ' ὅλους; ἀπό τό νά μισεῖ ὅλους; ἀπό τό νά μήν ἔχει καλή διάθεση γιά κανέναν; ἀπό τό νά μή χορταίνει ποτέ; ἀπό τό νά διψάει πάντοτε; ἀπό τό νά παλεύει συνέχεια μέ τήν πείνα, καί ἀπό ἐκεῖνο πού θεωρεῖται ἀπ' ὅλους πιό φοβερό; ἀπό τό νά ἔχει καθημερινές λύπες; ἀπό τό νά μήν εἶναι ποτέ νηφάλιος; ἀπό τό νά εἶναι πάντοτε σέ σύγχυση καί ταραχή; Γιατί ὅλα αὐτά καί περισσότερα μάλιστα ἀπ' αὐτά παθαίνουν οἱ πλεονέκτες, ἀφοῦ στό κέρδος, καί ἄν ἀκόμη ἔχουν τά πάντα, δέν αἰσθάνονται καμιά εὐχαρίστηση, ἐπειδή ἐπιθυμοῦν περισσότερα, στή ζημία ὅμως, καί ἄν ἀκόμη χάσουν ἕνα ὀβολό, νομίζουν ὅτι ἔχουν πάθει τά πιό φοβερά ἀπ' ὅλα καί ὅτι ἔχουν χάσει καί τήν ἴδια τή ζωή τους.

Ποῖος οὖν ταῦτα παραστῆσαι δυνήσεται λόγος τὰ κακά; Εἰ δὲ τὰ ἐνταῦθα τοιαῦτα, ἐννόησον τὰ μετὰ ταῦτα, τὴν ἔκπτωσιν τῆς βασιλείας, τὴν ὀδύνην τὴν ἀπὸ τῆς γεέννης, τὰ διηνεκῆ δεσμά, τὸ σκότος τὸ ἐξώτερον, τὸν σκώληκα τὸν ἰοβόλον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὴν θλῖψιν, τὴν στεναχωρίαν, τοὺς τοῦ πυρὸς ποταμούς, τὰς καμίνους τὰς μηδέποτε σβεννυμένας· καὶ ταῦτα πάντα συναγαγὼν καὶ τῇ τῶν χρημάτων ἀντιστήσας ἡδονῇ, πρόρριζον ἀνάσπασον τουτὶ τὸ νόσημα, ἵνα τὸν ἀληθῆ πλοῦτον λαβὼν καὶ τῆς χαλεπῆς ταύτης πενίας ἀπαλλαγείς, καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχῃς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ποιός λόγος λοιπόν θά μπορέσει νά παραστήσει τά κακά αὐτά; Ἐάν ὅμως τά ἐδῶ εἶναι τέτοια, σκέψου ἐκεῖνα πού ἀκολουθοῦν ὕστερα, τήν ἀπώλεια τῆς βασιλείας, τήν ὀδύνη πού προέρχεται ἀπό τή γέεννα, τά παντοτινά δεσμά, τό σκοτάδι τῆς κόλασης, τό φαρμακερό σκουλήκι, τό τρίξιμο τῶν δοντιῶν, τή θλίψη, τή στενοχώρια, τά ποτάμια τῆς φωτιᾶς, τά καμίνια πού δέν σβήνουν ποτέ. Καί ἀφοῦ μαζέψεις ὅλα αὐτά καί τά συγκρίνεις μέ τήν εὐχαρίστηση τῶν χρημάτων, κόψε ἀπό τή ρίζα του αὐτήν ἐδῶ τήν ἀρρώστια, ὥστε, ὅταν ἀποκτήσεις τόν ἀληθινό πλοῦτο καί ἀπαλλαχθεῖς ἀπό τή φοβερή αὐτή φτώχεια, νά ἐπιτύχεις καί τά παρόντα καί τά μελλοντικά ἀγαθά, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΕ'

(Ρωμ. 8,12-27)

«Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν. Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν, εἰ δὲ Πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε».

1. Δείξας ὅσον τὸ ἔπαθλον τοῦ πνευματικοῦ βίου, καὶ ὅτι Χριστὸν ἔνοικον ποιεῖ, καὶ ὅτι ζωοποιεῖ τὰ θνητὰ σώματα, καὶ πρὸς τὸν οὐρανὸν πτεροῖ, καὶ τὴν ὁδὸν τῆς ἀρετῆς εὐκολωτέραν ἐργάζεται, ἀναγκαίως ἐπάγει λοιπὸν τὴν παραίνεσιν λέγων· οὐκοῦν οὐκ ὀφείλομεν ζῆν κατὰ σάρκα. Ἀλλ' οὕτω μὲν οὐκ εἶπε, πληκτικώτερον δὲ πολλῷ καὶ δυνατώτερον εἰπών, ὀφειλέται ἐσμὲν τῷ Πνεύματι· τῷ γὰρ εἰπεῖν, ὅτι οὐκ ἐσμεν ὀφειλέται τῇ σαρκί, τοῦτο ἐδήλωσε. Καὶ πανταχοῦ τοῦτο κατασκευάζει, δεικνὺς ὅτι τὰ μὲν παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς γεγενημένα οὐκ ὀφειλῆς ἦν, ἀλλὰ γυμνῆς χάριτος, τὰ δὲ παρ' ἡμῶν μετὰ ταῦτα γινόμενα, οὐκέτι φιλοτιμίας, ἀλλ' ὀφειλῆς. Καὶ γὰρ ὅταν λέγῃ, «τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων», τοῦτο αἰνίττεται· καὶ ὅταν γράφῃ, ὅτι «οὐκ ἐστὲ ἑαυτῶν», τὸ αὐτὸ τοῦτο δηλοῖ. Καὶ ἑτέρωθι δὲ πάλιν τῶν αὐτῶν ἀναμιμνήσκει τούτων, οὕτω λέγων, ὅτι «εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσι». Τοῦτο δὴ καὶ ἐνταῦθα κατασκευάζων φησίν, «ὀφειλέται ἐσμέν».

---

1. Α' Κορ. 7, 23. 2. Α' Κορ. 6, 19. 3. Β' Κορ. 5, 14. 15.

ΟΜΙΛΙΑ ΙΕ΄

(Ρωμ. 8,12-27)

«Ἑπομένως λοιπόν, ἀδελφοί, εἶμαστε ὀφειλέτες ὄχι στή σάρκα, γιά νά ζοῦμε σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας. Γιατί, ἄν ζεῖτε σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας, τότε θά πεθαίνετε, ἐάν ὅμως μέ τό πνεῦμα νεκρώνετε τίς πράξεις τοῦ σώματος, τότε θά ζήσετε».

1. Ἀφοῦ ἔδειξε πόσο μεγάλο εἶναι τὸ ἔπαθλο τῆς πνευματικῆς ζωῆς, καί ὅτι κάνει ἔνοικο τό Χριστό, καί ὅτι ζωοποιεῖ τά θνητά σώματα, καί ὅτι δίνει φτερά γιά τόν οὐρανό, καί ὅτι κάνει πιό εὔκολο τό δρόμο τῆς ἀρετῆς, ἀναγκαστικά προσθέτει στή συνέχεια τήν παραίνεση, λέγοντας· ἐπομένως δέν ὀφείλουμε νά ζοῦμε σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας. Καί αὐτό βέβαια δέν τό εἶπε, ἀλλά μίλησε πολύ πιό ἔντονα καί πιό ἰσχυρά, λέγοντας, εἶμαστε ὀφειλέτες στό πνεῦμα. Γιατί μέ τό νά πεῖ, ὅτι δέν εἶμαστε ὀφειλέτες στή σάρκα, αὐτό φανέρωσε. Καί παντοῦ τονίζει αὐτό, δείχνοντας ὅτι ἐκεῖνα πού ἔκανε ὁ Θεός σ' ἐμᾶς δέν ἦταν ἀπόδειξη ὀφειλῆς, ἀλλά μόνο χάριτος, ἐνῶ ἐκεῖνα πού κάνουμε ἐμεῖς ὕστερα ἀπ' αὐτά, δέν εἶναι πιά ἀπόδειξη φιλοτιμίας, ἀλλ' ὀφειλῆς. Γιατί καί ὅταν λέγει, «ἔχετε ἀγορασθεῖ μέ τίμημα, μή γίνεσθε λοιπόν δοῦλοι ἀνθρώπων»[1], αὐτό ὑπονοεῖ. Καί ὅταν γράφει, ὅτι, «δέν ἀνήκετε στόν ἑαυτό σας»[2], τό ἴδιο ἀκριβῶς φανερώνει. Καί ἀλλοῦ ὅμως πάλι θυμίζει αὐτά τά ἴδια, λέγοντας ἔτσι, «ἐάν ἕνας πέθανε γιά ὅλους, ἄρα πέθαναν ὅλοι, ὥστε ἐκεῖνοι πού ζοῦν νά μή ζοῦν πιά γιά τόν ἑαυτό τους»[3]. Αὐτό ἀκριβῶς καί ἐδῶ ἀποδεικνύοντας λέγει, «εἶμαστε ὀφειλέτες».

Εἶτα, ἐπειδὴ εἶπεν, «οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκί», ἵνα μὴ τὰ λεγόμενα πάλιν εἰς τὴν τῆς σαρκὸς λάβῃς φύσιν, οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγε· «τοῦ κατὰ σάρκα ζῆν». Καὶ γὰρ πολλὰ αὐτῇ ὀφείλομεν, τὸ τρέφειν αὐτήν, τὸ θάλπειν, τὸ ἀναπαύειν, τὸ θεραπεύειν νοσοῦσαν, τὸ περιβάλλειν, καὶ μυρία ἕτερα λειτουργεῖν. Ἵν' οὖν μὴ νομίσῃς, ὅτι ταύτην ἀναιρεῖ τὴν διακονίαν, εἰπών, «οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκί», ἑρμηνεύει αὐτὸ λέγων· «τοῦ κατὰ σάρκα ζῆν». Ἐκείνην γὰρ ἀναιρῶ τὴν σπουδήν, φησί, τὴν ἐπὶ ἁμαρτίαν ἄγουσαν, ὡς τά γε θεραπεύοντα αὐτὴν βούλομαι γίνεσθαι· ὅπερ καὶ προϊὼν ἐδήλωσεν. Εἰπὼν γάρ, «τῆς σαρκὸς μὴ ποιεῖσθε πρόνοιαν», οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν, «εἰς ἐπιθυμίας». Ὃ δὴ καὶ ἐνταῦθα παιδεύει λέγων, ὅτι θεραπευέσθω μέν· ὀφείλομεν γὰρ αὐτῇ τοῦτο· μὴ μέντοι κατὰ σάρκα ζῶμεν· τουτέστι, μὴ ποιῶμεν αὐτὴν κυρίαν τῆς ζωῆς τῆς ἡμετέρας. Ἕπεσθαι γὰρ αὐτὴν ἀναγκαῖον, οὐχ ἡγεῖσθαι, οὐδὲ αὐτὴν ρυθμίζειν τὸν βίον τὸν ἡμέτερον, ἀλλὰ τοὺς τοῦ Πνεύματος δέχεσθαι νόμους.

Τοῦτο τοίνυν διορισάμενος, καὶ κατασκευάσας, ὅτι ὀφειλέται ἐσμὲν τῷ Πνεύματι, εἶτα δεικνὺς ὅτι τίνων ὀφειλέται εὐεργεσιῶν, οὐ τὰ παρελθόντα λέγει, ἐφ' ᾧ μάλιστα αὐτόν ἐστιν ἐκπλαγῆναι τῆς συνέσεως, ἀλλὰ τὰ μέλλοντα. Καίτοιγε ἱκανὰ ἦν κἀκεῖνα· ἀλλ' ὅμως οὐ τίθησιν αὐτὰ νῦν, οὐδὲ λέγει τὰς εὐεργεσίας τὰς ἀφάτους ἐκείνας, ἀλλὰ τὰ μέλλοντα. Οὐδὲ γὰρ οὕτως ἡ δοθεῖσα ἅπαξ εὐεργεσία, ὡς ἡ προσδοκωμένη καὶ μέλλουσα, ἐπάγεσθαι τοὺς πολλοὺς εἴωθε. Καὶ τοῦτο προθέμενος, πρότερον ἀπὸ τῶν λυπηρῶν φοβεῖ καὶ τῶν κακῶν τῶν γινομένων ἐκ τοῦ κατὰ σάρκα ζῆν, οὕτω λέγων· «Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν»· τὸν θάνατον ἡμῖν αἰνιττόμενος ἐκεῖνον τὸν ἀθάνατον, τὴν ἐν τῇ γεέννῃ κόλασιν καὶ τιμωρίαν. Μᾶλλον δέ, εἴ τις ἀκριβῶς ἐξετάσειε τοῦτο, καὶ ἐν τῇ ζωῇ ταύτῃ τέθνηκεν ὁ τοιοῦτος· ὅπερ οὖν καὶ ἐν τῇ πρὸ ταύτης διαλέξει σαφὲς ὑμῖν πεποιήκαμεν. «Εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦντες, ζήσεσθε». Ὁρᾷς ὅτι οὐ περὶ φύσεως διαλέγεται σώματος, ἀλλὰ περὶ πράξεων σαρκικῶν; Οὐ γὰρ εἶπεν,

4. Ρωμ. 13, 14.

Ἔπειτα, ἐπειδή εἶπε, «δέν εἴμαστε ὀφειλέτες στή σάρκα», γιά νά μή θεωρήσεις πώς τά λεγόμενα ἀναφέρονται στή φύση τῆς σάρκας, δέ σιώπησε, ἀλλά πρόσθεσε· «γιά νά ζοῦμε σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας». Γιατί πραγματικά πολλά ὀφείλουμε σ' αὐτήν ὅπως τό νά τήν τρέφουμε, τό νά τή ζεσταίνουμε, τό νά τή φροντίζουμε ὅταν ἀρρωσταίνει, τό νά τήν ντύνουμε καί νά τῆς προσφέρουμε ἄπειρα ἄλλα. Γιά νά μή νομίσεις λοιπόν, ὅτι ἀναιρεῖ αὐτήν τήν ὑπηρεσία, ἀφοῦ εἶπε, «δέν εἴμαστε ὀφειλέτες στή σάρκα», ἑρμηνεύει αὐτό λέγοντας· «γιά νά ζοῦμε σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας». Καταργῶ λοιπόν ἐκείνη τή φροντίδα, λέγει, πού ὁδηγεῖ στήν ἁμαρτία, ἐπειδή θέλω νά γίνονται ἐκεῖνα πού τή φροντίζουν, πράγμα πού καί παρακάτω δήλωσε. Γιατί, ἀφοῦ εἶπε, «μή φροντίζετε γιά τή σάρκα», δέ σιώπησε, ἀλλά πρόσθεσε, «γιά νά ἱκανοποιήσετε τίς ἐπιθυμίες της»[4]. Αὐτό ἀκριβῶς καί ἐδῶ διδάσκει λέγοντας, ἄς φροντίζουμε τή σάρκα, γιατί τό ὀφείλουμε τοῦτο σ' αὐτήν, ἄς μή ζοῦμε ὅμως σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας, δηλαδή, ἄς μήν κάνουμε αὐτήν κυρίαρχο στή ζωή μας. Γιατί εἶναι ἀνάγκη ν' ἀκολουθεῖ αὐτή, ὄχι νά προηγεῖται, οὔτε νά ρυθμίζει τή δική μας ζωή, ἀλλά νά δέχεται τούς νόμους τοῦ Πνεύματος.

Ἀφοῦ λοιπόν καθόρισε καί ἀπέδειξε αὐτό, ὅτι δηλαδή εἴμαστε ὀφειλέτες στό Πνεῦμα, στή συνέχεια δείχνοντας γιά ποιές εὐεργεσίες εἴμαστε ὀφειλέτες, δέ λέγει τά περασμένα, πράγμα γιά τό ὁποῖο ἰδιαίτερα εἶναι δυνατό νά θαυμασθεῖ ἡ σύνεσή του, ἀλλά τά μελλοντικά. Ἄν καί βέβαια ἦταν ἀρκετά ἐκεῖνα, ἀλλ' ὅμως δέν τ' ἀναφέρει αὐτά τώρα, οὔτε λέγει τίς ἀνέκφραστες ἐκεῖνες εὐεργεσίες, ἀλλά τά μελλοντικά. Γιατί συνήθως οὔτε ἡ εὐεργεσία πού δόθηκε μιά φορά προσελκύει τόσο τούς πολλούς, ὅσο ἡ ἀναμενόμενη καί μελλοντική. Καί ἔχοντας σκοπό νά κάνει αὐτό, πρῶτα φοβερίζει ἀπό τά λυπηρά καί τά κακά πού προκαλοῦνται ἀπό τή σαρκική ζωή, λέγοντας τά ἑξῆς· «γιατί, ἄν ζεῖτε σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας, τότε θά πεθαίνετε», ὑπονοώντας τό θάνατο ἐκεῖνον τόν ἀθάνατο, τήν κόλαση καί τιμωρία στή γέεννα. Μᾶλλον ὅμως, ἄν κάποιος ἤθελε ἐξετάσει μέ προσοχή αὐτό, καί στή ζωή αὐτή ἔχει πεθάνει ἕνας τέτοιος ἄνθρωπος, πράγμα βέβαια πού καί στήν προηγούμενη ὁμιλία σᾶς τό ἔχω κάνει σαφές. «Ἐάν ὅμως μέ τό πνεῦμα νεκρώνετε τίς πράξεις τοῦ σώματος, τότε θά ζήσετε». Βλέπεις ὅτι

εἰ δὲ πνεύματι τὴν φύσιν τοῦ σώματος θανατοῦτε, ἀλλά, «τὰς πράξεις», καὶ οὐδὲ ταύτας πάσας, ἀλλὰ τὰς πονηράς· καὶ τοῦτο δῆλον ἐν τοῖς ἑξῆς· εἰ γὰρ τοῦτο ποιήσετε, ζήσεσθε, φησί.

Καὶ πῶς ἔνι τοῦτο γενέσθαι, εἰ περὶ πασῶν ὁ λόγος ἦν αὐτῷ; Καὶ γὰρ καὶ τὸ ὁρᾶν, καὶ τὸ ἀκούειν, καί τὸ φθέγγεσθαι, καὶ τὸ βαδίζειν, τοῦ σώματος πράξεις εἰσί· καὶ εἰ μέλλοιμεν αὐτὰς θανατοῦν, τοσοῦτον ἀφέξομεν τοῦ ζῆν, ὅτι καὶ ἀνδροφονίας δώσομεν δίκην. Ποίας οὖν φησι πράξεις θανατοῦν; Τὰς ἐπὶ πονηρίαν κινουμένας, τὰς ἐπὶ κακίαν χωρούσας, ἃς οὐδὲ ἄλλως ἔστι θανατῶσαι, ἢ διὰ Πνεύματος. Τὰς μὲν γὰρ ἄλλας ἀποκτείναντα ἑαυτὸν ἀνελεῖν ἔστιν, ὅπερ οὐ θέμις· ταύτας δὲ διὰ Πνεύματος μόνον. Ἂν γὰρ τοῦτο παρῇ, πάντα τὰ κύματα καταστέλλεται, καὶ τὰ πάθη κατέπτηχε, καὶ οὐδὲν ἡμῶν κατεξανίσταται. Εἶδες πῶς ἀπὸ τῶν μελλόντων ἡμᾶς, ὅπερ ἔμπροσθεν εἶπον, προτρέπει καὶ δείκνυσιν ὀφειλέτας, οὐκ ἀπὸ τῶν ἤδη γεγενημένων μόνον; Οὐ γὰρ τοῦτο μόνον ἐστί, φησί, τὸ κατόρθωμα τοῦ Πνεύματος, ὅτι τῶν παρελθόντων ἀφῆκεν ἡμᾶς ἁμαρτημάτων, ἀλλ' ὅτι καὶ πρὸς τὰ μέλλοντα ἀχειρώτους ἡμᾶς κατασκευάζει, καὶ ζωῆς ἀξιοῖ τῆς ἀθανάτου.

2. Εἶτα καὶ ἕτερον τιθεὶς μισθόν, ἐπήγαγεν· «ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ». Οὗτος γὰρ πάλιν πολλῷ τοῦ προτέρου μείζων ὁ στέφανος. Διὸ οὐδὲ ἁπλῶς εἶπεν, 'ὅσοι γὰρ Πνεύματι Θεοῦ ζῶσιν', ἀλλ', «ὅσοι Πνεύματι Θεοῦ ἄγονται», δεικνὺς ὅτι οὕτω βούλεται αὐτὸ κύριον εἶναι τῆς ἡμετέρας ζωῆς, ὡς τὸν κυβερνήτην τοῦ πλοίου, καὶ τὸν ἡνίοχον τοῦ ζεύγους τῶν ἵππων. Καὶ οὐχὶ τὸ σῶμα μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν ὑποβάλλει ταῖς τοιαύταις ἡνίαις. Οὐδὲ γὰρ ἐκείνην βούλεται αὐθεντεῖν, ἀλλὰ καὶ ἐκείνης τὴν ἐξουσίαν ὑπὸ τῇ τοῦ Πνεύματος ἔθηκε δυνάμει. Ἵνα γὰρ μὴ τῇ δωρεᾷ τοῦ λουτροῦ θαρρήσαντες, τῆς μετὰ ταῦτα ἀμελήσωσι πολιτείας, φησίν, ὅτι κἂν βάπτισμα λάβῃς, μὴ μέλλῃς δὲ Πνεύματι μετὰ ταῦτα ἄγεσθαι, ἀπώλεσας τὴν δεδομένην

δέ μιλάει γιά τή φύση τοῦ σώματος, ἀλλά γιά τίς σαρκικές πράξεις; Γιατί δέν εἶπε, 'ἐάν ὅμως μέ τό Πνεῦμα νεκρώνετε τή φύση τοῦ σώματος', ἀλλά, «τίς πράξεις», καί ὄχι αὐτές ὅλες, ἀλλά τίς κακές. Καί αὐτό γίνεται φανερό μέ τά ἑπόμενα. Γιατί, λέγει, ἄν θά κάνετε αὐτό, τότε θά ζήσετε.

Καί πῶς εἶναι δυνατό νά γίνει αὐτό, ἐάν μιλοῦσε γιά ὅλες τίς πράξεις; Γιατί βέβαια καί ἡ ὅραση, καί ἡ ἀκοή, καί ἡ ὁμιλία, καί τό βάδισμα εἶναι πράξεις τοῦ σώματος, καί ἄν συμβεῖ νά τίς νεκρώσουμε, τόσο θ' ἀπομακρυνθοῦμε ἀπό τή ζωή, ἀφοῦ θά τιμωρηθοῦμε καί γιά φόνο. Ποιές λοιπόν πράξεις λέγει νά νεκρώνουμε; Ἐκεῖνες πού κινοῦνται πρός τήν πονηρία, ἐκεῖνες πού προχωροῦν πρός τήν κακία, τίς ὁποῖες δέν εἶναι δυνατό νά νεκρώσομε διαφορετικά, παρά μόνο μέ τό Πνεῦμα. Γιατί τίς ἄλλες εἶναι δυνατό νά νεκρώσει κανείς, ἀφοῦ θανατώσει τόν ἑαυτό του, πράγμα πού δέν εἶναι θεμιτό, ἐνῶ αὐτές μόνο μέ τό πνεῦμα. Γιατί, ἄν αὐτό ὑπάρχει, ὅλα τά κύματα ἀναχαιτίζονται, καί τά πάθη ὑποχωροῦν καί τίποτε δέν ξεσηκώνεται ἐναντίον μας. Εἶδες πῶς ἀπό τά μελλοντικά, πράγμα πού προανέφερα, μᾶς προτρέπει καί μᾶς ἀποδεικνύει ὀφειλέτες, καί ὄχι μόνο ἀπό αὐτά πού συνέβηκαν ἤδη; Γιατί, δέν εἶναι αὐτό μόνο, λέγει, τό κατόρθωμα τοῦ Πνεύματος, ὅτι δηλαδή μᾶς ἀπάλλαξε ἀπό τά περασμένα ἁμαρτήματα, ἀλλ' ὅτι μᾶς κάνει καί πρός τά μελλοντικά ἀνίκητους καί ἄξιους γιά τήν ἀθάνατη ζωή.

2. Ἔπειτα, ἀφοῦ ἀνέφερε καί ἄλλο μισθό, πρόσθεσε· «Γιατί, ὅσοι ὁδηγοῦνται ἀπό τό Πνεῦμα τοῦ Θεοῦ, αὐτοί εἶναι υἱοί τοῦ Θεοῦ». Αὐτή λοιπόν ἡ ἀμοιβή πάλι εἶναι πολύ μεγαλύτερη ἀπό τήν προηγούμενη. Γι' αὐτό δέν εἶπε ἁπλῶς, 'γιατί ὅσοι ζοῦν μέ τό Πνεῦμα τοῦ Θεοῦ', ἀλλ' «ὅσοι ὁδηγοῦνται ἀπό τό Πνεῦμα τοῦ Θεοῦ», δείχνοντας πώς ἔτσι θέλει νά εἶναι αὐτό κύριο τῆς ζωῆς μας, ὅπως ὁ κυβερνήτης τοῦ πλοίου καί ὁ ἡνίοχος τῶν δύο ἀλόγων. Καί ὄχι μόνο τό σῶμα, ἀλλά καί τήν ἴδια τήν ψυχή βάζει κάτω ἀπό τέτοια χαλινάρια. Γιατί δέ θέλει οὔτε αὐτή νά ἐξουσιάζει, ἀλλά καί αὐτῆς τήν ἐξουσία τήν τοποθέτησε κάτω ἀπό τή δύναμη τοῦ Πνεύματος. Γιά νά μήν παραμελήσουν, ἀφοῦ πάρουν θάρρος ἀπό τή χάρη τοῦ βαπτίσματος, τήν κατοπινή συμπεριφορά τους, λέγει, ὅτι καί ἄν ἀκόμη βαπτισθεῖς, συμβεῖ ὅμως νά μήν ὁδηγεῖσαι ἔπειτα ἀπό τό Πνεῦμα, ἔχασες τό ἀξίωμα πού δόθηκε καί τήν τιμή τῆς υἱοθεσίας.

ἀξίαν, καὶ τῆς υἱοθεσίας τὴν προεδρίαν. Διὰ τοῦτο οὐκ εἶπεν, 'ὅσοι Πνεῦμα ἔλαβον', ἀλλ', «ὅσοι Πνεύματι ἄγονται»· τουτέστιν, ὅσοι παρὰ πάντα τὸν βίον οὕτω πολιτεύονται· οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Εἶτα, ἐπειδὴ τοῦτο τὸ ἀξίωμα καὶ τοῖς Ἰουδαίοις ἦν δεδομένον, «ἐγὼ γάρ», φησίν, «εἶπον, θεοί ἐστε, καί υἱοὶ ὑψίστου πάντες», καὶ πάλιν, «υἱοὺς ἐγέννησα καὶ ὕψωσα», καί, «πρωτότοκός μου Ἰσραήλ»· καὶ ὁ Παῦλος δέ φησιν, «ὧν ἡ υἱοθεσία», κατασκευάζει λοιπὸν ὅσον τὸ μέσον ἐκείνης καὶ ταύτης τῆς τιμῆς.

Εἰ γὰρ καὶ τὰ ὀνόματα τὰ αὐτά, φησίν, ἀλλ' οὐ τὰ πράγματα τὰ αὐτά. Καὶ σαφῆ παρέχει τούτων ἀπόδειξιν, καὶ ἀπὸ τῶν κατορθούντων, καὶ ἀπὸ τῶν δεδομένων, καὶ ἀπὸ τῶν μελλόντων ἔσεσθαι τὴν σύγκρισιν εἰσάγων. Καὶ πρότερον δείκνυσι τίνα ἦν τὰ ἐκείνοις δεδομένα. Τίνα οὖν ταῦτα ἦν; Πνεῦμα δουλείας· διὸ καὶ ἐπήγαγε λέγων· «οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον». Εἶτα ἀφεὶς εἰπεῖν τὸ ἀντιδιαστελλόμενον τῇ δουλείᾳ, τουτέστι, Πνεῦμα ἐλευθερίας, τὸ πολλῷ μεῖζον τέθεικε, τὸ τῆς υἱοθεσίας, δι' οὗ κἀκεῖνο συνεισήγετο, εἰπών· «ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας». Ἀλλὰ τοῦτο μὲν δῆλον, τὸ δὲ πνεῦμα τῆς δουλείας τί ποτέ ἐστιν, ἄδηλον. Οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον. Οὐδὲ γὰρ ἀσαφὲς μόνον, ἀλλὰ καὶ σφόδρα ἄπορον τὸ εἰρημένον· Πνεῦμα γὰρ οὐκ ἔλαβεν ὁ τῶν Ἰουδαίων δῆμος. Τί οὖν ἐνταῦθά φησι; Τὰ γράμματα οὕτως ἐκάλεσεν, ἐπειδὴ πνευματικὰ ἦν, ὥσπερ οὖν καὶ τὸν νόμον πνευματικόν, καὶ τὸ ὕδωρ τὸ ἀπὸ τῆς πέτρας, καὶ τὸ μάννα. «Πάντες γάρ», φησί, «τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον». Καὶ τὴν πέτραν δὲ οὕτως ὀνομάζει, λέγων· «ἔπινον δὲ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας». Ἐπειδὴ γὰρ ὑπὲρ φύσιν ἦν πάντα τὰ τελούμενα, πνευματικὰ αὐτὰ ἐκάλεσεν, οὐκ ἐπειδὴ πνεῦμα ἔλαβον οἱ μετέχοντες αὐτῶν τότε.

Καὶ πῶς τὰ γράμματα ἐκεῖνα δουλείας ἦν γράμματα; Παράγαγε πᾶσαν τὴν πολιτείαν, καὶ τότε εἴσῃ καὶ τοῦτο σαφῶς. Καὶ γὰρ αἱ τιμωρίαι παρὰ πόδας αὐτοῖς, καὶ ὁ μισθὸς εὐθέως εἵπετο, σύμ-

---

5. Ψαλμ. 81, 6.
6. Ἠσ. 1, 2.
7. Ἐξ. 4, 22.
8. Ρωμ. 9, 4.
[illegible] Κορ. 10, 3. 4.

Γι' αὐτό δέν εἶπε, 'ὅσοι ἔλαβαν Πνεῦμα', ἀλλ' «ὅσοι ὁδηγοῦνται ἀπό τό Πνεῦμα». Δηλαδή, ὅσοι ζοῦν ἔτσι ὅλη τους τή ζωή, «αὐτοί εἶναι υἱοί τοῦ Θεοῦ». Ἔπειτα, ἐπειδή τό ἀξίωμα αὐτό δόθηκε καί στούς Ἰουδαίους, «Γιατί ἐγώ», λέγει, «εἶπα ὅλοι εἶστε θεοί καί υἱοί τοῦ Ὑψίστου»[5], καί πάλι, «υἱούς γέννησα καί δόξασα»[6], καί, «πρωτότοκος υἱός μου εἶναι ὁ ἰσραηλιτικός λαός»[7], καί ὁ Παῦλος πάλι λέγει, «στούς ὁποίους ἀνήκει ἡ υἱοθεσία»[8], ἀποδεικνύει στή συνέχεια πόση εἶναι ἡ διαφορά ἐκείνης καί αὐτῆς τῆς τιμῆς.

Γιατί, ἄν καί τά ὀνόματα εἶναι τά ἴδια, λέγει, ἀλλά τά πράγματα δέν εἶναι τά ἴδια. Καί δίνει σαφή ἀπόδειξη αὐτῶν, κάνοντας σύγκριση καί ἀπό ἐκείνους πού κατορθώνουν, καί ἀπό ἐκεῖνα πού ἔχουν δοθεῖ, καί ἀπό ἐκεῖνα πού πρόκειται νά γίνουν. Καί πρῶτα δείχνει ποιά ἦταν αὐτά πού εἶχαν δοθεῖ σ' ἐκείνους. Ποιά λοιπόν ἦταν αὐτά; Πνεῦμα δουλείας· γι' αὐτό καί πρόσθεσε λέγοντας· «Γιατί δέ λάβατε πνεῦμα δουλείας πάλι πού προκαλεῖ φόβο». Ἔπειτα, ἀφοῦ παρέλειψε νά πεῖ τό ἀντίθετο τῆς δουλείας, δηλαδή, Πνεῦμα ἐλευθερίας, ἀνέφερε τό πολύ μεγαλύτερο, τό Πνεῦμα τῆς υἱοθεσίας, μέ τό ὁποῖο καί ἐκεῖνο εἰσαγόταν μαζί, λέγοντας· «ἀλλά λάβατε Πνεῦμα υἱοθεσίας». Ἀλλ' αὐτό βέβαια εἶναι φανερό, ἐνῶ τό πνεῦμα τῆς δουλείας τί τέλος πάντων σημαίνει, δέν εἶναι φανερό. Ἑπομένως εἶναι ἀνάγκη νά κάνει αὐτό σαφέστερο. Γιατί αὐτό πού ἔχει λεχθεῖ δέν εἶναι ἀσαφές μόνο, ἀλλά καί πάρα πολύ ἀνεξήγητο, γιατί Πνεῦμα δέν ἔλαβε ὁ ἰουδαϊκός λαός. Τί λοιπόν ἐννοεῖ ἐδῶ; Τά γράμματα ὀνόμασε ἔτσι, ἐπειδή ἦταν πνευματικά, ὅπως ἀκριβῶς βέβαια ὀνόμασε καί τό νόμο πνευματικό, καί τό νερό πού ἔτρεξε ἀπό τήν πέτρα, καί τό μάννα. «Γιατί ὅλοι», λέγει, «ἔφαγαν τήν ἴδια πνευματική τροφή, καί ὅλοι ἤπιαν τό ἴδιο πνευματικό ποτό»[9]. Καί τήν πέτρα ὅμως τήν ὀνομάζει ἔτσι, λέγοντας· «Καί ἔπιναν ἀπό τήν πνευματική πέτρα πού τούς ἀκολουθοῦσε». Ἐπειδή λοιπόν ὅλα αὐτά πού γίνονταν ἦταν ὑπερφυσικά, τά ὀνόμασε πνευματικά, καί ὄχι ἐπειδή ἔλαβαν Πνεῦμα ἐκεῖνοι πού μετεῖχαν τότε σ' αὐτά.

Καί πῶς τά γράμματα ἐκεῖνα ἦταν γράμματα δουλείας; Μελέτησε ὅλη τή ζωή τους καί τότε θά γνωρίσεις καί αὐτό καλά. Γιατί καί οἱ τιμωρίες ἦταν ἐνώπιόν τους, καί ὁ μισθός ἀμέσως ἀκολουθοῦσε, καί ἦταν κανονικός καί σάν καθημερινή τροφή δινόταν στούς δούλους, καί ἀπό παντοῦ ὑπῆρχε πάρα πολύς φόβος ἐνώπιόν

μετρός τε ὢν καὶ ὥσπερ σιτηρέσιόν τι καθημερινὸν διδόμενον οἰκέταις, καὶ πολὺς πανταχόθεν ὁ φόβος πρὸ τῆς ὄψεως ἀκμάζων, καὶ περὶ τὰ σώματα οἱ καθαρμοί, καὶ μέχρι τῶν πράξεων ἡ ἐγκράτεια. Παρὰ δὲ ἡμῖν οὐχ οὕτως, ἀλλὰ καὶ λογισμὸς καὶ συνειδὸς ἐκκαθαίρεται. Οὐ γὰρ λέγει, μὴ φονεύσῃς, μόνον, ἀλλά, μηδὲ ὀργισθῇς· οὐδέ, μὴ μοιχεύσῃς, ἀλλά, μηδὲ ἴδῃς ἀκολάστως· ἵνα μηκέτι τῷ φόβῳ τῆς κολάσεως τῆς παρούσης, ἀλλὰ τῷ πόθῳ τῷ πρὸς αὐτόν, τό τε ἐν ἕξει τῆς ἀρετῆς εἶναι καὶ τὰ ἄλλα τὰ κατορθούμενα ᾖ. Οὐδὲ ἐπαγγέλλεται γῆν ῥέουσαν γάλα καὶ μέλι, ἀλλὰ τῷ μονογενεῖ συγκληρονόμον ποιεῖ, τῶν παρόντων ἡμᾶς διὰ πάντων ἀφιστάς, καὶ ἐκεῖνα μάλιστα ἐπαγγελλόμενος διδόναι, ἃ τοῖς γενομένοις υἱοῖς Θεοῦ πρέπει λαμβάνειν· αἰσθητὸν μὲν οὐδέν, οὐδὲ σωματικόν, πνευματικὰ δὲ ἅπαντα. Ὥστε ἐκεῖνοι μὲν εἰ καὶ υἱοὶ ἐκαλοῦντο, ἀλλ' ὡς δοῦλοι, ἡμεῖς δὲ ὡς ἐλεύθεροι γενόμενοι, τὴν υἱοθεσίαν ἐλάβομεν, καὶ τὸν οὐρανὸν ἀναμένομεν.

Κἀκείνοις μὲν δι' ἑτέρων διελέγετο, ἡμῖν δὲ δι' ἑαυτοῦ. Κἀκεῖνοι μὲν φόβῳ τιμωρίας πάντα ἔπραττον ἀγόμενοι, οἱ δὲ πνευματικοὶ ἐπιθυμίᾳ καὶ πόθῳ· καὶ τοῦτο δηλοῦσι τῷ καὶ ὑπερβαίνειν τὰ ἐπιτάγματα. Ἐκεῖνοι ὡς μισθωτοὶ καὶ ἀγνώμονες, οὐδέποτε γοῦν διέλιπον γογγύζοντες, οὗτοι δὲ εἰς ἀρέσκειαν τοῦ Πατρός· καὶ οἱ μὲν εὐεργετούμενοι ἐβλασφήμουν, ἡμεῖς δὲ κινδυνεύοντες εὐχαριστοῦμεν. Κἂν κολασθῆναι δὲ ἁμαρτάνοντας δέῃ, καὶ ἐνταῦθα πολλὴ ἡ διαφορά. Οὐ γὰρ ὡς ἐκεῖνοι καταλευόμενοι καὶ καιόμενοι καὶ ἀκρωτηριαζόμενοι παρὰ τῶν ἱερέων, οὕτω καὶ ἡμεῖς ἐπιστρεφόμεθα· ἀλλὰ ἀρκεῖ τραπέζης ἐκβληθῆναι πατρικῆς, καὶ ἀπὸ ὄψεως ῥητὰς γενέσθαι ἡμέρας. Καὶ ἐπὶ μὲν τῶν Ἰουδαίων ῥήματος ἦν τιμὴ ἡ υἱοθεσία μόνον, ἐνταῦθα δὲ καὶ πρᾶγμα ἠκολούθησεν, ὁ διὰ βαπτίσματος καθαρμός, ἡ τοῦ Πνεύματος δόσις, ἡ τῶν ἄλλων ἀγαθῶν χορηγία. Καὶ τούτων δὲ ἕτερα πλείονα ἔστιν εἰπεῖν τὴν παρ' ἡμῖν ἐνδεικνύμενα εὐγένειαν, καὶ τὴν ἐκείνων εὐτέλειαν. Ἅπερ ἅπαντα διὰ τοῦ Πνεύματος καὶ τοῦ φόβου καὶ τῆς υἱοθεσίας αἰνιξάμενος, καὶ ἑτέραν ποιεῖται ἀπόδειξιν τοῦ Πνεῦμα υἱοθεσίας ἔχειν. Ποῖον δὴ τοῦτο; Ὅτι «κράζομεν, Ἀββᾶ ὁ πατήρ». Τοῦτο δὲ ἡλί-

τους, καί οἱ καθαρμοί γιά τά σώματα καί ἡ ἐγκράτεια πού ἔφθανε μέχρι καί στίς πράξεις. Σ' ἐμᾶς ὅμως δέ συμβαίνει τό ἴδιο, ἀλλά καί ἡ σκέψη καί ἡ συνείδηση καθαρίζονται τέλεια. Γιατί δέ λέγει μόνο, μή φονεύσεις, ἀλλά καί νά μήν ὀργισθεῖς· οὔτε, νά μή μοιχεύσεις, ἀλλά, καί νά μή δεῖς ἀκόλαστα, γιά νά γίνονται ὄχι ἀπό τό φόβο τῆς παρούσας τιμωρίας, ἀλλ' ἀπό τόν πόθο πρός τό Θεό, καθώς καί ἡ συνήθεια τῆς ἀρετῆς καί τά ἄλλα τά κατορθώματα. Οὔτε ὑπόσχεται γῆ πού τρέχει γάλα καί μέλι, ἀλλά κάνει τόν ἄνθρωπο συγκληρονόμο μέ τό μονογενή Υἱό του, ἀπομακρύνοντας ἐμᾶς μέ ὅλα τά μέσα ἀπό τά παρόντα ἀγαθά, καί ὑποσχόμενος νά μᾶς δίνει κυρίως ἐκεῖνα, πού πρέπει νά λαμβάνουν ἐκεῖνοι πού ἔγιναν υἱοί τοῦ Θεοῦ, πού δέν εἶναι τίποτε βέβαια τό αἰσθητό, οὔτε σωματικό, ἀλλ' ὅλα πνευματικά. Ὥστε ἐκεῖνοι, ἄν καί ὀνομάζονταν υἱοί, ἀλλ' ὅμως ἀποσκιρτοῦσαν σάν δοῦλοι, ἐνῶ ἐμεῖς, ἐπειδή γίναμε ἐλεύθεροι, λάβαμε τήν υἱοθεσία καί ἀναμένουμε τόν οὐρανό.

Καί σ' ἐκείνους βέβαια μιλοῦσε μέ ἄλλους, ἐνῶ σ' ἐμᾶς μίλησε ὁ ἴδιος. Καί ἐκεῖνοι τά ἔκαναν ὅλα ὁδηγούμενοι ἀπό τό φόβο τῆς τιμωρίας, ἐνῶ οἱ πνευματικοί τά κάνουν ἀπό τήν ἐπιθυμία καί τόν πόθο γι' αὐτόν. Καί αὐτό τό φανερώνουν μέ τό νά ὑπερβαίνουν καί τίς ἐντολές. Ἐκεῖνοι σάν μισθωτοί καί ἀχάριστοι, πού ποτέ βέβαια δέ σταματοῦσαν νά γογγύζουν, ἐνῶ αὐτοί γιά νά ἀρέσουν στόν Πατέρα. Καί ἐκεῖνοι, ἄν καί εὐεργετοῦνταν, βλασφημοῦσαν, ἐνῶ ἐμεῖς, ἄν καί κινδυνεύουμε, εὐχαριστοῦμε. Καί ἄν πρέπει νά τιμωρηθοῦμε, ἐπειδή ἁμαρτάνουμε, καί ἐδῶ μεγάλη εἶναι ἡ διαφορά. Γιατί ἐμεῖς δέ μετανοοῦμε ὅπως ἐκεῖνοι ὅταν λιθοβολοῦνταν καί καίονταν καί ἀκρωτηριάζονταν ἀπό τούς ἱερεῖς, ἀλλ' εἶναι ἀρκετό ν' ἀπομακρυνθοῦμε ἀπό τό πατρικό τραπέζι καί νά περάσουμε μακριά του ὁρισμένες ἡμέρες. Καί στούς Ἰουδαίους ἡ υἱοθεσία ἦταν τιμή μόνο ὀνόματος, ἐνῶ ἐδῶ ἀκολούθησε καί πράγμα, ὁ καθαρμός μέ τό βάπτισμα, ἡ δόση τοῦ Πνεύματος, καί ἡ χορήγηση τῶν ἄλλων ἀγαθῶν. Καί ἄλλα πολύ περισσότερα ἀπ' αὐτά εἶναι δυνατό νά ποῦμε πού φανερώνουν τή δική μας εὐγένεια καί τήν εὐτέλεια ἐκείνων. Αὐτά ἀκριβῶς ὅλα ἀφοῦ ὑπαινίχθηκε μέ τό Πνεῦμα καί τό φόβο καί τήν υἱοθεσία, φέρνει καί ἄλλη ἀπόδειξη τοῦ ὅτι ἔχουμε Πνεῦμα υἱοθεσίας. Ποιά λοιπόν εἶναι αὐτή; Τό ὅτι «φωνάζουμε, Ἀββᾶ, Πατέρα». Καί πόσο σπουδαῖο εἶναι αὐτό, τό γνωρίζουν οἱ μυημένοι, πού

κον ἐστίν, ἴσασιν οἱ μύσται, καλῶς ἐπὶ τῆς εὐχῆς τῆς μυστικῆς τοῦτο πρῶτον κελευόμενοι τὸ ῥῆμα λέγειν.

Τί οὖν; οὐκ ἐκάλουν καὶ ἐκεῖνοι πατέρα, φησί, τὸν Θεόν; Οὐκ ἀκούεις Μωϋσέως λέγοντος, «Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες»; οὐκ ἀκούεις τοῦ Μαλαχίου ὀνειδίζοντος καὶ λέγοντος, ὅτι «Θεὸς εἷς ἔκτισεν ὑμᾶς, καὶ Πατὴρ εἷς πάντων ὑμῶν»; Ἀλλ' εἰ καὶ ταῦτα καὶ πλείονα τούτων εἴρηται, οὐδαμοῦ τοῦτο εὑρίσκομεν αὐτοὺς καλοῦντας τὸ ῥῆμα τὸν Θεόν, οὐδὲ εὐχομένους οὕτως. Ἡμεῖς δὲ ἅπαντες, καὶ ἱερεῖς καὶ ἰδιῶται, καὶ ἄρχοντες καὶ ἀρχόμενοι, οὕτως εὔχεσθαι ἐκελεύσθημεν. Καὶ ταύτην πρώτην ἀφίεμεν φωνήν, μετὰ τὰς θαυμαστὰς ὠδῖνας ἐκείνας, καὶ τὸν ξένον καὶ παράδοξον τῶν λοχευμάτων νόμον. Ἄλλως δέ, εἰ καὶ ἐκάλεσάν ποτε ἐκεῖνοι, ἀλλ' ἐξ οἰκείας διανοίας, οἱ δὲ ἐν τῇ χάριτι, ἀπὸ πνευματικῆς ἐνεργείας κινούμενοι. Ὥσπερ γὰρ Πνεῦμα σοφίας ἐστί, καθ' ὃ σοφοὶ οἱ ἄσοφοι ἐγίνοντο, καὶ δηλοῦται τοῦτο ἀπὸ τῆς διδασκαλίας, καὶ Πνεῦμα δυνάμεώς ἐστι, καθ' ὃ οἱ ἀσθενεῖς νεκροὺς ἤγειραν καὶ δαίμονας ἤλασαν, καὶ Πνεῦμα χαρίσματος ἰαμάτων, καὶ Πνεῦμα προφητείας, καὶ Πνεῦμα γλωσσῶν· οὕτω καὶ Πνεῦμα υἱοθεσίας. Καὶ ὥσπερ ἴσμεν τὸ πνεῦμα τῆς προφητείας, ἀφ' ὧν ὁ ἔχων αὐτὸ προλέγει τὰ μέλλοντα, οὐκ οἰκείᾳ φθεγγόμενος διανοίᾳ, ἀλλ' ὑπὸ τῆς χάριτος κινούμενος, οὕτω δὴ καὶ Πνεῦμα υἱοθεσίας, ἀφ' οὗ ὁ λαβὼν Πατέρα καλεῖ τὸν Θεόν, ὑπὸ τοῦ Πνεύματος κινούμενος. Ὃ δὴ βουλόμενος δεῖξαι γνησιώτατον ὄν, καὶ τῇ τῶν Ἑβραίων ἐχρήσατο γλώσσῃ· οὐ γὰρ εἶπε μόνον, ὁ Πατήρ, ἀλλ', «Ἀββᾶ ὁ Πατὴρ», ὅπερ τῶν παίδων μάλιστά ἐστι τῶν γνησίων πρὸς πατέρας ῥῆμα.

3. Εἰπὼν τοίνυν τὴν ἀπὸ τῆς πολιτείας διαφοράν, τὴν ἀπὸ τῆς χάριτος τῆς δεδομένης, τὴν ἀπὸ τῆς ἐλευθερίας, ἐπάγει καὶ ἑτέραν ἀπόδειξιν τῆς ὑπεροχῆς τῆς κατὰ τὴν υἱοθεσίαν ταύτην. Ποίαν δὴ ταύτην; «Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ Πνεύματι ἡμῶν», φησίν, «ὅτι ἐσμὲν τέκνα Θεοῦ». Οὐ γὰρ ἀπὸ τῆς φωνῆς ἰσχυρίζο-

10. Δευτ. 32, 18.
11. Μαλ. 2, 10.

σωστά προτρέπονται στή μυστική προσευχή νά λέγουν αὐτό τό λόγο πρῶτα.

Τί λοιπόν; λέγει· δέν ὀνόμαζαν καί ἐκεῖνοι Πατέρα τό Θεό; Δέν ἀκοῦς τό Μωυσῆ πού λέγει, «ἐγκατέλειψες τό Θεό πού σέ γέννησε»[10]; Δέν ἀκοῦς τό Μαλαχία πού κατηγορεῖ καί λέγει, ὅτι «ἕνας Θεός σᾶς δημιούργησε, καί ἕνας εἶναι ὁ Πατέρας ὅλων σας»[11]; Ἀλλ' ἄν καί αὐτά καί περισσότερα ἀπ' αὐτά ἔχουν λεχθεῖ, πουθενά δέ βρίσκουμε αὐτούς νά ὀνομάζουν μέ τή λέξη αὐτή τό Θεό, οὔτε νά προσεύχονται ἔτσι. Ἐμεῖς ὅμως ὅλοι, καί ἱερεῖς καί λαϊκοί, καί ἄρχοντες καί πολίτες, ἔτσι ἔχουμε διαταχθεῖ νά προσευχόμαστε. Καί αὐτή τή φωνή βγάζουμε πρῶτα, ὕστερα ἀπό τίς θαυμαστές ἐκεῖνες ὠδίνες καί τόν παράξενο καί παράδοξο νόμο τοῦ τοκετοῦ. Ἐξάλλου βέβαια, ἄν καί τόν ὀνόμασαν κάποτε, ὄχι ὅμως ἀπό τή δική τους διάνοια, ἐνῶ αὐτοί πού ζοῦν μέσα στό χῶρο τῆς χάριτος, τόν ὀνομάζουν Πατέρα κινούμενοι ἀπό πνευματική ἐνέργεια. Ὅπως ἀκριβῶς λοιπόν ὑπάρχει Πνεῦμα σοφίας, σύμφωνα μέ τό ὁποῖο οἱ ἄσοφοι γίνονταν σοφοί, καί φαίνεται αὐτό ἀπό τή διδασκαλία, ὅπως ὑπάρχει Πνεῦμα δυνάμεως, σύμφωνα μέ τό ὁποῖο οἱ ἀδύναμοι ἀνέστησαν νεκρούς καί ἔδιωξαν δαίμονες, καί ὅπως ὑπάρχει Πνεῦμα χαρίσματος θεραπειῶν, καί Πνεῦμα προφητείας, καί Πνεῦμα γλωσσῶν, ἔτσι ὑπάρχει καί Πνεῦμα υἱοθεσίας. Καί ὅπως ἀκριβῶς γνωρίζουμε τό Πνεῦμα τῆς προφητείας, ἀπό τό ὅτι ἐκεῖνος πού τό ἔχει αὐτό προλέγει τά μελλοντικά, μιλώντας ὄχι μέ τή δική του διάνοια, ἀλλά κινούμενος ἀπό τή χάρη, ἔτσι λοιπόν γνωρίζουμε καί τό Πνεῦμα τῆς υἱοθεσίας, ἀπό τό ὅτι ἐκεῖνος πού τό ἔλαβε ὀνομάζει Πατέρα τό Θεό, κινούμενος ἀπό τό Πνεῦμα. Αὐτό λοιπόν θέλοντας νά δείξει ὅτι εἶναι πάρα πολύ ἀληθινό, χρησιμοποίησε καί τή γλώσσα τῶν Ἑβραίων. Γιατί δέν εἶπε μόνο, Πατέρα, ἀλλά, «Ἀββᾶ, Πατέρα», πράγμα πού εἶναι λόγος ἰδιαίτερα τῶν γνήσιων τέκνων πρός τούς πατέρες.

3. Ἀφοῦ εἶπε λοιπόν τή διαφορά ἀπό τή συμπεριφορά, τή διαφορά ἀπό τή χάρη πού δόθηκε, τή διαφορά ἀπό τήν ἐλευθερία, προσθέτει καί ἄλλη ἀπόδειξη τῆς ὑπεροχῆς πού προέρχεται ἀπό τήν υἱοθεσία αὐτή. Ποιά λοιπόν εἶναι αὐτή; «Αὐτό τό Πνεῦμα μαρτυρεῖ μαζί μέ τό πνεῦμα μας», λέγει, «ὅτι εἴμαστε τέκνα τοῦ Θεοῦ». Δέν ἰσχυρίζομαι λοιπόν μόνο ἀπό τή φωνή, λέγει, ἀλλά καί ἀπό τήν αἰ-

μαι μόνον, φησίν, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας, ἀφ' ἧς ἡ φωνὴ τίκτεται· τοῦ γὰρ Πνεύματος ὑπαγορεύοντος, ταῦτα λέγομεν. Ὅπερ ἀλλαχοῦ σαφέστερον δηλῶν ἔλεγεν, ὅτι «ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κράζον, Ἀββᾶ ὁ Πατήρ». Τί δέ ἐστι, «τὸ Πνεῦμα τῷ πνεύματι συμμαρτυρεῖ»; Ὁ Παράκλητος, φησί, τῷ χαρίσματι τῷ δεδομένῳ ἡμῖν. Οὐ γὰρ τοῦ χαρίσματός ἐστιν ἡ φωνὴ μόνον, ἀλλὰ καὶ τοῦ δόντος τὴν δωρεὰν Παρακλήτου· αὐτὸς γὰρ ἡμᾶς οὗτος ἐδίδαξε διὰ τοῦ χαρίσματος οὕτω φθέγγεσθαι. Ὅταν δὲ τὸ Πνεῦμα μαρτυρῇ, ποία λοιπὸν ἀμφιβολία; Εἰ μὲν γὰρ ἄνθρωπος, ἢ ἄγγελος, ἢ ἀρχάγγελος, ἢ ἄλλη τις τοιαύτη δύναμις τοῦτο ὑπισχνεῖτο, κἂν ἀμφιβάλλειν ἦν εἰκός τινας· τῆς δὲ ἀνωτάτω οὐσίας τῆς καὶ δωρησαμένης τοῦτο, καὶ δι' ὧν ἐκέλευσεν εὔχεσθαι μαρτυρούσης ἡμῖν, τίς ἂν λοιπὸν ἀμφισβητήσειε περὶ τῆς ἀξίας; Οὐδὲ γὰρ βασιλέως χειροτονήσαντός τινα, καὶ ἀνακηρύττοντος τὴν τιμὴν παρὰ πᾶσι, τολμήσειεν ἄν τις τῶν ὑπηκόων ἀντειπεῖν.

«Εἰ δὲ τέκνα», φησί, «καὶ κληρονόμοι». Ὅρα πῶς κατὰ μικρὸν αὔξει τὴν δωρεάν. Ἐπειδὴ γὰρ ἔνι καὶ τέκνα εἶναι, καὶ μὴ κληρονόμους γενέσθαι (οὐδὲ γὰρ πάντως ἅπαντες κληρονόμοι οἱ παῖδες), ἐπάγει καὶ τοῦτο, ὅτι καὶ κληρονόμοι. Οἱ δὲ Ἰουδαῖοι μετὰ τοῦ μὴ τοιαύτην ἔχειν υἱοθεσίαν καὶ τῆς κληρονομίας ἐξεβλήθησαν. «Κακοὺς γὰρ κακῶς ἀπολέσει, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται γεωργοῖς ἑτέροις». Καὶ πρὸ τούτου δὲ ἔλεγεν, ὅτι «πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραάμ, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται». Ἀλλ' οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τούτου μεῖζον τίθησι. Ποῖον δὴ τοῦτο; Ὅτι Θεοῦ κληρονόμοι· διὸ καὶ ἐπήγαγε· «κληρονόμοι μὲν Θεοῦ». Καὶ τὸ ἔτι πλέον, ὅτι οὐχ ἁπλῶς κληρονόμοι, ἀλλὰ καὶ συγκληρονόμοι Χριστοῦ. Ὁρᾷς πῶς φιλονεικεῖ ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ δεσπότου; Ἐπειδὴ γὰρ οὐ πάντα τὰ τέκνα κληρονόμοι, δείκνυσιν ὅτι ἡμεῖς καὶ τέκνα καὶ κληρονόμοι. Ἐπεὶ δὲ οὐ πάντες οἱ κληρονόμοι μεγάλων εἰσὶ κληρονόμοι πραγμάτων, δείκνυσιν ὅτι καὶ τοῦτο ἔχομεν, κληρονόμοι ὄντες Θεοῦ. Πάλιν ἐπειδὴ κληρονόμον μὲν εἶναι συμβαίνει

---

12. Γαλ. 4, 6.
13. Δηλ. τό ἅγιο Πνεῦμα.
14. Ματθ. 21, 41.
15. Ματθ. 8, 11. 12.

τία, ἀπό τήν ὁποία γεννιέται ἡ φωνή. Γιατί τά λέμε αὐτά, ἐπειδή τά ὑπαγορεύει τό Πνεῦμα. Γιά νά δηλώσει αὐτό πιό καθαρά ἀλλοῦ, ἔλεγε ὅτι «ἔστειλε ὁ Θεός στίς καρδιές μας τό Πνεῦμα τοῦ Υἱοῦ του, πού φωνάζει Ἀββᾶ, Πατέρα»[12]. Καί τί σημαίνει, «τό Πνεῦμα τῷ πνεύματι συμμαρτυρεῖ»; Ὁ Παράκλητος[13], λέγει, μαρτυρεῖ μαζί μέ τό χάρισμα πού μᾶς ἔχει δοθεῖ. Γιατί ἡ φωνή δέν ἀνήκει μόνο στό χάρισμα, ἀλλά καί στόν Παράκλητο πού μᾶς ἔδωσε τή δωρεά, γιατί αὐτός ὁ ἴδιος μᾶς δίδαξε μέ τό χάρισμα νά μιλοῦμε ἔτσι. Ὅταν ὅμως τό Πνεῦμα μαρτυρεῖ, ποιά πλέον ἀμφιβολία ὑπάρχει ; Γιατί, ἄν βέβαια ἄνθρωπος ἤ ἄγγελος, ἤ ἀρχάγγελος ἤ κάποια ἄλλη τέτοια δύναμη ὑποσχόταν αὐτό, φυσικό θά ἦταν ν' ἀμφιβάλλουν μερικοί, ὅταν ὅμως ἡ ἀνωτάτη οὐσία, ἡ ὁποία καί δώρησε αὐτό, μαρτυρεῖ σέ μᾶς καί μ' ἐκεῖνα πού διέταξε νά προσευχόμαστε, ποιός θ' ἀμφισβητήσει πλέον γιά τήν ἀξία; Γιατί οὔτε θά τολμοῦσε κάποιος ἀπό τούς ὑπηκόους νά φέρει ἀντίρρηση, ὅταν ὁ βασιλιάς χειροτονεῖ κάποιον καί ἀνακηρύσσει τήν τιμή μπροστά σέ ὅλους.

«Ἐάν ὅμως εἴμαστε τέκνα», λέγει, «εἴμαστε καί κληρονόμοι». Πρόσεχε πῶς σιγά-σιγά αὐξάνει τή δωρεά. Ἐπειδή δηλαδή εἶναι δυνατό καί τέκνα νά εἴμαστε καί κληρονόμοι νά μή γίνουμε, γιατί δέν εἶναι ὁπωσδήποτε ὅλα τά τέκνα κληρονόμοι, προσθέτει καί αὐτό, ὅτι εἴμαστε καί κληρονόμοι. Οἱ Ἰουδαῖοι ὅμως μαζί μέ τό ὅτι δέν ἔχουν τέτοια υἱοθεσία, στερήθηκαν καί τήν κληρονομία. «Γιατί τούς κακούς θά τούς ἐξοντώσει μέ τό χειρότερο τρόπο καί τό ἀμπέλι θά τό παραδώσει σ' ἄλλους γεωργούς»[14]. Καί πρίν ἀπ' αὐτό ἔλεγε ὅτι «πολλοί θά ἔρθουν ἀπό τήν Ἀνατολή καί τή Δύση καί θά καθήσουν στό τραπέζι μαζί μέ τόν Ἀβραάμ, ἐνῶ τά τέκνα τῆς βασιλείας θά ριφθοῦν ἔξω»[15]. Οὔτε ἐδῶ ὅμως σταματάει, ἀλλά καί μεγαλύτερο ἀπ' αὐτό ἀναφέρει. Ποιό λοιπόν εἶναι αὐτό; Ὅτι εἴμαστε κληρονόμοι τοῦ Θεοῦ. Γι' αὐτό καί πρόσθεσε· «κληρονόμοι τοῦ Θεοῦ». Καί τό ἀκόμη περισσότερο, ὅτι δέν εἴμαστε ἁπλῶς κληρονόμοι, ἀλλά καί συγκληρονόμοι τοῦ Χριστοῦ. Βλέπεις πῶς ἀγωνίζεται νά μᾶς ὁδηγήσει κοντά στόν Κύριο; Ἐπειδή λοιπόν δέν εἶναι ὅλα τά τέκνα κληρονόμοι, δείχνει ὅτι ἐμεῖς εἴμαστε καί τέκνα καί κληρονόμοι. Ἐπειδή ὅμως ὅλοι οἱ κληρονόμοι δέν εἶναι κληρονόμοι μεγάλων πραγμάτων, δείχνει ὅτι καί αὐτό τό ἔχουμε, ἀφοῦ εἴμαστε κληρονόμοι τοῦ Θεοῦ. Ἐπειδή πάλι συμβαίνει νά εἶμαι κληρονόμος τοῦ

Θεοῦ, οὐ πάντως δὲ τῷ μονογενεῖ συγκληρονόμον, δείκνυσιν ἡμᾶς καὶ τοῦτο ἔχοντας.

Καὶ σκόπει σοφίαν. Τὰ γὰρ λυπηρὰ συστείλας, ἡνίκα ἔλεγε, τί πείσονται οἱ κατὰ σάρκα ζῶντες, οἷον ὅτι μέλλουσιν ἀποθνήσκειν, ἐπειδὴ τῶν χρηστοτέρων ἥψατο, εἰς εὐρυχωρίαν πολλὴν ἐξάγει τὸν λόγον, ἐμπλατύνων αὐτὸν τῇ τῶν μισθῶν ἀντιδόσει, καὶ ποικίλας καὶ μεγάλας δεικνὺς τὰς δωρεάς. Εἰ γὰρ καὶ τὸ τέκνον εἶναι ἄφατος ἦν ἡ χάρις, ἐννόησον ἡλίκον τὸ κληρονόμον. Εἰ δὲ τοῦτο μέγα, πολλῷ μᾶλλον καὶ τὸ συγκληρονόμον. Εἶτα δεικνύς, ὅτι οὐ χάριτος μόνον ἐστὶν ἡ δωρεά, καὶ ποιῶν ὁμοῦ καὶ ἀξιόπιστα τὰ εἰρημένα, ἐπήγαγεν· «εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν». Εἰ γὰρ ἐν τοῖς λυπηροῖς, φησίν, ἐκοινωνήσαμεν αὐτῷ, πολλῷ μᾶλλον ἐν τοῖς χρηστοῖς τοῦτο ἔσται. Ὁ γὰρ τοὺς οὐδὲν κατωρθωκότας τοσούτοις δωρησάμενος ἀγαθοῖς, ὅταν ἴδῃ καὶ πονέσαντας, καὶ τοσαῦτα παθόντας, πῶς οὐχὶ μᾶλλον ἀμείψεται;

4. *Δείξας τοίνυν ἀντίδοσιν οὖσαν τὸ πρᾶγμα, ἵνα ἀξιόπιστον ᾖ τὸ λεγόμενον, καὶ μηδεὶς ἀμφιβάλλῃ, δείκνυσι πάλιν καὶ χάριτος δύναμιν ἔχον· τὸ μέν, ἵνα καὶ παρὰ τοῖς ἀμφιβάλλουσι πιστεύηται τὰ λεγόμενα, καὶ οἱ λαμβάνοντες μὴ αἰσχύνωνται ὡς ἀεὶ δωρεὰν σωζόμενοι· τὸ δέ, ἵνα μάθῃς ὅτι νικᾷ ταῖς ἀντιδόσεσι τοὺς πόνους ὁ Θεός. Καὶ τοῦτο μὲν ἐδήλωσεν εἰπών, «Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν· τοῦτο δέ, ἐπαγαγὼν καὶ προσθείς, ὅτι «οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς». Ἐν μὲν γὰρ τοῖς προτέροις τὴν τῶν ἠθῶν διόρθωσιν ἀπαιτεῖ τὸν πνευματικόν, ἐν οἷς ἔλεγεν, οὐκ ὀφείλετε κατὰ σάρκα ζῆν· οἷον, ἵνα ἐπιθυμίας, ἵνα ὀργῆς, ἵνα χρημάτων, ἵνα κενοδοξίας, ἵνα βασκανίας περιγίνηται ὁ τοιοῦτος· ἐνταῦθα δέ, ἐπειδὴ τῆς δωρεᾶς αὐτὸν ἀνέμνησεν ἁπάσης, τῆς δοθείσης, τῆς μελλούσης, καὶ ἐπῆρε καὶ ὕψωσε ταῖς ἐλπίσι, καὶ ἐγγὺς ἔστησε τοῦ*

Θεοῦ, ὄχι ὅμως ὁπωσδήποτε συγκληρονόμος μαζί μέ τό Μονογενή, δείχνει ὅτι καί αὐτό τό ἔχουμε.

Καί πρόσεχε τή σοφία του. Γιατί, ἀφοῦ περιόρισε τά λυπηρά, ὅταν ἔλεγε, τί θά πάθουν ὅσοι ζοῦν σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας, γιά παράδειγμα ὅτι πρόκειται νά πεθαίνουν, ἐπειδή καταπιάστηκε μέ τά μεγάλα ἀγαθά, ὁδηγεῖ σέ μεγάλη ἔκταση τό λόγο, ἐπεκτείνοντας αὐτόν μέ τήν ἀνταπόδοση τῶν μισθῶν καί δείχνοντας ποικίλες καί μεγάλες τίς δωρεές. Γιατί, ἄν ἦταν ἀπερίγραπτη ἡ χάρη καί τό νά εἶναι κανείς τέκνο, σκέψου πόση εἶναι τό νά εἶναι κανείς κληρονόμος. Ἐάν ὅμως αὐτό εἶναι μεγάλο, πολύ περισσότερο μεγάλο εἶναι τό νά εἶναι καί συγκληρονόμος. Στή συνέχεια, γιά νά δείξει, ὅτι ἡ δωρεά δέν ἀνήκει μόνο στή χάρη, καί κάνοντας συγχρόνως καί ἀξιόπιστα ὅσα λέχθηκαν, πρόσθεσε· «ἐάν βέβαια πάσχουμε μαζί του, γιά νά δοξασθοῦμε ἐπίσης μαζί του». Ἐάν λοιπόν συμμετήχαμε μαζί του στά λυπηρά, λέγει, πολύ περισσότερο θά συμβεῖ αὐτό στά ἀγαθά. Γιατί, ἐκεῖνος πού δώρησε τόσα ἀγαθά σ' ἐκείνους πού δέν κατόρθωσαν τίποτε, ὅταν δεῖ ὅτι ἐμεῖς καί κοπιάσαμε καί πάθαμε τόσα πολλά, πῶς δέ θά μᾶς ἀμείψει περισσότερο;

4. Ἀφοῦ ἔδειξε λοιπόν ὅτι τό πράγμα εἶναι ἀνταπόδοση, γιά νά εἶναι ἀξιόπιστο τό λεγόμενο καί κανείς νά μήν ἀμφιβάλλει, δείχνει πάλι ὅτι ἔχει καί δύναμη χάριτος. Ἀπό τό ἕνα μέρος, γιά νά πιστεύουν τά λεγόμενα ἐκεῖνοι πού ἀμφιβάλλουν καί ἐκεῖνοι πού τά δέχονται νά μήν ντρέπονται, ἐπειδή σώζονται πάντοτε δωρεάν, ἀπό τό ἄλλο, γιά νά μάθεις πώς ὁ Θεός νικάει τούς κόπους μέ τίς ἀνταποδόσεις. Καί τό ἕνα δήλωσε λέγοντας, «ἐάν βέβαια πάσχουμε μαζί του, γιά νά δοξασθοῦμε ἐπίσης μαζί του», ἐνῶ τό ἄλλο συμπεραίνοντας καί προσθέτοντας, ὅτι «δέν εἶναι ἄξια τά παθήματα τοῦ τωρινοῦ καιροῦ σέ σύγκριση πρός τή δόξα πού πρόκειται ν' ἀποκαλυφθεῖ σέ μᾶς». Γιατί, ἄν στά προηγούμενα ζητάει ἀπό τόν πνευματικό τή διόρθωση τῶν ἠθῶν, μ' ἐκεῖνα πού ἔλεγε, δέν πρέπει νά ζεῖτε σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας (ὅπως, γιά νά νικήσει ὁ πνευματικός τήν ἐπιθυμία, τήν ὀργή, τά χρήματα, τήν κενοδοξία, τή βασκανία), ἐδῶ ὅμως, ἀφοῦ τοῦ θύμισε ὅλη τή δωρεά, αὐτή πού δόθηκε, αὐτή πού πρόκειται νά δοθεῖ, καί ἀφοῦ τόν σήκωσε καί τόν ὕψωσε ψηλά μέ τίς ἐλπίδες, τόν τοποθέτησε κοντά στό Χριστό, καί τόν ἀπέδειξε συγκληρονόμο τοῦ Μονογενοῦς, μέ θάρρος πλέον τόν

Χριστοῦ, καὶ συγκληρονόμον ἀπέφηνε τοῦ μονογενοῦς, θαρρῶν αὐτὸν ἐξάγει λοιπὸν καὶ ἐπὶ τοὺς κινδύνους. Οὐδὲ γάρ ἐστιν ἴσον τῶν ἐν ἡμῖν παθῶν περιγενέσθαι, καὶ τοὺς πειρασμοὺς ἐκείνους ὑπενεγκεῖν, τὰς μάστιγας, τὸν λιμόν, τὰς λεηλασίας, τὰ δεσμά, τὰς ἀλύσεις, τὰς ἀπαγωγάς· πολὺ γὰρ ταῦτα γενναιοτέρας δεῖται ψυχῆς καὶ νεανικωτέρας.

Καὶ ὅρα πῶς ὁμοῦ καὶ καταστέλλει καὶ ἐπαίρει τὸ φρόνημα τῶν ἀγωνιζομένων. Ὅταν γὰρ δείξῃ μείζονα τὰ ἔπαθλα τῶν πόνων, καὶ προτρέπει μειζόνως, καὶ οὐκ ἀφίησι μέγα φρονεῖν, ἅτε νικωμένους τῇ τῶν στεφάνων ἀντιδόσει. Καὶ ἀλλαχοῦ μέν φησι, «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται»· πρὸς γὰρ φιλοσοφωτέρους ἦν ὁ λόγος αὐτῷ· ἐνταῦθα δὲ κοῦφα μὲν αὐτὰ οὔ φησιν εἶναι, παραμυθεῖται δὲ αὐτὰ τῇ τῶν μελλόντων ἀντιδόσει, λέγων· «λογίζομαι γάρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ». Καὶ οὐκ εἶπε, πρὸς τὴν μέλλουσαν ἄνεσιν, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, «πρὸς τὴν μέλλουσαν δόξαν». Ὅπου μὲν γὰρ ἄνεσις, οὐ πάντως καὶ δόξα· ὅπου δὲ δόξα, πάντως καὶ ἄνεσις. Εἶτα, ἐπειδὴ μέλλουσαν εἶπε, δείκνυσιν αὐτὴν ἤδη οὖσαν. Οὐ γὰρ εἶπεν 'πρὸς τὴν μέλλουσαν ἔσεσθαι', ἀλλά, «πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι», ὡς καὶ νῦν οὖσαν μέν, κρυπτομένην δέ· ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον ἔλεγεν, ὅτι «Ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ». Θάρρει τοίνυν ὑπὲρ αὐτῆς· παρασκεύασται γὰρ ἤδη τοὺς σοὺς ἀναμένουσα πόνους. Εἰ δὲ τὸ μέλλειν σε λυπεῖ, αὐτὸ μὲν οὖν εὐφραινέτω σε τοῦτο· τῷ γὰρ μεγάλη τις εἶναι καὶ ἄφατος, καὶ τὴν παροῦσαν ὑπερβαίνειν κατάστασιν, ἐκεῖ τεταμίευται.

Οὐδὲ γὰρ ἁπλῶς τέθεικε, «τὰ παθήματα τοῦ νῦν καιροῦ», ἀλλ' ἵνα δείξῃ οὐχὶ ποιότητι μόνον, ἀλλὰ καὶ ποσότητι νικῶσαν ἐκείνην. Ταῦτα μὲν γὰρ οἷα ἂν ᾖ τὰ παθήματα, τῷ παρόντι συγκεκλήρωται βίῳ, τὰ δὲ μέλλοντα ἀγαθὰ πρὸς τοὺς ἀθανάτους παρεκτείνεται αἰῶνας. Ἅπερ ἐπειδὴ κατὰ μέρος ἡμῖν εἰπεῖν οὐκ εἶχεν,

16. Β' Κορ. 4, 17.

17. Κολ. 3, 3.

ὁδηγεῖ καί στούς κινδύνους. Οὔτε βέβαια εἶναι τό ἴδιο νά νικήσουμε τά πάθη πού βρίσκονται μέσα μας, καί νά ὑποφέρουμε τούς πειρασμούς ἐκείνους, τίς μαστιγώσεις, τήν πείνα, τίς λεηλασίες, τίς φυλακίσεις, τίς ἁλυσίδες, τίς ἁρπαγές, γιατί αὐτά χρειάζονται πολύ πιό γενναία καί δυνατή ψυχή.

Καί πρόσεχε πῶς συγχρόνως συγκρατεῖ καί ἐξυψώνει τό φρόνημα ἐκείνων πού ἀγωνίζονται. Γιατί, ὅταν δείχνει μεγαλύτερα τά ἔπαθλα ἀπό τούς κόπους, τότε προτρέπει περισσότερο, καί δέν ἀφήνει νά μεγαλοφρονοῦν, ἐπειδή νικοῦνται μέ τήν ἀνταπόδοση τῶν βραβείων. Καί ἀλλοῦ βέβαια λέγει, «γιατί ἡ ἐλαφριά θλίψη πού περνάει γρήγορα προετοιμάζει σέ ὑπερβολικά μεγάλο βαθμό αἰώνιο βάρος δόξας»[16], γιατί ὁ λόγος του ἀπευθυνόταν σέ φιλοσοφότερους ἀναγνῶστες, ἐνῶ ἐδῶ δέ λέγει πώς αὐτά εἶναι ἐλαφρά, τά ἀνακουφίζει ὅμως μέ τήν ἀνταπόδοση τῶν μελλοντικῶν, λέγοντας· «γιατί συμπεραίνω, ὅτι δέν εἶναι ἄξια τά παθήματα τοῦ τωρινοῦ καιροῦ». Καί δέν εἶπε, 'σέ σύγκριση πρός τή μελλοντική ἄνεση', ἀλλ' αὐτό πού ἦταν πολύ μεγαλύτερο, «σέ σύγκριση πρός τή μελλοντική δόξα». Γιατί, ὅπου βέβαια ὑπάρχει ἄνεση, δέν ὑπάρχει ὁπωσδήποτε καί δόξα, ὅπου ὅμως ὑπάρχει δόξα, ὁπωσδήποτε ὑπάρχει καί ἄνεση. Ἔπειτα, ἐπειδή εἶπε μελλοντική, ἀποδεικνύει πώς αὐτή ἤδη ὑπάρχει. Γιατί, δέν εἶπε, σέ σύγκριση πρός ἐκείνη πού πρόκειται νά ὑπάρξει, ἀλλά, «σέ σύγκριση πρός ἐκείνη πού πρόκειται ν' ἀποκαλυφθεῖ», σάν νά ὑπάρχει καί τώρα βέβαια, ἀλλ' εἶναι κρυμμένη, πράγμα πού καί ἀλλοῦ πιό καθαρά ἔλεγε, ὅτι «ἡ ζωή μας εἶναι κρυμμένη μαζί μέ τό Χριστό στό Θεό»[17]. Νά ἔχεις λοιπόν ἐμπιστοσύνη γι' αὐτήν, γιατί ἔχει ἤδη ἑτοιμασθεῖ, περιμένοντας τούς δικούς σου κόπους. Ἐάν ὅμως σέ στενοχωρεῖ τό ὅτι εἶναι μελλοντική, αὐτό ἀκριβῶς ἄς σέ εὐχαριστεῖ, τό ὅτι δηλαδή εἶναι κάποια μεγάλη καί ἀνείπωτη, πού ὑπερβαίνει τήν παρούσα κατάσταση, καί εἶναι φυλαγμένη ἐκεῖ.

Οὔτε βέβαια ἀνέφερε τυχαῖα, «τά παθήματα τοῦ τωρινοῦ καιροῦ», ἀλλά γιά νά δείξει πώς αὐτή δέν εἶναι ἀνώτερη ἀπό ἐκείνη στή ποιότητα μόνο, ἀλλά καί στήν ποσότητα. Γιατί τά παθήματα αὐτά ὅποια καί ἄν εἶναι, συνδέονται μέ τήν παρούσα ζωή, ἐνῶ τά μελλοντικά ἀγαθά ἐπεκτείνονται στους ἀθάνατους αἰῶνες. Αὐτά τά ἀγαθά ἐπειδή δέν μποροῦσε νά τά πεῖ χωριστά, οὔτε νά τά παραστή-

οὐδὲ παραστῆσαι λόγῳ, ἀπὸ τοῦ μάλιστα δοκοῦντος εἶναι παρ' ἡμῖν ἐπεράστου, τῆς δόξης, αὐτὰ ὠνόμασεν· ἡ γὰρ κορυφὴ τῶν ἀγαθῶν καὶ τὸ κεφάλαιον, τοῦτο εἶναι δοκεῖ. Ἐπαίρων δὲ καὶ ἑτέρως τὸν ἀκροατήν, καὶ ἀπὸ τῆς κτίσεως ἐξογκοῖ τὸν λόγον, δύο κατασκευάζων διὰ τῶν λεχθήσεσθαι μελλόντων, καὶ ὑπεροψίαν τῶν παρόντων, καί ἐπιθυμίαν τῶν μελλόντων· καὶ τρίτον μετὰ τούτων, μᾶλλον δὲ πρῶτον, τὸ δεῖξαι πῶς περισπούδαστον τῷ Θεῷ τὸ τῶν ἀνθρώπων γένος ἐστί, καὶ ἐν ὅσῃ τὴν φύσιν τὴν ἡμετέραν ἄγει τιμῇ. Μετὰ δὲ τούτων καὶ τὰ τῶν φιλοσόφων ἅπαντα δόγματα τὰ περὶ τοῦ κόσμου τούτου συντεθέντα αὐτοῖς, ὥσπερ ἀράχνην τινὰ καὶ παίδων ἀθύρματα, ἑνὶ τούτῳ καταβάλλει τῷ δόγματι. Ἀλλ' ἵνα σαφέστερα ταῦτα γένηται, αὐτῆς τῆς ἀποστολικῆς ἐπακούσωμεν ῥήσεως.

5. «Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως», φησί, «τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι». Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ἡ κτίσις αὐτὴ σφόδρα ὠδίνει, ταῦτα ἀναμένουσα καὶ προσδοκῶσα τὰ ἀγαθά, ἅπερ εἰρήκαμεν νῦν· ἀποκαραδοκία γὰρ ἡ σφοδρὰ προσδοκία ἐστίν. Ὥστε δὲ ἐμφαντικώτερον γενέσθαι τὸν λόγον, καὶ προσωποποιεῖ τὸν κόσμον ἅπαντα τοῦτον· ἅπερ καὶ οἱ προφῆται ποιοῦσι, ποταμοὺς κροτοῦντας χερσὶν εἰσάγοντες, καὶ βουνοὺς ἀλλομένους, καὶ τὰ ὄρη σκιρτῶντα· οὐχ ἵνα ταῦτα ἔμψυχα εἶναι νομίσωμεν, οὐδ' ἵνα λογισμόν τινα δῶμεν αὐτοῖς, ἀλλ' ἵνα τὴν ὑπερβολὴν μάθωμεν τῶν ἀγαθῶν, ὡς καὶ τῶν ἀναισθήτων αὐτῶν καθικνουμένην. Τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ τῶν λυπηρῶν ποιοῦσι πολλάκις, εἰσάγοντες καὶ ἄμπελον θρηνοῦσαν, καὶ οἶνον, καὶ ὄρη, καὶ τὰ φατνώματα ὀλολύζοντα τοῦ ναοῦ, ἵνα καὶ ἐντεῦθεν πάλιν τὴν ὑπερβολὴν τῶν κακῶν ἐννοήσωμεν. Τούτους δὴ καὶ ὁ ἀπόστολος μιμούμενος, προσωποποιεῖ τὴν κτίσιν ἐνταῦθα, καί φησι στενάζειν αὐτὴν καὶ ὠδίνειν· οὐκ ἐπειδὴ στεναγμοῦ τινος ἤκουσεν ἀπὸ γῆς καὶ οὐρανοῦ φερομένου, ἀλλ' ἵνα τῶν μελλόντων ἀγαθῶν ἐνδείξηται τὴν ὑπερβολήν, καὶ τὴν ἐπιθυμίαν τῆς ἀπαλλαγῆς τῶν κατεχόντων κακῶν.

«Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ

σει μέ τό λόγο, τά ὀνόμασε ἀπό ἐκεῖνο πού φαίνεται σέ μᾶς ἰδιαίτερα ἀξιαγάπητο, δηλαδή ἀπό τή δόξα. Γιατί ἡ κορυφή καί ἡ βάση τῶν ἀγαθῶν αὐτό θεωρεῖται πώς εἶναι. Ἐξυψώνοντας ὅμως καί διαφορετικά τόν ἀκροατή, καί ἀπό τήν κτίση ἐξογκώνει τό λόγο, μέ σκοπό ν’ ἀποδείξει μ’ ἐκεῖνα πού πρόκειται νά λεχθοῦν δύο πράγματα, καί τήν περιφρόνηση τῶν παρόντων, καί τήν ἐπιθυμία τῶν μελλοντικῶν· καί τρίτο πράγμα μαζί μέ αὐτά, ἤ καλύτερα πρῶτο, τό νά δείξει πῶς εἶναι περιπόθητο στό Θεό τό γένος τῶν ἀνθρώπων καί σέ πόση τιμή ὁδηγεῖ τήν ἀνθρώπινη φύση. Μαζί ὅμως μέ αὐτά καί ὅλες τίς διδασκαλίες τῶν φιλοσόφων πού διατύπωσαν γιά τόν κόσμο αὐτόν, τίς καταρρίπτει σάν κάποια ἀράχνη καί παιδικά παιχνίδια, μέ τή μία αὐτή διδασκαλία. Ἀλλά γιά νά γίνουν σαφέστερα αὐτά, ἄς ἀκούσουμε μέ προσοχή τόν ἴδιο τόν ἀποστολικό λόγο.

5. «Γιατί ἡ κτίση περιμένει μέ λαχτάρα», λέγει, «τήν ἀποκάλυψη τῶν τέκνων τοῦ Θεοῦ. Γιατί καί ἡ κτίση ὑποδουλώθηκε στή ματαιότητα, ὄχι μέ τή θέλησή της, ἀλλ’ ἐξ αἰτίας ἐκείνου πού τήν ὑποδούλωσε μέ κάποια ἐλπίδα». Ἐκεῖνο δηλαδή πού λέγει, σημαίνει τό ἑξῆς· ἡ κτίση αὐτή πονάει πάρα πολύ, ἐπειδή περιμένει καί προσδοκάει αὐτά τά ἀγαθά, πού εἴπαμε τώρα· γιατί ἀποκαραδοκία σημαίνει μεγάλη προσδοκία. Γιά νά γίνει ὅμως πιό ἔντονος ὁ λόγος, προσωποποιεῖ καί ὅλο τόν κόσμο αὐτόν, πράγμα πού καί οἱ προφῆτες κάνουν, παρουσιάζοντας ποταμούς νά χειροκροτοῦν καί βουνά νά κινοῦνται καί τά ὄρη νά σκιρτοῦν, ὄχι γιά νά νομίσουμε πώς αὐτά εἶναι ἔμψυχα, οὔτε γιά ν’ ἀποδώσουμε κάποια σκέψη σ’ αὐτά, ἀλλά γιά νά μάθουμε τήν ὑπερβολή τῶν ἀγαθῶν, ἐπειδή φθάνει καί σ’ αὐτά τά ἀναίσθητα πράγματα. Τό ἴδιο ὅμως ἀκριβῶς κάνουν πολλές φορές καί στά λυπηρά, παρουσιάζοντας καί τό ἀμπέλι νά θρηνεῖ καί τό κρασί, καί τά ὄρη, καί τά φατνώματα τοῦ ναοῦ νά κραυγάζουν, γιά νά κατανοήσουμε καί ἀπό ἐδῶ πάλι τήν ὑπερβολή τῶν κακῶν. Αὐτούς λοιπόν μιμεῖται καί ὁ ἀπόστολος καί προσωποποιεῖ τήν κτίση ἐδῶ καί λέγει πώς στενάζει καί πονάει αὐτή, ὄχι γιατί ἄκουσε κάποιο στεναγμό νά βγαίνει ἀπό τή γῆ καί τόν οὐρανό, ἀλλά γιά νά παρουσιάσει τήν ὑπερβολή τῶν μελλοντικῶν ἀγαθῶν καί τήν ἐπιθυμία τῆς ἀπαλλαγῆς ἀπό τά κακά πού ἐπικρατοῦν.

«Γιατί ἡ κτίση ὑποδουλώθηκε στή ματαιότητα, ὄχι μέ τήν θέλη[illegible]ης, ἀλλ’ ἐξ αἰτίας ἐκείνου πού τήν ὑποδούλω[illegible]

τὸν ὑποτάξαντα». Τί ἐστι, «τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη»; Φθαρτὴ γέγονε. Τίνος ἕνεκεν καὶ διὰ τί; Διὰ σὲ τὸν ἄνθρωπον. Ἐπειδὴ γὰρ σῶμα ἔλαβες θνητὸν καὶ παθητόν, καὶ ἡ γῆ κατάραν ἐδέξατο, καὶ ἀκάνθας ἤνεγκε καὶ τριβόλους. Ὅτι δὲ καὶ οὐρανὸς μετὰ τῆς γῆς παλαιούμενος πρὸς τὴν ἀμείνω λῆξιν ὕστερον μεταστήσεται, ἄκουσον τοῦ προφήτου λέγοντος· «Καταρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται». Καὶ Ἡσαΐας δὲ τὰ αὐτὰ ἐμφαίνων ἔλεγεν· «Ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες αὐτὴν ὥσπερ ταῦτα ἀπολοῦνται». Εἶδες πῶς ἐδούλευσε τῇ ματαιότητι ἡ κτίσις, πῶς καὶ ἐλευθερωθήσεται ἀπὸ τῆς φθορᾶς; Ὁ μὲν γάρ φησιν, «ὡς ἱμάτιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται», ὁ δὲ Ἡσαΐας, «οἱ δὲ κατοικοῦντες αὐτὴν ὥσπερ ταῦτα ἀπολοῦνται»· οὐ παντελῆ λέγων ἀπώλειαν· οὐδὲ γὰρ οἱ κατοικοῦντες αὐτήν, τουτέστιν, οἱ ἄνθρωποι, τοιαύτην ὑποστήσονται· ἀλλὰ τὴν πρόσκαιρον, καὶ δι' αὐτῆς ἐπὶ τὴν ἀφθαρσίαν μεταστήσονται, ὥσπερ οὖν καὶ ἡ κτίσις. Ἅπερ ἅπαντα διὰ τοῦ εἰπεῖν, «ὡς ταῦτα», παρεδήλωσεν.

Ὅπερ οὖν καὶ ὁ Παῦλος προϊών φησι· τέως μέντοι περὶ τῆς δουλείας αὐτῆς διαλέγεται, καὶ δείκνυσι τίνος ἕνεκεν τοιαύτη γέγονε, καὶ τὴν αἰτίαν ἡμᾶς τίθησι. Τί οὖν; ἐπηρέασται δι' ἕτερον ταῦτα παθοῦσα; Οὐδαμῶς· καὶ γὰρ δι' ἐμὲ γέγονεν. Ἡ τοίνυν δι' ἐμὲ γενομένη πῶς ἂν ἀδικοῖτο εἰς ἐμὴν διόρθωσιν ταῦτα πάσχουσα; Ἄλλως δέ, τὸν τοῦ δικαίου καὶ ἀδίκου λόγον οὐδὲ κινεῖν ἐπὶ τῶν ἀψύχων καὶ ἀναισθήτων δεῖ. Ἀλλ' ὁ Παῦλος ἐπειδὴ αὐτὴν ἐπροσωποποίησεν, οὐδενὶ κέχρηται τούτων ὧν εἶπον, ἀλλ' ἑτέρῳ τινὶ λόγῳ, τὸν ἀκροατὴν ἐκ περιουσίας παραμυθήσασθαι σπεύδων. Ποίῳ δὴ τούτῳ; Τί λέγεις, φησί; κακῶς ἔπαθε διὰ σὲ καὶ φθαρτὴ γέγονεν; Ἀλλ' οὐδὲν ἠδίκηται· καὶ γὰρ ἄφθαρτος ἔσται διὰ σὲ πάλιν· τοῦτο γάρ ἐστι τό, «ἐπ' ἐλπίδι». Ὅταν δὲ λέγῃ, «οὐχ ἑκοῦσα ὑπετάγη», οὐχ ἵνα κυρίαν γνώμης οὖσαν δείξῃ, τοῦτο λέγει, ἀλλ' ἵνα μάθῃς,

18. Ψαλμ. 101, 26–27.
19. Ἡσ. 51, 6.

νει, «τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη»; Ἔγινε φθαρτή. Γιά ποιά αἰτία καί γιατί; Γιά σένα τόν ἄνθρωπο. Ἐπειδή λοιπόν ἔλαβες σῶμα θνητό καί παθητό, καί ἡ γῆ δέχτηκε κατάρα καί φύτρωσε ἀγκάθια καί τριβόλια. Τό ὅτι ὅμως καί ὁ οὐρανός μαζί μέ τή γῆ, ὅταν παλιώσει, θά μεταβληθεῖ στό τέλος πρός τήν καλύτερη κατάληξη, ἄκουσε τόν προφήτη πού λέγει· «ἐσύ, Κύριε, στήν ἀρχή θεμελίωσες τή γῆ, καί ἔργα τῶν χεριῶν σου εἶναι οἱ οὐρανοί. Αὐτοί θά καταστραφοῦν, ἐσύ ὅμως παραμένεις ὁ ἴδιος, καί ὅλοι θά παλιώσουν σάν ἔνδυμα, καί σάν πανωφόρι θά τούς γυρίσεις καί θ' ἀλλάξουν»[18]. Καί ὁ Ἡσαΐας πάλι δηλώνοντας τά ἴδια ἔλεγε· «κοιτάξτε στόν οὐρανό ἐπάνω καί στή γῆ κάτω, ὅτι ὁ οὐρανός σάν καπνός στερεώθηκε, ἐνῶ ἡ γῆ σάν ἔνδυμα θά παλιώσει, καί οἱ κάτοικοί της σάν αὐτά θά χαθοῦν»[19]. Εἶδες πῶς ὑποδουλώθηκε στή ματαιότητα ἡ κτίση, καί πῶς ἐπίσης θά ἐλευθερωθεῖ ἀπό τή φθορά; Γιατί ὁ Δαβίδ λέγει, «σάν ἔνδυμα θά τούς γυρίσεις, καί θ' ἀλλάξουν», ἐνῶ ὁ Ἡσαΐας, «καί οἱ κάτοικοί της σάν αὐτά θά χαθοῦν», χωρίς νά λέγει τήν ὁλοκληρωτική καταστροφή, γιατί οὔτε οἱ κάτοικοί της, δηλαδή οἱ ἄνθρωποι, θά πάθουν τέτοια καταστροφή, ἀλλά τήν προσωρινή ἐννοεῖ, καί μέ αὐτή θά μετατεθοῦν στήν ἀφθαρσία, ὅπως ἀκριβῶς λοιπόν καί ἡ κτίση. Ὅλα αὐτά τά ὑπαινίχθηκε μέ τό νά πεῖ, «σάν αὐτά».

Αὐτό ἀκριβῶς λοιπόν καί ὁ Παῦλος προχωρώντας λέγει. Πρῶτα ὅμως μιλάει γιά τή δουλεία της, καί δείχνει γιά ποιό λόγο ἔγινε τέτοια, καί μᾶς ἀναφέρει τήν αἰτία. Τί λοιπόν; περιφρονήθηκε καὶ ἔπαθε αὐτά γιά ἄλλον; Καθόλου, γιατί πραγματικά γιά μένα ἔγινε τέτοια. Αὐτή λοιπόν πού ἔγινε γιά μένα τέτοια πῶς θά ἀδικοῦνταν, ἄν πάθαινε αὐτά γιά τή δική μου διόρθωση; Ἄλλωστε, τό λόγο γιά τό δίκαιο καί ἄδικο δέν πρέπει νά τόν ἐπεκτείνομε στά ἄψυχα καί ἀναίσθητα. Ἀλλ' ὁ Παῦλος, ἐπειδή προσωποποίησε τήν κτίση, δέ χρησιμοποιεῖ τίποτε ἀπ' αὐτά πού εἶπα, ἀλλά κάποιον ἄλλο λόγο, σπεύδοντας νά παρηγορήσει πάρα πολύ τόν ἀκροατή. Ποιός λοιπόν εἶναι ὁ λόγος αὐτός; Τί λέγεις; λέγει· ἔπαθε κακά γιά σένα καί ἔγινε φθαρτή; Δέν ἔχει ἀδικηθεῖ ὅμως καθόλου, γιατί καί ἄφθαρτη θά γίνει πάλι γιά σένα· γιατί αὐτό σημαίνει τό, «μέ τήν ἐλπίδα». Ὅταν ὅμως λέγει, «δέν ὑποδουλώθηκε μέ τή θέλησή της», δέν τό λέγει αὐτό γιά νά δείξει, πώς ἔχει δική της γνώμη, ἀλλά γιά νά μάθεις, ὅτι τά πάντα ἀνήκουν στή φροντίδα τοῦ Χριστοῦ, καί ὅτι τό κατόρθωμα αὐτό δέν ἀνήκει σ' ἐκείνη. Πές λοιπόν μέ ποιάν ἐλπί-

ὅτι τῆς τοῦ Χριστοῦ κηδεμονίας τὸ πᾶν ἐγένετο, οὐκ ἐκείνης κατόρθωμα τοῦτο. Εἰπὲ δὴ ποίᾳ ἐλπίδι; «Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται». Τί ἐστι, «καὶ αὐτή»; Οὐχὶ σὺ μόνος, ἀλλὰ καὶ ὃ σοῦ ἐστι καταδεέστερον, καὶ οὐ μετέχει λογισμοῦ οὐδὲ αἰσθήσεως, καὶ τοῦτό σοι κοινωνήσει τῶν ἀγαθῶν.

«Ἐλευθερωθήσεται γάρ», φησίν, «ἀπὸ τῆς δουλείας τῆς φθορᾶς»· τουτέστιν, οὐκέτι ἔσται φθαρτή, «ἀλλὰ ἀκολουθήσει τῇ τοῦ σώματος εὐμορφίᾳ τοῦ σοῦ. Ὥσπερ γὰρ γενομένου φθαρτοῦ, γέγονεν ἐκείνη τοιαύτη, οὕτως ἀφθάρτου καταστάντος, καὶ αὐτὴ ἕψεται πάλιν. Ὅπερ οὖν καὶ δεικνὺς ἐπήγαγεν· «Εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ»· τουτέστι, διὰ τὴν ἐλευθερίαν. Καθάπερ γὰρ τιθηνὸς παιδίον τρέφουσα βασιλικόν, ἐπὶ τῆς ἀρχῆς ἐκείνου γενομένου τῆς πατρικῆς, καὶ αὐτὴ συναπολαύει τῶν ἀγαθῶν, οὕτω καὶ ἡ κτίσις, φησίν. Ὁρᾷς τὸν ἄνθρωπον πανταχοῦ προηγούμενον, καὶ δι' αὐτὸν ἅπαντα γινόμενα; Εἶδες πῶς καὶ παραμυθεῖται τὸν ἀγωνιζόμενον, καὶ δείκνυσι τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν; Τί γὰρ ἀλγεῖς, φησίν, ἐπὶ τοῖς πειρασμοῖς; Σὺ διὰ σαυτὸν πάσχεις, ἡ κτίσις διὰ σέ. Οὐ παραμυθεῖται δὲ μόνον, ἀλλὰ καὶ ἀξιόπιστα δείκνυσι τὰ λεγόμενα. Εἰ γὰρ ἡ κτίσις ἐλπίζει ἡ διὰ σὲ πάντα γινομένη, πολλῷ μᾶλλον σύ, δι' ὃν ἡ κτίσις ἀπολαύειν μέλλει τῶν ἀγαθῶν ἐκείνων. Οὕτω καὶ οἱ ἄνθρωποι, τοῦ υἱοῦ μέλλοντος ἐπ' ἀξιώματος φαίνεσθαι, καὶ τοὺς δούλους λαμπροτέραν ἐνδύουσι στολὴν εἰς τὴν τοῦ παιδὸς δόξαν· ὥσπερ οὖν καὶ ὁ Θεὸς τὴν κτίσιν ἀφθαρσίᾳ περιβαλεῖ εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων.

6. «Οἴδαμεν γάρ, ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν». Εἶδες πῶς ἐντρέπει τὸν ἀκροατήν, μονονουχὶ λέγων· μὴ γένῃ τῆς κτίσεως χείρων, καὶ τοῖς παροῦσιν ἐμφιλοχωρήσῃς; Οὐ γὰρ μόνον αὐτῶν ἀντέχεσθαι οὐ δεῖ, ἀλλὰ καὶ στενάζειν ἐπὶ τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας. Εἰ γὰρ ἡ κτίσις τοῦτο ποιεῖ, πολλῷ μᾶλλον σὲ δίκαιον τοῦτο ἐπιδείκνυσθαι τὸν λόγῳ τετιμημένον. Ἀλλ' οὔπω τοῦτο μέγα εἰς ἐντροπήν· διόπερ ἐπήγαγεν· «Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, καὶ

δα; «῞Οτι καί αὐτή ἡ κτίση θά ἐλευθερωθεῖ». Τί σημαίνει, «κατ' αὐτή»; ῎Οχι μόνο ἐσύ, ἀλλά καί ἐκεῖνο πού εἶναι κατώτερό σου, καί δέν ἔχει λογικό καί αἴσθηση, καί αὐτό θά συμμετάσχει μαζί σου στά ἀγαθά.

«Γιατί θά ἐλευθερωθεῖ», λέγει, «ἀπό τήν ὑποδούλωση στή φθορά». Δηλαδή, δέ θά εἶναι πιά φθαρτή, ἀλλά θ' ἀκολουθήσει τήν ὀμορφιά τοῦ δικοῦ σου σώματος. Γιατί, ὅπως ἀκριβῶς, ὅταν ἐκεῖνο ἔγινε φθαρτό, ἔγινε ἐκείνη τέτοια, ἔτσι, ἀφοῦ γίνει ἄφθαρτο, θ' ἀκολουθήσει καί αὐτή πάλι. Αὐτό ἀκριβῶς λοιπόν γιά νά δείξει, πρόσθεσε· «στήν ἐλευθερία τῆς δόξας τῶν τέκνων τοῦ Θεοῦ»· δηλαδή, γιά τήν ἐλευθερία. Γιατί, ὅπως ἡ τροφός πού ἀνατρέφει παιδί τοῦ βασιλιᾶ, ὅταν λάβει αὐτό τήν ἐξουσία τοῦ πατέρα του, ἀπολαμβάνει καί αὐτή μαζί τά ἀγαθά, ἔτσι καί ἡ κτίση, λέγει. Βλέπεις ὅτι παντοῦ ὁ ἄνθρωπος ἔχει τήν πρώτη θέση, καί γι' αὐτόν γίνονται τά πάντα; Εἶδες πῶς καί παρηγορεῖ ἐκεῖνον πού ἀγωνίζεται, καί δείχνει τήν ἀπερίγραπτη φιλανθρωπία τοῦ Θεοῦ; Γιατί λοιπόν λυπᾶσαι, λέγει γιά τούς πειρασμούς; Ἐσύ ὑποφέρεις γιά τόν ἑαυτό σου, ἡ κτίση γιά σένα. Δέν παρηγορεῖ ὅμως μόνο, ἀλλ' ἀποδεικνύει καί ἀξιόπιστα τά λεγόμενα. Γιατί, ἄν ἐλπίζει ἡ κτίση, ἡ ὁποία τά πάντα γίνεται γιά σένα, πολύ περισσότερο πρέπει νά ἐλπίζεις ἐσύ, γιά τό ὁποῖο ἡ κτίση πρόκειται ν' ἀπολαμβάνει τά ἀγαθά ἐκεῖνα. ῎Ετσι καί οἱ ἄνθρωποι, ὅταν ὁ υἱός πρόκειται ν' ἀνεβεῖ σέ κάποιο ἀξίωμα, καί τούς δούλους ντύνουν μέ λαμπρότερη στολή ἀνάλογη πρός τή δόξα τοῦ παιδιοῦ. Κατά τόν ἴδιο λοιπόν τρόπο καί ὁ Θεός θά ντύσει μέ ἀφθαρσία τήν κτίση ἀνάλογα πρός τήν ἐλευθερία τῆς δόξας τῶν τέκνων του.

6. «Γιατί γνωρίζουμε, ὅτι ὅλη μαζί ἡ κτίση στενάζει καί πονάει μέχρι τώρα». Εἶδες πῶς ἐλέγχει τόν ἀκροατή, λέγοντας σχεδόν, νά μή γίνεις χειρότερος ἀπό τήν κτίση καί νά μήν ἀφοσιωθεῖς στά παρόντα; Γιατί ὄχι μόνο δέν πρέπει νά προσηλώνεσαι σ' αὐτά, ἀλλά καί νά στενάζεις γιά τήν ἀργοπορία τῆς ἀποδημίας σου ἀπό τή γῆ. Γιατί, ἄν ἡ κτίση κάνει αὐτό, πολύ περισσότερο εἶναι δίκαιο νά δείχνεις αὐτό ἐσύ, πού ἔχεις τιμηθεῖ μέ τό λογικό. Ἀλλά δέν εἶναι ἀκόμα αὐτό μεγάλο γιά νά τούς κάνει νά ντραποῦν· γι' αὐτό ἀκριβῶς πρόσθεσε· «καί ὄχι μόνο ἡ κτίση, ἀλλά καί μεῖς οἱ ἴδιοι, πού ἔχουμε

ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν»· τουτέστι, τῶν μελλόντων ἤδη γευσάμενοι. Κἂν γὰρ σφόδρα λίθινός τις ᾖ, φησίν, ἱκανὰ τὰ δοθέντα ἤδη διαναστῆσαί τε αὐτόν, καὶ τῶν παρόντων ἀπαγαγεῖν, καὶ πρὸς τὰ μέλλοντα πτερῶσαι διπλῇ, καὶ τῷ μεγάλα εἶναι τὰ δεδομένα, καὶ τῷ τοσαῦτα καὶ τηλικαῦτα ἀπαρχὴν εἶναι. Εἰ γὰρ ἡ ἀπαρχὴ τοσαύτη, ὡς δι' αὐτῆς καὶ ἁμαρτημάτων ἀπαλλαγῆναι, καὶ δικαιοσύνης ἐπιτυχεῖν καὶ ἁγιασμοῦ, τοὺς δὲ τότε καὶ δαίμονας ἐλαύνειν καὶ νεκροὺς ἐγείρειν διὰ σκιᾶς καὶ ἱματίων· ἐννόησον τὸ ὅλον ἡλίκον. Καὶ εἰ ἡ κτίσις, ἡ νοῦ καὶ λόγου ἐστερημένη, οὐδὲν τούτων εἰδυῖα στενάζει, πολλῷ μᾶλλον ἡμεῖς.

Εἶτα, ἵνα μὴ δῷ τοῖς αἱρετικοῖς λαβήν, καὶ δόξῃ τὰ παρόντα διαβάλλειν, στενάζομεν, φησίν, οὐ τῶν παρόντων κατηγοροῦντες, ἀλλὰ τῶν μειζόνων ἐφιέμενοι· τοῦτο γὰρ ἐδήλωσεν εἰπών, «υἱοθεσίαν ἀπεκδεχόμενοι». Τί λέγεις, εἰπέ μοι; Ἄνω καὶ κάτω συνεχῶς ἔστρεφες, καὶ ἐβόας λέγων, ὅτι ἤδη γεγόναμεν υἱοί, καὶ νῦν ἐν ἐλπίσι τιθεῖς τουτὶ τὸ ἀγαθόν, γράφων ὅτι ἐκδέχεσθαι αὐτὴν δεῖ; Τοῦτο τοίνυν διορθούμενος τῇ ἐπαγωγῇ, λέγει· «τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν»· τουτέστι, τὴν ἀπηρτισμένην δόξαν. Νῦν μὲν γὰρ ἐν ἀδήλῳ τὰ ἡμέτερα ἕστηκεν ἕως ἐσχάτης ἀναπνοῆς· πολλοὶ γὰρ ὄντες υἱοί, γεγόναμεν κύνες καὶ αἰχμάλωτοι. Ἂν δὲ μετὰ χρηστῆς καταλύσωμεν ἐλπίδος, τότε ἀκίνητος ἡ δωρεά, καὶ σαφεστέρα καὶ μείζων, οὐκέτι τὴν ἀπὸ τοῦ θανάτου καὶ τῆς ἁμαρτίας δεδοικυῖα μεταβολήν. Τότε οὖν βεβαία ἔσται ἡ χάρις, ὅταν καὶ τὸ σῶμα ἡμῶν ἀπαλλαγῇ θανάτου καὶ τῶν μυρίων παθῶν. Τοῦτο γάρ ἐστιν ἀπολύτρωσις, οὐχ ἁπλῶς λύτρωσις, ἀλλ' ὥστε μηκέτι πάλιν ὑποστρέψαι ἐπὶ τὴν προτέραν αἰχμαλωσίαν.

Ἵνα γὰρ μὴ ἀπορῇς δόξαν ἀκούων συνεχῶς, καὶ μηδὲν σαφῶς ἐπιστάμενος, ἐκ μέρους σοι παρανοίγει τὰ μέλλοντα, τὸ σῶμά σοι μεταβάλλων, καὶ τὴν κτίσιν αὐτῷ συμμεταβάλλων ἅπασαν· ὃ καὶ ἀλλαχοῦ σαφέστερον ἐδήλωσεν εἰπών, «ὃς μετασχηματίσει τὸ

τήν ἀπαρχή τοῦ Πνεύματος, στενάζουμε μέσα μας». Δηλαδή, ἔχουμε ἤδη γευθεῖ τά μελλοντικά. Καί ἄν ἀκόμη λοιπόν κάποιος εἶναι ἀναίσθητος σάν πέτρα, λέγει, εἶναι ἀρκετά αὐτά πού δόθηκαν ἤδη ὥστε καί νά τοῦ κινήσουν τό ἐνδιαφέρον, καί νά τόν ἀπομακρύνουν ἀπό τά παρόντα, καί νά τόν διεγείρουν πρός τά μελλοντικά μέ διπλό τρόπο, καί μέ τό ὅτι εἶναι μεγάλα αὐτά πού δόθηκαν, καί μέ τό ὅτι τόσο πολλά καί τόσο μεγάλα εἶναι ἐκεῖνα πού ἀποτελοῦν τήν ἀπαρχή. Γιατί, ἄν ἡ ἀπαρχή εἶναι τόσο μεγάλη, ὥστε μ' αὐτή καί ν' ἀπαλλαγοῦμε ἀπό τά ἁμαρτήματα, καί νά ἐπιτύχουμε τή δικαίωση καί τόν ἁγιασμό, καί ἀκόμα αὐτοί πού ἔζησαν τότε καί δαίμονες νά διώχνουν καί νεκρούς ν' ἀνασταίνουν μέ τή σκιά καί τά ροῦχα τους, σκέψου πόσο εἶναι τό ὅλο. Καί ἄν ἡ κτίση, πού δέν ἔχει νοῦ καί λόγο, χωρίς νά γνωρίζει τίποτε ἀπ' αὐτά στενάζει, πολύ περισσότερο πρέπει νά στενάζουμε ἐμεῖς.

Ἔπειτα, γιά νά μή δώσει ἀφορμή στούς αἱρετικούς καί φανεῖ πώς κατηγορεῖ τά παρόντα, στενάζουμε, λέγει, ὄχι γιατί κατηγοροῦμε τά παρόντα, ἀλλά γιατί ποθοῦμε τά μεγαλύτερα. Γιατί αὐτό δήλωσε λέγοντας· «καθώς περιμένουμε τήν υἱοθεσία». Τί λέγεις; πές μου. Παντοῦ συνέχεια ἐπαναλάμβανες καί φώναζες λέγοντας, ὅτι ἤδη ἔχουμε γίνει υἱοί, καί τώρα σέ ἐλπίδες στηρίζεις αὐτό ἐδῶ τό ἀγαθό, γράφοντας ὅτι πρέπει νά τήν περιμένουμε; Αὐτό λοιπόν διορθώνοντας μέ τά ὅσα προσθέτει στή συνέχεια, λέγει· «τήν ἀπολύτρωση τοῦ σώματός μας»· δηλαδή, τήν τέλεια δόξα. Τώρα δηλαδή τά δικά μας εἶναι ἀβέβαια μέχρι τή τελευταία ἀναπνοή μας, γιατί πολλοί, ἄν καί εἴμαστε υἱοί, ἔχουμε γίνει σκύλοι καί αἰχμάλωτοι. Ἐάν ὅμως πεθάνουμε μέ ἀγαθή ἐλπίδα, τότε ἡ δωρεά θά εἶναι σταθερή, σαφέστερη καί μεγαλύτερη, χωρίς νά φοβᾶται πιά τή μεταβολή ἀπό τό θάνατο καί τήν ἁμαρτία. Τότε λοιπόν θά εἶναι βέβαιη ἡ χάρη, ὅταν καί τό σῶμα μας ἀπαλλαγεῖ ἀπό τό θάνατο καί τά ἄπειρα πάθη. Γιατί αὐτό σημαίνει ἀπολύτρωση, ὄχι ἁπλῶς λύτρωση, ἀλλά μή ἐπιστροφή ποτέ πλέον στήν προηγούμενη αἰχμαλωσία.

Ἀλλά γιά νά μήν ἀπορεῖς, ἀκούοντας δόξα συνέχεια καί μή γνωρίζοντας τίποτε μέ σαφήνεια, σοῦ φανερώνει σιγά-σιγά τά μελλοντικά, μεταβάλλοντας τό σῶμα σου καί μεταβάλοντας μαζί μ' αὐτό καί τήν κτίση ὅλη, πράγμα πού καί ἀλλοῦ πιό καθαρά δήλωσε λέγο-

σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ». Καὶ ἑτέρωθι πάλιν γράφων ἔλεγεν, «ὅταν δὲ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· κατεπόθη ὁ θάνατος εἰς νῖκος». Δεικνὺς δέ, ὅτι μετὰ τῆς φθορᾶς τοῦ σώματος καὶ ἡ τῶν βιωτικῶν πραγμάτων κατάστασις οἰχήσεται, ἔγραφε πάλιν ἀλλαχοῦ· «Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου».

7. «Τῇ γὰρ ἐλπίδι ἐσώθημεν», φησίν. Ἐπειδὴ γὰρ τῇ τῶν μελλόντων ἐνδιέτριψεν ὑποσχέσει, ἐδόκει δὲ τοῦτο λυπεῖν τὸ ἀσθενέστερον ἀκροατήν, εἴγε ἐν ἐλπίσι τὰ ἀγαθά, πρότερον κατασκευάσας, ὅτι τῶν παρόντων καὶ ὁρωμένων ἐστὶ σαφέστερα, καὶ πολλὰ περὶ τῶν ἤδη διδομένων δωρεῶν διαλεχθείς, καὶ δείξας ὅτι καὶ ἀπαρχὴν ἐκείνων ἐλάβομεν τῶν ἀγαθῶν, ἵνα μὴ πάντα ἐνταῦθα ζητῶμεν, καὶ τὴν εὐγένειαν ἡμῶν προδῶμεν τὴν ἀπὸ τῆς πίστεως, φησί· «τῇ γὰρ ἐλπίδι ἐσώθημεν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ δεῖ πάντα ἐνταῦθα ζητεῖν, ἀλλὰ καὶ ἐλπίζειν. Τοῦτο γὰρ μόνον εἰσηνέγκαμεν τῷ Θεῷ τὸ δῶρον, τὸ πιστεῦσαι αὐτῷ τὰ μέλλοντα ἐπαγγειλαμένῳ, καὶ διὰ ταύτης μόνον ἐσώθημεν τῆς ὁδοῦ. Ἂν τοίνυν αὐτὴν ἀπολέσωμεν, τὸ πᾶν τῆς ἡμετέρας εἰσφορᾶς ἀπωλέσαμεν. Ἐρωτῶ γάρ σε, φησίν, οὐχὶ μυρίων ὑπεύθυνος ἦς κακῶν; οὐχὶ ἀπεγνωσμένος; οὐχὶ ἀποφάσει ὑποκείμενος; οὐχὶ πάντες ἠτόνουν πρὸς τὴν σωτηρίαν τὴν σήν; Τί οὖν σε ἔσωσε; Τὸ εἰς τὸν Θεὸν ἐλπίσαι μόνον, καὶ πιστεῦσαι αὐτῷ περὶ ὧν ἐπηγγείλατό τε καὶ ἔδωκε· καὶ πλέον οὐδὲν ἔσχες εἰσενεγκεῖν. Εἰ τοίνυν αὕτη σε ἔσωσε, ταύτην κάτεχε καὶ νῦν. Ἡ γὰρ τοσαῦτά σοι παρασχοῦσα ἀγαθά, εὔδηλον ὅτι οὐδὲ περὶ τῶν μελλόντων σε ψεύσεται.

Ὅπου γὰρ νεκρὸν λαβοῦσα καὶ ἀπολωλότα καὶ αἰχμάλωτον καὶ ἐχθρόν, φίλον ἐποίησε καὶ υἱὸν καὶ ἐλεύθερον καὶ δίκαιον καὶ συγκληρονόμον, καὶ τοσαῦτα παρέσχεν, ὅσα μηδὲ προσεδόκησέ τις ποτέ, πῶς μετὰ τὴν τοσαύτην φιλοτιμίαν τε καὶ οἰκείωσιν προήσεταί σε ἐν τοῖς ἑξῆς; Μὴ τοίνυν μοι λέγε, πάλιν ἐλπίδες, πάλιν προσδοκίαι, πάλιν πίστις. Οὕτω γὰρ ἐξ ἀρχῆς ἐσώθης, καὶ ταύτην τὴν

---

20. Φιλιπ. 3, 21.
21. Α' Κορ. 15, 54.
22. Α' Κορ. 7, 31.

ντας· «ὁ ὁποῖος θά μεταφορφώσει τό ταπεινό μας σῶμα, ὥστε νά λάβει τήν ἴδια μορφή μέ τό ἔνδοξο σῶμα του»[20]. Καί ἀλλοῦ πάλι γράφοντας ἔλεγε, «Καί ὅταν τό θνητό αὐτό ντυθεῖ τήν ἀθανασία, τότε θά ἐκπληρωθεῖ ὁ λόγος πού εἶναι γραμμένος· καταβροχθίσθηκε ὁ θάνατος καί νικήθηκε»[21]. Γιά νά δείξει ὅμως, ὅτι μαζί μέ τή φθορά τοῦ σώματος θά ἐξαφανισθεῖ καί ἡ κατάσταση τῶν βιοτικῶν πραγμάτων, ἔγραφε πάλι ἀλλοῦ· «γιατί ἐξαφανίζεται ἡ μορφή τοῦ κόσμου αὐτοῦ»[22].

7. «Γιατί», λέγει, «μέ τήν ἐλπίδα αὐτή σωθήκαμε». Ἐπειδή δηλαδή ἀσχολήθηκε μέ τήν ὑπόσχεση τῶν μελλοντικῶν, φαινόταν ὅμως ὅτι αὐτό λυποῦσε τόν πιό ἀδύνατο στήν πίστη ἀκροατή, ἀφοῦ βέβαια τά ἀγαθά βρίσκονταν σέ ἐλπίδες, πρῶτα ἀφοῦ ἀπέδειξε, ὅτι εἶναι σαφέστερα ἀπό τά παρόντα καί τά ὁρατά, καί ἀφοῦ εἶπε πολλά γιά τίς δωρεές πού ἤδη δόθηκαν, καί ἀφοῦ ἔδειξε ὅτι λάβαμε καί τήν ἀπαρχή ἐκείνων τῶν ἀγαθῶν, γιά νά μή τά ζητοῦμε ὅλα ἐδῶ, καί προδώσουμε τήν εὐγενική μας καταγωγή πού προέρχεται ἀπό τήν πίστη, λέγει· «γιατί μέ τήν ἐλπίδα αὐτή σωθήκαμε». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· δέν πρέπει νά τά ζητοῦμε ὅλα ἐδῶ, ἀλλά καί νά τά ἐλπίζουμε. Γιατί αὐτό τό δῶρο μόνο προσφέραμε στό Θεό, τό νά πιστέψουμε δηλαδή σ' αὐτόν πού ὑποσχέθηκε τά μελλοντικά, καί μ' αὐτόν τόν τρόπο μόνο σωθήκαμε. Ἐάν λοιπόν χάσουμε τήν ἐλπίδα, χάσαμε τό σύνολο τῆς δικῆς μας εἰσφορᾶς. Γιατί σ' ἐρωτῶ, λέγει, δέν ἦσαν ὑπεύθυνος γιά ἄπειρα κακά; δέν ἦσαν ἀπελπισμένος; δέν ἤσουν σέ κρίση; δέν ἦταν ὅλοι ἀνίκανοι γιά τή σωτηρία σου; τί λοιπόν σ' ἔσωσε; Τό νά ἐλπίσεις μόνο στό Θεό καί νά πιστέψεις σ' αὐτόν γι' αὐτά πού ὑποσχέθηκε καί ἔδωσε· περισσότερο δέν μποροῦσες νά προσφέρεις τίποτε. Ἐάν λοιπόν αὐτή σ' ἔσωσε, αὐτήν νά κατέχεις καί τώρα. Γιατί αὐτή πού σοῦ πρόσφερε τόσα ἀγαθά, εἶναι ὁλοφάνερο πώς οὔτε γιά τά μελλοντικά θά σέ ξεγελάσει.

Ἀφοῦ λοιπόν σέ παρέλαβε νεκρό καί χαμένο καί αἰχμάλωτο καί ἐχθρό, καί σ' ἔκαμε φίλο καί υἱό καί ἐλεύθερο καί δίκαιο καί συγκληρονόμο, καί πρόσφερε τόσα ἀγαθά, ὅσα δέν ἔλπισε ποτέ κανείς, πῶς ὕστερα ἀπό τήν τόσο μεγάλη καί γενναιοδωρία καί συμπάθεια θά σέ ἐγκαταλείψει στό μέλλον; Μή μοῦ λέγεις λοιπόν, πάλι ἐλπίδες, πάλι προσδοκίες, πάλι πίστη. Γιατί ἔτσι σώθηκες ἀπό τήν ἀρχή, καί αὐτή τήν προίκα πρόσφερες μόνο στό νυμφίο. Νά τήν κρατᾶς λοιπόν

προῖκα εἰσήνεγκας τῷ νυμφίῳ μόνον. Κάτεχε τοίνυν αὐτὴν καὶ διατήρει. Ἂν γὰρ ἐνταῦθα πάντα ἀπαιτῇς, ἀπώλεσάς σου τὸ κατόρθωμα, δι' οὗ λαμπρὸς ἐγένου. Διὸ ἐπάγει λέγων· «Ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα». Τουτέστιν· εἰ πάντα ἐνταῦθα μέλλεις ζητεῖν, τίς χρεία ἐλπίδος; Τί οὖν ἐστιν ἐλπίς; Τὸ τοῖς μέλλουσι θαρρεῖν. Τί γὰρ μέγα αἰτεῖ παρὰ σοῦ ὁ Θεός, αὐτὸς ὁλόκληρα οἴκοθεν διδοὺς τὰ ἀγαθά; Ἓν αἰτεῖ παρὰ σοῦ μόνον, ἐλπίδα, ἵνα ἔχῃς τι καὶ αὐτὸς συνεισενεγκεῖν εἰς τὴν σὴν σωτηρίαν ὅπερ οὖν καὶ αἰνιττόμενος ἐπήγαγεν, «εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα». Ὥσπερ γὰρ τὸν πονοῦντα καὶ ταλαιπωρούμενον καὶ μυρία κάμνοντα, οὕτω καὶ τὸν ἐλπίζοντα ὁ Θεὸς στεφανοῖ. Τὸ γὰρ τῆς ὑπομονῆς ὄνομα ἱδρώτων ἐστὶν ὄνομα καὶ καρτερίας πολλῆς. Ἀλλ' ὅμως ἐχαρίσατο καὶ τοῦτο τῷ ἐλπίζοντι, ἵνα παραμυθήσηται τὴν ἀποκαμοῦσαν ψυχήν.

8. Εἶτα δείκνυσιν, ὅτι καὶ πρὸς τὸ κοῦφον τοῦτο πολλῆς ἀπολαύομεν βοηθείας, λέγων· «ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν». Τὸ μὲν γὰρ γίνεται σόν, τὸ τῆς ὑπομονῆς, τὸ δὲ τῆς τοῦ Πνεύματος χορηγίας, εἴς τε τὴν ἐλπίδα σε ἀλείφοντος, καὶ δι' αὐτῆς πάλιν τοὺς πόνους κουφίζοντος. Εἶτα, ἵνα μάθῃς, ὅτι οὐκ ἐν τοῖς πόνοις σοι μόνον καὶ τοῖς κινδύνοις παρέστηκεν αὕτη ἡ χάρις, ἀλλὰ καὶ ἐν τοῖς εὐκολωτάτοις δοκοῦσιν εἶναι συμπράττει, καὶ πανταχοῦ τὴν παρ' ἑαυτῆς εἰσφέρει συμμαχίαν, ἐπήγαγε λέγων· «τὸ γὰρ τί προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν». Ταῦτα δὲ ἔλεγε, τήν τε πολλὴν τοῦ Πνεύματος πρόνοιαν ἐμφαίνων τὴν περὶ ἡμᾶς, καὶ παιδεύων αὐτούς, μὴ πάντως ἐκεῖνα νομίζειν εἶναι συμφέροντα, ἃ τοῖς λογισμοῖς φαίνεται τοῖς ἀνθρωπίνοις. Ἐπειδὴ γὰρ εἰκὸς αὐτοὺς μαστιζομένους, ἐλαυνομένους, μυρία πάσχοντας δεινά, ἄνεσιν ζητεῖν, καὶ ταύτην αἰτεῖν παρὰ τοῦ Θεοῦ τὴν χάριν, καὶ νομίζειν αὐτοῖς λυσιτελεῖν, λέγει· μὴ πάντως τὰ δοκοῦντα ὑμῖν εἶναι συμφέροντα, ταῦτα καὶ εἶναι νομίζετε. Καὶ γὰρ

αὐτήν καί νά τή διατηρεῖς. Γιατί, ἄν τά ἀπαιτεῖς ὅλα ἐδῶ, ἔχασες τό κατόρθωμά σου, μέ τό ὁποῖο ἔγινες λαμπρός. Γι' αὐτό προσθέτει καί λέγει· «Ἐλπίδα ὅμως πού τή βλέπει κανείς, δέν εἶναι ἐλπίδα· γιατί νά ἐλπίζει κανείς γιά ἐκεῖνο πού βλέπει ἤδη; Ἀλλ' ἐάν ἐλπίζουμε γιά ἐκεῖνο πού δέ βλέπουμε, μέ ὑπομονή τό περιμένουμε». Δηλαδή, ἐάν πρόκειται νά τά ζητᾶς ὅλα ἐδῶ, ποιά ἀνάγκη ὑπάρχει γιά ἐλπίδα; Τί λοιπόν σημαίνει ἐλπίδα; Τό νά ἔχεις θάρρος γιά τά μελλοντικά. Γιατί τί μεγάλο ζητάει ἀπό σένα ὁ Θεός, αὐτός πού ἀπό μόνος του ἔδωσε ὁλόκληρα τά ἀγαθά; Ἕνα ζητάει μόνο ἀπό σένα, ἐλπίδα, γιά νά ἔχεις κάτι καί ἐσύ ὁ ἴδιος νά συνεισφέρεις γιά τή σωτηρία σου, πράγμα λοιπόν πού γιά νά δείξει ὅτι ὑπονοεῖ, πρόσθεσε, «ἀλλ' ἐάν ἐλπίζουμε γιά ἐκεῖνο πού δέ βλέπουμε, τό περιμένουμε μέ ὑπομονή». Γιατί, ὅπως ὁ Θεός στεφανώνει ἐκεῖνον πού κοπιάζει καί ταλαιπωρεῖται καί ὑποφέρει ἄπειρα κακά, ἔτσι στεφανώνει καί ἐκεῖνον πού ἐλπίζει. Γιατί τό ὄνομα τῆς ὑπομονῆς εἶναι ὄνομα ἱδρώτων καί μεγάλης καρτερίας. Ἀλλ' ὅμως καί αὐτό τό χάρισε σ' ἐκεῖνον πού ἐλπίζει, γιά νά παρηγορήσει τήν ψυχή πού κουράστηκε πολύ.

8. Ἔπειτα δείχνει, ὅτι καί γι' αὐτό τό ἐλαφρό πράγμα ἀπολαμβάνουμε μεγάλη βοήθεια, λέγοντας· «κατά τόν ἴδιο τρόπο καί τό Πνεῦμα μᾶς βοηθάει στίς ἀδυναμίες μας». Τό ἕνα λοιπόν γίνεται δικό σου, δηλαδή ἡ ὑπομονή, ἐνῶ τό ἄλλο εἶναι ἀποτέλεσμα τῆς χορηγίας τοῦ Πνεύματος, πού σέ προετοιμάζει στήν ἐλπίδα καί μ' αὐτήν πάλι ἐλαφρύνοντας τούς κόπους. Στή συνέχεια, γιά νά μάθεις, ὅτι δέ σοῦ παραστέκεται αὐτή ἡ χάρη μόνο στούς κόπους καί στούς κινδύνους, ἀλλ' ὅτι σὲ βοηθάει καί σ' ἐκεῖνα πού φαίνονται πώς εἶναι πάρα πολύ εὔκολα, καί ὅτι παντοῦ προσφέρει τή βοήθειά της, πρόσθεσε λέγοντας· «Γιατί δέ γνωρίζουμε πῶς πρέπει νά προσευχόμαστε». Καί ἔλεγε αὐτά καί γιά νά παρουσιάσει τή μεγάλη φροντίδα τοῦ Πνεύματος γιά μᾶς, καί γιά νά τούς διδάξει, νά μή νομίζουν πώς ὁπωσδήποτε συμφέρουν ἐκεῖνα, πού φαίνονται τέτοια στούς ἀνθρώπινους λογισμούς. Ἐπειδή λοιπόν ἦταν φυσικό, ἀφοῦ μαστιγώνονταν, διώκονταν, πάθαιναν ἄπειρα δεινά, νά ἐπιζητοῦν ἄνεση καί νά ζητοῦν ἀπό τό Θεό αὐτή τή χάρη καί νά νομίζουν πώς ὠφελοῦν αὐτούς, λέγει νά μή νομίζετε πώς ὁπωσδήποτε ἐκεῖνα πού σᾶς φαίνονται ὅτι συμφέρουν, ὅτι αὐτά συμφέρουν πραγματικά. Γιατί καί σ' αὐτό χρειαζόμα-

εἰς τοῦτο τῆς τοῦ Πνεύματος δεόμεθα βοηθείας· οὕτως ἐστὶν ἀσθενὴς ἄνθρωπος, καὶ καθ' ἑαυτὸν οὐδέν. Διὸ καὶ ἔλεγε· «Τὸ γὰρ τί προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν».

Ἵνα γὰρ μηκέτι ὁ μαθητὴς αἰσχύνηται τὴν ἄγνοιαν, ἔδειξε καὶ τοὺς διδασκάλους ἐν τοῖς αὐτοῖς ὄντας. Οὐ γὰρ εἶπεν, 'οὐκ οἴδατε', ἀλλ', «οὐκ οἴδαμεν». Καὶ ὅτι οὐ μετριάζων ταῦτα ἔλεγεν, ἐδήλωσε δι' ἑτέρων. Καὶ γὰρ ἀδιαλείπτως ἐπὶ τῶν προσευχῶν αὐτοῦ τὴν Ῥώμην ἰδεῖν ἐδεῖτο, καὶ οὐχ ὅτε ἐδεῖτο, τότε ἐπέτυχε· καὶ ὑπὲρ τοῦ σκόλοπος τοῦ δεδομένου αὐτῷ ἐν τῇ σαρκί, τουτέστι, τῶν κινδύνων, πολλάκις παρεκάλεσε, καὶ ὁλοσχερῶς ἀπέτυχε· καὶ ὁ Μωϋσῆς δὲ ἐν τῇ παλαιᾷ ὑπὲρ τοῦ τὴν Παλαιστίνην ἰδεῖν δεόμενος, καὶ Ἱερεμίας ὑπὲρ Ἰουδαίων ἱκετεύων, καὶ Ἀβραὰμ ὑπὲρ Σοδομιτῶν ἐντυγχάνων. «Ἀλλ' αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις». Ἀσαφὲς τὸ εἰρημένον διὰ τὸ πολλὰ τῶν τότε γινομένων θαυμάτων πεπαῦσθαι νῦν. Διόπερ ἀναγκαῖον διδάξαι ὑμᾶς τὴν τότε κατάστασιν, καὶ οὕτω σαφέστερος ἔσται λοιπὸν ὁ λόγος. Τίς οὖν ἡ τότε κατάστασις ἦν; Διάφορα πᾶσι τοῖς τότε βαπτιζομένοις ἐδίδου χαρίσματα ὁ Θεός, ἃ δὴ καὶ πνεύματα ἐκαλεῖτο· «Πνεύματα γὰρ προφητῶν προφήταις ὑποτάσσεται», φησί. Καὶ ὁ μὲν εἶχε προφητείας χάρισμα, καὶ προέλεγε τὰ μέλλοντα, ὁ δὲ σοφίας, καὶ ἐδίδασκε τοὺς πολλούς· ὁ δὲ ἰαμάτων, καὶ ἐθεράπευε τοὺς νοσοῦντας· ὁ δὲ δυνάμεων, καὶ ἤγειρε τοὺς νεκρούς· ὁ δὲ γλωσσῶν, καὶ διαφόροις ἐλάλει φωναῖς. Μετὰ δὲ τούτων ἁπάντων ἦν καὶ εὐχῆς χάρισμα, ὃ καὶ αὐτὸ Πνεῦμα ἐλέγετο· καὶ ὁ τοῦτο ἔχων, ὑπὲρ τοῦ πλήθους παντὸς ηὔχετο.

Ἐπειδὴ γὰρ πολλὰ τῶν συμφερόντων ἡμῖν ἀγνοοῦντες, τὰ μὴ συμφέροντα αἰτοῦμεν, ἤρχετο χάρισμα εὐχῆς εἰς ἕνα τινὰ τῶν τότε, καὶ τὸ κοινῇ συμφέρον τῆς ἐκκλησίας ἁπάσης αὐτός τε ὑπὲρ ἁπάντων ἵστατο αἰτῶν, καὶ τοὺς ἄλλους ἐπαίδευε. Πνεῦμα τοίνυν ἐνταῦθα καλεῖ τό τε χάρισμα τὸ τοιοῦτον, καὶ τὴν ψυχὴν τὴν δεχομένην τὸ χάρισμα, καὶ ἐντυγχάνουσαν τῷ Θεῷ καὶ στενάζουσαν. Ὁ γὰρ τοιαύτης καταξιωθεὶς χάριτος, ἑστὼς μετὰ πολλῆς τῆς κατανύξεως, μετὰ πολλῶν τῶν στεναγμῶν τῶν κατὰ διάνοιαν τῷ Θεῷ προσπίπτων, τὰ συμφέροντα πᾶσιν ᾔτει. Οὗ καὶ νῦν σύμβολόν

στε τή βοήθεια τοῦ Πνεύματος· τόσο ἀδύνατος εἶναι ὁ ἄνθρωπος καί ἀπό μόνος του δέν εἶναι τίποτε. Γι' αὐτό καί ἔλεγε· «Γιατί δέ γνωρίζουμε πῶς πρέπει νά προσευχόμαστε».

Γιά νά μήν ντρέπεται πλέον ὁ μαθητής τήν ἄγνοια, ἔδειξε πώς καί οἱ διδάσκαλοι βρίσκονται στήν ἴδια κατάσταση. Γι' αὐτό δέν εἶπε, 'δέ γνωρίζετε', ἀλλά, «δέ γνωρίζουμε». Καί ὅτι δέν τά ἔλεγε αὐτά μέ μετριοφροσύνη, τό φανέρωσε μέ ἄλλα. Γιατί καί στίς προσευχές του συνέχεια προσευχόταν νά δεῖ τή Ρώμη, καί ὄχι ὅταν προσευχόταν, τότε τό ἐπέτυχε. Καί γιά τό ἀγκάθι πού τοῦ εἶχε δοθεῖ στή σάρκα, δηλαδή, τούς κινδύνους, πολλές φορές παρακάλεσε, καί ἀπέτυχε πλήρως. Καί ὁ Μωυσῆς στήν Παλαιά Διαθήκη ἀπέτυχε, προσευχόμενος νά δεῖ τήν Παλαιστίνη, καί ὁ Ἰερεμίας παρακαλώντας γιά τούς Ἰουδαίους, καί ὁ Ἀβραάμ μεσιτεύοντας γιά τούς Σοδομίτες. «Ἀλλά τό ἴδιο τό Πνεῦμα μεσιτεύει γιά μᾶς μέ στεναγμούς ἀνέκφραστους». Εἶναι ἀσαφές αὐτό πού λέχθηκε, γιατί πολλά ἀπό τά θαύματα πού γίνονταν τότε ἔχουν σταματήσει τώρα. Γι' αὐτό ἀκριβῶς εἶναι ἀνάγκη νά σᾶς ἐξηγήσω τήν τότε κατάσταση, καί ἔτσι θά γίνει σαφέστερος στή συνέχεια ὁ λόγος. Ποιά λοιπόν ἦταν ἡ τότε κατάσταση; Ὁ Θεός ἔδινε διάφορα χαρίσματα σέ ὅλους πού βαπτίζονταν τότε, τά ὁποῖα μάλιστα ὀνομάζονταν καί πνεύματα· «γιατί», λέγει, «καί τά προφητικά πνεύματα ὑποτάσσονται στούς προφῆτες»[23]. Καί ἀπ' αὐτούς ἄλλος εἶχε χάρισμα προφητείας, καί προέλεγε τά μελλοντικά· ἄλλος εἶχε χάρισμα σοφίας, καί δίδασκε τούς πολλούς· ἄλλος χάρισμα δυνάμεως, καί ἀνάσταινε νεκρούς· ἄλλος χάρισμα γλωσσῶν, καί μιλοῦσε διάφορες γλῶσσες. Μαζί ὅμως μέ ὅλα αὐτά ὑπῆρχε καί χάρισμα προσευχῆς, πού καί αὐτό λεγόταν πνεῦμα καί ὅποιος τό εἶχε αὐτό, προσευχόταν γιά ὅλο τό λαό.

Ἐπειδή δηλαδή, ἀγνοώντας πολλά ἀπό ἐκεῖνα πού μᾶς συμφέρουν, ζητοῦμε ἐκεῖνα πού δέ μᾶς συμφέρουν, ἐρχόταν χάρισμα προσευχῆς σέ κάποιον ἀπό τούς τότε, καί αὐτός παρακαλοῦσε γιά τό κοινό συμφέρον τῆς ἐκκλησίας καί γιά τή σωτηρία ὅλων, καί δίδασκε τούς ἄλλους. Πνεῦμα λοιπόν ὀνομάζει ἐδῶ καί τό χάρισμα αὐτό, καί τήν ψυχή πού δέχεται τό χάρισμα καί μεσιτεύει στό Θεό καί στενάζει. Γιατί ἐκεῖνος πού ἀξιώθηκε τέτοια χάρη, μέ στάση πολλή κατανυκτική, προσπίπτοντας στό Θεό μέ πολλούς στεναγμούς τῆς διανοίας, ζητοῦσε ἐκεῖνα πού συμφέρουν σέ ὅλους. Αὐτοῦ καί τώρα

ἐστιν ὁ διάκονος, τὰς ὑπὲρ τοῦ δήμου ἀναφέρων εὐχάς. Τοῦτο τοίνυν δηλῶν ὁ Παῦλος ἔλεγεν· «αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις».

«Ὁ δὲ ἐρευνῶν τὰς καρδίας». Ὁρᾷς ὅτι οὐ περὶ τοῦ Παρακλήτου ὁ λόγος, ἀλλὰ περὶ τῆς καρδίας τῆς πνευματικῆς; ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἔδει εἰπεῖν, ὁ δὲ ἐρευνῶν τὸ πνεῦμα. Ἀλλ' ἵνα μάθῃς ὅτι περὶ ἀνθρώπου ὁ λόγος πνευματικοῦ, καὶ χάρισμα ἔχοντος εὐχῆς, ἐπήγαγεν· «ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος»· τουτέστι, τοῦ ἀνθρώπου τοῦ πνευματικοῦ· «ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων». Οὐ γὰρ ἀγνοοῦντα, φησί, διδάσκει τὸν Θεόν, ἀλλὰ τοῦτο γίνεται, ἵνα ἡμεῖς μάθωμεν εὔχεσθαι ταῦτα ἃ χρή, καὶ αἰτεῖν παρὰ τοῦ Θεοῦ τὰ δοκοῦντα αὐτῷ· τοῦτο γάρ ἐστι τό, «κατὰ Θεόν». Ὥστε καὶ παρακλήσεως ἕνεκεν ἐγίνετο τοῦτο τῶν προσιόντων, καὶ διδασκαλίας ἀρίστης. Καὶ γὰρ ὁ παρέχων τὰ χαρίσματα καὶ τὰ μυρία διδοὺς ἀγαθά, ὁ Παράκλητος ἦν. «Ταῦτα γὰρ πάντα», φησίν, «ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα». Καὶ τῆς ἡμετέρας παιδεύσεως ἕνεκεν τοῦτο γίνεται, καὶ τοῦ δειχθῆναι τοῦ Πνεύματος τὴν ἀγάπην, ὅτι μέχρι τοσούτου συγκαταβαίνει. Ὅθεν καὶ τὸ ἀκούεσθαι ἐγίνετο τῷ εὐχομένῳ, διὰ τὸ κατὰ Θεὸν γίνεσθαι τὴν εὐχήν.

9. Ὁρᾷς δι' ὅσων αὐτοὺς παιδεύει τὴν ὑπὲρ αὐτῶν ἀγάπην καὶ τὴν τιμὴν τὴν γενομένην εἰς αὐτούς; Τί γὰρ οὐκ ἐποίησε δι' ἡμᾶς ὁ Θεός; Φθαρτὸν τὸν κόσμον δι' ἡμᾶς, ἄφθαρτον δι' ἡμᾶς· κακωθῆναι τοὺς προφήτας συνεχώρησε δι' ἡμᾶς, εἰς αἰχμαλωσίαν ἔπεμψε δι' ἡμᾶς, εἰς κάμινον ἀφῆκεν ἐμπεσεῖν, τὰ μυρία ὑπομεῖναι κακά. Καὶ προφήτας δὲ δι' ἡμᾶς αὐτοὺς ἐποίησε, καὶ ἀποστόλους δι' ἡμᾶς· τὸν μονογενῆ δι' ἡμᾶς ἐξέδωκε, τὸν διάβολον δι' ἡμᾶς κολάζει· ἐκάθισεν ἡμᾶς ἐν δεξιᾷ· ὠνειδίσθη δι' ἡμᾶς· «οἱ ὀνειδισμοὶ» γάρ, φησί, «τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ». Ἀλλ' ὅμως μετὰ τοσαῦτα ἀφισταμένους ἡμᾶς οὐκ ἀφίησιν, ἀλλὰ καὶ παρακαλεῖ πάλιν, καὶ ἑτέρους παρασκευάζει παρακαλεῖν ὑπὲρ ἡμῶν, ἵνα

---

23. Α' Κορ. 14, 32.
24. Α' Κορ. 12, 2.
25. Ψαλμ. 68, 10.

σύμβολο εἶναι ὁ διάκονος, ἀναφέροντας τίς προσευχές γιά χάρη τοῦ λαοῦ. Αὐτό λοιπόν γιά νά δηλώσει ὁ Παῦλος ἔλεγε· «αὐτό τό Πνεῦμα μεσιτεύει γιά μᾶς μέ στεναγμούς ἀνέκφραστους».

«Ἐκεῖνος ὅμως πού ἐρευνάει τίς καρδιές». Βλέπεις ὅτι ὁ λόγος δέν εἶναι γιά τόν Παράκλητο, ἀλλά γιά τήν καρδιά τήν πνευματική; Γιατί ἄν δέν ἦταν αὐτό, ἔπρεπε νά πεῖ, ἐκεῖνος ὅμως πού ἐρευνάει τό πνεῦμα. Ἀλλά γιά νά μάθεις, ὅτι ὁ λόγος εἶναι γιά τόν ἄνθρωπο τόν πνευματικό, καί τόν ἄνθρωπο πού ἔχει χάρισμα προσευχῆς, πρόσθεσε· «ἐκεῖνος ὅμως πού ἐρευνάει τίς καρδιές, γνωρίζει ποιός εἶναι ὁ πόθος τοῦ πνεύματος», δηλαδή, τοῦ ἀνθρώπου τοῦ πνευματικοῦ, «γιατί μεσιτεύει σύμφωνα μέ τό θέλημα τοῦ Θεοῦ γιά τούς Χριστιανούς». Γιατί δέ διδάσκει τό Θεό, λέγει, ἐπειδή τόν ἀγνοεῖ, ἀλλά γίνεται αὐτό, γιά νά μάθουμε νά προσευχόμαστε ἐκεῖνα πού πρέπει, καί νά ζητοῦμε ἀπό τό Θεό ἐκεῖνα πού θεωρεῖ καλά· γιατί αὐτό σημαίνει τό, «κατά Θεόν». Ἑπομένως αὐτό γινόταν καί ἐξ αἰτίας τῆς παρακλήσεως ἐκείνων πού προσέρχονταν, καί σάν δεῖγμα ἄριστης διδασκαλίας. Γιατί πραγματικά ἐκεῖνος πού πρόσφερνε τά χαρίσματα καί ἔδινε τά ἄπειρα ἀγαθά, ἦταν ὁ Παράκλητος. «Γιατί ὅλα αὐτά», λέγει, «ἐνεργεῖ τό ἕνα καί τό αὐτό Πνεῦμα»[24]. Καί γιά τή δική μας διδασκαλία γίνεται αὐτό, καί γιά νά φανεῖ ἡ ἀγάπη τοῦ Πνεύματος, ὅτι μέχρι αὐτοῦ τοῦ σημείου φθάνει ἡ συγκατάβασή του. Γι' αὐτό καί εἰσακουόταν ἐκεῖνος πού προσευχόταν, ἐπειδή ἡ προσευχή γινόταν σύμφωνα μέ τό θέλημα τοῦ Θεοῦ.

9. Βλέπεις μέ πόσα τούς διδάσκει τήν ἀγάπη του γι' αὐτούς καί τήν τιμή πού τούς ἔγινε; Γιατί τί δέν ἔκαμε γιά μᾶς ὁ Θεός; Ἔκανε φθαρτό τόν κόσμο γιά μᾶς, καθώς καί ἄφθαρτο γιά μᾶς· ἐπέτρεψε νά κακοποιηθοῦν οἱ προφῆτες γιά μᾶς, τούς ἔστειλε στήν αἰχμαλωσία γιά μᾶς, ἄφησε νά πέσουν στό καμίνι, νά ὑπομείνουν τά ἄπειρα κακά. Ἀλλά καί προφῆτες ἔκαμε γιά μᾶς τούς ἴδιους, καί ἀποστόλους γιά μᾶς· τό μονογενή υἱό του παρέδωσε γιά μᾶς, τό διάβολο τιμωρεῖ γιά μᾶς· μᾶς ἔβαλε νά καθίσουμε στά δεξιά του· βρίστηκε γιά μᾶς. «Γιατί οἱ ὕβρεις», λέγει, «πού ἐκτοξεύονται ἐναντίον σου ἀπό τούς ἀσεβεῖς ἔπεσαν ἐπάνω μου»[25]. Ἀλλ' ὅμως ὕστερα ἀπό τόσα, ἐνῶ ἐμεῖς ἀπομακρυνόμαστε ἀπό κοντά του, δέ μᾶς ἐγκαταλείπει, ἀλλά καί μᾶς παρακαλεῖ πάλι, καί ἑτοιμάζει ἄλλους νά παρακαλοῦν γιά χάρη μας, χαριζόμενος ἔτσι σέ μᾶς, πράγμα πού ἔγινε στήν περίπτω-

ἡμῖν χαρίσηται· ὅπερ ἐπὶ τοῦ Μωϋσέως γέγονε. Καὶ γὰρ ἐκείνῳ φησίν, «ἄφες με, καὶ ἐξαλείψω αὐτούς», ἵνα αὐτὸν ἐμβάλῃ εἰς τὴν ὑπὲρ ἐκείνων ἱκετηρίαν· καὶ νῦν τὸ αὐτὸ ποιεῖ. Διὰ τοῦτο καὶ χάρισμα εὐχῆς ἐδίδου. Ποιεῖ δὲ τοῦτο, οὐκ αὐτὸς παρακλήσεως δεόμενος, ἀλλ' ἵνα ἡμεῖς μὴ ἁπλῶς σωζόμενοι, φαυλότεροι καταστῶμεν. Διά τοι τοῦτο πολλάκις διὰ τὸν Δαυῒδ καὶ τὸν δεῖνα καὶ τὸν δεῖνά φησιν αὐτοῖς καταλλάττεσθαι, τοῦτο αὐτὸ κατασκευάζων πάλιν, ἵνα κἂν σχῆμα ἐπιτεθῇ τῇ καταλλαγῇ. Καίτοι μειζόνως ἂν αὐτὸς ἐφάνη φιλάνθρωπος, εἰ μὴ διὰ τὸν δεῖνα καὶ τὸν δεῖνα, ἀλλὰ δι' ἑαυτὸν ἔλεγεν αὐτοῖς ἀφεῖναι τὴν ὀργήν.

Ἀλλ' οὐχ οὕτω τοῦτο ἐσπούδακεν, ὡς τὸ τοῖς σωζομένοις μὴ γενέσθαι ῥᾳθυμίας ἀφορμὴν τὴν τῆς καταλλαγῆς ὑπόθεσιν. Διὰ τοῦτο καὶ τῷ Ἱερεμίᾳ ἔλεγε, «μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου»· οὐχὶ παῦσαι αὐτὸν θέλων ἀξιοῦντα· πολὺ γὰρ ἐπιθυμεῖ τῆς σωτηρίας τῆς ἡμετέρας· ἀλλ' ἐκείνους φοβῆσαι· ὅπερ οὖν καὶ ὁ προφήτης συνιδών, οὐκ ἐπαύσατο ἀξιῶν. Καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀποστῆσαι αὐτὸν θέλων, ἀλλ' ἐντρέψαι, ταῦτα ἔλεγεν, ἄκουσον τί φησιν· «ἢ οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσι»; Καὶ πρὸς τὴν πόλιν δὲ ὅταν λέγῃ, «ἐὰν ἀποπλύνῃ νίτρῳ, καὶ πληθύνῃς σεαυτῇ πόαν, κεκηλίδωσαι ἐναντίον μου», οὐχ ἵνα εἰς ἀπόγνωσιν ἐμβάλῃ, λέγει, ἀλλ' ἵνα εἰς μετάνοιαν διαναστήσῃ. Ὥσπερ γὰρ ἐπὶ τῶν Νινευϊτῶν ἀδιορίστως εἰπὼν τὴν ἀπόφασιν, καὶ μὴ ὑποτείνας χρηστὰς ἐλπίδας, μᾶλλον ἐφόβησε, καὶ εἰς μετάνοιαν ἤγαγεν, οὕτω καὶ ἐνταῦθα ποιεῖ, ἐκείνους τε διεγείρων, καὶ τὸν προφήτην αἰδεσιμώτερον κατασκευάζων, ἵνα κἂν οὕτως αὐτοῦ ἀκούσωσιν.

Εἶτα, ἐπειδὴ ἔμενον ἀνίατα νοσοῦντες, καὶ οὐδὲ τῶν ἄλλων ἀπενεχθέντων ἐσωφρονίσθησαν, τὸ μὲν πρῶτον παραινεῖ μένειν αὐτόθι· ὡς δὲ οὐκ ἠνείχοντο, ἀλλ' ηὐτομόλουν εἰς Αἴγυπτον, τοῦτο μὲν συνεχώρησεν, αἰτεῖ δὲ παρ' αὐτῶν τὸ μὴ μετ' Αἰγύπτου καὶ πρὸς τὴν ἀσέβειαν αὐτομολῆσαι. Ὡς δὲ οὐδὲ τοῦτο ἐπείσθησαν, συμπέμπει τὸν προφήτην αὐτοῖς, ὥστε μὴ τέλεον ἐξοκεῖλαι λοιπόν.

---

26. Ἐξ. 32, 9.
27. Ἱερ. 7, 16.
28. Ἱερ. 7, 17.

ση τοῦ Μωυσῆ. Γιατί καί σ' ἐκεῖνον λέγει, «ἄφησέ με νά τούς καταστρέψω»[26], γιά νά τόν παρακινήσει στήν ἱκεσία πρός χάρη ἐκείνων. Καί τώρα τό ἴδιο κάνει. Γι' αὐτό καί ἔδινε χάρισμα προσευχῆς. Καί κάνει αὐτό, ὄχι γιατί ἔχει ὁ ἴδιος ἀνάγκη ἀπό παράκληση, ἀλλά γιά νά μή γίνουμε ἐμεῖς περισσότερο φαῦλοι, σωζόμενοι ἁπλῶς. Γι' αὐτό λοιπόν πολλές φορές λέγει πώς συμφιλιώνεται μ' αὐτούς γιά χάρη τοῦ Δαβίδ καί τοῦ τάδε καί τοῦ τάδε, ἀποδεικνύοντας ἀκριβῶς πάλι τό ἴδιο, ὥστε νά προστεθεῖ τουλάχιστον πρόφαση στή συμφιλίωση. Ὅμως θά φαινόταν αὐτός περισσότερο φιλάνθρωπος, ἄν τούς ἔλεγε ὅτι ἄφησε τήν ὀργή του ὄχι γιά τόν τάδε καί τόν τάδε, ἀλλ' αὐτός ὁ ἴδιος ἀπό μόνος του.

Ὅμως δέν τό παρουσίασε αὐτό ἔτσι, γιά νά μή γίνει σ' ἐκείνους πού σώζονται ἀφορμή ἀδιαφορίας ἡ ὑπόθεση τῆς συμφιλίωσης. Γι' αὐτό καί στόν Ἰερεμία ἔλεγε, «μήν ζητᾶς τίποτε γιά τό λαό αὐτόν, γιατί δέ θά σ' ἀκούσω»[27], ὄχι γιατί ἤθελε νά σταματήσει αὐτός νά ζητάει γι' αὐτούς, ἀφοῦ πολύ ἐπιθυμεῖ τή σωτηρία μας, ἀλλά γιά νά φοβήσει ἐκείνους· καί αὐτό ἀκριβῶς γνωρίζοντας καλά καί ὁ προφήτης δέν σταμάτησε νά ζητάει γι' αὐτούς. Καί γιά νά μάθεις, ὅτι ἔλεγε αὐτά, ὄχι γιατί ἤθελε νά τόν ἐμποδίσει, ἀλλά γιά νά τόν προτρέψει, ἄκουσε τί λέγει· «μήπως δέ βλέπεις τί κάνουν αὐτοί;»[28]. Καί πρός τήν πόλη πάλι ὅταν λέγει, «ἐάν πλυθεῖς μέ νίτρο, καί χρησιμοποιήσεις ἄφθονη στάχτη, πάλι θά μείνεις κηλιδωμένη ἐνώπιόν μου»[28], δέ λέγει αὐτό γιά νά τούς ὁδηγήσει σέ ἀπόγνωση, ἀλλά γιά νά τούς παρακινήσει σέ μετάνοια. Γιατί, ὅπως ἀκριβῶς στούς Νινευΐτες, λέγοντας ἀόριστα τήν ἀπόφαση, καί μή ὑποσχόμενος ἀγαθές ἐλπίδες, περισσότερο τούς φοβέρισε καί τούς ὁδήγησε σέ μετάνοια, ἔτσι καί ἐδῶ κάνει, καί ἐκείνους παρακινώντας, καί τόν προφήτη καθιστώντας πιό σεβαστό, ὥστε τουλάχιστον ἔστω καί ἔτσι νά τόν ἀκούσουν.

Ἔπειτα, ἐπειδή ἐξακολουθοῦσαν νά νοσοῦν ἀθεράπευτα, καί οὔτε σωφρονίσθηκαν ὅταν οἱ ἄλλοι καταδικάσθηκαν, πρῶτα ἀπ' ὅλα συμβουλεύει νά παραμένουν στό ἴδιο μέρος, ἐπειδή ὅμως δέν ἀνέχονταν αὐτό, ἀλλ' ἔφευγαν στήν Αἴγυπτο, αὐτό βέβαια τό συγχώρησε, ζητάει ὅμως ἀπ' αὐτούς νά μήν αὐτομολήσουν μαζί μέ τήν Αἴγυπτο καί στήν ἀσέβεια. Ἐπειδή ὅμως οὔτε σ' αὐτό πείσθηκαν, στέλνει μαζί τους τόν προφήτη, ὥστε νά μήν παρεκτραποῦν στή συνέχεια τε-

Ἐπειδὴ γὰρ αὐτοὶ οὐκ ἠκολούθησαν αὐτῷ καλοῦντι, αὐτὸς αὐτοῖς ἕπεται λοιπὸν διορθούμενος, καὶ κωλύων προσωτέρω φέρεσθαι τῆς κακίας, καθάπερ πατὴρ φιλόστοργος παιδίῳ δυσχερῶς ἔχοντι πρὸς ἅπαντα, πανταχοῦ συμπεριάγων καὶ παρακολουθῶν. Διὰ δὴ τοῦτο οὐκ εἰς Αἴγυπτον μόνον τὸν Ἰερεμίαν, ἀλλὰ καὶ εἰς Βαβυλῶνα τὸν Ἰεζεκιὴλ ἔπεμπεν· οἱ δὲ οὐκ ἀντέλεγον. Ἐπειδὴ γὰρ τὸν ἑαυτῶν δεσπότην εἶδον σφόδρα αὐτοὺς φιλοῦντα, καὶ αὐτοὶ τοῦτο ποιοῦντες διετέλουν· ὥσπερ ἂν εἴ τις υἱὸν ἄχρηστον δοῦλος εὐγνώμων ἐλεήσειε, τὸν πατέρα ὁρῶν ἀλγοῦντα ὑπὲρ αὐτοῦ καὶ κοπτόμενον. Τί γὰρ οὐκ ἔπασχον δι' αὐτούς; Ἐπρίζοντο, ἠλαύνοντο, ὠνειδίζοντο, ἐλιθάζοντο, μυρία ἔπασχον δεινά· καὶ μετὰ ταῦτα ἅπαντα, πρὸς αὐτοὺς ἔτρεχον πάλιν.

Καὶ γὰρ ὁ Σαμουὴλ οὐ διέλιπε πενθῶν τὸν Σαούλ, καίτοι χαλεπῶς ὑβρισθεὶς παρ' αὐτοῦ, καὶ τὰ ἀνήκεστα παθών· ἀλλ' ὅμως οὐδενὸς ἐκείνων ἐμέμνητο. Τῷ δὲ Ἰουδαίων δήμῳ καὶ θρήνους γραπτοὺς ὁ Ἰερεμίας συνέθηκε· καὶ τοῦ στρατηγοῦ τῶν Περσῶν διδόντος αὐτῷ μετὰ ἀδείας οἰκεῖν καὶ ἐλευθερίας ἁπάσης ὅπου βούλοιτο, προετίμησε τῆς οἴκοι διατριβῆς τὴν τοῦ λαοῦ κακουχίαν καὶ τὴν ἐν ἀλλοτρίᾳ ταλαιπωρίαν. Οὕτω καὶ Μωϋσῆς τὰ βασίλεια καὶ τὴν ἐκεῖ διατριβὴν ἀφείς, πρὸς τὰς ἐκείνων ἔδραμε συμφοράς. Καὶ Δανιὴλ δὲ εἴκοσιν ἐφεξῆς ἡμέρας ἄσιτος ἔμεινεν, ἄγχων ἑαυτὸν τῇ βαρυτάτῃ νηστείᾳ, ἵνα τὸν Θεὸν αὐτοῖς καταλλάξῃ· καὶ οἱ παῖδες δὲ οἱ τρεῖς ἐν καμίνῳ ὄντες καὶ τοσούτῳ πυρί, τὴν ὑπὲρ αὐτῶν ἱκετηρίαν ἀνέφερον. Οὐ γὰρ δὴ ὑπὲρ ἑαυτῶν ἤλγουν τῶν σεσωσμένων, ἀλλ' ἐπειδὴ τότε μάλιστα ᾤοντο παρρησίαν ἔχειν, διὰ τοῦτο ὑπὲρ αὐτῶν ἐδέοντο. Διὸ καὶ ἔλεγον, «ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν». Διὰ τούτους καὶ Ἰησοῦς τὰ ἱμάτια διέρρηξε· διὰ τούτους καὶ Ἰεζεκιὴλ ἐθρήνει καὶ ὠλοφύρετο κατακοπτομένους ὁρῶν· καὶ ὁ Ἰερεμίας ἔλεγεν, «ἄφετέ με, πικρῶς κλαύσομαι». Καὶ πρὸ τούτου δέ, ἐπειδὴ ἀξιῶσαι ὑπὲρ συγχωρήσεως τῶν δεινῶν παντελοῦς οὐκ ἐτόλμα, προθεσμίαν ἐζήτει λέγων, «ἕως πότε, Κύριε;». Φιλόστοργον γὰρ ἅπαν τὸ τῶν ἁγίων γένος. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «ἐνδύσασθε οὖν, ὡς ἐκλε-

29. Δαν. 3, 39.
30. Τά λόγια εἶναι τοῦ Ἡσαΐα καί ὄχι τοῦ Ἰερεμία (Ἡσ. 22, 4). 31. Ἡσ. 6, 11.

λείως. Ἐπειδή λοιπόν αὐτοί δέν ἀκολούθησαν αὐτόν πού τούς καλοῦσε, ὁ ἴδιος τούς ἀκολουθεῖ πλέον, μέ σκοπό νά τούς διορθώνει καί νά τούς ἐμποδίζει νά ὁδηγοῦνται σέ μεγαλύτερη κακία, σάν πατέρας φιλόστοργος πρός κάποιο παιδί του πού δυσανασχετεῖ σέ ὅλα, πηγαίνοντας παντοῦ μαζί του καί παρακολουθώντας το. Γι' αὐτό λοιπόν ἔστελνε ὄχι μόνο στήν Αἴγυπτο τόν Ἰερεμία, ἀλλά καί στή Βαβυλώνα τόν Ἰεζεκιήλ, μή φέρνοντας ἐκεῖνοι ἀντίρρηση. Γιατί, ἐπειδή εἶδαν τόν Κύριό τους νά τούς ἀγαπάει ὑπερβολικά, καί αὐτοί τό ἴδιο ἔκαναν, ὅπως ἐάν κάποιος εὐγνώμονας δοῦλος συμβεῖ νά ἐλεήσει ἕναν ἀχάρηστο υἱό, ἐπειδή βλέπει τόν πατέρα του νά πονάει καί νά κόπτεται γιά χάρη του. Τί λοιπόν δέν πάθαιναν γι' αὐτούς; Πριονίζονταν, διώκονταν, βρίζονταν, λιθοβολοῦνταν, πάθαιναν ἄπειρα κακά· καί ὕστερα ἀπ' ὅλα αὐτά ἔτρεχαν πάλι σ' αὐτούς.

Γιατί καί ὁ Σαμουήλ δέ σταμάτησε νά πενθεῖ τό Σαούλ, ἄν καί βρίστηκε φοβερά ἀπ' αὐτόν καί ἔπαθε ἀθεράπευτα κακά· ἀλλ' ὅμως δέ θυμόταν τίποτε ἀπό ἐκεῖνα. Στόν ἰουδαϊκό λαό πάλι καί θρήνους γραπτούς σύνθεσε ὁ Ἰερεμίας. Καί ἐνῶ ὁ στρατηγός τῶν Περσῶν τοῦ παραχώρησε νά κατοικεῖ μέ ἀσφάλεια καί κάθε ἐλευθερία ὅπου ἤθελε, προτίμησε ἀπό τήν παραμονή του στήν πατρίδα τήν κακουχία τοῦ λαοῦ καί τήν ταλαιπωρία στήν ξένη χώρα. Ἔτσι καί ὁ Μωυσῆς, ἀφοῦ ἄφησε τά ἀνάκτορα καί τό νά ζεῖ ἐκεῖ μέσα, ἔτρεξε στίς συμφορές ἐκείνων. Καί ὁ Δανιήλ ἐπίσης ἔμεινε νηστικός γιά εἴκοσι συνεχεῖς ἡμέρες, πιέζοντας τόν ἑαυτό του μέ τή βαρύτατη νηστεία, γιά νά συμφιλιώσει τό Θεό μ' αὐτούς. Καί οἱ τρεῖς νέοι ἀκόμη, ἐνῶ βρίσκονταν μέσα στό καμίνι καί σέ τόση φωτιά, προσεύχονταν γι' αὐτούς. Γιατί δέν πονοῦσαν γιά τούς ἑαυτούς τους πού εἶχαν σωθεῖ, ἀλλ' ἐπειδή νόμιζαν πώς τότε πρό πάντων εἶχαν παρρησία, καί γι' αὐτό προσεύχονταν γι' αὐτούς. Γι' αὐτό καί ἔλεγαν, «ἄς γίνουμε δεκτοί μέ ψυχή συντετριμμένη καί πνεῦμα ταπεινωμένο»[29]. Γι' αὐτούς καί ὁ Ἰησοῦς τοῦ Ναυῆ ἔσχισε τά ροῦχα του· γι' αὐτούς καί ὁ Ἰεζεκιήλ θρηνοῦσε καί ὀδυρόταν, ὅταν τούς ἔβλεπε νά ἐξοντώνονται. Καί ὁ Ἰερεμίας ἔλεγε, «ἀφῆστε με νά κλάψω πικρά»[30]. Καί πρίν ἀπ' αὐτό ὅμως, ἐπειδή δέν τολμοῦσε νά ζητήσει ὁλοκληρωτική συγχώρηση γιά τά δεινά, ζητοῦσε προθεσμία λέγοντας, «μέχρι πότε, Κύριε;»[31]. Γιατί ὅλοι οἱ ἅγιοι εἶναι φιλόστοργοι. Γι' αὐτό καί ὁ Παῦλος ἔλεγε· «ντυ-

κτοὶ Θεοῦ ἅγιοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην».

Ὁρᾷς τὴν ἀκρίβειαν τοῦ ρήματος, καὶ πῶς διηνεκῶς ἐλεήμονας ἡμᾶς βούλεται εἶναι; Οὐ γὰρ εἶπεν, ἐλεήσατε ἁπλῶς, ἀλλ' «ἐνδύσασθε»· ἵνα ὥσπερ τὸ ἱμάτιον ἀεὶ μεθ' ἡμῶν ἐστιν, οὕτω καὶ ἡ ἐλεημοσύνη. Καὶ οὐκ εἶπεν ἁπλῶς ἐλεημοσύνη, ἀλλὰ «σπλάγχνα οἰκτιρμοῦ», ἵνα φυσικὴν μιμησώμεθα φιλοστοργίαν. Ἀλλ' ἡμεῖς τἀναντία ποιοῦμεν· κἂν προσέλθῃ τις αἰτῶν ὀβολὸν ἕνα, ὑβρίζομεν, λοιδοροῦμεν, ἐπιθέτην καλοῦμεν. Οὐ φρίττεις, ἄνθρωπε, καὶ ἐρυθριᾷς, ἐπιθέτην ὑπὲρ ἄρτου καλῶν; Εἰ δὲ καὶ ἐπίθεσιν ὁ τοιοῦτος ποιεῖ, διὰ τοῦτο καὶ ἐλεεῖσθαι δίκαιος, ὅτι οὕτως ὑπὸ λιμοῦ πιέζεται, ὡς τοιοῦτον ὑποδῦναι προσωπεῖον. Καὶ τοῦτο δὲ τῆς ἡμετέρας ὠμότητος ἔγκλημα. Ἐπειδὴ γὰρ εὐκόλως παρέχειν οὐκ ἀνεχόμεθα, μυρίας ἀναγκάζονται ἐπινοεῖν μηχανάς, ὥστε ἡμῶν σοφίσασθαι τὴν ἀπανθρωπίαν, καὶ τὴν τραχύτητα καταμαλάξαι. Ἄλλως δέ, εἰ μὲν ἀργύριον ᾔτει καὶ χρυσίον, εἶχεν ἂν σοι τὰ τῆς ὑποψίας λόγον· εἰ δὲ ὑπὲρ ἀναγκαίας σοι τροφῆς προσέρχεται, τί φιλοσοφεῖς ἀκαίρως, καὶ ἀκριβολογῇ περιττά, ἀργίαν ἐγκαλῶν καὶ ὄκνον;

Εἰ γὰρ δεῖ ταῦτα λέγειν, οὐχ ἑτέροις, ἀλλ' ἡμῖν αὐτοῖς ἐπιλέγειν δεῖ. Ὅταν γοῦν τῷ Θεῷ προσίῃς ἁμαρτημάτων αἰτῶν συγχώρησιν, τούτων ἀναμνήσθητι τῶν ρημάτων, καὶ γνώσῃ ὅτι δικαιότερον ταῦτα αὐτὸς ἀκούσῃ παρὰ τοῦ Θεοῦ, ἢ ὁ πένης παρὰ σοῦ. Ἀλλ' ὅμως οὐδέποτε ταῦτα πρὸς σὲ εἶπεν ὁ Θεὸς τὰ ρήματα, οἷον, ἀπόστηθι· καὶ γὰρ ἐπιθέτης εἶ, εἰς μὲν ἐκκλησίαν εἰσιὼν συνεχῶς, καὶ νόμων ἀκούων τῶν ἐμῶν, ἐν δὲ ἀγορᾷ καὶ χρυσίον καὶ φιλίαν καὶ ἐπιθυμίαν καὶ πάντα ἁπλῶς τῶν ἐμῶν προτιμῶν ἐπιταγμάτων· καὶ νῦν μὲν ταπεινὸς γίνῃ, μετὰ δὲ τὴν εὐχὴν θρασὺς καὶ ὠμὸς καὶ ἀπάνθρωπος· ἀπαλλάγηθι τοίνυν ἐντεῦθεν, καὶ μηκέτι μοι πρόσιθι. Ταῦτα γὰρ καὶ τούτων πλείονα ἀκούειν ἦμεν ἄξιοι· ἀλλ' ὅμως οὐδέποτε τοιοῦτον οὐδὲν ὠνείδισεν, ἀλλὰ καὶ μακροθυμεῖ, καὶ τὰ παρ' ἑαυτοῦ πάντα πληροῖ, καὶ πλείονα ὧν αἰτοῦμεν δίδωσι.

32. Κολ. 3, 12.

θεῖτε λοιπόν σάν ἐκλεκτοί τοῦ Θεοῦ ἅγιοι, φιλευσπλαχνία, ἀγαθότητα, ταπεινοφροσύνη»[32].

Βλέπεις τήν ἀκρίβεια τοῦ λόγου, καί πῶς θέλει νά εἴμαστε πάντοτε ἐλεήμονες; Γιατί δέν εἶπε, ἐλεῆστε ἁπλῶς, ἀλλά, «ντυθεῖτε», ὥστε, ὅπως τό ροῦχο εἶναι πάντοτε μαζί μας, ἔτσι νά εἶναι καί ἡ ἐλεημοσύνη. Καί δέν εἶπε ἁπλῶς 'ἐλεημοσύνη', ἀλλά, «φιλευσπλαχνία», γιά νά μιμηθοῦμε φυσική φιλοστοργία. Ἐμεῖς ὅμως κάνουμε τά ἀντίθετα. Καί ἄν ἀκόμη μᾶς πλησιάσει κάποιος ζητώντας ἕναν ὀβολό, τόν βρίζουμε, τόν κακολογοῦμε, τόν ὀνομάζουμε ἀπατεώνα. Δέν τρομάζεις, ἄνθρωπε, καί δέν κοκκινίζεις, ὀνομάζοντάς τον ἀπατεώνα γιά ψωμί; Ἐάν ὅμως ὁ ἄνθρωπος αὐτός γίνεται ἀπατεώνας, γι' αὐτό ἀκριβῶς καί εἶναι δίκαιο νά ἐλεεῖται, ἐπειδή τόσο πιέζεται ἀπό τήν πείνα, ὥστε νά ὑποδυθεῖ τέτοιο προσωπεῖο. Ἀλλά καί αὐτό εἶναι κατηγορία τῆς δικῆς μας σκληρότητας. Γιατί, ἐπειδή δέν ἀνεχόμαστε νά δίνουμε εὔκολα, ἀναγκάζονται νά ἐπινοοῦν ἄπειρα τεχνάσματα, ὥστε νά μάθουμε τήν ἀπανθρωπιά μας καί νά μαλακώσουμε τή σκληρότητα. Ἄλλωστε, ἄν ζητοῦσε χρήματα καί χρυσάφι, θά δικαιολογοῦνταν ἡ ὑποψία σου, ἐφόσον ὅμως σέ πλησιάζει γιά τήν ἀπαραίτητη τροφή, γιατί φιλοσοφεῖς ἄκαιρα καί ἐξετάζεις μέ λεπτομέρειες ἄχρηστα πράγματα, κατηγορώντας τον γιά φυγοπονία καί ἀδιαφορία;

Ἐάν λοιπόν πρέπει νά τά λέμε αὐτά, πρέπει νά τά λέμε ὄχι σ' ἄλλους, ἀλλά στούς ἴδιους τούς ἑαυτούς μας. Ὅταν λοιπόν πλησιάσεις τό Θεό ζητώντας συγχώρηση ἁμαρτημάτων, νά θυμηθεῖς αὐτά τά λόγια, καί θ' ἀντιληφθεῖς ὅτι εἶναι πιό δίκαιο ν' ἀκούσεις ἐσύ αὐτά ἀπό τό Θεό παρά ὁ φτωχός ἀπό σένα. Ἀλλ' ὅμως ποτέ δέν εἶπε ὁ Θεός σέ σένα αὐτά τά λόγια, δηλαδή φύγε· γιατί καί ἀπατεώνας εἶσαι, ἀφοῦ καί στήν ἐκκλησία συνέχεια μπαίνεις καί ἀκοῦς τούς δικούς μου νόμους, ὅμως στήν ἀγορά καί τό χρυσάφι καί τή φιλία καί τήν ἐπιθυμία καί ὅλα γενικά τά προτιμᾶς ἀπό τίς δικές μου ἐντολές· καί τώρα βέβαια γίνεσαι ταπεινός, μετά τήν προσευχή ὅμως γίνεσαι θρασύς καί σκληρός καί ἀπάνθρωπος· ἀπομακρύνσου λοιπόν ἀπό ἐδῶ, καί νά μή μέ πλησιάσεις ποτέ. Αὐτά λοιπόν καί πολύ περισσότερα ἀπ' αὐτά ἤμαστε ἄξιοι ν' ἀκοῦμε, ἀλλ' ὅμως ποτέ δέν μᾶς κατηγόρησε γιά κάτι τέτοιο, ἀλλά μακροθυμεῖ καί ἐκπληρώνει ὅλα τά δικά του καί δίνει περισσότερα ἀπ' ὅσα ζητοῦμε.

10. Ταῦτ' οὖν ἐννοοῦντες, λύσωμεν τὴν πενίαν τοῖς δεομένοις, κἂν ἐπίθεσιν ποιῶσι, μὴ ἀκριβολογώμεθα. Τοιαύτης γὰρ καὶ ἡμεῖς χρήζομεν σωτηρίας τῆς μετὰ συγγνώμης, τῆς μετὰ φιλανθρωπίας, τῆς μετὰ ἐλέου πολλοῦ. Οὐ γάρ ἐστιν, οὐκ ἔστι, τῶν καθ' ἡμᾶς ἐξεταζομένων ἀκριβῶς, σωθῆναί ποτε, ἀλλ' ἀνάγκη κολασθῆναι καὶ ἀπολέσθαι πάντως. Μὴ τοίνυν γινώμεθα ἑτέρων πικροὶ δικασταί, ἵνα μὴ καὶ ἡμεῖς ἀκριβεῖς ἀπαιτηθῶμεν ἐθύνας· καὶ γὰρ ἔχομεν ἁμαρτήματα συγγνώμης ἁπάσης μείζονα. Ὥστε ἐκείνους μᾶλλον ἐλεῶμεν τοὺς τὰ ἀσύγγνωστα ἁμαρτάνοντας, ἵνα καὶ αὐτοὶ τοιοῦτον ἑαυτοῖς προαποθώμεθα ἔλεον. Καίτοι ὅσα ἂν φιλοτιμησώμεθα, οὐδέποτε δυνησόμεθα τοιαύτην εἰσενεγκεῖν φιλανθρωπίαν, οἵας χρήζομεν ἡμεῖς παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Πῶς οὖν οὐκ ἄτοπον, τοσούτων ὄντας ἐν χρείᾳ αὐτούς, ἀκριβολογεῖσθαι περὶ τοὺς ἡμετέρους συνδούλους, καὶ καθ' ἑαυτῶν ἅπαντα πράττειν; Οὐ γὰρ οὕτως ἐκεῖνον ἀνάξιον ἀποφαίνεις τῆς εὐεργεσίας τῆς σῆς, ὡς ἑαυτὸν τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Ὁ γὰρ περὶ τὸν σύνδουλον ἀκριβολογούμενος πολλῷ μᾶλλον τὸν Θεὸν ἕξει τοῦτο ποιοῦντα.

Μὴ τοίνυν καθ' ἡμῶν φθεγγώμεθα, ἀλλὰ κἂν δι' ἀργίαν, κἂν διὰ ῥᾳθυμίαν προσίωσιν, ἡμεῖς παρέχωμεν. Καὶ γὰρ καὶ ἡμεῖς πολλὰ διὰ ῥᾳθυμίαν ἁμαρτάνομεν, μᾶλλον δὲ ἅπαντα διὰ ῥᾳθυμίαν, καὶ οὐκ ἀπαιτεῖ δίκην εὐθέως ἡμᾶς ὁ Θεός, ἀλλὰ δίδωσι προθεσμίαν μετανοίας ἡμῖν, τρέφων καθ' ἑκάστην ἡμέραν, παιδεύων, διδάσκων, τὰ ἄλλα πάντα χορηγῶν, ἵνα καὶ ἡμεῖς ζηλώσωμεν αὐτοῦ τὸν ἔλεον τοῦτον. Καταλύσωμεν τοίνυν τὴν ὠμότητα ταύτην, ἐκβάλωμεν τὴν θηριωδίαν, ἅτε ἑαυτοὺς μᾶλλον ἢ ἑτέρους εὐεργετοῦντες. Τούτοις μὲν γὰρ ἀργύριον διδόαμεν καὶ ἄρτον καὶ ἱμάτιον, ἡμῖν δὲ αὐτοῖς μεγίστην προαποτιθέμεθα δόξαν, καὶ ἣν οὐκ ἔνι παραστῆσαι λόγῳ. Τὰ γὰρ σώματα ἄφθαρτα ἀπολαβόντες, συνδοξαζόμεθα καὶ συμβασιλεύομεν τῷ Χριστῷ· τοῦτο δὲ ἡλίκον ἐστίν, ἐντεῦθεν εἰσόμεθα, μᾶλλον δὲ σαφῶς μὲν οὐδαμόθεν εἰσόμεθα νῦν· ὥστε δὲ ἀπὸ τῶν παρ' ἡμῖν ἀγαθῶν ἀναχθέντας μικρὰν γοῦν τινα

10. Σκεπτόμενοι λοιπόν αὐτά, ἂς καταργήσουμε τή φτῶχεια σ' αὐτούς πού ἔχουν ἀνάγκη, καί ἂν ἀκόμη κάνουν ἀπάτη, ἂν μή το ἐξατάζουμε τό πράγμα μέ λεπτομέρεια. Γιατί καί μεῖς χρειαζόμαστε τέτοια σωτηρία μαζί μέ συγγνώμη, μαζί μέ φιλανθρωπία, μαζί μέ ἐλεημοσύνη πολλή. Γιατί δέν εἶναι δυνατό, πραγματικά δέν εἶναι, ἐάν ἐξετασθοῦν μέ ἀκρίβεια τά δικά μας, νά σωθοῦμε ποτέ, ἀλλά πρέπει νά τιμωρηθοῦμε καί νά καταστραφοῦμε ὁπωσδήποτε. Ἂς μή γινόμαστε λοιπόν αὐστηροί δικαστές τῶν ἄλλων, γιά νά μή ζητηθοῦν καί ἀπό μᾶς αὐστηρές εὐθύνες, γιατί βέβαια ἔχουμε ἁμαρτήματα μεγαλύτερα ἀπό κάθε συγγνώμη. Ἐπομένως ἂς ἐλεοῦμε περισσότερο ἐκείνους πού κάνουν τά ἀσυγχώρητα ἁμαρτήματα, γιά νά ἀποταμιεύσουμε ἀπό πρίν τέτοια εὐσπλαγχνία καί γιά τόν ἑαυτό μας. Ἂν καί βέβαια ὅση γενναιοδωρία καί ἂν δείξουμε, ποτέ δέ θά μπορέσουμε νά εἰσφέρουμε τέτοια φιλανθρωπία, πού χρειαζόμαστε ἐμεῖς ἀπό τό φιλάνθρωπο Θεό. Πῶς λοιπόν δέν εἶναι παράλογο, ἐνῶ αὐτοί βρίσκονται σέ τόσο μεγάλη ἀνάγκη, νά ἀκριβολογοῦμε γιά τούς συνανθρώπους μας καί νά κάνουμε τά πάντα ἐναντίον μας; Γιατί δέν παρουσιάζεις ἐκεῖνον τόσο ἀνάξιο γιά τήν εὐεργεσία σου, ὅσο τόν ἑαυτό σου γιά τή φιλανθρωπία τοῦ Θεοῦ. Ἐκεῖνος λοιπόν πού ἀκριβολογεῖ γιά τό συνάνθρωπό του, πολύ περισσότερο θά ἔχει ἀργότερα τό Θεό νά κάμνει αὐτό.

Ἂς μή μιλᾶμε λοιπόν ἐναντίον μας, ἀλλ' εἶτε ἀπό φυγοπονία, εἶτε ἀπό ἀδιαφορία μᾶς πλησιάζουν ἐμεῖς ἂς δίνουμε. Καθόσον καί ἐμεῖς κάνουμε πολλές ἁμαρτίες ἀπό ἀδιαφορία, ἤ καλύτερα ὅλες ἀπό ἀδιαφορία, καί δέ ζητάει ἀμέσως τιμωρία γιά μᾶς ὁ Θεός, ἀλλά μᾶς δίνει προθεσμία γιά μετάνοια, ἀφοῦ μᾶς τρέφει καθημερινά, μᾶς παιδαγωγεῖ, μᾶς διδάσκει, μᾶς χορηγεῖ ὅλα τά ἄλλα, ὥστε καί μεῖς νά μιμηθοῦμε τήν εὐσπλαγχνία του. Ἂς ἐξαφανίσουμε λοιπόν αὐτή τή σκληρότητα, ἂς βγάλουμε ἀπό μέσα μας τή θηριωδία, γιατί τούς ἑαυτούς μας περισσότερο παρά τούς ἄλλους εὐεργετοῦμε. Γιατί σ' αὐτούς βέβαια δίνουμε χρήματα καί ψωμί καί ἔνδυμα, ἐνῶ γιά τούς ἑαυτούς μας προαποταμιεύουμε μέγιστη δόξα, πού δέν εἶναι δυνατό νά τήν παραστήσουμε μέ τό λόγο. Γιατί, ἀφοῦ λάβουμε τά ἄφθαρτα σώματα, δοξαζόμαστε καί βασιλεύουμε μαζί μέ τό Χριστό. Πόσο μεγάλο ὅμως εἶναι αὐτό, ἀπό ἐδῶ θά τό γνωρίσουμε, ἤ καλύτερα ἀπό

αὐτοῦ λαβεῖν ἔννοιαν, ὡς ἂν οἷός τε ὦ, παραστῆσαι πειράσομαι τὸ εἰρημένον.

Εἰπὲ γάρ μοι, εἴ τις σε γεγηρακότα καὶ ἐν πενίᾳ ζῶντα ἐπηγγέλλετο ποιήσειν ἐξαίφνης νέον, καὶ εἰς αὐτὴν ἄξειν τῆς ἡλικίας τὴν ἀκμήν, καὶ σφόδρα ἰσχυρὸν καὶ ὡραῖον ὑπὲρ ἅπαντας κατασκευάσειν, καὶ βασιλείαν δώσειν τῆς γῆς ἁπάσης ἐπὶ ἔτεσι χιλίοις, βασιλείαν εἰρήνην ἔχουσαν βαθυτάτην, τί οὐκ ἂν ὑπὲρ ταύτης εἵλου τῆς ὑποσχέσεως ποιῆσαι καὶ παθεῖν; Ἰδοὺ τοίνυν ὁ Χριστὸς οὐχὶ ταῦτα, ἀλλὰ πολλῷ μείζονα τούτων ἐπαγγέλλεται. Οὐ γὰρ ὅσον γήρως καὶ νεότητος τὸ μέσον, τοσοῦτον φθορᾶς καὶ ἀφθαρσίας τὸ διάφορον· οὐδὲ ὅσον βασιλείας καὶ πενίας, τοσοῦτον τῆς δόξης τῆς παρούσης καὶ τῆς μελλούσης, ἀλλ' ὅσο ὀνειράτων καὶ ἀληθείας. Μᾶλλον δὲ οὐδὲν οὐδέπω εἴρηκα· οὐδὲ γάρ ἐστι λόγος ἱκανὸς παραστῆσαι τὸ μέγεθος τῆς διαφορᾶς τῶν ἐσομένων πρὸς τὰ παρόντα· χρόνου δὲ ἕνεκεν, οὐδὲ ἐννοῆσαι ὅλως ἔστι διαφοράν. Πῶς γὰρ ἄν τις παραβάλοι τοῖς παροῦσι ζωὴν πέρας οὐκ ἔχουσαν; Τῆς δὲ εἰρήνης τοσοῦτον τὸ μέσον πρὸς τὴν παροῦσαν, ὅσον εἰρήνης καὶ πολέμου τὸ διάφορον· καὶ τῆς ἀφθαρσίας, ὅσον βώλου πηλίνης ὁ καθαρὸς μαργαρίτης ἀμείνων· μᾶλλον δὲ ὅσον ἂν εἴπῃ τις, οὐδὲν παραστῆσαι δυνήσεται. Κἂν γὰρ τῷ τῆς ἀκτῖνος παραβάλω φωτὶ τὸ κάλλος τῶν τότε σωμάτων, κἂν ἀστραπῇ τῇ φανοτάτῃ, οὐδὲν οὐδέπω τῆς λαμπρότητος ἐκείνης ἄξιον ἐρῶ.

Ὑπὲρ δὴ τούτων πόσα οὐκ ἄξιον προέσθαι καὶ χρήματα καὶ σώματα, μᾶλλον δὲ πόσας οὐκ ἄξιον προέσθαι ψυχάς; Νῦν δὲ εἰ μέν τις σε εἰς βασίλεια εἰσῆγε, καὶ πάντων παρόντων διαλεχθῆναί σοι παρεσκεύασε τὸν βασιλέα, καὶ ὁμοτράπεζον αὐτῷ καὶ ὁμοδίαιτον ἐποίει, πάντων ἂν ἔφης σαυτὸν εἶναι μακαριώτερον· εἰς δὲ τὸν οὐρανὸν μέλλων ἀναβαίνειν, καὶ παρ' αὐτὸν ἑστάναι τὸν τῶν ὅλων βασιλέα, καὶ τοῖς ἀγγέλοις ἀντιλάμπειν, καὶ τῆς ἀπορρήτου δόξης ἀπολαύειν ἐκείνης, ἀμφιβάλλεις εἰ δεῖ προέσθαι χρήματα, δέον, εἰ

πουθενά δέ θά τό γνωρίσουμε καλά τώρα. Ἀλλά γιά νά ὁδηγηθοῦμε ἀπό τά ἀγαθά πού ἔχουμε καί νά λάβουμε μιά κάποια μικρή ἔννοια γι' αὐτό, θά προσπαθήσω ὅσο μπορῶ νά παραστήσω αὐτό πού λέχθηκε.

Γιατί πές μου, ἄν κάποιος ἐσένα, φτάνοντας στά γεράματα καί ζώντας μέσα στή φτώχεια, σοῦ ὑποσχόταν νά σέ κάμει ξαφνικά νέο, νά σέ φέρει σ' αὐτήν τήν ἀκμή τῆς ἡλικίας, νά σέ κάμει πάρα πολύ δυνατό καί ὡραῖο περισσότερο ἀπ' ὅλους, καί νά σοῦ δώσει τή βασιλεία ὅλης τῆς γῆς γιά χίλια χρόνια, βασιλεία πού νά ἔχει βαθύτατη εἰρήνη, τί δέ θά προτιμοῦσες γιά τήν ὑπόσχεση αὐτή νά κάμεις καί νά πάθεις; Νά λοιπόν ὁ Χριστός δέν ὑπόσχεται μόνο αὐτά, ἀλλά πολύ μεγαλύτερα ἀπ' αὐτά. Γιατί ἡ διαφορά φθορᾶς καί ἀφθαρσίας δέν εἶναι τόση, ὅση εἶναι ἡ διαφορά γηρατειῶν καί νεότητας· οὔτε εἶναι τόση ἡ διαφορά τῆς δόξας τῆς παρούσας καί τῆς μελλοντικῆς, ὅση τῆς βασιλείας καί τῆς φτώχειας, ἀλλ' ὅση ἡ διαφορά ὀνείρων καί ἀλήθειας. Ἤ καλύτερα τίποτε ἀκόμα δέν εἶπα· καί οὔτε βέβαια ὑπάρχει λόγος ἱκανός νά παραστήσει τό μέγεθος τῆς διαφορᾶς αὐτῶν πού θά γίνουν πρός τά παρόντα· ἐξ αἰτίας τοῦ χρόνου, δέν εἶναι δυνατό νά ἐννοήσουμε τελείως τή διαφορά. Γιατί πῶς μπορεῖ νά συγκρίνει κανείς μέ τά παρόντα τή ζωή πού δέν ἔχει τέλος; Καί τῆς εἰρήνης τόση εἶναι ἡ ἀπόσταση πρός τήν παρούσα, ὅση εἶναι ἡ διαφορά μεταξύ εἰρήνης καί πολέμου· καί τῆς ἀφθαρσίας, ὅσο ἀνώτερο εἶναι τό καθαρό μαργαριτάρι ἀπό τόν πήλινο βῶλο· ἤ καλύτερα, ὅσα ἄν πεῖ κανείς, τίποτε δέ θά μπορέσει νά παραστήσει. Γιατί εἴτε συγκρίνω μέ τό φῶς τῆς ἀκτίνας τοῦ ἥλιου τήν ὀμορφιά τῶν τότε σωμάτων, εἴτε μέ τή φωτεινότατη ἀστραπή, δέ θά πῶ ἀκόμα τίποτε ἄξιο τῆς λαμπρότητας ἐκείνης.

Γιά χάρη αὐτῶν λοιπόν πόσα δέν εἶναι ἄξιο νά ἐγκαταλείψουμε καί χρήματα καί σώματα, ἤ καλύτερα πόσες δέν εἶναι ἄξιο νά μή ἐγκαταλείψουμε ψυχές; Τώρα ὅμως ἄν κάποιος σέ ὁδηγοῦσε μέσα στά ἀνάκτορα, καί ἐνῶ ὅλοι ἦταν παρόντες ἔκαμε τό βασιλιά νά μιλήσει μαζί σου, καί σέ καθιστοῦσε ὁμοτράπεζο καί ὁμοδίαιτο μ' αὐτόν, θά ἔλεγες πώς εἶσαι ὁ πιό εὐτυχισμένος ἀπ' ὅλους, ἐνῶ στήν περίπτωση αὐτή πού πρόκειται ν' ἀνεβεῖς στόν οὐρανό, νά στέκεσαι κοντά στό βασιλιά τῶν ὅλων, νά λάμπεις ἀπέναντι στούς ἀγγέλους, καί ν' ἀπολαμβάνεις τήν ἀπόρρητη ἐκείνη δόξα, ἀμφιβάλλεις ἐάν πρέπει νά ἐγκαταλείψεις χρήματα, ἐνῶ ἔπρεπε, καί ἄν ἀκόμα χρεια-

καὶ τὴν ζωὴν αὐτὴν ἀποδύσασθαι ἔδει, σκιρτᾶν καὶ ἀγάλλεσθαι καὶ πτεροῦσθαι τῇ ἡδονῇ; Σὺ δὲ ἵνα μὲν ἀρχὴν λάβῃς τὴν παρέχουσάν σοι κλοπῶν ἀφορμάς (οὐ γὰρ ἂν εἴποιμι κάρδος τὸ τοιοῦτον ἐγώ), καὶ τὰ ὄντα ἐκβάλλεις, καὶ τὰ ἑτέρων δανεισάμενος, εἰ δέοι, καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ὑποθέσθαι οὐ κατοκνεῖς· τῆς δὲ βασιλείας τῶν οὐρανῶν προκειμένης, τῆς οὐδένα διάδοχον ἐχούσης ἀρχῆς, καὶ τοῦ Θεοῦ κελεύοντος οὐ μέρος γωνίας γῆς, ἀλλ' ὁλόκληρον λαβεῖν τὸν οὐρανόν, ὀκνεῖς καὶ ἀναδύῃ, καὶ πρὸς χρήματα κέχηνας, καὶ οὐκ ἐννοεῖς, ὅτι εἰ τὰ πρὸς ἡμᾶς τοῦ οὐρανοῦ ἐκείνου μέρη οὕτω καλὰ καὶ τερπνά, ἡλίκα τὰ ἄνω, καὶ ὁ τοῦ οὐρανοῦ οὐρανός;

Ἀλλ' ἐπειδὴ τέως σώματος ὀφθαλμοῖς ταῦτα ἰδεῖν οὐκ ἔνι, ἀνάβηθι τῷ λογισμῷ, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦτον στάς, ἀνάβλεψον εἰς ἐκεῖνον τὸν ἀνωτέρω τούτου οὐρανόν, εἰς τὸ ὕψος τὸ ἄπειρον, εἰς τὸ φῶς τὸ φρίκης γέμον, εἰς τοὺς τῶν ἀγγέλων δήμους, εἰς τὰ στίφη τῶν ἀρχαγγέλων τὰ ἄπειρα, εἰς τὰς ἄλλας τὰς ἀσωμάτους δυνάμεις. Καὶ πάλιν ἐπιλαβοῦ τῆς παρ' ἡμῖν εἰκόνος καταβὰς ἄνωθεν, καὶ ὑπόγραψον τὰ περὶ τὸν βασιλέα τὸν παρ' ἡμῖν, οἷον ἄνδρας χρυσοφοροῦντας, καὶ ζεύγη λευκῶν ἡμιόνων χρυσῷ καλλωπιζομένων, καὶ ὀχήματα λιθοκόλλητα, καὶ στρωμνὴν χιονώδη, καὶ πέταλα τοῖς ὀχήμασι περισειόμενα, καὶ δράκοντας ἐν ἱματίοις σχηματιζομένους σηρικοῖς, καὶ ἀσπίδας χρυσοῦς ἐχούσας ὀμφαλούς, καὶ τελαμῶνας ἐκ τούτων πρὸς τὰς ἄνω ἄντυγας διὰ πολλῶν ἐκτεινομένας λίθων, καὶ ἵππους χρυσοφοροῦντας, καὶ χαλινοὺς χρυσοῦς. Ἀλλ' ὅταν τὸν βαιλέα ἴδωμεν, οὐδὲν τούτων λοιπὸν ὁρῶμεν. Ἐκεῖνος γὰρ ἡμᾶς ἐπιστρέφει μόνος, καὶ τὰ πορφυρᾶ ἱμάτια, καὶ τὸ διάδημα, καὶ ἡ καθέδρα, καὶ ἡ περόνη, καὶ τὰ ὑποδήματα, ἡ πολλὴ τῆς ὄψεως λαμπηδών.

Ταῦτ' οὖν ἅπαντα συναγαγὼν ἀκριβῶς, ἀπὸ τούτων μετάθες πάλιν ἐπὶ τὰ ἄνω τὸν λογισμόν, καὶ τὴν ἡμέραν τὴν φοβερὰν ἐκείνην, καθ' ἣν ὁ Χριστὸς παραγίνεται. Οὐ γὰρ ζεύγη ἡμιόνων ὄψει

ζόταν καί τή ζωή αὐτή νά περιφρονήσεις, νά σκιρτᾶς καί νά χαίρεσαι καί νά πετᾶς ἀπό χαρά γιά τήν ἡδονή; Ἐσύ ὅμως γιά ν' ἀποκτήσεις τήν ἐξουσία πού σοῦ δίνει ἀφορμές γιά κλοπές, γιατί δέν μπορῶ ἐγώ νά ὀνομάσω κέρδος τό παρόμοιο, καί τά ὑπάρχοντα περιφρονεῖς, καί ἀφοῦ δανεισθεῖς ἀπό ἄλλους, δέ διστάζεις νά ὑποθηκεύσεις καί τή γυναίκα καί τά παιδιά σου, ἐνῶ τώρα πού βρίσκεται μπροστά σου ἡ βασιλεία τῶν οὐρανῶν, ἡ ἐξουσία πού δέν ἔχει κανένα διάδοχο, καί ὁ Θεός προστάζει νά λάβεις, ὄχι ἕνα μέρος σέ ἀπόκεντρο σημεῖο τῆς γῆς, ἀλλ' ὁλόκληρο τόν οὐρανό, διστάζεις καί ἀρνεῖσαι, καί ἔχεις παραδοθεῖ στά χρήματα, καί δέν καταλαβαίνεις, ὅτι ἄν τά μέρη τοῦ οὐρανοῦ αὐτοῦ πού βρίσκονται πρός ἐμᾶς εἶναι τόσο καλά καί εὐχάριστα, πόσο περισσότερο εἶναι τά ἐπάνω μέρη του καί ὁ οὐρανός τοῦ οὐρανοῦ;

Ἀλλ' ἐπειδή τώρα δέν εἶναι δυνατό νά τά δεῖς αὐτά μέ τά μάτια τοῦ σώματος, ἀνέβα μέ τή σκέψη, καί ἀφοῦ σταθεῖς ἐπάνω ἀπό τόν οὐρανό αὐτόν, κοίταξε σ' ἐκεῖνον τόν οὐρανό πού βρίσκεται πάνω ἀπ' αὐτόν, στό ὕψος τό ἄπειρο, στό φῶς πού εἶναι γεμάτο φρίκη, στά πλήθη τῶν ἀγγέλων, στά ἄπειρα στίφη τῶν ἀρχαγγέλων, στίς ἄλλες τίς ἀσώματες δυνάμεις. Ἐπίσης ἀσχολήσου μέ τήν εἰκόνα πού βρίσκεται σ' ἐμᾶς, ὅταν κατεβεῖς ἀπό τούς οὐρανούς, καί σχεδίασε ἐκεῖνα πού εἶναι γύρω ἀπό τό βασιλιά τό δικό μας, ὅπως τούς ἄνδρες πού φοροῦν χρυσά ροῦχα, καί τά ζευγάρια τῶν λευκῶν ἡμιόνων πού στολίζονται μέ χρυσάφι, καί τά ὀχήματα πού ἔχουν κολλημένα πολύτιμα πετράδια, καί τό στρῶμα πού εἶναι λευκό σάν τό χιόνι, καί τά πέταλα πού σείονται γύρω - γύρω στά ὀχήματα, καί τά φίδια πού σχηματίζονται στά μεταξωτά ροῦχα, καί τίς ἀσπίδες πού ἔχουν χρυσούς ὀφαλούς, καί τούς ἱμάντες ἀπ' αὐτούς πρός τά ἐπάνω στεφάνια πού ἁπλώνονται μέ πολλούς πολύτιμους λίθους, καί τά ἄλογα πού φοροῦν χρυσά, καί τά χρυσά χαλινάρια. Ἀλλ' ὅταν δοῦμε τό βασιλιά, δέν προσέχουμε πλέον τίποτε ἀπ' αὐτά. Γιατί ἐκεῖνος μόνο τραβάει τήν προσοχή μας, τά πορφυρά ροῦχα του, τό στέμμα καί ὁ θρόνος του, ἡ πόρπη, τά ὑποδήματα, καί ἡ πολλή λάμψη τοῦ προσώπου του.

Ἀφοῦ συγκεντρώσεις λοιπόν ὅλα αὐτά μέ ἀκρίβεια, νά μεταθέσεις πάλι τή σκέψη σου ἀπ' αὐτά στά οὐράνια, καί τή φοβερή ἐκείνη ἡμέρα, κατά τήν ὁποία ἔρχεται ὁ Χριστός. Γιατί δέ θά δεῖς τότε ζευ-

τότε, οὐδὲ ὀχήματα χρυσᾶ, οὐδὲ δράκοντας καὶ ἀσπίδας, ἀλλ' ἃ πολλῆς γέμει φρίκης, καὶ τοσαύτην ἐμποιεῖ τὴν ἔκστασιν, ὡς καὶ αὐτὰς ἐκπλαγῆναι τὰς ἀσωμάτους δυνάμεις· «Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν», φησί, «σαλευθήσονται». Τότε γὰρ ἀνοίγεται μὲν ἅπας ὁ οὐρανός, καὶ τῶν ἀψίδων ἐκείνων ἀναπετάννυνται αἱ πύλαι, κάτεισι δὲ ὁ μονογενὴς τοῦ Θεοῦ παῖς, οὐκ εἴκοσιν, οὐδὲ ἑκατὸν ἀνθρώπων δορυφορούντων αὐτόν, ἀλλὰ χιλιάδων, μυριάδων ἀγγέλων, ἀρχαγγέλων, τῶν Χερουβίμ, τῶν Σεραφίμ, τῶν ἄλλων δυνάμεων, καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστά, τῆς γῆς ἀναρρηγνυμένης, τῶν πώποτε γενομένων ἀνθρώπων, ἐξ οὗ γέγονεν ὁ Ἀδὰμ μέχρι τῆς ἡμέρας ἐκείνης, ἀπὸ γῆς ἀναβαινόντων τε καὶ ἁρπαζομένων ἁπάντων, αὐτοῦ μετὰ τοσαύτης φαινομένου δόξης, ὡς καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ ἅπαν κρύπτεσθαι φῶς ὑπὸ τῆς αὐγῆς ἐκείνης καταλαμπόμενον.

Τίς παραστήσει λόγος τὴν μακαριότητα ἐκείνην, τὴν λαμπρότητα, τὴν δόξαν; Οἴμοι ψυχή· καὶ γὰρ δακρῦσαί μοι νῦν ἔπεισι καὶ στενάξαι μέγα, ἐννοοῦντι οἵων ἐξεπέσομεν ἀγαθῶν, οἵας ἀλλοτριούμεθα μακαριότητος· καὶ γὰρ ἀλλοτριούμεθα· τό γε ἐμαυτοῦ λέγω τέως· ἐὰν μή τι μέγα καὶ θαυμαστὸν ἐργασώμεθα. Μὴ τοίνυν μοι λεγέτω τις γέενναν ἐνταῦθα· καὶ γὰρ ἁπάσης γεέννης χαλεπώτερον τὸ ταύτης ἐκπεσεῖν τῆς δόξης, καὶ μυρίων κολάσεων χεῖρον τὸ τῆς λήξεως ἀλλοτριωθῆναι ἐκείνης. Ἀλλ' ὅμως ἔτι πρὸς τὰ παρόντα κεχήναμεν, καὶ οὐκ ἐννοοῦμεν τοῦ διαβόλου τὴν κακουργίαν, ὃς διὰ τῶν μικρῶν τὰ μεγάλα ἡμᾶς ἀφαιρεῖται, καὶ δίδωσι πηλὸν ἵνα ἁρπάσῃ χρυσόν, μᾶλλον δὲ ἵνα ἁρπάσῃ τὸν οὐρανόν, καὶ δείκνυσι σκιὰν ἵνα ἐκβάλῃ τῆς ἀληθείας, καὶ ἐν ὀνείρασι φαντάζει· τοῦτο γὰρ ὁ παρὼν πλοῦτος· ἵνα ἡμέρας γενομένης πάντων ἀποδείξῃ πενεστέρους.

11. *Ταῦτ' οὖν ἐννοήσαντες, ὀψὲ γοῦν ποτε φύγωμεν τὸν δόλον, καὶ πρὸς τὰ μέλλοντα μεταστῶμεν. Οὐ γὰρ ἔστιν εἰπεῖν, ὅτι ἠγνοήσαμεν τοῦ παρόντος βίου τὸ ἐπίκηρον, τῶν πραγμάτων καθ' ἑκάστην ἡμέραν βοώντων σάλπιγγος λαμπρότερον τὴν παροῦσαν εὐτέλειαν, τὸν γέλωτα, τὴν αἰσχύνην, τοὺς κινδύνους, τὰ βάραθρα. Ποίαν οὖν ἕξομεν ἀπολογίαν, τὰ μὲν ἐπικίνδυνα καὶ αἰσχύνης γέ-*

---

33. Ματθ. 24, 29.

γάρια ἡμιόνων, οὔτε χρυσά ὀχήματα, οὔτε φίδια καί ἀσπίδες, ἀλλ' ἐκεῖνα πού εἶναι γεμάτα ἀπό πολλή φρίκη καί προκαλοῦν τόσο μεγάλη ἔκσταση, ὥστε νά ἐκπλαγοῦν καί αὐτές οἱ ἀσώματες δυνάμεις· γιατί λέγει, «οἱ δυνάμεις τῶν οὐρανῶν θά σαλευθοῦν»[33]. Τότε λοιπόν ἀνοίγεται ὅλος ὁ οὐρανός, οἱ πύλες τῶν ἀψίδων ἐκείνων ἀνοίγονται διάπλατα, καί κατεβαίνει ὁ μονογενής υἱός τοῦ Θεοῦ, ἐνῶ τόν περιστοιχίζουν ὄχι εἴκοσι, οὔτε ἑκατό ἄνθρωποι, ἀλλά χιλιάδες, μυριάδες ἄγγελοι, ἀρχάγγελοι, τά Χερουβίμ, τά Σεραφίμ, οἱ ἄλλες δυνάμεις, ὅλα θά εἶναι γεμάτα ἀπό φόβο καί τρόμο, ἡ γῆ σχίζεται, καί ὅλοι οἱ ἄνθρωποι πού ἔζησαν, ἀπό τότε πού δημιουργήθηκε ὁ Ἀδάμ μέχρι τήν ἡμέρα ἐκείνη, ἀνεβαίνουν ἀπό τή γῆ καί ἁρπάζονται ὅλοι στόν οὐρανό, καί αὐτός παρουσιάζεται μέ τόσο μεγάλη λάμψη, ὥστε καί ὁ ἥλιος καί ἡ σελήνη καί κάθε φῶς κρύβεται, ἐπειδή φωτίζεται ὑπερβολικά ἀπό τή λάμψη ἐκείνη.

Ποιός λόγος θά παραστήσει τή μακαριότητα ἐκείνη, τή λαμπρότητα, τή δόξα; Ἀλλοίμονο, ψυχή μου. Γιατί μοῦ ἔρχεται νά δακρύσω καί νά στενάξω πολύ τώρα πού σκέπτομαι πόσα ἀγαθά χάσαμε, ποιά μακαριότητα στερούμαστε. Γιατί πραγματικά τά στερούμαστε, καί πρῶτα ἐγώ ὁ ἴδιος, ἄν δέν κάνουμε κάτι μεγάλο καί θαυμαστό. Ἄς μή μοῦ πεῖ λοιπόν κάποιος τή γέεννα ἐδῶ. Γιατί τό νά χάσει κανείς τή δόξα αὐτή εἶναι πιό φοβερό ἀπό κάθε γέεννα, καί τό νά στερηθεῖ τό τέλος ἐκεῖνο εἶναι χειρότερο ἀπό ἄπειρες κολάσεις. Ἀλλ' ὅμως ἀκόμη εἴμαστε παραδομένοι στά παρόντα καί δέν καταλαβαίνουμε τήν ἀπάτη τοῦ διαβόλου, ὁ ὁποῖος μέ τά μικρά μᾶς ἀφαιρεῖ τά μεγάλα, καί δίνει χῶμα γιά ν' ἁρπάξει χρυσάφι, ἤ καλύτερα, γιά ν' ἁρπάξει τόν οὐρανό, καί δείχνει σκιά γιά νά μᾶς στερήσει τήν ἀλήθεια, καί στά ὄνειρα παρουσιάζει φανταστικά πράγματα, γιατί τέτοιος εἶναι ὁ παρών πλοῦτος, ὥστε, ὅταν γίνει ἡμέρα, νά μᾶς δείξει περισσότερο φτωχούς ἀπ' ὅλους.

11. Ἀφοῦ λοιπόν σκεφθοῦμε αὐτά, ἄς ἀποφύγουμε κάποτε ἔστω καί ἀργά τό δόλο, καί ἄς μεταφερθοῦμε πρός τά μελλοντικά. Γιατί δέν εἶναι δυνατό νά ποῦμε, ὅτι ἀγνοήσαμε τό ὅτι ἡ παρούσα ζωή εἶναι πρόσκαιρη, τή στιγμή πού τά πράγματα καθημερινά διακηρύσσουν πιό δυνατά ἀπό σάλπιγγα τήν παρούσα μηδαμινότητα, τό γέλιο, τήν ντροπή, τούς κινδύνους, τά βάραθρα. Ποιά λοιπόν δικαιολογία θά ἔχουμε, ὅταν ἐπιδιώκουμε μέ πολύ ζῆλο ἐκεῖνα πού εἶναι ἐπικίν-

μοντα μετὰ πολλῆς διώκοντες τῆς σπουδῆς, τὰ δὲ ἀσφαλῆ καὶ ἐνδόξους ἡμᾶς ποιοῦντα καὶ λαμπροὺς φεύγοντες, καὶ ὅλους ἑαυτοὺς τῇ τῶν χρημάτων ἐκδιδόντες τυραννίδι; Καὶ γὰρ τυραννίδος ἁπάσης χαλεπωτέρα ἡ τούτων δουλεία· καὶ ἴσασιν ὅσοι αὐτῆς ἀπαλλαγῆναι κατηξιώθησαν. Ἵν' οὖν καὶ ὑμεῖς μάθητε τὴν καλὴν ταύτην ἐλευθερίαν, διαρρήξατε τὰ δεσμά, ἀποπηδήσατε τῆς παγίδος· καὶ μὴ κείσθω χρυσίον ὑμῖν ἐπὶ τῆς οἰκίας, ἀλλ', ὃ μυρίων χρημάτων ἐστὶ τιμιώτερον, ἐλεημοσύνη καὶ φιλανθρωπία ἀντὶ χρυσίου. Αὕτη μὲν γὰρ παρρησίαν πρὸς τὸν Θεὸν ἡμῖν δίδωσιν, ἐκεῖνο δὲ πολλὴν ἡμῶν καταχέει τὴν αἰσχύνην, καὶ σφοδρὸν ποιεῖ πνεῖν τὸν διάβολον καθ' ἡμῶν.

Τί τοίνυν καθοπλίζεις σου τὸν ἐχθρὸν καὶ ἰσχυρότερον ποιεῖς; Ὅπλισον τὴν σεαυτοῦ δεξιὰν κατ' ἐκείνου, καὶ τὸ κάλλος τῆς οἰκίας ἅπαν εἰς τὴν ψυχὴν εἰσάγαγε, καὶ τὸν πλοῦτον ἐν τῇ διανοίᾳ ἀπόθου πάντα, καὶ τὸ χρυσίον ἀντὶ κιβωτίου καὶ τῆς οἰκίας ὁ οὐρανὸς φυλαττέτω, καὶ πάντα ἡμεῖς περιβαλώμεθα τὰ ἡμέτερα· πολὺ γὰρ τῶν τοίχων βελτίους ἡμεῖς, καὶ τοῦ ἐδάφους σεμνότεροι. Τί τοίνυν ἡμᾶς αὐτοὺς ἀφέντες, εἰς ἐκεῖνα τὴν σπουδὴν ἅπασαν κενοῦμεν, ἅπερ ἀπιόντας οὐκ ἔνι λαβεῖν, πολλάκις δὲ οὐδὲ ἐνταῦθα μένοντας κατασχεῖν, παρὸν οὕτω πλουτεῖν, ὡς μὴ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐκεῖ φαίνεσθαι εὐπορωτάτους; Ὁ γὰρ καὶ τὰ χωρία καὶ τὰς οἰκίας καὶ τὸ χρυσίον ἐπὶ τῆς ψυχῆς περιφέρων, ὅπουπερ ἂν φανῇ, μετὰ τοῦ πλούτου φαίνεται τούτου. Καὶ πῶς ἔνι τοῦτο γενέσθαι, φησίν; Ἔνι, καὶ μετὰ πλείονος εὐκολίας. Ἂν γὰρ εἰς τὸν οὐρανὸν αὐτὰ μεταθῇς διὰ τῆς τῶν πενήτων χειρός, ἅπαντα εἰς τὴν σευατοῦ ψυχὴν μεταθήσεις· κἂν θάνατος ἐπέλθῃ λοιπόν, οὐδείς σε αὐτὰ ἀφαιρήσεται, ἀλλ' ἀπελεύσῃ κἀκεῖ πλουτῶν. Τοιοῦτον εἶχεν ἡ Ταβιθὰ θησαυρόν· διὰ τοῦτο οὐχ ἡ οἰκία αὐτὴν ἐκήρυττεν, οὐδὲ οἱ τοῖχοι, οὐδὲ οἱ λίθοι, οὐδὲ οἱ κίονες, ἀλλὰ σώματα χηρῶν ἐνδεδυμένα, καὶ δάκρυα ἐκχεόμενα, καὶ θάνατος δραπετεύων, καὶ ζωὴ ἐπανιοῦσα.

Τοιαύτας καὶ ἡμεῖς ἑαυτοῖς κατασκευάσωμεν ἀποθήκας,

---

34. Γιά τό ἐπεισόδιο μέ τήν Ταβιθά βλ. Πράξ. 9, 36–42.

δυνα καί γεμάτα ντροπή, ἀλλ' ἀποφεύγουμε ἐκεῖνα πού εἶναι ἀσφαλῆ καί μᾶς κάνουν ἔνδοξους καί λαμπρούς, καί παραδίνουμε ὅλο τόν ἑαυτό μας στήν τυραννία τῶν χρημάτων; Γιατί πραγματικά ἡ ὑποδούλωση σ' αὐτά εἶναι πιό φοβερή ἀπό κάθε τυραννία· καί τό γνωρίζουν αὐτό ὅσοι ἀξιώθηκαν ν' ἀπαλλαγοῦν ἀπ' αὐτήν. Γιά νά μάθετε λοιπόν καί σεῖς τήν καλή αὐτήν ἐλευθερία, σπάστε τά δεσμά, ἀποφύγετε τήν παγίδα, καί ἄς μήν ὑπάρχουν χρήματα στό σπίτι σας, ἀλλ' ἐκεῖνο πού εἶναι περισσότερο πολύτιμο ἀπό ἄπειρα χρήματα, ἐλεημοσύνη καί φιλανθρωπία ἀντί γιά χρήματα. Γιατί αὐτή μᾶς δίνει παρρησία πρός τό Θεό, ἐνῶ ἐκεῖνα μᾶς ρίχνουν ἐπάνω μας πολλή ντροπή, καί κάνουν τό διάβολο νά τρέχει μέ σφοδρότητα ἐναντίον μας.

Γιατί λοιπόν ἐξοπλίζεις τόν ἐχθρό σου καί τόν κάνεις πιό δυνατό; Ὅπλισε τό χέρι σου ἐναντίον του, καί βάλε μέσα στήν ψυχή σου ὅλη τήν ὀμορφιά τοῦ σπιτιοῦ, καί ὅλον τόν πλοῦτο τοποθέτησέ τόν στήν διάνοια, καί τά χρήματα ἄς τά φυλάσσει ἀντί τοῦ κιβωτίου καί τοῦ σπιτιοῦ ὁ οὐρανός, καί ἄς φορέσουμε ὅλα τά δικά μας. Γιατί εἴμαστε πολύ καλύτεροι ἀπό τούς τοίχους καί πιό σημαντικοί ἀπό τό ἔδαφος. Γιατί λοιπόν ἐγκαταλείπουμε τούς ἑαυτούς μας καί ἀδειάζουμε ὅλη τή φροντίδα μας σ' ἐκεῖνα, πού δέν εἶναι δυνατό νά τά πάρουμε, ὅταν πεθάνουμε, καί πολλές φορές οὔτε ἐδῶ ζώντας μποροῦμε νά τά κρατήσουμε, ἐνῶ μποροῦμε νά πλουτίζουμε μέ τέτοια πλούτη, ὥστε ὄχι μόνο ἐδῶ, ἀλλά καί ἐκεῖ νά φαινόμαστε πάρα πολύ πλούσιοι; Γιατί, ὅποιος φέρει πάνω στήν ψυχή καί τά χωράφια καί τά σπίτια καί τά χρήματα, ὁπουδήποτε καί ἄν παρουσιασθεῖ, παρουσιάζεται μαζί μέ τόν πλοῦτο αὐτόν. Καί πῶς, λέγει, εἶναι δυνατό νά γίνει αὐτό; Εἶναι δυνατό καί μέ περισσότερη εὐκολία μάλιστα. Γιατί ἄν αὐτά τά μεταθέσεις στόν οὐρανό μέ τό χέρι τῶν φτωχῶν, θά τά μεταθέσεις ὅλα στή δική σου ψυχή. Καί ἄν ἀκόμη ἔρθει ὁ θάνατος, κανείς δέ θά σοῦ τά ἀφαιρέσει αὐτά, ἀλλά θά μεταβεῖς καί ἐκεῖ πλούσιος. Τέτοιο θησαυρό εἶχε ἡ Ταβιθά. Γι' αὐτό δέν τή διαλαλοῦσε αὐτήν τό σπίτι, οὔτε οἱ τοῖχοι, οὔτε οἱ πέτρες, οὔτε οἱ κολόνες, ἀλλά τά ντυμένα ἀπ' αὐτήν σώματα χηρῶν, καί τά δάκρυα πού χύνονταν, καί ὁ θάνατος πού δραπεύτευε, καί ἡ ζωή πού ξαναερχόταν[34].

Τέτοιες ἀποθῆκες ἄς κατασκευάσουμε καί γιά τούς ἑαυτούς

τοιαύτας οἰκοδομήσωμεν ἑαυτοῖς οἰκίας. Οὕτω καὶ τὸν Θεὸν συνεργὸν ἕξομεν, καὶ αὐτοὶ αὐτοῦ συνεργοὶ ἐσόμεθα. Αὐτὸς μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε τοὺς πενομένους, σὺ δὲ παραχθέντας καὶ γενομένους οὐκ εἴασας διαφθαρῆναι τῷ λιμῷ καὶ τῇ λοιπῇ ταλαιπωρίᾳ, θεραπεύων, διορθούμενος, πανταχόθεν ἀνέχων τοῦ Θεοῦ τὸν ναόν· οὗ τί γένοιτ' ἂν ἴσον καὶ εἰς ὠφελείας καὶ εἰς εὐδοξίας λόγον; Εἰ δὲ οὐδέπω σαφῶς κατέμαθες, πηλίκῳ σε ἐκόσμησε κόσμῳ, κελεύσας διορθοῦν πενίαν, ἐκεῖνο λογίζου πρὸς ἑαυτόν· εἴ σοι τοσαύτην ἔδωκεν ἐξουσίαν, ὥστε τὸν οὐρανὸν δύνασθαι καταπίπτοντα ἀνορθοῦν, οὐκ ἂν τιμὴν σφόδρα σε ὑπερβαίνουσαν τὸ πρᾶγμα ἐνόμισας; Ἰδοὺ τοίνυν μείζονός σε κατηξίωσε νῦν τιμῆς. Ὃ γὰρ τῶν οὐρανῶν ἐστιν αὐτῷ τιμιώτερον, τοῦτό σοι διορθοῦν ἐπέτρεψεν. Ἀνθρώπου γὰρ οὐδὲν ἴσον τῶν ὁρωμένων τῷ Θεῷ. Καὶ γὰρ καὶ οὐρανὸν καὶ γῆν καὶ θάλατταν δι' ἐκεῖνον ἐποίησε· καὶ αὐτῷ μᾶλλον ἐνοικῶν εὐφραίνεται, ἢ τῷ οὐρανῷ

Ἀλλ' ὅμως ἡμεῖς καὶ ταῦτα εἰδότες, οὐδεμίαν τῶν τοῦ Θεοῦ ναῶν ἐπιμέλειαν ποιούμεθα ἢ πρόνοιαν, ἀλλ' ἀφέντες αὐτοὺς ἠμελῆσθαι, ἑαυτοῖς λαμπρὰς καὶ μεγάλας κατασκευάζομεν οἰκίας. Διὰ τοῦτο ἔρημοι πάντων ἐσμὲν ἀγαθῶν, καὶ τῶν σφόδρα πενήτων πτωχότεροι, ὅτι ταύτας καλλωπίζομεν τὰς οἰκίας, ἃς οὐ δυνάμεθα λαβόντες ἐντεῦθεν ἀπελθεῖν, ἀφέντες ἐκείνας, ἃς μεθ' ἡμῶν αὐτῶν συμμεταθεῖναι ἔνι. Καὶ γὰρ διαλυθέντα τὰ σώματα τῶν πενήτων ἀναστήσεται πάντως· καὶ παραγαγὼν αὐτοὺς τότε ὁ ταῦτα ἐπιτάξας Θεός, ἐπαινέσεται τοὺς ἐπιμελησαμένους αὐτῶν, καὶ θαυμάσεται, ὅτι μέλλοντας αὐτοὺς καταπίπτειν νῦν μὲν ὑπὸ λιμοῦ, νῦν δὲ ὑπὸ γυμνότητος καὶ κρυμοῦ, παντὶ διωρθώσαντο τρόπῳ. Ἀλλ' ὅμως καὶ τοσούτων ἡμῖν προκειμένων ἐπαίνων, μέλλομεν ἔτι, καὶ ἀναδυόμεθα πρὸς τὴν καλὴν ταύτην ἐπιμέλειαν. Καὶ ὁ μὲν Χριστὸς οὐκ ἔχει ποῦ καταλῦσαι, ἀλλὰ περιέρχεται ξένος καὶ γυμνὸς καὶ πεινῶν, σὺ δὲ προάστεια καὶ λουτρὰ καὶ περιπάτους καὶ μυρίους

μας, τέτοια σπίτια ἄς κτίσουμε γιά τούς ἑαυτούς μας. Ἔτσι καί τό Θεό θά ἔχουμε βοηθό, καί μεῖς θά γίνουμε βοηθοί του. Γιατί αὐτός ἀπό τό μηδέν ἔφερε στήν ὕπαρξη τούς φτωχούς, ἐνῶ ἐσύ, ἀφοῦ ἦρθαν στήν ὕπαρξη καί δημιουργήθηκαν, δέν τούς ἄφησες νά ἀφανισθοῦν ἀπό τήν πείνα καί τή λοιπή ταλαιπωρία, περιποιούμενος, διορθώνοντας, καί ἀπό παντοῦ στηρίζοντας τό ναό τοῦ Θεοῦ, πράγμα ἀπό τό ὁποῖο τί θά μποροῦσε νά ὑπάρξει ἰσάξιο καί ὡς πρός τήν ὠφέλεια καί ὡς πρός τήν καλή φήμη; Ἐάν ὅμως δέν ἔμαθες ἀκόμη καλά, μέ πόσα στολίδια σέ στόλισε, ὅταν σέ πρόσταξε νά διορθώνεις τή φτώχεια, ἐκεῖνο νά φέρνεις στή σκέψη σου· ἐάν δηλαδη σοῦ ἔδινε τόση μεγάλη ἐξουσία, ὥστε νά μπορεῖς νά σηκώνεις τόν οὐρανό, ὅταν πέφτει κάτω, δέ θά θεωροῦσες τό πράγμα τιμή πού εἶναι κατά πολύ ἀνώτερη ἀπό αὐτή πού σοῦ ἀξίζει; Νά λοιπόν σέ καταξίωσε τώρα μέ μεγαλύτερη τιμή. Γιατί ἐκεῖνο πού εἶναι γι' αὐτόν πιό πολύτιμο ἀπό τούς οὐρανούς, αὐτό ἐπέτρεψε σέ σένα νά διορθώνεις. Γιατί ἀπό τά ὁρατά πράγματα τίποτε δέν εἶναι ἴσο μέ τόν ἄνθρωπο γιά τό Θεό. Ἐπειδή καί τόν οὐρανό καί τή γῆ καί τή θάλασσα τά δημιούργησε γιά χάρη του, καί περισσότερο εὐχαριστιέται ὅταν κατοικεῖ μέσα του, παρά στόν οὐρανό.

Ἀλλ' ὅμως ἐμεῖς, ἄν καί τά γνωρίζουμε αὐτά, δέ φροντίζουμε ἤ δέν προνοοῦμε καθόλου γιά τούς ναούς τοῦ Θεοῦ, ἀλλ' ἀφήνοντας αὐτούς παραμελημένους, κατασκευάζουμε γιά τούς ἑαυτούς μας λαμπρά καί μεγάλα σπίτια. Γι' αὐτό εἴμαστε ἔρημοι ἀπ' ὅλα τά ἀγαθά, καί φτωχότεροι ἀπό τούς ὑπερβολικά φτωχούς, γιατί στολίζουμε αὐτά τά σπίτια, τά ὁποῖα δέν μποροῦμε νά πάρουμε μαζί μας πεθαίνοντας, καί ἐγκαταλείπουμε ἐκεῖνα, πού εἶναι δυνατό νά τά μεταφέρουμε μαζί μας ἐκεῖ. Γιατί πραγματικά, ἀφοῦ διαλυθοῦν τά σώματα τῶν φτωχῶν, θ' ἀναστηθοῦν ὁπωσδήποτε. Καί ἀφοῦ τούς παραλάβει τότε αὐτούς· ὁ Θεός πού πρόσταξε αὐτά, θά ἐπαινέσει ὅσους φρόντισαν αὐτούς, καί θά τούς θαυμάσει, γιατί, ἐνῶ κινδύνευαν νά πέσουν αὐτοί πότε ἀπό τήν πείνα καί πότε ἀπό τή γύμνια καί τό κρύο, μέ κάθε τρόπο τούς κράτησαν ὄρθιους. Ἀλλ' ὅμως, ἄν καί βρίσκονται μπροστά μας τόσοι ἔπαινοι, καθυστεροῦμε ἀκόμη καί διστάζουμε πρός τήν καλή αὐτή φροντίδα. Καί ὁ Χριστός δέν ἔχει ποῦ νά μείνει, ἀλλά γυρνάει ξένος καί γυμνός καί πεινασμένος, ἐνῶ ἐσύ κατασκεύζεις σπίτια κοντά στήν πόλη καί λουτρά καί χώρους γιά περιπάτους καί

κατασκευάζεις θαλάμους εἰκῆ καὶ μάτην, καὶ τῷ μὲν Χριστῷ οὐδὲ μικροῦ μεταδίδως ὀρόφου, κόραξι δὲ καὶ γυψὶν ὑπερῷα καλλωπίζεις.

Τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς παραπληξίας; τί χαλεπώτερον τῆς μανίας; καὶ γὰρ μανία ταῦτα ἐσχάτη, μᾶλλον δέ, ὅπερ ἂν εἴπῃ τις, οὐδὲν ἄξιον ἐρεῖ. Ἀλλ' ὅμως, ἂν ἐθέλωμεν, δυνατὸν καίτοι χαλεπὴν οὖσαν τὴν νόσον ἀποκρούσασθαι, καὶ οὐ δυνατὸν μόνον, ἀλλὰ καὶ ῥᾴδιον, καὶ οὐδὲ ῥᾴδιον ἁπλῶς, ἀλλὰ καὶ πολλῷ ῥᾷον ταύτης ἀπαλλαγῆναι τῆς λύμης, ἢ τῶν σωματικῶν παθῶν, ὅσῳ καὶ μείζων ὁ ἰατρός. Ἐπισπασώμεθα τοίνυν αὐτόν, καὶ παρακαλέσωμεν συνεφάψασθαι, καὶ τὰ παρ' ἡμῶν συνεισενέγκωμεν, προαίρεσιν λέγω καὶ προθυμίαν. Οὐδενὸς γὰρ ἑτέρου δεήσεται, ἀλλ' ἂν τούτων ἐπιλάβηται μόνον, τὰ παρ' ἑαυτοῦ πάντα εἰσοίσει. Εἰσενέγκωμεν τοίνυν τὰ παρ' ἑαυτῶν, ἵνα καὶ ἐνταῦθα καθαρᾶς ἀπολαύσωμεν ὑγείας, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἄπειρους θαλάμους χωρίς λόγο καί στά χαμένα· καί στό Χριστό βέβαια δέν παραχωρεῖς οὔτε ἕνα μικρό ὄροφο, γιά τούς κόρακες ὅμως καί τούς γύπες στολίζεις ὑπερῶα.

Τί θά μποροῦσε νά ὑπάρξει χειρότερο ἀπό τήν παραφροσύνη αὐτή; τί πιό φοβερό ἀπό τήν τρέλλα αὐτή; Γιατί πραγματικά αὐτά εἶναι ἡ χειρότερη τρέλλα, ἤ καλύτερα, ὅ,τι καί ἄν πεῖ κανείς, δέ θά πεῖ τίποτε ἰσάξιο. 'Αλλ' ὅμως, ἐάν θέλουμε, εἶναι δυνατό, μολονότι ἡ ἀρρώστια εἶναι φοβερή, νά τήν ἀποκρούσουμε, καί ὄχι μόνο δυνατό, ἀλλά καί εὔκολο, καί ὄχι ἁπλῶς εὔκολο, ἀλλά καί πολύ πιό εὔκολο ν' ἀπαλλαγοῦμε ἀπό τόν ὄλεθρο αὐτόν, παρά ἀπό τά πάθη τοῦ σώματος, τόσο, ὅσο εἶναι καί μεγαλύτερος ὁ ἰατρός. Ἄς προσελκύσουμε λοιπόν αὐτόν, καί ἄς τόν παρακαλέσουμε νά μᾶς βοηθήσει, καί ἄς προσφέρουμε τά δικά μας, τήν προαίρεση δηλαδή καί τήν προθυμία. Γιατί τίποτε ἄλλο δέ θά χρειασθεῖ, ἀλλ', ἄν λάβει αὐτά μόνο, θά προσφέρει ὅλα τά δικά του. Ἄς προσφέρουμε λοιπόν τά δικά μας, γιά ν' ἀπολαύσουμε καί ἐδῶ καθαρή ὑγεία, καί νά ἐπιτύχουμε τά μελλοντικά ἀγαθά, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα, καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. 'Αμήν.

ΟΜΙΛΙΑ ΙΣΤ'

(Ρωμ. 8,28–39)

«Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν».

1. Ἐνταῦθα μοι δοκεῖ πρὸς τοὺς ἐν κινδύνοις ὄντας ἅπαν τοῦτο κεκινηκέναι τὸ χωρίον· μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ μικρῷ πρὸ τούτων εἰρημένα. Καὶ γὰρ τό, «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι», καὶ τὸ τὴν κτίσιν ἅπασαν στενάζειν, καὶ τὸ λέγειν, ὅτι «τῇ ἐλπίδι ἐσώθημεν», καί, «δι' ὑπομονῆς ἀπεκδεχόμεθα», καὶ τό, «τί προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν», ἅπαντα ταῦτα πρὸς ἐκείνους εἴρηται. Παιδεύει γὰρ αὐτοὺς μὴ ἅπερ ἂν αὐτοὶ νομίσωσιν εἶναι συμφέροντα ταῦτα αἱρεῖσθαι πάντως, ἀλλ' ἅπερ ἂν τὸ Πνεῦμα ὑποβάλῃ. Καὶ γὰρ πολλὰ αὐτοῖς δοκοῦντα λυσιτελεῖν, ἔστιν ὅτε καὶ βλάβην ἤνεγκε πολλήν. Ἄνεσις γοῦν καὶ κινδύνων ἀπαλλαγή, καὶ τὸ ἐν ἀδείᾳ ζῆν, ἐδόκει συμφέρον εἶναι ἐκείνοις.

Καὶ τί θαυμαστόν, εἰ ἐκείνοις, ὅπου γε καὶ αὐτῷ τῷ μακαρίῳ Παύλῳ τοῦτο οὕτως ἔδοξεν ἔχειν; Ἀλλ' ὅμως ἐμάνθανεν ὕστερον, ὅτι τὰ ἐναντία τούτοις ταῦτά ἐστι τὰ συμφέροντα, καὶ μαθὼν ἔστεργεν. Ὁ γοῦν τρὶς τὸν Κύριον παρακαλέσας ὥστε ἀπαλλαγῆναι κινδύνων, ἐπειδὴ ἤκουσεν αὐτοῦ λέγοντος, «ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται», ἐσκίρτα λοιπὸν διωκό-

1. Ρωμ. 8, 18. 24.25.26.

ΟΜΙΛΙΑ ΙΣΤ'

(Ρωμ. 8,28–39)

«Γνωρίζουμε ὅμως, ὅτι σ' ἐκείνους πού ἀγαποῦν τό Θεό, ὅλα συνεργοῦν γιά τό καλό τους».

1. Ἐδῶ μοῦ φαίνεται πώς ἀνέφερε ὅλο αὐτό τό χωρίο πρός ἐκείνους πού βρίσκονται σέ κινδύνους, ἤ καλύτερα ὄχι μόνο αὐτό, ἀλλά καί ἐκεῖνα πού λέχθηκαν λίγο πρίν ἀπ' αὐτά. Γιατί καί τό, «δέν εἶναι ἄξια τά παθήματα τοῦ τωρινοῦ καιροῦ σέ σύγκριση μέ τή δόξα πού πρόκειται νά ἀποκαλυφθεῖ σέ μᾶς», καί τό ὅτι ἡ κτίση ὅλη στενάζει, καί τό νά πεῖ, «μέ τήν ἐλπίδα σωθήκαμε», καί, «μέ τήν ὑπομονή περιμένουμε», καί τό, «δέ γνωρίζουμε, πῶς πρέπει νά προσευχόμαστε»[1], ὅλα αὐτά λέχθηκαν πρός ἐκείνους. Γιατί τούς διδάσκει νά μήν προτιμοῦν ὁπωσδήποτε αὐτά πού αὐτοί θά νομίσουν πώς εἶναι συμφέροντα, ἀλλ' ἐκεῖνα πού θά ὑποδείξει τό Πνεῦμα. Καθόσον πολλά πού φαίνονταν σ' αὐτούς πώς ὠφελοῦν, πολλές φορές προκάλεσαν καί πολλή ζημιά. Ἡ ἄνεση λοιπόν καί ἡ ἀπαλλαγή ἀπό τούς κινδύνους καί ἡ ζωή μέ ἀσφάλεια, φαινόταν πώς εἶναι συμφέρον σ' ἐκείνους.

Καί τί τό θαυμαστό ἄν φαινόταν σ' ἐκείνους, τή στιγμή βέβαια πού καί στόν ἴδιο τό μακάριο Παῦλο φάνηκε πώς ἔτσι εἶχε τό πράγμα; Ἀλλ' ὅμως μάθαινε ὕστερα, ὅτι τά ἀντίθετα σ' αὐτά εἶναι ἐκεῖνα πού συμφέρουν, καί μαθαίνοντας συμφωνοῦσε. Αὐτός λοιπόν πού παρακάλεσε τρεῖς φορές τόν Κύριο γιά ν' ἀπαλλαγεῖ ἀπό τούς κινδύνους, ὅταν ἄκουσε αὐτόν νά λέγει, «σοῦ εἶναι ἀρκετή ἡ χάρη μου, γιατί ἡ δύναμή μου φανερώνεται τέλεια ἐκεῖ πού ὑπάρχει ἀδυνα-

μενος, ὑβριζόμενος, τὰ ἀνήκεστα πάσχων. «Εὐδοκῶ γάρ», φησίν, «ἐν διωγμοῖς, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις». Διὸ καὶ ἔλεγε· «τὸ γὰρ τί προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν»· καὶ πᾶσι παρῄνει τῷ Πνεύματι τούτων παραχωρεῖν. Καὶ γὰρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον σφόδρα ἡμῶν κήδεται, καὶ τῷ Θεῷ τοῦτό ἐστι τὸ δοκοῦν.

Διὰ πάντων τοίνυν ἀλείψας αὐτούς, ἐπάγει καὶ τὰ σήμερον εἰρημένα, λογισμὸν κινῶν ἱκανὸν αὐτοὺς ἀνακτήσασθαι. «Οἴδαμεν γάρ», φησίν, «ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν». Ὅταν δὲ εἴπῃ, «πάντα», καὶ τὰ δοκοῦντα εἶναι λυπηρὰ λέγει. Κἂν γὰρ θλῖψις, κἂν πενία, κἂν δεσμωτήρια, κἂν λιμοί, κἂν θάνατοι, κἂν ὁτιοῦν ἕτερον ἐπίῃ, δυνατὸς ὁ Θεὸς εἰς τοὐναντίον πάντα ταῦτα μεταβαλεῖν· ἐπεὶ καὶ τοῦτο τῆς ἀφάτου δυνάμεως αὐτοῦ, τὸ τὰ δοκοῦντα εἶναι μοχθηρὰ κοῦφά τε ἡμῖν ποιεῖν, καὶ εἰς τὴν ὑπὲρ ἡμῶν τρέπειν βοήθειαν. Διόπερ οὐκ εἶπεν, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν οὐ ἐπέρχεταί τι δεινόν', ἀλλ' ὅτι, «συνεργεῖ εἰς ἀγαθόν»· τουτέστιν, ὅτι αὐτοῖς τοῖς δεινοῖς κέχρηται εἰς τὴν τῶν ἐπιβουλευομένων εὐδοκίμησιν· ὅπερ πολλῷ μεῖζόν ἐστι τοῦ κωλῦσαι ἐπελθεῖν τὰ δεινά, ἢ καταλῦσαι ἐπελθόντα. Τοῦτο γοῦν καὶ ἐπὶ τῆς βαβυλωνίας καμίνου πεποίηκεν. Οὔτε γὰρ ἐκώλυσεν ἐμπεσεῖν εἰς αὐτήν, οὔτε ἐμπεσόντων τῶν ἁγίων ἐκείνων, τὴν φλόγα ἔσβεσεν, ἀλλ' ἀφεὶς καίεσθαι, δι' αὐτῆς ταύτης θαυμαστοτέρους εἰργάσατο.

Καὶ ἐπὶ τῶν ἀποστόλων δὲ τοιαῦτα ἕτερα ἐθαυματούργησε διὰ πάντων. Εἰ γὰρ ἄνθρωποι, φιλοσοφεῖν εἰδότες, δύνανται φύσει πραγμάτων εἰς τὸ ἐναντίον ἀποχρήσασθαι, καὶ ἐν πενίᾳ ζῶντες τῶν πλουτούντων εὐπορώτεροι φανῆναι, καὶ δι' ἀτιμίας λάμψαι, πολλῷ μᾶλλον ὁ Θεὸς ἐπὶ τῶν ἀγαπώντων αὐτόν, καὶ ταῦτα καὶ τὰ πολλῷ μείζονα ἐργάσεται. Ἑνὸς γὰρ δεῖ μόνου, τοῦ γνησίως αὐτὸν ἀγαπᾶν, καὶ τὰ ἄλλα πάντα ἕπεται. Ὥσπερ οὖν τούτους καὶ τὰ δοκοῦντα εἶναι βλαβερὰ ὠφελεῖ, οὕτω τοὺς οὐκ ἀγαπῶντας αὐτόν,

---

2. Β' Κορ. 12, 9.
3. Β' Κορ. 12, 10.

μία»[2], χαιρόταν στό ἑξῆς ὅταν τόν δίωκαν, τόν ἔβριζαν, καί πάθαινε τά ἀθεράπευτα κακά. «Γιατί εἶμαι εὐχαριστημένος», λέγει, «μέ τούς διωγμούς, τίς ὕβρεις, τίς ταλαιπωρίες»[3]. Γι' αὐτό καί ἔλεγε· «γιατί δέ γνωρίζουμε, πῶς πρέπει νά προσευχόμαστε», καί σ' ὅλους συμβούλευε νά παραχωροῦν αὐτό στό ἅγιο Πνεῦμα. Καθόσον καί τό ἅγιο Πνεῦμα μᾶς φροντίζει πάρα πολύ, καί αὐτό εἶναι ἀρεστό στό Θεό.

Ἀφοῦ λοιπόν τούς προετοίμασε μέ ὅλα, προσθέτει καί αὐτά πού λέχθηκαν σήμερα, γιά νά τούς παρακινήσει ν' ἀποκτήσουν ὀρθή σκέψη. «Γιατί γνωρίζουμε», λέγει, «ὅτι σ' ἐκείνους πού ἀγαποῦν τό Θεό, ὅλα συνεργοῦν γιά τό καλό τους». Ὅταν ὅμως λέγει, «ὅλα», ἐννοεῖ καί ἐκεῖνα πού φαίνονται πώς εἶναι λυπηρά. Γιατί, εἴτε θλίψη, εἴτε φτώχεια, εἴτε φυλακίσεις, εἴτε πείνα, εἴτε θάνατοι, εἴτε ὁτιδήποτε ἄλλο κακό πέσει, ὁ Θεός εἶναι ἱκανός νά τά μετατρέψει ὅλα αὐτά στό ἀντίθετο. Ἐπειδή καί αὐτό εἶναι γνώρισμα τῆς ἀπερίγραπτης δυνάμεώς του, τό νά κάνει δηλαδή ἐκεῖνα, πού φαίνονται πώς εἶναι βαριά, ἐλαφρά γιά μᾶς καί νά τά μετατρέπει γιά δική μας βοήθεια. Γι' αὐτό ἀκριβῶς δέν εἶπε, 'ὅτι σ' ἐκείνους πού ἀγαποῦν τό Θεό δέν ἔρχεται κάτι κακό', ἀλλ' ὅτι, «συνεργεῖ γιά τό καλό τους»· δηλαδή χρησιμοποιεῖ αὐτά τά κακά γιά τήν εὐδοκίμηση ἐκείνων πού ἐπιβουλεύονται, πράγμα πού εἶναι πολύ μεγαλύτερο ἀπό τό νά ἐμποδίσει νά ἔρθουν τά κακά, ἤ ἀπό τό νά τά ἐξαλείψει ὅταν ἔρθουν. Αὐτό βέβαια ἔκανε καί στό καμίνι τῆς Βαβυλώνας. Γιατί οὔτε ἐμπόδισε νά πέσουν σ' αὐτό, οὔτε ὅταν ἔπεσαν οἱ ἅγιοι ἐκεῖνοι ἔσβησε τή φλόγα, ἀλλ' ἀφήνοντάς τους νά καίονται, μέ αὐτήν τήν ἴδια τούς ἔκαμε θαυμαστότερους.

Ἀλλά καί μέ ὅλους τούς ἀποστόλους ἔκανε ἄλλα παρόμοια θαύματα. Γιατί, ἄν ἄνθρωποι, πού γνωρίζουν νά φιλοσοφοῦν, μποροῦν νά χρησιμοποιοῦν τή φύση τῶν πραγμάτων στό ἀντίθετο, καί ζώντας μέσα στή φτώχεια κατορθώνουν νά φανοῦν περισσότερο εὔποροι ἀπό τούς πλούσιους καί νά λάμψουν μέ τήν ἀνυποληψία τους, πολύ περισσότερο ὁ Θεός θά κάνει σ' ἐκείνους πού τόν ἀγαποῦν, καί αὐτά καί τά πολύ μεγαλύτερα ἀπ' αὐτά. Ἕνα λοιπόν χρειάζεται μόνο, ἡ γνήσια πρός αὐτόν ἀγάπη, καί ὅλα τά ἄλλα ἀκολουθοῦν. Ὅπως ἀκριβῶς δηλαδη καί ἐκεῖνα πού φαίνονται πώς εἶναι βλαβερά ὠφελοῦν αὐτούς, ἔτσι ἐκείνους πού δέν τόν ἀγαποῦν, καί ἐκεῖνα

καὶ τὰ ὠφελοῦντα βλάπτει. Τοῖς γοῦν Ἰουδαίοις καὶ σημείων ἐπίδειξις, καὶ διδασκαλίας φιλοσοφία, καὶ δογμάτων ὀρθότης ἐλυμαίνετο· καὶ δι' ἐκεῖνα μὲν δαιμονῶντα ἐκάλουν, διὰ δὲ ταῦτα ἀντίθεον, ὑπὲρ δὲ τῶν σημείων καὶ ἀνελεῖν ἐπεχείρουν. Ὁ μέντοι λῃστὴς σταυρούμενος, προσηλούμενος, λοιδορούμενος, μυρία πάσχων δεινά, οὐ μόνον οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ τὰ μέγιστα ἐντεῦθεν ἐκέρδανεν.

Εἶδες πῶς τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν; Εἰπὼν τοίνυν τὸ μέγα τοῦτο ἀγαθόν, καὶ σφόδρα τὴν ἀνθρωπίνην ὑπερβαῖνον φύσιν, ἐπειδὴ πολλοῖς καὶ ἄπιστον τοῦτο εἶναι ἐδόκει, ἀπὸ τῶν παρελθόντων αὐτὸ πιστοῦται, οὕτω λέγων· «τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι». Σκόπει γάρ, φησίν, εὐθέως ἀπὸ τῆς κλήσεως τὸ εἰρημένον. Διὰ τί γὰρ μὴ ἐξ ἀρχῆς πάντας ἐκάλεσεν, ἢ μηδὲ αὐτὸν Παῦλον εὐθέως μετὰ τῶν ἄλλων; οὐ δοκεῖ ἡ ἀναβολὴ ἐπιζήμιος εἶναι; Ἀλλ' ὅμως ἐδείχθη διὰ τῶν πραγμάτων, ὅτι χρησίμως γέγονε. Πρόθεσιν δὲ ἐνταῦθά φησιν, ἵνα μὴ τὸ πᾶν τῇ κλήσει δῷ· ἐπεὶ οὕτως ἔμελλον καὶ Ἕλληνες ἀντιλέγειν καὶ Ἰουδαῖοι. Εἰ γὰρ ἡ κλῆσις ἤρκει μόνον, τίνος ἕνεκεν οὐ πάντες ἐσώθησαν; Διὰ τοῦτό φησιν, ὅτι οὐχ ἡ κλῆσις μόνον, ἀλλὰ καὶ ἡ πρόθεσις τῶν καλουμένων τὴν σωτηρίαν εἰργάσατο. Οὐ γὰρ ἠναγκασμένη γέγονεν ἡ κλῆσις, οὐδὲ βεβιασμένη. Πάντες γοῦν ἐκλήθησαν, ἀλλ' οὐ πάντες ὑπήκουσαν.

2. *«Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ». Εἶδες τιμῆς ὄγκον; Ὅπερ γὰρ ὁ μονογενὴς ἦν φύσει, τοῦτο καὶ αὐτοὶ γεγόνασι κατὰ χάριν. Ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτῳ τῷ εἰπεῖν, «συμμόρφους», ἀλλὰ καὶ ἕτερον προσέθηκεν· «εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ μετὰ τούτου πάλιν ἕτερον ἐπάγει, λέγων, «ἐν πολλοῖς ἀδελφοῖς», διὰ πάντων σαφῆ τὴν συγγένειαν ἐπιδεῖξαι βουλόμενος. Ταῦτα δὲ πάντα περὶ τῆς οἰκονομίας εἰρῆσθαι νόμιζε· κατὰ γὰρ τὴν θεότητα μονογενής. Εἶδες πόσα ἡμῖν ἐχαρίσατο; Μὴ τοίνυν ἀμφίβαλλε περὶ τῶν μελλόντων. Καὶ γὰρ καὶ ἑτέρωθεν δείκνυσιν αὐτοῦ*

πού ὠφελοῦν τούς βλάπτουν. Στούς Ἰουδαίους λοιπόν προκαλοῦσε βλάβη καί ἡ φανέρωση τῶν θαυμάτων, καί ἡ φιλοσοφία τῆς διδασκαλίας καί ἡ ὀρθότητα τῶν δογμάτων, καί ἐξ αἰτίας ἐκείνων τόν ὀνόμαζαν δαιμονιζόμενο, ἐνῶ ἐξ αἰτίας αὐτῶν ἀντίθετο, καί γιά τά θαύματα μάλιστα ἐπιχειροῦσαν καί νά τόν θανατώσουν. Ὁ ληστής ὅμως πού σταυρώθηκε, πού καρφώθηκε, πού βρίσθηκε, καί ἔπαθε ἄπειρα κακά, ὄχι μόνο δέ ζημιώθηκε καθόλου, ἀλλά καί κέρδισε ἀπό ἐδῶ πάρα πολλά.

Εἶδες πῶς σ' ἐκείνους πού ἀγαποῦν τό Θεό ὅλα συνεργοῦν γιά τό καλό τους; Ἀφοῦ λοιπόν εἶπε τό μεγάλο αὐτό ἀγαθό, πού ὑπερβαίνει πάρα πολύ τήν ἀνθρώπινη φύση, ἐπειδή στούς πολλούς φαινόταν πώς αὐτό εἶναι καί ἀπίθανο, τό ἐπιβεβαιώνει ἀπό τά προηγούμενα, λέγοντας τά ἑξῆς· «σ' ἐκείνους πού εἶναι καλεσμένοι σύμφωνα μέ τήν πρόθεση τοῦ Θεοῦ». Πρόσεχε λοιπόν, λέγει, ἀμέσως ἀπό τήν κλήση αὐτό πού λέχθηκε. Γιατί ὅμως δέν κάλεσε ἀπό τήν ἀρχή ὅλους, ἤ οὔτε καί τόν ἴδιο τόν Παῦλο ἀμέσως μαζί μέ τούς ἄλλους; δέ φαίνεται ὅτι ἡ ἀναβολή ὑπῆρξε ἐπιζήμια; Ἀντίθετα ἀποδείχθηκε ἀπό τά ἴδια τά πράγματα, ὅτι ὑπῆρξε χρήσιμη. Πρόθεση ἐδῶ λέγει, γιά νά μή ἀποδώσει τό πᾶν στήν κλήση, γιατί ἔτσι θά συνέβαινε καί οἱ Ἕλληνες καί οἱ Ἰουδαῖοι ν' ἀντιλέγουν. Ἐάν λοιπόν ἦταν ἀρκετή ἡ κλήση μόνο, γιά ποιό λόγο δέ σώθηκαν ὅλοι; Γι' αὐτό λέγει, ὅτι ὄχι ἡ κλήση μόνο, ἀλλά καί ἡ πρόθεση ἐκείνων πού καλοῦνται συνήργησε στή σωτηρία. Γιατί ἡ κλήση δέν ἔγινε ἀναγκαστικά, οὔτε βίαια. Ὅλοι βέβαια κλήθηκαν, ἀλλά δέν ὑπάκουσαν ὅλοι.

2. «Γιατί ἐκείνους πού προγνώρισε, αὐτούς καί προόρισε νά γίνουν σύμμορφοι μέ τήν εἰκόνα τοῦ Υἱοῦ του». Εἶδες μέγεθος τιμῆς; Γιατί ἐκεῖνο πού ἀπό τή φύση του ἦταν ὁ Μονογενής Υἱός, τοῦτο ἔγιναν καί αὐτοί κατά χάρη. Ἀλλ' ὅμως δέν ἀρκέσθηκε σ' αὐτό μέ τό νά πεῖ, «συμμόρφους», ἀλλά καί ἄλλο πρόσθεσε· «Γιά νά εἶναι αὐτός πρωτότοκος». Καί οὔτε ἐδῶ σταμάτησε, ἀλλά καί μαζί μ' αὐτό ἄλλο πάλι προσθέτει, λέγοντας· «μεταξύ πολλῶν ἀδελφῶν», ἐπειδή ἤθελε μέ ὅλα αὐτά νά δείξει καθαρά τή συγγένεια. Ὅλα ὅμως αὐτά νά τά θεωρεῖς ὅτι λέχθηκαν περί τῆς οἰκονομίας· γιατί κατά τή θεότητα εἶναι μονογενής. Εἶδες πόσα μᾶς χάρισε; Νά μήν ἀμφιβάλλεις λοιπόν γιά τά μελλοντικά. Γιατί καί ἀπό ἄλλοῦ δείχνει

τὴν κηδεμονίαν, τῷ λέγειν ἄνωθεν αὐτὰ προτετυπῶσθαι οὕτως. Ἄνθρωποι μὲν γὰρ ἀπὸ τῶν πραγμάτων τὰς ὑπὲρ αὐτῶν γνώμας λαμβάνουσι, τῷ δὲ Θεῷ πάλαι ταῦτα ἔδοξε, καὶ ἄνωθεν πρὸς ἡμᾶς διέκειτο, φησίν. «Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε», διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, «οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε», διὰ τῆς χάριτος, διὰ τῆς υἱοθεσίας.

«Τί οὖν ἐροῦμεν πρὸς ταῦτα»; Ὡς ἂν εἰ εἴποι, μὴ τοίνυν λέγε μοι λοιπὸν περὶ τῶν κινδύνων, καὶ τῆς παρὰ πάντων ἐπιβουλῆς. Εἰ γὰρ καὶ τοῖς μέλλουσί τινες διαπιστοῦσιν, ἀλλὰ πρὸς τὰ ἤδη γεγενημένα ἀγαθὰ οὐδὲν ἂν ἔχοιεν εἰπεῖν· οἷον, τὴν ἄνωθεν τοῦ Θεοῦ πρὸς σὲ φιλίαν, τὴν δικαίωσιν, τὴν δόξαν. Καὶ γὰρ καὶ ταῦτά σοι διὰ τῶν δοκούντων εἶναι λυπηρῶν ἐχαρίσατο· καὶ ὅπερ ἐνόμιζες αἰσχύνης εἶναι, τὸν σταυρόν, τὰς μάστιγας, τὰ δεσμά, ταῦτά ἐστιν ἃ τὴν οἰκουμένην κατώρθωσεν ἅπασαν. Ὥσπερ οὖν οἷς αὐτὸς ἔπαθε, καίτοι γε σκυθρωποῖς εἶναι δοκοῦσι, τούτοις εἰς ἐλευθερίαν καὶ σωτηρίαν τῆς φύσεως ἀπεχρήσατο πάσης, οὕτω καὶ ἐν οἷς αὐτὸς ὑπομένεις ποιεῖν εἴωθεν, εἰς δόξαν σου καὶ εὐδοκίμησιν τοῖς σοῖς ἀποχρώμενος πάθεσιν.

«Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν»; Τίς γὰρ οὐ καθ' ἡμῶν, φησί; Καὶ γὰρ ἡ οἰκουμένη καθ' ἡμῶν, καὶ τύραννοι καὶ δῆμοι καὶ συγγενεῖς καὶ πολῖται. Ἀλλ' ὅμως οὗτοι οἱ καθ' ἡμῶν τοσοῦτον ἀπέχουσιν ἐπηρεάζειν ἡμῖν, ὅτι καὶ ἄκοντες στεφάνων ἡμῖν αἴτιοι γίνονται, καὶ μυρίων ἀγαθῶν πρόξενοι, τῆς τοῦ Θεοῦ σοφίας τὰς ἐπιβουλὰς εἰς τὴν ἡμετέραν σωτηρίαν τρεπούσης καὶ δόξαν. Ὁρᾷς πῶς οὐδεὶς καθ' ἡμῶν; Καὶ γὰρ τὸν Ἰὼβ τοῦτο λαμπρότερον ἐποίησε, τὸ ὁπλισθῆναι κατ' αὐτοῦ τὸν διάβολον. Καὶ γὰρ καὶ φίλους κατ' αὐτοῦ, καὶ γυναῖκα κατ' αὐτοῦ, καὶ τραύματα καὶ οἰκέτας καὶ μυρία ἕτερα ὁ διάβολος ἐκίνησε μηχανήματα· καὶ οὐδὲν ὅλως κατ' αὐτοῦ γέγονε. Καὶ οὔπω τοῦτο αὐτῷ μέγα, καίτοι σφόδρα μέγα ὄν, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, ὅτι καὶ ὑπὲρ αὐτοῦ πάντα

τή φροντίδα του, μέ τό νά λέγει ὅτι ἀπό τό Θεό προτυπώθηκαν αὐτά ἔτσι. Γιατί οἱ ἄνθρωποι διαμορφώνουν τίς γνῶμες τους ἀπό τά ἴδια τά πράγματα, ἐνῶ ὁ Θεός, λέγει, ἀπό παλαιά τά ἀποφάσισε αὐτά, καί ἀπό τήν ἀρχή ἦταν τέτοια ἡ πρόθεσή του γιά μᾶς. «Ἐκείνους ὅμως πού προόρισε, αὐτούς καί κάλεσε· καί ἐκείνους πού κάλεσε, αὐτούς καί δικαίωσε», μέ τό βάπτισμα τῆς ἀναγέννησης. «Καί ἐκείνους πού δικαίωσε, αὐτούς καί δόξασε», μέ τή χάρη, μέ τήν υἱοθεσία.

«Τί λοιπόν θά ποῦμε γιά ὅλα αὐτά»; Σάν νά ἔλεγε, μή μοῦ λέγεις λοιπόν πλέον γιά τούς κινδύνους καί τήν ἐπιβουλή ἀπ' ὅλους. Γιατί, ἄν καί γιά τά μελλοντικά δυσπιστοῦν μερικοί, ὅμως γιά τά ἀγαθά πού ἔχουν ἤδη γίνει τίποτε δέν μποροῦν νά ποῦν· ὅπως δηλαδή γιά τήν ἀπό τήν ἀρχή ἀγάπη τοῦ Θεοῦ πρός ἐσένα, τή δικαίωση, τή δόξα. Γιατί πραγματικά καί αὐτά σοῦ τά χάρισε μ' ἐκεῖνα πού φαίνονται πώς εἶναι λυπηρά. Καί ἐκεῖνο πού νόμιζες ὅτι εἶναι ἀπόδειξη ντροπῆς, τό σταυρό δηλαδή, τίς μάστιγες, τά δεσμά, αὐτά εἶναι ἐκεῖνα πού ὠφέλησαν ὅλη τήν οἰκουμένη. Ὅπως ἀκριβῶς λοιπόν μ' ἐκεῖνα πού ἔπαθε αὐτός, μολονότι φαίνονται πώς εἶναι σκυθρωπά, αὐτά τά μεταχειρίστηκε γιά τήν ἐλευθερία καί τή σωτηρία ὅλης τῆς φύσεως, ἔτσι συνηθίζει νά κάνει καί μ' ἐκεῖνα πού ἐσύ ὑπομένεις, χρησιμοποιώντας τά πάθη σου γιά τή δική σου δόξα καί εὐδοκίμηση.

«Ἐάν ὁ Θεός εἶναι μέ τό μέρος μας, ποιός θά εἶναι ἐναντίον μας;». Καί ποιός, λέγει, δέν εἶναι ἐναντίον μας; Γιατί καί ἡ οἰκουμένη εἶναι ἐναντίον μας καί οἱ τύραννοι καί οἱ λαοί καί οἱ συγγενεῖς καί οἱ πολίτες. Ἀλλ' ὅμως αὐτοί πού εἶναι ἐναντίον μας τόσο πολύ ἀπέχουν ἀπό τό νά μᾶς βλάπτουν, γιατί καί χωρίς τή θέλησή τους γίνονται αἴτιοι βραβείων γιά μᾶς καί πρόξενοι ἄπειρων ἀγαθῶν, ἀφοῦ ἡ σοφία τοῦ Θεοῦ μετατρέπει τίς ἐπιβουλές γιά τή δική μας σωτηρία καί δόξα. Βλέπεις πῶς κανείς δέν εἶναι ἐναντίον μας; Γιατί καί τόν Ἰώβ αὐτό τόν ἔκαμε πιό ἔνδοξο, τό ὅτι δηλαδή ὁπλίσθηκε ὁ διάβολος ἐναντίον του. Καθόσον ὁ διάβολος κίνησε ἐναντίον του καί φίλους καί γυναίκα καί πληγές καί δούλους καί ἄπειρα ἄλλα τεχνάσματα· καί ὅμως τίποτε ἀπολύτως δέν ἔγινε ἐναντίον του. Καί δέν ἦταν ἀκόμη τοῦτο μεγάλο γι' αὐτόν, παρ' ὅλο πού ἦταν ὑπερβολικά μεγάλο, ἀλλ' ἐκεῖνο πού ἦταν πολύ μεγαλύτερο, γιατί ὅλα κα-

ἐξέβη. Ἐπειδὴ γὰρ ὁ Θεὸς ἦν ὑπὲρ αὐτοῦ, καὶ τὰ κατ᾽ αὐτοῦ δοκοῦντα εἶναι, ὑπὲρ αὐτοῦ πάντα ἐγίνετο. Τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων συνέβη. Καὶ γὰρ καὶ οἱ Ἰουδαῖοι καὶ οἱ ἐξ ἐθνῶν καὶ οἱ ψευδάδελφοι, καὶ ἄρχοντες καὶ δῆμοι, καὶ λιμοὶ καὶ πενία, καὶ μυρία κατ᾽ αὐτῶν ἦν· ἀλλ᾽ οὐδὲν κατ᾽ αὐτῶν. Τὰ γὰρ μάλιστα ποιήσαντα αὐτοὺς λαμπροὺς καὶ περιφανεῖς, καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις μεγάλους, ταῦτά ἐστιν.

Ἐννόησον οὖν ἡλίκον ἐφθέγξατο ῥῆμα ὁ Παῦλος περὶ τῶν πιστῶν καὶ ἀκριβῶς ἐσταυρωμένων, ὃ μηδ᾽ ὁ τὸ διάδημα περικείμενος δύναιτ᾽ ἂν ἔχειν. Κατὰ γὰρ ἐκείνου πολλοὶ καὶ βάρβαροι καθοπλιζόμενοι, καὶ πολέμιοι ἐπιόντες, καὶ σωματοφύλακες ἐπιβουλεύοντες, καὶ τῶν ἀρχομένων πολλοὶ πολλάκις ἐπανιστάμενοι συνεχῶς, καὶ ἕτερα μυρία· κατὰ δὲ τοῦ πιστοῦ καὶ τοῖς τοῦ Θεοῦ νόμοις προσέχοντος ἀκριβῶς, οὐκ ἄνθρωπος, οὐ δαίμων, οὐκ ἄλλο οὐδὲν στῆναι δυνήσεται. Ἄν τε γὰρ χρήματα ἀφέλῃς, μισθὸν αὐτῷ προεξένησας· ἄν τε κακῶς εἴπῃς, διὰ τῆς δυσφημίας λαμπρότερον ἐποίησας παρὰ τῷ Θεῷ· ἄν τε εἰς λιμὸν ἐμβάλῃς, πλείων ἡ δόξα καὶ ἡ ἀντίδοσις· ἄν τε, ὃ πάντων δοκεῖ χαλεπώτερον εἶναι, θανάτῳ παραδῷς, μαρτυρίου στέφανον ἔπλεξας. Τί τοίνυν ἴσον τοῦ βίου τούτου γένοιτ᾽ ἄν, ὅταν μηδὲν κατ᾽ αὐτοῦ γίνεσθαι δύνηται, ἀλλὰ καὶ αὐτοὶ οἱ δοκοῦντες ἐπιβουλεύειν, τῶν εὐεργετούντων οὐκ ἔλαττον αὐτὸν ὠφελῶσι; Διὰ τοῦτό φησιν· «εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν»;

3. Εἶτα, οὐκ ἀρκεσθεὶς τοῖς εἰρημένοις, τὸ μέγιστον σημεῖον τῆς περὶ ἡμᾶς ἀγάπης, καὶ ὃ συνεχῶς ἀεὶ περιστρέφει, τοῦτο καὶ ἐνταῦθα τίθησι, τὴν σφαγὴν τοῦ παιδός. Οὐ γὰρ ἐδικαίωσε μόνον, φησί, καὶ ἐδόξασε, καὶ συμμόρφους ἐποίησε τῆς εἰκόνος ἐκείνης, ἀλλ᾽ οὐδὲ τοῦ παιδὸς ἐφείσατο διὰ σέ. Διὸ καὶ ἐπήγαγε λέγων· «ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;». Καὶ μεθ᾽ ὑπερβολῆς καὶ πολλῆς τῆς θερμότητος ταῖς λέξεσι κέχρηται, ἵνα ἐνδείξηται αὐτοῦ τὴν ἀγάπην. Πῶς οὖν ἡμᾶς προήσεται, ὑπὲρ ὧν

τέληξαν σέ ὄφελός του. Ἐπειδή λοιπόν ὁ Θεός ἦταν μέ τό μέρος του, καί ἐκεῖνα πού φαίνονταν πώς εἶναι ἐναντίον του, ὅλα ἀπέβαιναν πρός ὄφελός του. Αὐτό ἔγινε καί στήν περίπτωση τῶν ἀποστόλων. Καθόσον καί οἱ Ἰουδαῖοι, καί οἱ ἐθνικοί, καί οἱ ψευδάδελφοι, καί οἱ ἄρχοντες, καί τά πλήθη, καί λιμοί καί φτώχεια καί ἄπειρα ἄλλα ἦταν ἐναντίον τους, ἀλλ' ὅμως τίποτε δέν ἦταν ἐναντίον τους. Γιατί ἐκεῖνα πού κατ' ἐξοχή τούς ἔκαναν λαμπρούς καί ἔνδοξους καί μεγάλους καί στό Θεό καί στούς ἀνθρώπους, αὐτά εἶναι.

Σκέψου λοιπόν ποιό λόγο εἶπε ὁ Παῦλος γιά τούς πιστούς καί πραγματικά σταυρωμένους, πράγμα πού οὔτε ἐκεῖνος πού φοράει τό στέμμα μπορεῖ νά ἔχει. Γιατί ἐναντίον ἐκείνου ὑπάρχουν πολλοί καί βάρβαροι ὁπλισμένοι, καί ἐχθροί πού τοῦ ἐπιτίθενται, καί σωματοφύλακες πού τόν ἐπιβάλλονται, καί ἀπό τούς πολίτες πολλοί πολλές φορές ἐπαναστατοῦν συνέχεια, καί ἄπειρα ἄλλα, ἐνῶ ἐναντίον τοῦ πιστοῦ πού προσέχει μέ ἀκρίβεια στούς νόμους τοῦ Θεοῦ, οὔτε ἄνθρωπος, οὔτε δαίμονας, οὔτε τίποτε ἄλλο θά μπορέσει νά ξεσηκωθεῖ. Γιατί, ἄν τοῦ ἀφαιρέσεις χρήματα, προκάλεσες μισθό σ' αὐτόν· ἄν τόν κακολογήσεις, μέ τή δυσφημία τόν ἔκαμες λαμπρότερο μπροστά στό Θεό· ἄν τό ρίξεις σέ πείνα, περισσότερη θά εἶναι ἡ δόξα καί ἡ ἀνταπόδοσή του· ἄν, πράγμα πού φαίνεται πώς εἶναι πιό φοβερό ἀπ' ὅλα, τόν παραδώσεις σέ θάνατο, τοῦ ἔπλεξες στεφάνι μαρτυρίου. Τί λοιπόν θά μποροῦσε νά ἐξισωθεῖ μέ τή ζωή αὐτή, ὅταν τίποτε δέν μπορεῖ νά γίνεται ἐναντίον του, ἀλλά καί ἐκεῖνοι πού νομίζουν ὅτι τόν ἐπιβουλεύονται, τόν ὠφελοῦν ὄχι λιγότερο ἀπό ἐκείνους πού τόν εὐεργετοῦν; Γι' αὐτό λέγει· «ἐάν ὁ Θεός εἶναι μέ τό μέρος μας, ποιός θά εἶναι ἐναντίον μας;».

3. Ἔπειτα, μή ἀρκούμενος σ' αὐτά πού λέχθηκαν, τήν πιό μεγάλη ἀπόδειξη τῆς ἀγάπης γιά μᾶς, καί πράγμα πού συνέχεια ἐπαναλαμβάνει, αὐτό καί ἐδῶ ἀναφέρει, δηλαδή τή σφαγή τοῦ Υἱοῦ. Γιατί δέ μᾶς δικαίωσε μόνο, λέγει, καί μᾶς δόξασε, καί μᾶς ἔκανε σύμμορφους τῆς εἰκόνας ἐκείνης, ἀλλ' οὔτε τόν Υἱό του λυπήθηκε γιά σένα. Γι' αὐτό καί πρόσθεσε λέγοντας· «ἐκεῖνος πού δέ λυπήθηκε τόν Υἱό του, ἀλλά τόν παρέδωσε σέ θάνατο γιά χάρη ὅλων μας, πῶς δέ θά μᾶς χαρίσει μαζί μέ αὐτόν τά πάντα;». Καί μέ ὑπερβολή καί πολλή θέρμη χρησιμοποιεῖ τίς λέξεις, γιά νά δείξει τήν ἀγάπη του. Πῶς λοιπόν θά μᾶς ἐγκαταλείψει, ἐμᾶς πού γιά χάρη μας δέ λυπή-

τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν; Ἐννόησον γὰρ ὅσης ἀγαθότητος τὸ καὶ τοῦ ἰδίου υἱοῦ μὴ φείσασθαι, ἀλλὰ καὶ ἐκδοῦναι, καὶ ὑπὲρ πάντων ἐκδοῦναι, καὶ εὐτελῶν καὶ ἀγνωμόνων καὶ ἐχθρῶν καὶ βλασφήμων. «Πῶς οὖν οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ τὸν Υἱὸν αὐτοῦ ἐχαρίσατο, καὶ οὐχ ἁπλῶς ἐχαρίσατο, ἀλλὰ καὶ σφαγῇ παρέδωκε, τί λοιπὸν περὶ τῶν ἄλλων ἀμφιβάλλεις, τὸν δεσπότην λαβών; τί διστάζεις περὶ τῶν κτημάτων, τὸν Κύριον ἔχων; Ὁ γὰρ τὸ μεῖζον τοῖς ἐχθροῖς δεδωκώς, πῶς τὰ ἐλάττονα οὐ δώσει τοῖς φίλοις;

«Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ;». Ἐνταῦθα πρὸς τοὺς λέγοντας ὅτι οὐδὲν ἡ πίστις ὠφελεῖ, καὶ ἀπιστοῦντας τῇ ἀθρόᾳ μεταβολῇ. Καὶ ὅρα πῶς ταχέως αὐτοὺς ἐπεστόμισεν ἀπὸ τοῦ ἀξιώματος τοῦ ἐκλεξαμένου. Καὶ οὐκ εἶπε, 'τίς ἐγκαλέσει κατὰ τῶν δούλων τοῦ Θεοῦ', οὐδέ, 'κατὰ τῶν πιστῶν τοῦ Θεοῦ', ἀλλά, «κατὰ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ»· ἡ γὰρ ἐκλογὴ ἀρετῆς σημεῖόν ἐστιν. Εἰ γὰρ ἐπειδὰν πωλοδάμνης πώλους ἐκλέξηται ἐπιτηδείους πρὸς τὸν δρόμον, οὐδεὶς ἐπισκῆψαι δυνήσεται, ἀλλὰ καταγέλαστος γίνεται, κἂν ἐγκαλέσῃ τις, πολλῷ μᾶλλον ὅταν ὁ Θεὸς ἐκλέγηται ψυχάς, καταγέλαστοι οἱ ἐγκαλοῦντες. «Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;». Οὐκ εἶπε, 'Θεὸς ὁ ἀφεὶς ἁμαρτήματα', ἀλλ', ὃ πολλῷ μεῖζον ἦν, «Θεὸς ὁ δικαιῶν». Ὅταν γὰρ ἡ τοῦ δικαστοῦ ψῆφος δίκαιον ἀποφήνῃ, καὶ δικαστοῦ τοιούτου, τίνος ἄξιος ὁ κατηγορῶν; Οὐκοῦν οὔτε τοὺς πειρασμοὺς φοβεῖσθαι δίκαιον· ὑπὲρ γὰρ ἡμῶν ἐστιν ὁ Θεός, καὶ ἐδήλωσεν ἐξ ὧν ἐποίησεν· οὔτε τὰς φλυαρίας τὰς ἰουδαϊκάς· καὶ γὰρ καὶ ἐξελέξατο ἡμᾶς καὶ ἐδικαίωσε, καὶ τὸ δὴ θαυμαστόν, ὅτι καὶ διὰ τῆς σφαγῆς τοῦ παιδὸς ἐδικαίωσε.

Τίς οὖν ἡμᾶς καταδικάσει, τοῦ Θεοῦ σταφανοῦντος, τοῦ Χριστοῦ δι' ἡμᾶς σφαγέντος, καὶ οὐ σφαγέντος μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα ἐντυγχάνοντος ὑπὲρ ἡμῶν; «Χριστὸς γάρ», φησίν, «ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθεὶς ἐκ νεκρῶν, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν». Καὶ γὰρ ἐπὶ τῆς οἰκείας ἀξίας

θηκε οὔτε τόν Υἱό του, ἀλλά τόν παρέδωσε γιά μᾶς σέ θάνατο; Γιατί σκέψου πόσης ἀγαθότητας δεῖγμα εἶναι τό νά μή λυπηθεῖ τόν Υἱό του, ἀλλά καί νά τόν παραδώσει σέ θάνατο, καί νά τόν παραδώσει γιά ὅλους ἐμᾶς, πού εἴμαστε καί τιποτένιοι καί ἀχάριστοι καί ἐχθροί καί βλάσφημοι. «Πῶς λοιπόν δέ θά μᾶς χαρίσει μαζί μέ αὐτόν τά πάντα;». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· ἐάν τόν Υἱό του μᾶς χάρισε, καί ὄχι ἁπλῶς μᾶς τόν χάρισε, ἀλλά καί τόν παρέδωσε στή σφαγή, γιατί λοιπόν ἀμφιβάλλεις γιά τά ἄλλα, ἀφοῦ ἔλαβες τόν Κύριο; γιατί διστάζεις γιά τά κτήματα, ἀφοῦ ἔχεις τόν Κύριο; Γιατί ἐκεῖνος πού ἔδωσε τό μεγαλύτερο στούς ἐχθρούς, πῶς δέ θά δώσει τά μικρότερα στούς φίλους;

«Ποιός θά κατηγορήσει τούς ἐκλεκτούς τοῦ Θεοῦ;». Ἐδῶ ὁ λόγος εἶναι πρός ἐκείνους πού λέγουν, ὅτι ἡ πίστη δέν ὠφελεῖ καθόλου, καί πρός ἐκείνους πού δυσπιστοῦν γιά τήν ἀθρόα μεταβολή. Καί πρόσεχε πῶς γρήγορα τούς ἀποστόμωσε ἀπό τό ἀξίωμα ἐκείνου πού τούς διάλεξε. Καί δέν εἶπε, 'ποιός θά κατηγορήσει τούς δούλους τοῦ Θεοῦ', οὔτε, 'τούς πιστούς τοῦ Θεοῦ', ἀλλά, «τούς ἐκλεκτούς τοῦ Θεοῦ», γιατί ἡ ἐκλογή εἶναι ἀπόδειξη ἀρετῆς. Ἐάν λοιπόν, ὅταν ἕνας γυμναστής πουλαριῶν διαλέξει τά κατάλληλα γιά τό δρόμο, κανείς δέ θά μπορέσει νά τόν κατηγορήσει, ἀλλά γίνεται καταγέλαστος ἄν τόν κατηγορήσει κάποιος, πολύ περισσότερο, ὅταν ὁ Θεός διαλέγει ψυχές, θά εἶναι καταγέλαστοι ἐκεῖνοι πού τόν κατηγοροῦν. «Ὁ Θεός τούς δικαιώνει, ποιός θά κατακρίνει;». Δέν εἶπε, 'ὁ Θεός πού συγχωρεῖ ἁμαρτίες', ἀλλ' ἐκεῖνο πού ἦταν πολύ πιό μεγαλύτερο, «ὁ Θεός πού δικαιώνει». Γιατί ὅταν ἡ ἀπόφαση τοῦ δικαστῆ ἀνακηρύξει κάποιον δίκαιο, καί μάλιστα τέτοιου δικαστῆ, τίνος ἄξιος εἶναι ὁ κατήγορος; Ἐπομένως, οὔτε εἶναι δίκαιο νά φοβόμαστε τούς πειρασμούς, γιατί ὁ Θεός εἶναι μέ τό μέρος μας καί τό φανέρωσε μ' αὐτά πού ἔκανε· οὔτε τίς ἰουδαϊκές φλυαρίες, γιατί βέβαια καί μᾶς διάλεξε καί μᾶς δικαίωσε, καί τό πιό θαυμαστό, ὅτι μᾶς δικαίωσε μέ τή σφαγή τοῦ Υἱοῦ του.

Ποιός λοιπόν θά μᾶς καταδικάσει, τή στιγμή πού ὁ Θεός μᾶς στεφανώνει, ὁ Χριστός σφάγηκε γιά χάρη μας, καί δέ σφάγηκε μόνο, ἀλλά καί ὕστερα ἀπ' αὐτά μεσιτεύει γιά μᾶς; «Γιατί ὁ Χριστός», λέγει, «εἶναι ἐκεῖνος πού πέθανε, καί, ἀκόμη περισσότερο, πού ἀναστήθηκε ἀπό τούς νεκρούς, ὁ ὁποῖος εἶναι στά δεξιά τοῦ

φανείς, οὐ κατέλυσε τὴν ὑπὲρ ἡμῶν πρόνοιαν, ἀλλὰ καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, καὶ ἔτι τὴν αὐτὴν ἀγάπην μένει διατηρῶν. Οὐδὲ γὰρ ἠρκέσθη τῇ σφαγῇ μόνον· ὅπερ μεγίστου μάλιστά ἐστι φίλτρου, τὸ μὴ μόνον τὰ εἰς αὐτὸν ἥκοντα ποιεῖν, ἀλλὰ καὶ ἕτερον ὑπὲρ τούτου παρακαλεῖν. Τοῦτο γὰρ μόνον διὰ τοῦ ἐντυγχάνειν δηλῶσαι ἐβουλήθη, ἀνθρωπικώτερον διαλεχθεὶς καὶ συγκαταβατικώτερον, ἵνα τὴν ἀγάπην ἐνδείξηται· ἐπεὶ καὶ τό, «οὐκ ἐφείσατο», ἐὰν μὴ μετὰ ταύτης ἐκλάβωμεν τῆς ἐννοίας, πολλὰ τὰ ἄτοπα ἕψεται. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, ὃ κατασκευάσαι βούλεται, πρότερον εἰπών, ὅτι «ἐστὶν ἐν δεξιᾷ», τότε ἐπήγαγεν, ὅτι «ἐντυγχάνει ὑπὲρ ἡμῶν», ὅτε τὴν ὁμοτιμίαν ἔδειξε καὶ τὴν ἰσότητα, ἵνα λοιπὸν τὸ ἐντυγχάνειν μὴ ἐλαττώσεως, ἀλλ' ἀγάπης φαίνηται μόνης ὄν.

Ὁ γὰρ αὐτοζωὴ ὢν καὶ πηγὴ τῶν ἀγαθῶν ἁπάντων, καὶ μετ' ἐξουσίας τῆς αὐτῆς τῷ Πατρὶ καὶ νεκροὺς ἐγείρων, καὶ ζωοποιῶν, καὶ τὰ ἄλλα πάντα ποιῶν, πῶς ἂν ἐντεύξεως ἐδεήθη εἰς τὸ ὠφελῆσαι ἡμᾶς; Ὁ ἀπεγνωσμένους καὶ καταδεδικασμένους ἐξ οἰκείας ἐξουσίας καὶ τῆς καταδίκης ἐκείνης ἀπαλλάξας, καὶ δικαίους καὶ υἱοὺς ποιήσας, καὶ πρὸς τὰς ἀνωτάτω τιμὰς ἀγαγών, καὶ τὰ μηδέποτε ἐλπισθέντα εἰς ἔργον ἀγαγών, πῶς ἂν μετὰ τὸ κατορθῶσαι πάντα, καὶ τὴν φύσιν τὴν ἡμετέραν δεῖξαι ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ, πρὸς τὰ εὐκολώτερα ἐντυχίας ἐδεῖτο; Ὁρᾷς πῶς πανταχόθεν δείκνυται, ὅτι τὸ ἐντυγχάνειν δι' οὐδὲν ἕτερον εἴρηκεν, ἀλλ' ἵνα τὸ θερμὸν καὶ ἀκμάζον τῆς περὶ ἡμᾶς ἀγάπης ἐνδείξηται; Ἐπεὶ καὶ ὁ Πατὴρ φαίνεται παρακαλῶν ἀνθρώπους καταλλαγῆναι αὐτῷ. «Ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν». Ἀλλ' ὅμως καὶ Θεοῦ παρακαλοῦντος, καὶ ἀνθρώπων ὑπὲρ Χριστοῦ πρεσβευομένων πρὸς ἀνθρώπους, οὐδὲν ἀνάξιον ἐννοοῦμεν ἐντεῦθεν τῆς ἀξίας ἐκείνης, ἀλλ' ἓν μόνον ἐκ τῶν εἰρημένων ἁπάντων συλλέγομεν, τὴν τῆς ἀγάπης ἐπίτασιν. Τοῦτο δὴ καὶ ἐνταῦθα ποιῶμεν. Εἰ τοίνυν καὶ τὸ Πνεῦμα ἐντυγχάνει στεναγμοῖς ἀλαλήτοις, καὶ ὁ Χριστὸς ἀπέθανε καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, καὶ ὁ Πατὴρ τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο διὰ σέ, καὶ ἐξελέξατό σε καὶ

---

4. Β' Κορ. 5, 20.

Θεοῦ, καί ὁ ὁποῖος μεσιτεύει γιά μᾶς». Γιατί, καί ἀφοῦ ἐπανῆλθε στή δική του ἀξία, δέ σταμάτησε τή φροντίδα γιά μᾶς, ἀλλά καί μεσιτεύει γιά μᾶς, καί ἀκόμη ἐξακολουθεῖ νά διατηρεῖ τήν ἴδια ἀγάπη. Γιατί δέν ἀρκέσθηκε στή σφαγή μόνο, ἀλλὰ κάμνει καί αὐτό πού εἶναι δεῖγμα ἀκόμη μεγαλύτερης ἀγάπης, τό νά κάμνει δηλαδή ὄχι μόνο ἐκεῖνο πού ἐξαρτᾶται ἀπ' αὐτόν, ἀλλά καί νά παρακαλεῖ καί ἄλλον γι' αὐτό. Γιατί αὐτό μόνο θέλησε νά δηλώσει μέ τό μεσιτεύει, μιλώντας μέ πιό ἀνθρώπινο καί συγκαταβατικό τρόπο, γιά νά δείξει τήν ἀγάπη του. Ἀφοῦ καί τό, «δέ λυπήθηκε», ἐάν δέν τό λάβουμε μέ τήν ἔννοια αὐτή, θ' ἀκολουθήσουν πολλά τά ἄτοπα. Καί γιά νά μάθεις ὅτι αὐτό εἶναι ἐκεῖνο πού θέλει νά δείξει, ἀφοῦ εἶπε πρῶτα, ὅτι «εἶναι στά δεξιά», τότε πρόσθεσε, ὅτι «μεσιτεύει γιά μᾶς», ὅταν ἔδειξε τήν ἰσοτιμία καί τήν ἰσότητα, ὥστε πλέον τό μεσιτεύει νά φαίνεται πώς εἶναι ἀπόδειξη ὄχι ἐλάττωσης, ἀλλ' ἀγάπης μόνο.

Γιατί ἐκεῖνος πού εἶναι ἀπό μόνος του ἡ ζωή καί ἡ πηγή ὅλων τῶν ἀγαθῶν, καί μέ τήν ἴδια ἐξουσία μέ τόν Πατέρα ἀνασταίνει καί νεκρούς καί δίνει ζωή καί κάνει ὅλα τά ἄλλα, πῶς θά χρειαζόταν παράκληση γιά νά μᾶς ὠφελήσει; Ἐκεῖνος πού ἐμᾶς, ἐνῶ ἤμασταν ἀπελπισμένοι καί καταδικασμένοι, μέ τή δική του ἐξουσία καί μᾶς ἀπάλλαξε ἀπό τήν καταδίκη ἐκείνη, καί μᾶς δικαίωσε καί μᾶς ἔκαμε υἱούς, καί μᾶς ὁδήγησε στίς ἀνώτατες τιμές, καί πραγματοποίησε ἐκεῖνα πού ποτέ δέν εἴχαμε ἐλπίσει, πῶς, ἀφοῦ τά κατόρθωσε ὅλα καί παρουσίασε τήν ἀνθρώπινη φύση πάνω στό βασιλικό θρόνο, θά χρειαζόταν παράκληση γιά τά πιό εὔκολα; Βλέπεις πῶς ἀπό παντοῦ φαίνεται, ὅτι τό «μεσιτεύει» δέν τό εἶπε γιά τίποτε ἄλλο, ἀλλά γιά νά δείξει τή θερμή καί πλούσια ἀγάπη του γιά μᾶς; Καθόσον καί ὁ Πατέρας φαίνεται νά παρακαλεῖ τούς ἀνθρώπους γιά νά συμφιλιωθοῦν μαζί του. «Εἴμαστε λοιπόν πρεσβευτές τοῦ Χριστοῦ, γιατί ὁ Θεός παρακαλεῖ μέ μᾶς»[4]. Ἀλλ' ὅμως, ἄν καί ὁ Θεός παρακαλεῖ καί οἱ ἄνθρωποι εἶναι πρεσβευτές τοῦ Χριστοῦ στούς ἀνθρώπους, δέν ἐννοοῦμε ἀπό ἐδῶ τίποτε ἀνάξιο τῆς τιμῆς ἐκείνης, ἀλλ' ἕνα μόνο ἀπ' ὅλα αὐτά πού λέχθηκαν συλλέγουμε, τό δυνάμωμα τῆς ἀγάπης. Αὐτό λοιπόν ἄς κάνουμε καί ἐδῶ. Ἐάν λοιπόν καί τό Πνεῦμα μεσιτεύει μέ ἀνέκφραστους στεναγμούς, καί ὁ Χριστός πέθανε καί μεσιτεύει γιά μᾶς, καί ὁ Πατέρας δέ λυπήθηκε τόν Υἱό του γιά χάρη σου, καί σέ ἐξέλεξε καί σέ δικαίωσε, γιατί πλέον φοβᾶσαι;

ἐδικαίωσε, τί λοιπὸν δέδοικας; τί δὲ τρέμεις, τοσαύτης ἀπολαύων ἀγάπης καὶ τοσαύτης κηδεμονίας;

Διὰ δὴ τοῦτο, δείξας πολλὴν τὴν ἄνωθεν πρόνοιαν, μετὰ παρρησίας λοιπὸν ἐπάγει τὰ ἑξῆς· καὶ οὐ λέγει, ὅτι ὀφείλετε καὶ ὑμεῖς οὕτως αὐτὸν ἀγαπᾶν, ἀλλ' ὥσπερ ἔνθους γενόμενος ὑπὸ τῆς ἀφάτου ταύτης προνοίας, φησί· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ»; Καὶ οὐκ εἶπε, 'τοῦ Θεοῦ'· οὕτως ἀδιάφορον αὐτῷ καὶ Χριστὸν καὶ Θεὸν ὀνομάζειν. «Θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;». Ὅρα τοῦ μακαρίου Παύλου σύνεσιν. Οὐ γὰρ εἶπε ταῦτα οἷς καθ' ἡμέραν ἁλισκόμεθα, χρημάτων ἔρωτα καὶ δόξης ἐπιθυμίαν καὶ ὀργῆς τυραννίδα, ἀλλὰ ἃ πολλῷ τούτων ἐστὶ τυραννικώτερα, καὶ τὴν φύσιν αὐτὴν ἱκανὰ βιάσασθαι, καὶ διανοίας στερρότητα ἀναμοχλεῦσαι πολλάκις καὶ ἀκόντων ἡμῶν, ταῦτα τίθησι, θλίψεις καὶ στενοχωρίας. Εἰ γὰρ καὶ εὐαρίθμητα τὰ εἰρημένα, ἀλλὰ μυρίους ἔχει πειρασμῶν ὁρμαθοὺς ἑκάστη λέξις. Ὅταν γὰρ εἴπῃ θλῖψιν, καὶ δεσμωτήρια λέγει, καὶ δεσμά, καὶ συκοφαντίας, καὶ ἐξορίας, καὶ τὰς ἄλλας ταλαιπωρίας ἁπάσας, ἑνὶ ῥήματι πέλαγος κινδύνων διατρέχων ἄπειρον, καὶ πάντα ἁπλῶς τὰ ἐν ἀνθρώποις δεινὰ διὰ μιᾶς ἡμῖν ἐμφαίνων λέξεως. Ἀλλ' ὅμως πάντων αὐτῶν κατατολμᾷ. Διὸ καὶ κατὰ ἐρώτησιν αὐτὰ προάγει, ὡς ἀναντίρρητον ὄν, ὅτι τὸν οὕτως ἀγαπηθέντα, καὶ τοσαύτης ἀπολαύσαντα προνοίας, οὐδέν ἐστιν ὃ διαστῆσαι δυνήσεται.

4. Εἶτα, ἵνα μὴ δόξῃ ταῦτα ἐγκαταλείψεως εἶναι, καὶ τὸν προφήτην ἐπάγει προαναφωνοῦντα αὐτὰ πρὸ πολλοῦ τοῦ χρόνου, καὶ λέγοντα· «Ὅτι ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς»· τουτέστι, πᾶσίν ἐσμεν προκείμενοι εἰς τὸ πάσχειν κακῶς. Ἀλλ' ὅμως πρὸς τοὺς τοσούτους καὶ τηλικούτους κινδύνους, καὶ τὰς καινὰς ταύτης τραγῳδίας, ἀρκοῦσα παράκλησις ἡ τῶν ἀγώνων ἡμῖν ὑπόθεσις δέδοται· μᾶλλον δὲ οὐκ ἀρκοῦσα μόνον, ἀλλὰ καὶ πολλῷ πλείων. Οὐ γὰρ δι' ἀνθρώπους οὐδὲ δι' ἄλλο τι βιωτικὸν ταῦτα πάσχομεν, ἀλλὰ διὰ τὸν τῶν ὅλων βασιλέα, φησίν. Οὐ τούτῳ δὲ μόνον αὐτούς, ἀλλὰ καὶ ἑτέρῳ πάλιν ἀνέδησε στεφάνῳ ποικίλῳ καὶ πολυειδεῖ. Ἐπειδὴ γὰρ ἀνθρώπους

5. Ψαλμ. 43, 23.

γιατί τρέμεις, ἀφοῦ ἀπολαμβάνεις τόσο μεγάλη ἀγάπη καί τόσο μεγάλη φροντίδα;

Γι' αὐτό λοιπόν, ἀφοῦ ἔδειξε μεγάλη τή φροντίδα τοῦ Θεοῦ, μέ παρρησία πλέον προσθέτει τά ἑπόμενα. Καί δέ λέγει, 'ὅτι εἶστε ὑποχρεωμένοι καί σεῖς ἔτσι νά τόν ἀγαπᾶτε', ἀλλά, σάν νά ἔγινε ἔνθεος ἀπό τήν ἀπερίγραπτη αὐτή πρόνοια, λέγει· «ποιός θά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Χριστοῦ»». Καί δέν εἶπε, 'τοῦ Θεοῦ'· ἔτσι τοῦ εἶναι ἀδιάφορο νά τόν ὀνομάζει καί Χριστό καί Θεό. «Θλίψη ἤ στενοχώρια ἤ διωγμός ἤ πείνα ἤ γύμνια ἤ κίνδυνος ἤ σφαγή;». Πρόσεχε τοῦ μακάριου Παύλου τή σύνεση. Γιατί δέν εἶπε αὐτά στά ὁποῖα καθημερινά γινόμαστε δοῦλοι, δηλαδή τήν ἀγάπη γιά τά χρήματα, τήν ἐπιθυμία τῆς δόξας καί τήν τυραννία τῆς ὀργῆς, ἀλλ' ἐκεῖνα πού εἶναι πολύ πιό τυραννικά ἀπ' αὐτά καί εἶναι ἱκανά καί τήν ἴδια τή φύση νά ἐξαναγκάσουν, καί τή σταθερότητα τοῦ νοῦ ν' ἀνατρέψουν πολλές φορές καί χωρίς τή θέλησή μας, αὐτά ἀναφέρει, τίς θλίψεις δηλαδή καί τίς στενοχώριες. Γιατί, ἄν καί εἶναι λίγα αὐτά πού λέχθηκαν, κάθε λέξη ὅμως ἔχει ἄπειρα πλήθη πειρασμῶν. Γιατί ὅταν λέγει θλίψη, ἐννοεῖ καί φυλακές, καί δεσμά καί συκοφαντίες καί ἐξορίες καί ὅλες τίς ἄλλες ταλαιπωρίες, ἀναφέροντας σύντομα μέ μία λέξη σέ μᾶς ὅλα γενικά τά ἀνθρώπινα δεινά. 'Αλλ' ὅμως ὅλα αὐτά τά περιφρονεῖ. Γι' αὐτό καί τά παρουσιάζει μέ ἐρώτηση, σάν ἀναντίρρητο πράγμα, γιατί τίποτε δέν ὑπάρχει πού θά μπορέσει νά χωρίσει ἐκεῖνον, πού τόσο ἀγαπήθηκε καί ἀπόλαυσε τόσο μεγάλη φροντίδα.

4. Στή συνέχεια, γιά νά μή νομισθεῖ ὅτι αὐτά εἶναι δεῖγμα ἐγκατάλειψης, προσθέτει καί τόν προφήτη, πού φώναζε αὐτά πρίν ἀπό πολύ χρόνο καί ἔλεγε· «γιά χάρη σου θανατωνόμαστε ὅλη τήν ἡμέρα. Θεωρηθήκαμε σάν πρόβατα προορισμένα γιά σφαγή»[5]. Δηλαδή, εἴμαστε στή διάθεση ὅλων γιά νά ὑποφέρουμε. 'Αλλ' ὅμως στούς τόσο πολλούς καί μεγάλους κινδύνους, καί τίς νέες αὐτές συμφορές, μᾶς ἔχει δοθεῖ ἀρκετή παρηγοριά ἡ ὑπόθεση τῶν ἀγώνων· ἤ καλύτερα, ὄχι μόνο ἀρκετή, ἀλλά καί πολύ περισσότερη. Γιατί, λέγει, δέν παθαίνουμε αὐτά γιά τούς ἀνθρώπους οὔτε γιά κάποιο ἄλλο βιοτικό πράγμα, ἀλλά γιά τό βασιλιά τῶν ὅλων. Καί δέ στεφάνωσε αὐτούς μέ τοῦτο μόνο τό στεφάνι, ἀλλά καί μέ ἄλλο πάλι στεφάνι πολύμορφο καί ποικίλο. Ἐπειδή δηλαδή δέν ἦταν δυνατό, ἐφόσον

ὄντας οὐκ ἐνῆν μυρίους ὑπομεῖναι θανάτους, δείκνυσιν ὅτι οὐδὲν ταύτῃ τὰ βραβεῖα ἠλάττωται. Κἂν γὰρ τῇ φύσει κεκληρωμένον ᾖ τὸ μόνον ἅπαξ ἀποθανεῖν, τῇ προαιρέσει τὸ καθ' ἡμέραν τοῦτο πάσχειν, εἰ βουληθείημεν, δέδωκεν ὁ Θεός.

Ὅθεν δῆλον, ὅτι τοσούτους ἀπελευσόμεθα ἔχοντες στεφάνους, ὅσας ἂν βιώσωμεν ἡμέρας· μᾶλλον δὲ καὶ πολλῷ πλείους· ἔστι γὰρ ἐν ἡμέρᾳ μιᾷ καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἀποθανεῖν. Ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος ἀεί, ἀεὶ τὸν μισθὸν ἀπηρτισμένον λαμβάνει. Τοῦτο γοῦν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν, «ὅλην τὴν ἡμέραν». Διὸ καὶ ὁ ἀπόστολος αὐτὸν ἐπεισήγαγε, μειζόνως αὐτοὺς διεγείρων. Εἰ γὰρ οἱ ἐν τῇ παλαιᾷ, φησί, καὶ γῆν τὸ ἔπαθλον τῶν πόνων ἔχοντες, καὶ τὰ ἄλλα τὰ τῷ παρόντι συγκαταλυόμενα βίῳ, οὕτω τῆς παρούσης ὑπερεώρων ζωῆς, καὶ τῶν πειρασμῶν καὶ τῶν κινδύνων, τίνα ἂν σχοίημεν συγγνώμην ἡμεῖς, μετὰ τὸν οὐρανὸν καὶ τὴν βασιλείαν τὴν ἄνω καὶ τὰ ἀπόρρητα ἀγαθὰ καταμαλακιζόμενοι, καὶ μηδὲ πρὸς τὸ αὐτὸ μέτρον φθάνοντες ἐκείνοις; Ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τῷ δὲ συνειδότι αὐτὸ καταλιπὼν τῶν ἀκροατῶν, τῇ μαρτυρίᾳ ἀρκεῖται μόνῃ. Καὶ δείκνυσιν, ὅτι καὶ θυσία αὐτῶν τὰ σώματα γίνεται, καὶ οὐ δεῖ θορυβεῖσθαι, οὐδὲ ταράττεσθαι, τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος. Καὶ ἑτέρως δὲ αὐτοὺς προτρέπει. Ἵνα γὰρ μὴ λέγῃ τις, 'ὅτι ἁπλῶς ταῦτα φιλοσοφεῖ πρὸ τῆς πείρας τῶν πραγμάτων', ἐπήγαγεν· «ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς», τοὺς καθημερινοὺς τῶν ἀποστόλων θανάτους λέγων. Εἶδες ἀνδρείαν καὶ ἐπιείκειαν; Ὥσπερ γὰρ ἐκεῖνα, φησίν, οὐκ ἀνθίσταται σφαττόμενα, οὕτως οὐδὲ ἡμεῖς.

Ἀλλ' ἐπειδὴ τῆς ἀνθρωπίνης διανοίας ἡ ἀσθένεια καὶ μετὰ τοσαῦτα τὸ πλῆθος τῶν πειρασμῶν ἐδεδοίκει, ὅρα πῶς πάλιν ἀνίστησι τὸν ἀκρατήν, καὶ ὑψηλὸν ποιεῖ καὶ γαῦρον, εἰπών, «ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς». Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, οὐχ ὅτι νικῶμεν μόνον, ἀλλ' ὅτι καὶ δι' ὧν ἐπιβουλευόμεθα νικῶμεν. Καὶ οὐχ ἁπλῶς νικῶμεν, ἀλλ' «ὑπερνι-

ἦταν ἄνθρωποι, νά ὑπομείνουν ἄπειρους θανάτους, δείχνει πώς δέν ἔχουν γίνει καί ἔτσι καθόλου μικρότερα τά βραβεῖα. Γιατί, καί ἄν ἀκόμη στή φύση κληρώθηκε νά πεθάνει μόνο μία φορά, ὁ Θεός ἔδωσε στήν προαίρεσή μας, ἐάν τό θέλουμε, νά τό παθαίνουμε αὐτό καθημερινά.

Ἑπομένως εἶναι φανερό, ὅτι πεθαίνοντας θά ἔχουμε τόσα στεφάνια, ὅσες ἡμέρες θά ζήσουμε· ἤ καλύτερα, καί πολύ περισσότερα, γιατί μπορεῖ σέ μία ἡμέρα νά πεθάνουμε καί μία καί δύο καί πολλές φορές. Ὅποιος λοιπόν εἶναι πάντοτε προετοιμασμένος γι' αὐτό, πάντοτε παίρνει τό μισθό ὁλόκληρο. Αὐτό βέβαια ὑπονοώντας καί ὁ προφήτης ἔλεγε, «ὅλη τήν ἡμέρα». Γι' αὐτό καί ἀπόστολος τόν ἀνέφερε, γιά νά τούς τονώσει περισσότερο. Γιατί, λέγει, ἄν αὐτοί πού ἔζησαν στήν Παλαιά Διαθήκη, ἔχοντας σάν βραβεῖο τῶν κόπων τους τή γῆ καί τά ἄλλα πού ἐξαφανίζονται μαζί μέ τήν παρούσα ζωή, περιφρονοῦσαν τόσο τήν παρούσα ζωή καί τούς πειρασμούς καί τούς κινδύνους, ποιά συγχώρηση θά ἔχουμε ἐμεῖς, πού θεωροῦμε ἀσήμαντα μετά τόν οὐρανό καί τή βασιλεία τήν οὐράνια καί τά ἀπόρρητα ἀγαθά, καί πού δέν τούς φθάνουμε ἐκείνους οὔτε σ' αὐτό τό μέτρο; 'Αλλ' αὐτό βέβαια δέν τό εἶπε, ἀφήνοντάς το ὅμως στή συνείδηση τῶν ἀκροατῶν, ἀρκεῖται μόνο στή μαρτυρία. Καί δείχνει, ὅτι καί θυσία γίνονται τά σώματά τους, καί δέν πρέπει ν' ἀνησυχοῦν, οὔτε νά ταράζονται, ἀφοῦ ὁ Θεός οἰκονόμησε ἔτσι τά πράγματα. Καί μέ ἄλλον τρόπο ὅμως τούς προτρέπει. Γιά νά μή λέγει λοιπόν κανείς, ὅτι ἁπλῶς τά φιλοσοφεῖ αὐτά πρίν ἀπό τή δοκιμασία τῶν πραγμάτων, πρόσθεσε· «θεωρηθήκαμε σάν πρόβατα προορισμένα γιά σφαγή», ἐννοώντας τούς καθημερινούς θανάτους τῶν ἀποστόλων. Εἶδες ἀνδρεία καί ἐπιείκεια; Γιατί, ὅπως ἀκριβῶς τά πρόβατα, λέγει, δέν ἀντιστέκονται ὅταν σφάζονται, ἔτσι οὔτε καί μεῖς.

Ἐπειδή ὅμως ἡ ἀδυναμία εἶναι γνώρισμα τῆς ἀνθρώπινης ψυχῆς καί ὕστερα ἀπό τόσα πολλά εἶχε φοβηθεῖ τό πλῆθος τῶν πειρασμῶν, βλέπε πῶς πάλι τονώνει τόν ἀκροατή, καί τόν κάνει ἀνώτερο καί ὑπερήφανο, λέγοντας· «ἀλλά σέ ὅλα αὐτά νικοῦμε μέ τό παραπάνω μέ τή βοήθεια ἐκείνου πού μᾶς ἀγάπησε». Τό πιό θαυμαστό λοιπόν αὐτό εἶναι, ὄχι ὅτι νικοῦμε μόνο, ἀλλ' ὅτι νικοῦμε καί μέ ἐκεῖνα πού μᾶς ἐπιβουλεύονται. [illegible] ...χι ἁπλῶς νικοῦμε, ἀλλά

κῶμεν», τουτέστι, μετὰ εὐκολίας ἁπάσης, χωρὶς ἱδρώτων καὶ πόνων. Οὐ γὰρ πράγματα ὑπομένοντες, ἀλλὰ τὴν γνώμην παρασκευάζοντες μόνον, οὕτω πανταχοῦ τὰ τρόπαια κατὰ τῶν ἐχθρῶν ἱστῶμεν. Καὶ μάλα εἰκότως· Θεὸς γάρ ἐστιν ἡμῖν ὁ συναγωνιζόμενος. Μὴ τοίνυν ἀπιστήσῃς, εἰ μαστιζόμενοι τῶν μαστιζόντων περιγινόμεθα, εἰ ἐλαυνόμενοι τῶν διωκόντων κρατοῦμεν, εἰ ἀποθνήσκοντες τοὺς ζῶντας τρεπόμεθα. Ὅταν γὰρ καὶ τὴν δύναμιν τοῦ Θεοῦ καὶ τὴν ἀγάπην θῇς, οὐδὲν τὸ κωλύον τὰ θαυμαστὰ ταῦτα ἐκβῆναι καὶ παράδοξα, καὶ τὴν ἐκ περιουσίας λάμψαι νίκην. Οὐδὲ γὰρ ἁπλῶς ἐνίκων, ἀλλὰ μετὰ πολλοῦ τοῦ θαύματος, καὶ ὥστε μαθεῖν, ὅτι οὐ πρὸς ἀνθρώπους ὁ πόλεμος τοῖς ἐπιβουλεύουσιν ἦν, ἀλλὰ πρὸς τὴν ἄμαχον δύναμιν ἐκείνην.

Ὅρα γοῦν τοὺς Ἰουδαίους ἐν μέσῳ αὐτοὺς ἔχοντας, καὶ διαποροῦντας καὶ λέγοντας, «τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;». Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι κατέχοντες αὐτοὺς καὶ ὑπευθύνους ἔχοντες, καὶ δεσμοῦντες καὶ κόπτοντες, ἠπόρουν καὶ ἐν ἀμηχανίᾳ ἦσαν, δι' αὐτῶν τούτων ἡττώμενοι, δι' ὧν προσεδόκων νικᾶν. Καὶ οὔτε τύραννοι, οὔτε δῆμοι, οὔτε δαιμόνων φάλαγγες, οὔτε αὐτὸς ὁ διάβολος περιγενέσθαι αὐτῶν ἴσχυσεν, ἀλλ' ἐκ πολλῆς ἅπαντες ἡττῶντο τῆς περιουσίας, ἅπερ κατ' αὐτῶν ἐμηχανῶντο, πάντα ὑπὲρ αὐτῶν ὁρῶντες γινόμενα. Διὸ καὶ ἔλεγεν, «ὑπερνικῶμεν». Καινὸς γὰρ οὗτος τῆς νίκης ὁ νόμος ἦν, τὸ διὰ τῶν ἐναντίων κρατεῖν, καὶ μηδέποτε ἡττᾶσθαι, ἀλλ' ὡς αὐτοὺς ὄντας κυρίους τοῦ τέλους, οὕτως ἐπὶ τοὺς ἀγῶνας ἐξιέναι τούτους.

5. *«Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος οὔτε ζωή, οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Μεγάλα τὰ εἰρημένα· ἀλλ' οὐκ ἴσμεν αὐτά, ἐπειδὴ τοσαύτην ἀγάπην οὐκ ἔχομεν. Ἀλλ' ὅμως, εἰ καὶ μεγάλαι, δεῖξαι βουλόμενος οὐδὲν ὄντα πρὸς τὴν ἀγάπην, ἣν ἠγαπήθη παρὰ τοῦ Θεοῦ, μετ' ἐκεί-*

6. Πράξ. 4, 16.

«ὑπερνικοῦμε», δηλαδή, μέ κάθε εὐκολία, χωρίς ἱδρῶτες καί κόπους. Ὄχι ὑπομένοντας δυσκολίες, ἀλλ' ἑτοιμάζοντας τή διάθεση μόνο, καί ἔτσι στήνουμε παντοῦ τά τρόπαια ἐναντίον τῶν ἐχθρῶν. Καί πολύ εὔλογα, γιατί ὁ Θεός εἶναι ἐκεῖνος πού ἀγωνίζεται μαζί μας. Νά μήν ἀπιστήσεις λοιπόν, ἐάν, ὅταν μᾶς μαστιγώνουν, νικοῦμε ἐκείνους πού μᾶς μαστιγώνουν, ἐάν, ὅταν διωκόμαστε, ὑπερισχύουμε ἐκείνων πού μᾶς διώκουν, ἐάν, ὅταν πεθαίνουμε, μεταστρέφουμε τούς ζωντανούς. Γιατί, ὅταν βάλεις καί τή δύναμη καί τήν ἀγάπη τοῦ Θεοῦ, τίποτε δέν ἐμποδίζει νά πραγματοποιηθοῦν τά θαυμαστά αὐτά καί παράδοξα, καί νά λάμψει μέ τό παραπάνω ἡ νίκη. Γιατί δέ νικοῦσαν ἁπλῶς, ἀλλά μέ πολύ θαυμαστό τρόπο, καί γιά νά μάθουν, ὅτι ὁ πόλεμος γιά ἐκείνους πού σκέπτονταν τά κακά δέν ἦταν ἐναντίον ἀνθρώπων, ἀλλ' ἐναντίον τῆς ἀκατανίκητης ἐκείνης δυνάμεως.

Πρόσεχε λοιπόν ὅτι οἱ Ἰουδαῖοι εἶχαν ἀνάμεσά τους αὐτούς καί ἀποροῦσαν καί ἔλεγαν, «τί θά κάνουμε στούς ἀνθρώπους αὐτούς;»[6]. Τό πιό θαυμαστό δηλαδή εἶναι αὐτό, ὅτι δηλαδή ἄν καί τούς κρατοῦσαν καί τούς θεωροῦσαν ἔνοχους καί τούς φυλάκιζαν καί τούς κτυποῦσαν, ἀποροῦσαν καί βρίσκονταν σέ ἀμηχανία, καί νικοῦνταν μέ αὐτά τά ἴδια, μέ τά ὁποῖα περίμεναν νά νικήσουν. Καί οὔτε τύραννοι, οὔτε πλήθη ἀνθρώπων, οὔτε φάλλαγες δαιμόνων, οὔτε ὁ ἴδιος ὁ διάβολος κατόρθωσε νά νικήσει αὐτούς, ἀλλ' ἀπό τήν πολλή δύναμη νικοῦνταν ὅλοι, βλέποντας, ἐκεῖνα πού ἐπινοοῦσαν ἐναντίον τους, νά γίνονται ὅλα ἐναντίον τους. Γι' αὐτό καί ἔλεγε, «ὑπερνικοῦμε». Γιατί ἦταν καινούριος αὐτός· ὁ νόμος τῆς νίκης, τό νά νικοῦν μέ τά ἀντίθετα καί ποτέ νά μή νικοῦνται, ἀλλά σάν νά ἦταν αὐτοί κύριοι τοῦ τέλους, ἔτσι νά βαδίζουν στούς ἀγῶνες αὐτούς.

5. «Γιατί πιστεύω ἀπόλυτα ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχές, οὔτε δυνάμεις, οὔτε τά παρόντα, οὔτε τά μελλοντικά, οὔτε ὕψος, οὔτε βάθος, οὔτε καμιά ἄλλη κτίση θά μπορέσει νά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Θεοῦ, τήν ὁποία μᾶς ἔδειξε μέ τόν Ἰησοῦ Χριστό τόν Κύριό μας». Εἶναι μεγάλα τά λόγια αὐτά, ἀλλά δέν τά γνωρίζουμε, ἐπειδή δέν ἔχουμε τόσο μεγάλη ἀγάπη. Ἀλλ' ὅμως, ἄν καί εἶναι μεγάλα, ἐπειδή ἤθελε ν' ἀποδείξει πώς δέν εἶναι τίποτε σέ σύγκριση πρός τήν ἀγάπη, μέ τήν ἀγάπη πού τόν

νην τότε τὴν αὐτοῦ τίθησιν, ἵνα μὴ δόξῃ μεγάλα λέγειν περὶ αὐτοῦ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τί δεῖ, φησί, τὰ παρόντα λέγειν καὶ τὰ τῷ βίῳ τούτῳ συγκεκληρωμένα δεινά; Κἂν γὰρ τὰ μέλλοντα εἴπῃ τις, καὶ πράγματα καὶ δυνάμεις, πράγματα μὲν ὡς θάνατον καὶ ζωήν, δυνάμεις δὲ ὡς ἀγγέλους καὶ ἀρχαγγέλους καὶ πᾶσαν τὴν ἄνω κτίσιν, καὶ ταῦτα ἐμοὶ μικρὰ πρὸς τὴν ἀγάπην τοῦ Χριστοῦ. Οὔτε γάρ, εἰ θάνατόν τις ἠπείλει, τὸν μέλλοντα, τὸν ἀθάνατον, ὥστε ἀποστῆναι τοῦ Χριστοῦ, οὔτε εἰ ζωὴν ἐπηγγέλλετο τὴν ἄπειρον, κατεδεξάμην ἄν.

Τί δεῖ λέγειν βασιλεῖς τοὺς κάτω καὶ ὑπάτους, καὶ τὸν δεῖνα καὶ τὸν δεῖνα; Κἂν γὰρ ἀγγέλους μοι εἴπῃς, κἂν πάσας τὰς ἄνω δυνάμεις, κἂν πάντα τὰ ὄντα, κἂν πάντα τὰ μέλλοντα, πάντα ἐμοὶ μικρά, καὶ τὰ ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ὑπὸ γῆν, καὶ τὰ ὑπὲρ οὐρανούς, πρὸς τὸ φίλτρον ἐκεῖνο. Εἶτα, ὡς οὐκ ἀρκούντων τούτων παραστῆσαι τὸν πόθον, ὃν εἶχεν, ἕτερα τοσαῦτα πάλιν ὑποστησάμενος φησίν, «οὔτε τις κτίσις ἑτέρα». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ καὶ ἄλλη τοσαύτη κτίσις ἦν, ὅση ἡ ὁρωμένη, ὅση ἡ νοητή, οὐδὲν ἄν με τῆς ἀγάπης ἐκείνης ἀπέστησε. Ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς τῶν ἀγγέλων τοῦτο ἐπιχειρούντων, ἢ τῶν ἄλλων δυνάμεων, μὴ γένοιτο, ἀλλὰ μεθ' ὑπερβολῆς ἁπάσης τὸ φίλτρον, ὃ περὶ τὸν Χριστὸν εἶχεν, ἐπιδεῖξαι βουλόμενος. Οὐ γὰρ τὸν Χριστὸν ἐφίλει διὰ τὰ τοῦ Χριστοῦ, ἀλλὰ δι' αὐτὸν τὰ ἐκείνου, καὶ πρὸς αὐτὸν ἑώρα μόνον, καὶ ἓν ἐδεδοίκει, τὸ μὴ τῆς ἀγάπης ἐκπεσεῖν τῆς πρὸς ἐκεῖνον. Τοῦτο γὰρ αὐτῷ καὶ γεέννης φοβερώτερον ἦν, ὥσπερ καὶ τὸ μένειν ἐν αὐτῇ βασιλείας ποθεινότερον.

6. *Τίνος οὖν ἂν εἴημεν ἄξιοι λοιπὸν ἡμεῖς, ὅταν ἐκεῖνος μὲν μηδὲ τὰ ἐν τοῖς οὐρανοῖς θαυμάζῃ πρὸς τὸν τοῦ Χριστοῦ πόθον, ἡμεῖς δὲ τὰ ἐν τῷ βορβόρῳ καὶ τῷ πηλῷ τοῦ Χριστοῦ προτιμῶμεν; κἀκεῖνος μὲν διὰ τὸν πόθον αὐτοῦ καὶ εἰς γέενναν καταδέχηται ἐμπεσεῖν καὶ βασιλείας ἐκπεσεῖν, εἴγε ἀμφότερα ταῦτα προύκειτο· ἡμεῖς δὲ μηδὲ τοῦ παρόντος καταφρονῶμεν βίου; Ἆρα ἄξιοι τῶν*

ἀγάπησε ὁ Θεός, ἀφοῦ ἀνέφερε αὐτήν τήν ἀγάπη, τότε ἀναφέρει τή δική του, γιά νά μή φανεῖ ὅτι λέγει μεγάλα γιά τόν ἑαυτό του. Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· τί χρειάζεται, λέγει, νά πῶ τά παρόντα καί τά δεινά πού εἶναι ἑνωμένα μέ τή ζωή αὐτή; Γιατί, καί ἄν ἀκόμη πεῖ κανείς τά μελλοντικά, καί πράγματα καί δυνάμεις, πράγματα βέβαια σάν τό θάνατο καί τή ζωή, ἐνῶ δυνάμεις σάν τούς ἀγγέλους καί ἀρχαγγέλους καί ὅλη τήν οὐράνια κτίση, καί αὐτά γιά μένα εἶναι μικρά σέ σύγκριση πρός τήν ἀγάπη τοῦ Χριστοῦ. Οὔτε βέβαια ἄν μέ ἀπειλοῦσε κανείς μέ θάνατο, μέ ἐκεῖνον τό μελλοντικό, τόν ἀθάνατο, ὥστε νά μέ ἀπομακρύνει ἀπό τό Χριστό, οὔτε ἄν ὑποσχόταν τήν ἄπειρη ζωή, θά δεχόμουν.

Γιατί πρέπει ν' ἀναφέρω τούς βασιλεῖς τῆς γῆς καί τούς ὑπάτους, καί τόν τάδε καί τόν τάδε; Γιατί, καί ἄν ἀκόμη μοῦ πεῖς τούς ἀγγέλους, ἤ ὅλες τίς οὐράνιες δυνάμεις, ἤ ὅλα τά ὄντα, ἤ ὅλα τά μελλοντικά, ὅλα γιά μένα εἶναι μικρά, καί αὐτά πού βρίσκονται στή γῆ, καί αὐτά πού βρίσκονται στούς οὐρανούς, καί αὐτά πού εἶναι κάτω ἀπό τή γῆ, καί αὐτά πού ὑπάρχουν ἐπάνω ἀπό τούς οὐρανούς, σέ σύγκριση πρός τήν ἀγάπη ἐκείνη. Ἔπειτα, σάν νά μήν ἔφθαναν αὐτά νά παραστήσουν τόν πόθο πού εἶχε, ἄλλα τόσα πάλι ἀφοῦ θεώρησε σάν δεδομένα λέγει, «οὔτε κάποια ἄλλη κτίση». Ἐκεῖνο δηλαδή πού λέγει, σημαίνει τό ἑξῆς· ἐάν ὑπῆρχε καί μία ἄλλη τόση κτίση, ὅση εἶναι ἡ ορατή, ὅση εἶναι ἡ ἀόρατη, τίποτε δέ θά μέ ἀπομάκρυνε ἀπό τήν ἀγάπη ἐκείνη. Καί τά ἔλεγε αὐτά, ὄχι ἐπειδή οἱ ἄγγελοι τό ἐπιχειροῦν αὐτό, ἤ οἱ ἄλλες δυνάμεις, μακριά μιά τέτοια σκέψη, ἀλλ' ἐπειδή ἤθελε νά φανερώσει μέ κάθε ὑπερβολή τήν ἀγάπη πού εἶχε γιά τό Χριστό. Γιατί δέν ἀγαποῦσε τό Χριστό γι' αὐτά πού ἦταν τοῦ Χριστοῦ, ἀλλά γι' αὐτόν ἀγαποῦσε τά δικά του, καί σ' αὐτόν ἔβλεπε μόνο, καί ἕνα φοβόταν, τό νά μή χάσει τήν ἀγάπη πού εἶχε γι' αὐτόν. Γιατί τοῦτο ἦταν γι' αὐτόν πιό φοβερό καί ἀπό τή γέεννα, ὅπως ἀκριβῶς καί τό νά παραμένει σ' αὐτή τήν ἀγάπη τοῦ ἦταν πιό ποθητό ἀπό τή βασιλεία τῶν οὐρανῶν.

6. Γιά τί λοιπόν μπορεῖ νά εἴμαστε ἄξιοι πλέον ἐμεῖς, ὅταν ἐκεῖνος δέ θαυμάζει οὔτε αὐτά πού βρίσκονται στούς οὐρανούς μπροστά στόν πόθο γιά τό Χριστό, ἐνῶ ἐμεῖς ἀντί γιά τό Χριστό προτιμοῦμε αὐτά πού βρίσκονται μέσα στό βοῦρκο καί τή λάσπη; Καί ἐκεῖνος βέβαια γιά τόν πόθο του δέχεται νά πέσει καί στή γέεννα, καί τή

γοῦν ὑποδημάτων ἐσμὲν λοιπὸν τῶν ἐκείνου, τοσοῦτον ἀφεστηκότες αὐτοῦ τῆς μεγαλονοίας; Ἐκεῖνος μὲν γὰρ οὐδὲ βασιλείαν ἡγεῖταί τι διὰ τὸν Χριστὸν εἶναι, ἡμεῖς δὲ αὐτοῦ μὲν καταφρονοῦμεν, τῶν δὲ αὐτοῦ πολὺν ποιούμεθα λόγον. Καὶ εἴθε κἂν τῶν αὐτοῦ· νῦν δὲ οὐδὲ τοῦτο, ἀλλὰ καὶ βασιλείας ἡμῖν προτεινομένης, ἐκείνην ἀφέντες, τὰς σκιὰς καὶ τὰ ὀνείρατα καθ' ἑκάστην διώκομεν τὴν ἡμέραν. Καίτοιγε ὁ Θεὸς φιλάνθρωπος ὢν καὶ σφόδρα ἥμερος, ταὐτὸν ἐποίησεν, οἷον ἂν εἰ πατὴρ φιλόπαις, τοῦ παιδὸς δυσχεραίνοντος τὴν διηνεκῆ πρὸς αὐτὸν ὁμιλίαν, ἑτέρως ταύτην σοφίσαιτο. Ἐπειδὴ γὰρ αὐτοῦ πόθον οὐκ ἔχομεν τὸν προσήκοντα, πολλὰ ἕτερα ἡμῖν προβάλλεται, ὥστε ἡμᾶς κατασχεῖν πρὸς ἑαυτόν· καὶ οὐδὲ οὕτω παραμένομεν, ἀλλ' ἀποπηδῶμεν πρὸς τὰ παιδικὰ ἀθύρματα.

Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ὥσπερ τις εὐγενὴς παῖς καὶ ἐλεύθερος καὶ φιλοπάτωρ, τὴν συνουσίαν τοῦ πατρὸς ἐπιζητεῖ μόνον, τῶν δὲ ἄλλων οὐ τοσοῦτον ποιεῖται λόγον· μᾶλλον δέ, πολλῷ πλέον ἢ παῖς. Οὐ γὰρ ὁμοῦ καὶ τὸν Πατέρα καὶ τὰ αὐτοῦ τιμᾷ, ἀλλ' ὅταν ἴδῃ πρὸς τὸν Πατέρα, οὐδὲν ἐκεῖνα ἡγεῖται, ἀλλ' ἕλοιτο ἂν καὶ μαστιζόμενος καὶ κολαζόμενος εἶναι μετ' αὐτοῦ, ἢ χωριζόμενος αὐτοῦ τρυφᾶν. Φρίξωμεν τοίνυν ὅσοι μηδὲ χρημάτων διὰ τὸν Χριστὸν καταφρονοῦμεν· μᾶλλον δέ, ὅσοι μηδὲ χρημάτων δι' ἡμᾶς αὐτοὺς καταφρονοῦμεν. Παῦλος γὰρ μόνος ἦν ὁ διὰ τὸν Χριστὸν γνησίως ἅπαντα πάσχων, οὐ διὰ βασιλείαν, οὐδὲ διὰ τὴν αὐτοῦ τιμήν, ἀλλὰ διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν. Ἡμᾶς δὲ οὔτε ὁ Χριστός, οὔτε τὰ τοῦ Χριστοῦ, τῶν βιωτικῶν ἀφέλκει πραγμάτων, ἀλλ' ὥσπερ ὄφεις ἢ ἔχεις ἢ χοῖροι, ἢ καὶ πάντα ταῦτα ὁμοῦ, οὕτως ἐν τῇ ἰλύϊ συρόμεθα. Τί γὰρ τῶν θηρίων ἐκείνων ἡμεῖς ἀμείνους, οἱ τοσαῦτα καὶ τηλικαῦτα ἔχοντες παραδείγματα, καὶ ἔτι κάτω νεύοντες, καὶ μηδὲ μικρὸν ἀναβλέψαι πρὸς τὸν οὐρανὸν ἀνεχόμενοι; Ἀλλ' ὁ μὲν Θεὸς καὶ τὸν Υἱὸν ἐξέδωκε, σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως αὐτῷ τῷ διὰ

βασιλεία νά χάσει, ἄν καί βέβαια καί τά δύο αὐτά ἦταν μπροστά του, ἐνῶ ἐμεῖς δέν περιφρονοῦμε οὔτε τήν παρούσα ζωή; Ἄραγε λοιπόν εἴμαστε πλέον ἄξιοι τῶν ὑποδημάτων ἐκείνου, ἀφοῦ ἀπέχουμε τόσο πολύ ἀπό τή μεγαλοφροσύνη του; Γιατί ἐκεῖνος οὔτε τή βασιλεία τῶν οὐρανῶν θεωρεῖ πώς εἶναι κάτι γιά χάρη τοῦ Χριστοῦ, ἐμεῖς ὅμως περιφρονοῦμε αὐτόν, ἐνῶ κάνουμε πολύ λόγο γιά τά δικά του. Καί μακάρι νά ἦταν γιά τά δικά του· τώρα ὅμως οὔτε αὐτό γίνεται, ἀλλά παρ' ὅλο πού καί ἡ βασιλεία βρίσκεται μπροστά μας, ἀφοῦ τήν ἐγκαταλείψαμε, κυνηγοῦμε καθημερινά τίς σκιές καί τά ὄνειρα. Ὁ Θεός βέβαια, ἐπειδή εἶναι φιλάνθρωπος καί παρά πολύ πράος, ἔκαμε τό ἴδιο ἐκεῖνο πού θά ἔκαμνε ἕνας πατέρας πού ἀγαπάει τό παιδί του, ἐάν αὐτό δυσανασχετοῦσε γιά τή διαρκή συναναστροφή μαζί του, καί σοφιζόταν διαφορετικά αὐτήν τήν συναναστροφή. Ἐπειδή λοιπόν δέν ἔχουμε γι' αὐτόν τό πόθο πού πρέπει, μᾶς παρουσιάζει πολλά ἄλλα, ὥστε νά μᾶς κρατήσει κοντά του· καί οὔτε ἔτσι παραμένουμε, ἀλλά ἐπιστρέφουμε στά παιδικά παιχνίδια.

Ὁ Παῦλος ὅμως δέν κάνει τό ἴδιο, ἀλλά σάν κάποιο εὐγενικό παιδί καί ἐλεύθερο καί πού ἀγαπάει τόν πατέρα του, ἐπιζητεῖ τή συναναστροφή τοῦ πατέρα μόνο, ἐνῶ γιά τά ἄλλα δέν κάνει τόσο λόγο· ἤ καλύτερα, πολύ περισσότερο παρά ὅπως τό παιδί. Γιατί δέν τιμάει μαζί καί τόν πατέρα καί τά δικά του, ἀλλ' ὅταν δεῖ πρός τόν πατέρα, δέν τά ὑπολογίζει καθόλου ἐκεῖνα, ἀλλά θά προτιμοῦσε νά εἶναι μαζί του, ἔστω καί ἄν μαστιγωνόταν καί τιμωροῦνταν, παρά νά καλοπερνάει μακριά ἀπ' αὐτόν. Ἄς φρίξουμε λοιπόν ὅσοι γιά χάρη τοῦ Χριστοῦ δέν περιφρονοῦμε οὔτε τά χρήματα, ἤ καλύτερα, ὅσοι δέν περιφρονοῦμε τά χρήματα γιά μᾶς τούς ἴδιους. Γιατί ὁ Παῦλος ἦταν ὁ μόνος πού ἔπασχε ὅλα γνήσια γιά τό Χριστό, ὄχι γιά τή βασιλεία, οὔτε γιά τήν τιμή του, ἀλλά γιά τήν ἀγάπη πρός ἐκεῖνον. Ἐμᾶς ὅμως οὔτε ὁ Χριστός, οὔτε ὅσα ἀνήκουν στό Χριστό μᾶς ἀποσποῦν ἀπό τά βιωτικά πράγματα, ἀλλά σάν φίδια ἤ ὀχιές ἤ χοῖροι, ἤ καί ὅλα αὐτά μαζί, ἔτσι συρόμαστε στή λάσπη. Σέ τί λοιπόν ἐμεῖς εἴμαστε καλύτεροι ἀπό τά ζῶα ἐκεῖνα, ἐμεῖς πού ἔχουμε τόσο πολλά καί τόσο μεγάλα παραδείγματα, καί πού ἀκόμη βλέπουμε κάτω, καί πού δέν ἀνεχόμαστε ν' ἀναβλέψουμε λίγο πρός τόν οὐρανό; Καί ὁ Θεός βέβαια καί τόν Υἱό του παρέδωσε σέ θάνατο, ἐσύ ὅμως οὔτε ψωμί δίνεις σ' αὐτόν πού παραδόθηκε γιά σένα, πού θυσιάστηκε γιά

σὲ ἐκδοθέντι, τῷ διὰ σὲ σφαγέντι. Ὁ Πατὴρ διὰ σὲ αὐτοῦ οὐκ ἐφείσατο, καὶ ταῦτα γνησίου ὄντος παιδός, σὺ δὲ αὐτὸν καὶ λιμῷ τηκόμενον περιορᾷς, καὶ ταῦτα ἀπὸ τῶν αὐτοῦ μέλλων ἀναλίσκειν, καὶ διὰ σαυτὸν ἀναλίσκειν.

Τί ταύτης τῆς παρανομίας χεῖρον γένοιτ' ἄν; Ἐξεδόθη διὰ σέ, ἐσφάγη διὰ σέ, περιέρχεται πεινῶν διὰ σέ, ἐκ τῶν αὐτοῦ δίδως ἵνα αὐτὸς ὠφεληθῇς, καὶ οὐδὲ οὕτω δίδως. Ποίων οὐκ ἂν εἶεν ἀναισθητότεροι λίθων, οἱ τοσούτων αὐτοὺς ἑλκόντων πραγμάτων, ἐπὶ τῆς διαβολικῆς ταύτης μένοντες ὠμότητος; Οὐδὲ γὰρ ἠρκέσθη τῷ θανάτῳ καὶ τῷ σταυρῷ μόνον, ἀλλὰ καὶ πένης γενέσθαι κατεδέξατο, καὶ ξένος καὶ ἀλήτης καὶ γυμνός, καὶ εἰς δεσμωτήριον ἐμπεσεῖν, καὶ ἀρρωστίαν ὑπομεῖναι, ἵνα κἂν οὕτω σε ἐκκαλέσηται. Εἰ γὰρ μὴ ἀμείβῃ με, φησίν, ὡς ὑπὲρ σοῦ τι παθόντα, διὰ τὴν πενίαν ἐλέησον. Εἰ δὲ μὴ βούλει διὰ τὴν πενίαν ἐλεῆσαι, διὰ τὴν νόσον ἐπικάμφθητι, διὰ τὸ δεσμωτήριον ἐπικλάσθητι. Εἰ δὲ μηδὲ ταῦτά σε ποιεῖ φιλάνθρωπον, διὰ τὸ κοῦφον τῆς αἰτήσεως ἐπίνευσον. Οὐδὲν γὰρ αἰτῶ πολυτελές, ἀλλὰ ἄρτον καὶ στέγην καὶ ῥημάτων παράκλησιν. Εἰ δὲ καὶ μετὰ ταῦτα ἔτι μένεις ἄγριος ὤν, κἂν διὰ τὴν βασιλείαν γενοῦ βελτίων, κἂν διὰ τὰ ἔπαθλα ἃ ὑπεσχόμην. Ἀλλ' οὐδὲ ἐκείνων σοί ἐστί τις λόγος; Κἂν πρὸς τὴν φύσιν αὐτὴν ἐπικλάσθητι, γυμνὸν ὁρῶν, καὶ τῆς γυμνότητος ἀναμνήσθητι ἐκείνης, ἣν ἐγυμνώθην ἐπὶ τοῦ σταυροῦ διὰ σέ. Εἰ δὲ ἐκείνης οὐ βούλει, κἂν ταύτης, ἣν διὰ τῶν πενήτων γυμνοῦμαι. Ἐδέθην τότε διὰ σέ, ἀλλὰ καὶ νῦν διὰ σέ, ἵνα εἴτε ἐντεῦθεν, εἴτε ἐκεῖθεν προαχθείς, βουληθῇς ποιῆσαί τινα ἔλεον.

Ἐνήστευσα διὰ σέ, πάλιν πεινῶ διὰ σέ· ἐδίψησα κρεμάμενος ἐπὶ τοῦ σταυροῦ, διψῶ καὶ διὰ τῶν πενήτων, ἵνα καὶ ἐξ ἐκείνων καὶ ἐκ τούτων ἐπισπάσωμαί σε πρὸς ἐμαυτόν, καὶ ποιήσω φιλάνθρωπον ἐπὶ σωτηρίᾳ τῇ σῇ. Διὰ τοῦτο καὶ μυρίων ὀφείλοντά σε εὐεργετημάτων ἀμοιβὴν ἐμοί, οὐχ ὡς ὀφείλοντα ἀπαιτῶ, ἀλλ' ὡς χαριζόμενον στεφανῶ, καὶ βασιλείαν δωροῦμαι ἀντὶ τῶν μικρῶν τούτων. Οὐδὲ γὰρ λέγω, λῦσόν μοι τὴν πενίαν, οὐδέ, χάρισαί μοι

σένα. Ὁ Πατέρας δέν τόν λυπήθηκε γιά σένα, καί αὐτό ἐνῶ ἦταν γνήσιος Υἱός, σύ ὅμως τόν περιφρονεῖς, ἄν καί λειώνει ἀπό τήν πείνα, καί αὐτό ἐνῶ πρόκειται νά ξοδέψεις ἀπό τά δικά του καί νά ξοδέψεις γιά τόν ἑαυτό σου.

Τί μπορεῖ νά ὑπάρξει χειρότερο ἀπό τήν παρανομία αὐτή; Παραδόθηκε γιά σένα, θυσιάσθηκε γιά σένα, τριγυρίζει πεινασμένος γιά σένα, ἀπό τά δικά του δίνεις γιά νά ὠφεληθεῖς ὁ ἴδιος, καί οὔτε ἔτσι δίνεις. Ἀπό ποιές πέτρες δέν εἶναι περισσότερο ἀναίσθητοι, ἐκεῖνοι πού, μολονότι τόσα πράγματα τούς τραβοῦν, παραμένουν στή διαβολική αὐτή σκληρότητα; Γιατί δέν ἀρκέσθηκε στό θάνατο καί στό σταυρό του μόνο, ἀλλά καταδέχθηκε νά γίνει καί φτωχός καί ξένος καί περιπλανώμενος καί γυμνός, καί στή φυλακή νά ριφθεῖ, καί ἀρρώστια νά ὑπομείνει, γιά νά σέ φέρει κοντά του τουλάχιστο ἔστω καί ἔτσι. Γιατί, ἄν δέ μέ ἀνταμείβεις, λέγει, ἐπειδή ἔπαθα κάτι γιά χάρη σου, δός μου ἐλεημοσύνη γιά τή φτώχεια μου. Ἐάν ὅμως δέ θέλεις νά μέ ἐλεήσεις γιά τή φτώχεια μου, συγκινήσου γιά τήν ἀρρώστια μου, μαλάκωσε γιά τή φυλακή μου. Καί ἄν οὔτε αὐτά σέ κάνουν φιλάνθρωπο, συναίνεσε γιά τό ἀσήμαντο τῆς αἴτησης. Γιατί δέ ζητῶ τίποτε πολυδάπανο, ἀλλά ψωμί καί στέγη καί παρηγοριά λόγων. Ἐάν ὅμως καί ὕστερα ἀπ' αὐτά παραμένεις ἀκόμη ἄγριος, τουλάχιστο γιά τή βασιλεία τῶν οὐρανῶν νά γίνεις καλύτερος, τουλάχιστο γιά τά βραβεῖα πού ὑποσχέθηκα. Ἀλλ' οὔτε ἐξ αἰτίας ἐκείνων ὑπάρχει σέ σένα κάποιος λόγος; Τουλάχιστο μαλάκωσε μπροστά στήν ἴδια τή φύση, ἐπειδή μέ βλέπεις γυμνό, καί θυμήσου τή γύμνια ἐκείνη, πού γυμνώθηκα πάνω στό σταυρό γιά σένα. Καί ἄν δέ θέλεις νά θυμηθεῖς ἐκείνη, τουλάχιστο θυμήσου αὐτήν, πού γυμνώνομαι μέ τούς φτωχούς. Φυλακίσθηκα τότε γιά σένα, ἀλλά καί τώρα γιά σένα, ὥστε, παρακινούμενος εἴτε ἀπό ἐδῶ εἴτε ἀπό ἐκεῖ, νά θελήσεις νά κάμεις κάποια ἐλεημοσύνη.

Νήστεψα γιά σένα, πάλι πεινῶ γιά σένα. Δίψασα ὅταν κρεμάστηκα στό σταυρό, διψῶ καί μέ τούς φτωχούς, ὥστε καί ἀπό ἐκεῖνα καί ἀπ' αὐτά νά σέ προσελκύσω κοντά μου, καί νά σέ κάμω φιλάνθρωπο γιά τή δική σου σωτηρία. Γι' αὐτό, ἄν καί μοῦ ὀφείλεις ἀμοιβή γιά ἄπειρες εὐεργεσίες, δέν τήν ἀπαιτῶ σάν νά μοῦ ὀφείλεις, ἀλλά σέ στεφανώνω σάν νά μοῦ χάριζες, καί σοῦ δωρίζω τή βασιλεία ἕνατι τῶν μικρῶν αὐτῶν. Γιατί δέ λέγω, κατάργησε τή φτώχεια

πλοῦτον, κάτοιγε ἐπτώχευσα διὰ σέ, ἀλλ' ὅμως ἄρτον αἰτῶ καὶ ἱμάτιον καὶ λιμοῦ παραμυθίαν μικράν. Κἂν εἰς δεσμωτήριον ἐμπέσω, οὐκ ἀναγκάζω τὰ δεσμὰ λῦσαι καὶ ἐβαλεῖν, ἀλλ' ἓν ἐπιζητῶ μόνον, ἵνα ἴδῃς δεδεμένον διὰ σέ, καὶ ἀρκοῦσαν ἔλαβον χάριν, καὶ ὑπὲρ τούτου μόνου τὸν οὐρανόν σοι χαρίζομαι. Καίτοι γε ἐγὼ χαλεπωτάτων σε ἔλυσα δεσμῶν, ἀλλ' ἐμοὶ μόνον ἀρκεῖ, ἂν βουληθῇς ἰδεῖν με δεδεμένον. Δύναμαι μὲν γὰρ καὶ χωρὶς τούτων στεφανοῦν, βούλομαι δέ σοι καὶ ὀφειλέτης εἶναι, ἵνα φέρῃ σοί τινα καὶ παρρησίαν ὁ στέφανος. Διὰ τοῦτο καὶ δυνάμενος ἐμαυτὸν θρέψαι, περιέρχομαι προσαιτῶν, καὶ ταῖς θύραις σου παριστάμενος προτείνω χεῖρα. Παρὰ σοῦ γὰρ τραφῆναι ἐπιθυμῶ· φιλῶ γάρ σε σφόδρα· διὸ καὶ τῆς τραπέζης ἐρῶ τῆς σῆς, ὃ τοῖς φιλοῦσιν ἔθος ἐστί, καὶ ἐγκαλλωπίζομαι τούτῳ, καὶ τοῦ θεάτρου παρόντος τῆς οἰκουμένης, ἀνακηρύττω σε τότε, καὶ πάντων ἀκουόντων, ἐνδείκνυμαι τὸν τροφέα τὸν ἐμόν.

Καίτοι γε ἡμεῖς ὅταν παρά τινος τραφῶμεν, αἰσχυνόμεθα τοῦτο καὶ συσκιάζομεν· αὐτὸς δὲ ἐπειδὴ σφόδρα ἡμᾶς φιλεῖ, κἂν ἡμεῖς σιγῶμεν, ἀναγορεύει τότε τὸ γεγενημένον μετὰ πολλῶν τῶν ἐγκωμίων, καὶ οὐκ αἰσχύνεται εἰπεῖν, ὅτι καὶ γυμνὸν ὄντα αὐτὸν περιεβάλομεν, καὶ πεινῶντα ἐθρέψαμεν. Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, μὴ μέχρι τῶν ἐπαίνων στῶμεν μόνον, ἀλλὰ καὶ ἐπιτελέσωμεν τὰ εἰρημένα. Τί γὰρ ὄφελος τῶν κρότων καὶ τῶν θορύβων τούτων; Ἓν ζητῶ παρ' ὑμῶν μόνον, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν, τὴν διὰ τῶν πραγμάτων ὑπακοήν· τοῦτο ἔπαινος ἐμός, τοῦτο κέρδος ὑμέτερον, τοῦτο διαδήματός μοι λαμπρότερον. Τοῦτον τοίνυν ἀπελθόντες καὶ ὑμῖν καὶ ἐμοὶ κατασκευάσατε τὸν στέφανον διὰ τῆς τῶν πενήτων χειρός, ἵνα καὶ κατὰ τὸν παρόντα βίον χρηστῇ συντραφῶμεν ἐλπίδι, καὶ πρὸς τὴν μέλλουσαν ἀπελθόντες ζωήν, τῶν μυρίων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μου, οὔτε, χάρισέ μου πλοῦτο, παρ' ὅλο βέβαια πού ἔγινα φτωχός γιά σένα, ἀλλὰ ζητῶ μόνο ψωμί καί ροῦχο καί μικρή ἀνακούφιση τῆς πείνας. Καί ἄν ἀκόμη ριφθῶ στή φυλακή, δέ σέ ἀναγκάζω νά λύσεις τά δεσμά καί νά μέ βγάλεις ἔξω, ἀλλ' ἕνα μόνο ἐπιζητῶ, νά μέ δεῖς δεμένο γιά σένα, καί ἔλαβα ἱκανοποιητική ἀνταμοιβή, καί τότε γι' αὐτό μόνο σοῦ χαρίζω τόν οὐρανό. Μολονότι βέβαια ἐγώ σέ ἔλυσα ἀπό τά πιό φοβερά δεσμά, ἀλλά σέ μένα εἶναι ἀρκετό μόνο, ἄν θελήσεις νά μέ δεῖς δεμένο. Γιατί μπορῶ καί χωρίς αὐτά νά σέ στεφανώνω, θέλω ὅμως νά εἶμαι καί ὀφειλέτης σέ σένα, γιά νά σοῦ φέρει καί κάποια παρρησία τό στεφάνι. Γι' αὐτό καί παρ' ὅλο πού μπορῶ νά θρέψω τόν ἑαυτό μου τριγυρίζω ἐπαιτώντας, καί ἐμφανίζομαι στήν πόρτα σου ἀπλώνοντας τό χέρι. Γιατί ἐπιθυμῶ νά τραφῶ ἀπό σένα, ἐπειδή σ' ἀγαπῶ πάρα πολύ. Γι' αὐτό καί τό δικό σου τραπέζι ἐπιθυμῶ, πράγμα πού εἶναι σύνηθες σ' ἐκείνους πού ἀγαποῦν, καί καμαρώνω γι' αὐτό, καί ὅταν εἶναι παρόντες οἱ κάτοικοι τῆς οἰκουμένης, τότε σέ ἀναγνωρίζω σάν νικητή, καί ὅταν ὅλοι ἀκοῦν, παρουσιάζω ἐκεῖνον πού μέ ἔθρεψε.

Καί πραγματικά ἐμεῖς, ὅταν μᾶς θρέψει κάποιος, ντρεπόμαστε γι' αὐτό καί τό καλύπτουμε, αὐτός ὅμως, ἐπειδή μᾶς ἀγαπάει πάρα πολύ, καί ἄν ἀκόμη ἐμεῖς σιωποῦμε, ἀνακηρύσσει τότε αὐτό πού ἔγινε μέ πολλούς ἐπαίνους, καί δέν ντρέπεται νά πεῖ, ὅτι καί ὅταν ἦταν γυμνός τόν ντύσαμε, καί ὅταν πεινοῦσε τόν θρέψαμε. Σκεπτόμενοι λοιπόν ὅλα αὐτά, ἄς μή σταθοῦμε μόνο μέχρι τούς ἐπαίνους, ἀλλά καί ἄς ἐκτελέσουμε αὐτά πού λέχθηκαν. Γιατί ποιό εἶναι τό ὄφελος ἀπό τούς κρότους καί τούς θορύβους αὐτούς; Ἕνα πράγμα μόνο ζητῶ ἀπό σᾶς, τήν ἀπόδειξη μέ τά ἔργα, τήν ὑπακοή μέ τίς πράξεις. Αὐτό εἶναι δικός μου ἔπαινος, αὐτό κέρδος δικό σας, αὐτό μοῦ εἶναι πιό λαμπρό ἀπό στέμμα. Αὐτό λοιπόν τό στεφάνι, ὅταν φύγετε, πλέξετε γιά σᾶς καί γιά μένα μέ τό χέρι τῶν φτωχῶν, ὥστε καί στήν παρούσα ζωή νά τραφοῦμε μαζί μέ τήν ἀγαθή ἐλπίδα, καί, ὅταν φύγουμε γιά τή μέλλουσα ζωή, νά ἐπιτύχουμε τά ἄπειρα ἀγαθά, τά ὁποῖα εὔχομαι νά ἐπιτύχουμε ὅλοι μας, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΖ'

(Ρωμ. 9,1-33)

«Ἀλήθειαν λέγων ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι ἁγίῳ».

1. Ἆρα οὐ μεγάλα τινὰ καὶ ὑπερφυῆ τῇ προτεραίᾳ περὶ τῆς τοῦ Παύλου περὶ τὸν Χριστὸν ἀγάπης ἐδόκουν ὑμῖν εἰρηκέναι; Καὶ γὰρ ἦν φύσει μεγάλα, καὶ πάντα ὑπερβαίνοντα λόγον· ἀλλ' ὅμως τὰ σήμερον λεχθέντα τοσαύτην ἔχει τὴν ὑπερβολὴν πρὸς ἐκεῖνα, ὅσην ἐκεῖνα πρὸς τὰ ἡμέτερα. Καίτοι γε οὐκ ᾤμην αὐτὰ ἔχειν ὑπερβολήν, ἀλλ' ὅμως ἐπελθόντι τὰ σήμερον ἡμῖν ἀναγνωσθέντα πολὺ πάντων ἐκείνων ἐφάνη λαμπρότερα. Ὅπερ οὖν καὶ αὐτὸς συνιδών, ἀπὸ τῶν προοιμίων αὐτὸ ἐνέφηνεν. Ἅτε γὰρ εἰς μείζονα ἐμβαίνειν μέλλων, καὶ ἀπιστεῖσθαι παρὰ τῶν πολλῶν, πρότερον διαβεβαιοῦται περὶ ὧν μέλλει λέγειν· ὅπερ πολλοῖς ἔθος ποιεῖν, ὅταν μέλλωσί τι λέγειν παρὰ τοῖς πολλοῖς ἀπιστούμενον, καὶ ὑπὲρ οὗ σφόδρα εἰσὶν ἑαυτοὺς πεπεικότες. Καὶ γὰρ «Ἀλήθειαν λέγω», φησίν, «καὶ οὐ ψεύδομαι, καὶ ἡ συνείδησίς μοι μαρτυρεῖ, ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ».

Τί λέγεις, ὦ Παῦλε; Ἀπὸ τοῦ Χριστοῦ, τοῦ ποθουμένου, οὗ μήτε βασιλεία σε, μήτε γέεννα ἐχώριζε, μήτε τὰ ὁρώμενα, μήτε τὰ νοούμενα, μήτε ἄλλα τοσαῦτα, ἀπὸ τούτου νῦν εὔχῃ ἀνάθεμα εἶναι; Τί γέγονε; μὴ μεταβέβλησαι καὶ κατέλυσας τὸν πόθον ἐκεῖνον; Οὐχί, φησί, μὴ δείσῃς· καὶ γὰρ καὶ ἐπέτεινα μᾶλλον αὐτόν. Πῶς οὖν εὔχῃ ἀνάθεμα εἶναι, καὶ ἀλλοτρίωσιν ζητεῖς, καὶ χωρισμὸν

ΟΜΙΛΙΑ ΙΖ'

(Ρωμ. 9,1-33)

«Τήν ἀλήθεια λέγω ἐνώπιον τοῦ Χριστοῦ, δέ λέγω ψέματα· μέ βεβαιώνει καί ἡ συνείδησή μου πού φωτίζεται ἀπό τό ἅγιο Πνεῦμα».

1. Μήπως δέ φάνηκα πώς σᾶς εἶπα κάποια μεγάλα καί ὑπερφυσικά γιά τήν ἀγάπη τοῦ Παύλου πρός τό Χριστό κατά τήν προηγούμενη ἡμέρα; Καθόσον ἦταν ἀπό τή φύση τους μεγάλα καί ἀνώτερα ἀπό κάθε λόγο. Ἀλλ' ὅμως αὐτά πού λέχθηκαν σήμερα ὑπερέχουν τόσο πολύ ἀπό ἐκεῖνα, ὅσο ἐκεῖνα πρός τά δικά μας. Ἄν καί βέβαια δέ νόμιζα ὅτι αὐτά ὑπερεῖχαν, ἀλλ' ὅμως ἀκούοντας αὐτά πού ἀναγνώσθηκαν σ' ἐμᾶς σήμερα, φάνηκαν πολύ λαμπρότερα ἀπ' ὅλα ἐκεῖνα. Αὐτό ἀκριβῶς ἀναγνωρίζοντας καί ὁ ἴδιος, τό ἀνέφερε ἀπό τήν ἀρχή. Ἐπειδή λοιπόν ἐπρόκειτο νά μπεῖ σέ μεγαλύτερα καί νά μήν πιστευθεῖ ἀπό τούς πολλούς, πρῶτα διαβεβαιώνει αὐτά πού πρόκειται νά πεῖ, πράγμα πού συνηθίζουν νά κάνουν πολλοί, ὅταν πρόκειται νά ποῦν κάτι τό ὁποῖο δέν πιστεύεται ἀπό τούς πολλούς καί γιά τό ὁποῖο οἱ ἴδιοι ἔχουν πεισθεῖ πάρα πολύ. Καθόσον, λέγει, «Λέγω τήν ἀλήθεια καί δέ λέγω ψέματα, καί ἡ συνείδησή μου μέ βεβαιώνει, ὅτι ὑπάρχει μέσα μου μεγάλη λύπη καί ἀδιάκοπος πόνος στήν καρδιά μου. Θά εὐχόμουν μάλιστα νά εἶμαι ἐγώ ὁ ἴδιος ἀνάθεμα ἀπό τό Χριστό».

Τί λέγεις, Παῦλε; Ἀπό τό Χριστό, τόν ὁποῖο ποθοῦσες, ἀπό τόν ὁποῖο οὔτε ἡ βασιλεία τῶν οὐρανῶν, οὔτε ἡ γέεννα σέ χώριζε, οὔτε τά ὁρατά, οὔτε τά ἀόρατα, οὔτε ἄλλα τόσα, ἀπ' αὐτόν τώρα εὔχεσαι νά εἶσαι ἀνάθεμα; Τί συνέβηκε; μήπως ἔχεις ἀλλάξει καί ἔσβησες τόν πόθο ἐκεῖνο; Ὄχι, λέγει, μή φοβηθεῖς· γιατί καί περισσότερο τόν δυνάμωσα. Πῶς λοιπόν εὔχεσαι νά εἶσαι ἀνάθεμα καί ζητᾶς τήν ἀποξένωση, καί τέτοιο χωρισμό, ἀπό τόν ὁποῖο δέν

τοιοῦτον, μεθ' ὃν ἕτερον οὐκ ἔστιν εὑρεῖν; Ἐπειδὴ σφόδρα αὐτὸν φιλῶ, φησί. Πῶς, εἰπέ μοι, καὶ ποίῳ τρόπῳ; καὶ γὰρ αἰνίγματι τὸ πρᾶγμα ἔοικε. Μᾶλλον δέ, εἰ δοκεῖ, πρῶτον μάθωμεν τί ποτέ ἐστι τὸ ἀνάθεμα, καὶ τότε αὐτὸν ἐρωτήσωμεν περὶ τούτων, καὶ τὴν ἀπόρρητον ταύτην καὶ παράδοξον εἰσόμεθα ἀγάπην. Τί οὖν ἐστι τὸ ἀνάθεμα; Ἄκουσον αὐτοῦ λέγοντος· «εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἔστω ἀνάθεμα»· τουτέστι, κεχωρίσθω πάντων, ἀλλότριος ἔστω πάντων. Καθάπερ γὰρ τοῦ ἀναθέματος τοῦ ἀναθεμένου τῷ Θεῷ οὐδεὶς ἂν τολμήσειεν ἁπλῶς ταῖς χερσὶν ἅψασθαι, οὐδὲ ἐγγὺς γενέσθαι, οὕτω καὶ τὸν χωριζόμενον τῆς Ἐκκλησίας, πάντων ἀποτέμνων, καὶ ὡς πορρωτάτω ἀπάγων, τούτῳ τῷ ὀνόματι ἀπὸ τοῦ ἐναντίου καλεῖ, μετὰ πολλοῦ τοῦ φόβου πᾶσιν ἀπαγορεύων αὐτοῦ χωρίζεσθαι καὶ ἀποπηδᾶν. Τῷ μὲν γὰρ ἀναθέματι τιμῆς ἕνεκεν οὐδεὶς ἐτόλμα ἐγγίσαι, τοῦ δὲ ἀποτμηθέντος ἐξ ἐναντίας ἐχωρίζοντο γνώμης ἅπαντες.

Ὥστε ὁ μὲν χωρισμὸς εἷς, καὶ ὁμοίως καὶ τοῦτο κἀκεῖνο τῶν πολλῶν ἠλλοτρίωται, ὁ δὲ τρόπος τοῦ χωρισμοῦ οὐχ εἷς, ἀλλὰ καὶ ἐναντίος οὗτος ἐκείνου. Τοῦ μὲν γὰρ ἀπείχοντο ὡς ἀνακειμένου Θεῷ, τοῦ δὲ ὡς ἠλλοτριωμένου Θεοῦ, καὶ ἀπορραγέντος τῆς Ἐκκλησίας. Τοῦτο οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ». Καὶ οὐδὲ ἁπλῶς εἶπεν, ὅτι ἐβουλόμην, ἀλλὰ ἐπιτείνων αὐτό, φησί, «καὶ ηὐχόμην». Εἰ δὲ θορυβεῖ σε ἅτε ἀσθενέστερον ὄντα τὰ λεγόμενα, μὴ τὸ πρᾶγμα λογίζου μόνον ὅτι χωρισθῆναι ἐβούλετο, ἀλλὰ καὶ τὴν αἰτίαν, δι' ἣν ἐβούλετο, καὶ τότε ὄψει αὐτοῦ τὴν ὑπερβολὴν τῆς ἀγάπης. Ἐπεὶ καὶ περιέτεμε, καὶ οὐ τῷ γενομένῳ προσέχομεν, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ αἰτίᾳ τοῦ γενομένου, καὶ διὰ τοῦτο μᾶλλον αὐτὸν θαυμάζομεν. Οὐ περιέτεμε δὲ μόνον, ἀλλὰ καὶ ἐξυρᾶτο καὶ ἔθυσε· καὶ οὐ δήπου διὰ τοῦτο αὐτὸν Ἰουδαῖον εἶναί φαμεν, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἀπηλλάχθαι Ἰουδαϊσμοῦ καὶ καθαρεύειν, καὶ γνήσιον εἶναι τοῦ Χριστοῦ θεραπευτήν.

Ὥσπερ οὖν αὐτὸν περιτέμνοντα βλέπων καὶ θύοντα, οὐ διὰ

1. Α' Κορ. 16, 22.

εἶναι δυνατό νά βροῦμε ἄλλον; Ἐπειδή τόν ἀγαπῶ πάρα πολύ, λέγει. Πές μου, πῶς καί μέ ποιό τρόπο; γιατί πραγματικά τό πράγμα μοιάζει μέ αἴνιγμα. Καλύτερα ὅμως, ἄν θέλεις, ἄς μάθουμε πρῶτα τί τέλος πάντων σημαίνει τό ἀνάθεμα καί τότε ἄς τόν ρωτήσουμε γι' αὐτά, καί θά γνωρίσουμε τήν ἀπερίγραπτη καί παράδοξη αὐτή ἀγάπη. Τί λοιπόν σημαίνει τό ἀνάθεμα; Ἄκουσε αὐτόν πού λέγει· «ὅποιος δέν ἀγαπάει τόν Κύριό μας τόν Ἰησοῦ Χριστό, ἄς εἶναι ἀνάθεμα»[1]. Δηλαδή, ἄς χωρισθεῖ ἀπ' ὅλους, ἄς εἶναι ξένος σέ ὅλους. Γιατί, ὅπως ἀκριβῶς κανείς δέ θά τολμήσει ν' ἀγγίξει ἁπλῶς μέ τά χέρια του τό ἀνάθεμα πού ἀφιερώνεται στό Θεό, οὔτε νά τό πλησιάσει, ἔτσι καί ἐκεῖνον πού χωρίζεται ἀπό τήν Ἐκκλησία, γιά νά τόν ἀποκόψει ἀπ' ὅλους καί νά τόν ἀπομακρύνει πάρα πολύ μακριά, μέ αὐτό τό ὄνομα καί μέ τήν ἀντίθετη ἔννοια τόν ὀνομάζει, προτρέποντας σέ ὅλους μέ πολύ φόβο ν' ἀποχωρίζονται καί ν' ἀπομακρύνονται ἀπ' αὐτόν. Γιατί τό ἀνάθεμα ἀπό τιμή κανείς δέν τολμοῦσε νά τό ἀγγίξει, ἐνῶ ὅλοι ἀπό ἀντίθετη γνώμη ἀποχωρίζονταν ἀπό ἐκεῖνον πού ἀποκόπηκε ἀπό τήν Ἐκκλησία.

Ἐπομένως ὁ χωρισμός εἶναι ἕνας, καί ὅμοια καί αὐτό καί ἐκεῖνο ἔχει ἀποξενωθεῖ ἀπό τά πολλά, ὁ τρόπος ὅμως τοῦ χωρισμοῦ δέν εἶναι ἕνας, ἀλλά καί ἀντίθετος αὐτός ἀπό ἐκεῖνον. Γιατί ἀπό τό ἕνα ἀπομακρυνόταν ἐπειδή ἦταν ἀφιερωμένο στό Θεό, ἐνῶ ἀπό τό ἄλλο ἐπειδή εἶχε ἀποξενωθεῖ ἀπό τό Θεό καί ἀποκόπηκε ἀπό τήν Ἐκκλησία. Αὐτό λοιπόν γιά νά δηλώσει καί ὁ Παῦλος ἔλεγε· «θά εὐχόμουν νά εἶμαι ἀνάθεμα ἀπό τό Χριστό». Καί δέν εἶπε ἁπλῶς, 'θά ἤθελα', ἀλλά δυναμώνοντας αὐτό, λέγει, «καί θά εὐχόμουν». Ἐάν ὅμως σέ ἀνησυχοῦν αὐτά πού λέγονται, ἐπειδή τάχα εἶσαι περισσότερο ἀδύναμος, νά μή σκέπτεσαι τό πράγμα μόνο, ὅτι δηλαδή ἤθελε νά ἀποχωρισθεῖ, ἀλλά καί τήν αἰτία, γιά τήν ὁποία ἤθελε, καί τότε θά δεῖς τήν ὑπερβολική του ἀγάπη. Ἐπειδή καί περιτομή ἔκανε, καί δέν προσέχουμε σ' αὐτό πού ἔγινε, ἀλλά στή διάθεση καί τήν αἰτία αὐτοῦ, καί γι' αὐτό τόν θαυμάζουμε περισσότερο. Δέν ἔκανε ὅμως μόνο περιτομή, ἀλλά καί ξυριζόταν καί θυσίασε. Καί βέβαια δέ λέμε πώς γι' αὐτό εἶναι Ἰουδαῖος, ἀλλά γι' αὐτό ἀκριβῶς τό ἴδιο ἰδίως λέμε ὅτι ἀπαλλάχτηκε ἀπό τόν Ἰουδαϊσμό καί εἶναι καθαρός καί γνήσιος ὑπηρέτης τοῦ Χριστοῦ.

Ὅπως ἀκριβῶς λοιπόν ὅταν βλέπεις αὐτόν νά περιτέμνει καί

τοῦτο αὐτὸν καταδικάζεις ὡς ἰουδαΐζοντα, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα στεφανοῖς, ὡς ἀλλότριον ὄντα Ἰουδαϊσμοῦ, οὕτω καὶ ὁρῶν ἐπιθυμοῦντα ἀνάθεμα γενέσθαι, μὴ διὰ τοῦτο θορυβηθῇς, ἀλλὰ δι'αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτὸν ἀνακήρυξον, τὴν αἰτίαν καταμαθών, δι' ἣν τοῦτο βούλεται. Ἂν γὰρ μὴ τὰς αἰτίας ἐξετάσωμεν, καὶ τὸν Ἠλίαν ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν Ἀβραὰμ οὐκ ἀνδροφόνον μόνον, ἀλλὰ καὶ παιδοκτόνον· καὶ τὸν Φινεὲς δὲ καὶ τὸν Πέτρον φόνου γραψόμεθα πάλιν. Καὶ οὐ περὶ τῶν ἁγίων δὲ μόνον, ἀλλὰ καὶ περὶ τοῦ τῶν ὅλων Θεοῦ, ὁ μὴ τοῦτον τηρῶν τὸν κανόνα, πολλὰ ἄτοπα ὑποπτεύσει. Ἵν' οὖν μὴ τοῦτο γένηται, ἐπὶ πάντων τῶν τοιούτων καὶ αἰτίαν καὶ γνώμην καὶ καιρὸν καὶ πάντα τὰ ὑπὲρ τῶν γινομένων ἀπολογούμενα συνάγοντες, οὕτω τὰ πράγματα ἐξετάζωμεν. Ὃ καὶ νῦν ἐπὶ τῆς μακαρίας ταύτης ψυχῆς ποιητέον ἡμῖν.

2. Τίς οὖν ἡ αἰτία; Πάλιν αὐτὸς ὁ ποθούμενος Ἰησοῦς. Καὶ μὴν οὐ δι' αὐτόν φησιν· «Ηὐχόμην γὰρ ἀπ' αὐτοῦ», φησίν, «ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου». Καὶ τοῦτο τῆς αὐτοῦ ταπεινοφροσύνης· οὐ γὰρ βούλεται ὡς μέγα τι λέγων, καὶ τῷ Χριστῷ τοῦτο χαριζόμενος φανῆναι. Διὸ καὶ εἶπε, «συγγενῶν», ἵνα κρύψῃ τὸ πλεονέκτημα· ἐπεί, ὅτι τὸ πᾶν διὰ τὸν Χριστὸν ἤθελεν, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γάρ, «τῶν συγγενῶν», ἐπήγαγεν, «ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν». Καὶ τί τοῦτο; φησίν. Εἰ γὰρ ὑπὲρ τοῦ πιστεῦσαι ἑτέρους ἐβούλετο γενέσθαι ἀνάθεμα, ἔδει καὶ ὑπὲρ τῶν ἐθνῶν τοῦτο εὔξασθαι· εἰ δὲ ὑπὲρ Ἰουδαίων εὔχεται μόνον, δείκνυσιν οὐ διὰ τὸν Χριστὸν αὐτὸ βουλόμενος, ἀλλὰ διὰ τὴν πρὸς ἐκείνους οἰκείωσιν. Καὶ μὴν εἰ ὑπὲρ τῶν ἐθνῶν ηὔξατο, οὐκ ἂν ὁμοίως τοῦτο ἐφάνη· ἐπειδὴ δὲ ὑπὲρ Ἰουδαίων μόνον, δείκνυται καθαρῶς διὰ τὴν τοῦ Χριστοῦ δόξαν τοῦτο σπουδάζων.

Καὶ οἶδα μέν, ὅτι παράδοξον ὑμῖν εἶναι δοκεῖ τὸ λεγόμενον,

νά θυσιάζει, δέν τόν καταδικάζεις γι' αὐτό σάν ἰουδαΐζοντα, ἀλλά γι' αὐτό ἀκριβῶς τό ἴδιο ἰδίως τόν στεφανώνεις, σάν νά εἶναι ξένος γιά τόν Ἰουδαϊσμό, ἔτσι καί ὅταν τόν βλέπεις νά ἐπιθυμεῖ γιά νά γίνει ἀνάθεμα, νά μήν ἀνησυχήσεις γι' αὐτό, ἀλλά γι' αὐτό ἀκριβῶς τό ἴδιο ἰδίως νά τόν ἀναγνωρίσεις νικητή, ἀφοῦ ἔμαθες τήν αἰτία, γιά τήν ὁποία θέλει αὐτό. Γιατί, ἄν δέν ἐξετάσουμε τίς αἰτίες καί τόν Ἠλία θά ποῦμε ἀνθρωποκτόνο καί τόν Ἀβραάμ ὄχι μόνο ἀνθρωποκτόνο ἀλλά καί παιδοκτόνο· ἀλλά καί τόν Φινεές καί τόν Πέτρο θά τούς κατηγορήσουμε γιά φόνο πάλι. Καί ὄχι μόνο γιά τούς ἁγίους, ἀλλά καί γιά τό Θεό τῶν ὅλων, ἐκεῖνος πού δέν τηρεῖ αὐτόν τόν κανόνα, θά ὑποψιασθεῖ πολλά ἄτοπα. Γιά νά μή γίνει λοιπόν αὐτό, σέ ὅλα τά παρόμοια συγκεντρώνοντας καί τήν αἰτία καί τή διάθεση καί τό χρόνο καί ὅλα ἐκεῖνα πού δικαιολογοῦν αὐτά πού γίνονται, ἄς ἐξετάζουμε ἔτσι τά πράγματα. Αὐτό καί τώρα πρέπει νά κάνουμε ἐμεῖς στή μακάρια αὐτή ψυχή.

2. Ποιά λοιπόν εἶναι ἡ αἰτία; Πάλι αὐτός ὁ ποθούμενος Ἰησοῦς. Καί ὅμως δέ λέγει γι' αὐτόν, «θά εὐχόμουν», λέγει, «νά εἶμαι ἀνάθεμα ἀπ' αὐτόν γιά χάρη τῶν ἀδελφῶν μου». Καί αὐτό εἶναι ἀπόδειξη τῆς δικῆς του ταπεινοφροσύνης, γιατί δέ θέλει νά φανεῖ πώς λέγει κάτι μεγάλο καί πώς χαρίζει αὐτό στό Χριστό. Γι' αὐτό καί εἶπε, «τῶν συγγενῶν μου», γιά νά κρύψει τό πλεονέκτημα. Ὅτι ὅμως τό πᾶν ἤθελε γιά τό Χριστό, ἄκουσε τά ἑπόμενα. Γιατί, ἀφοῦ εἶπε, «τῶν συγγενῶν μου», πρόσθεσε, «στούς ὁποίους ἀνήκει ἡ υἱοθεσία καί ἡ δόξα καί οἱ διαθῆκες καί ἡ νομοθεσία καί ἡ λατρεία καί οἱ ὑποσχέσεις, στούς ὁποίους ἀνήκουν οἱ πατέρες, καί ἀπό τούς ὁποίους κατάγεται ὁ Χριστός κατά τήν ἀνθρώπινη φύση του, ὁ ὁποῖος εἶναι Θεός, ἐξουσιαστής ὅλων, ἄξιος νά ὑμνεῖται στούς αἰῶνες. Ἀμήν». Καί τί σημαίνει, λέγει, αὐτό; Γιατί, ἄν ἤθελε νά γίνει ἀνάθεμα γιά νά πιστέψουν ἄλλοι, ἔπρεπε καί γιά τούς ἐθνικούς νά εὐχηθεῖ αὐτό, ἄν ὅμως μόνο γιά τούς Ἰουδαίους εὔχεται, δείχνει πώς δέν ἤθελε αὐτό ἐξ αἰτίας τοῦ Χριστοῦ, ἀλλ' ἐξ αἰτίας τῆς συγγένειάς του πρός ἐκείνους. Καί ὅμως, ἄν εὐχόταν γιά τούς ἐθνικούς, δέ θά φαινόταν τό ἴδιο αὐτό. Ἐπειδή ὅμως εὐχήθηκε μόνο γιά τούς Ἰουδαίους, ἀποδεικνύει καθαρά πώς φροντίζει γιά τή δόξα τοῦ Χριστοῦ.

Καί γνωρίζω βέβαια, ὅτι σᾶς φαίνεται παράδοξο τό λεγόμενο,

πλήν, ἐὰν μὴ θορυβῆτε, ταχέως αὐτὸ πειράσομαι ποιῆσαι σαφές. Οὐδὲ γὰρ ἁπλῶς ταῦτα εἴρηκεν, ἅπερ εἴρηκεν, ἀλλ' ἐπειδὴ πάντες ἔλεγον, καὶ τοῦ Θεοῦ κατηγόρουν, ὅτι υἱοὶ Θεοῦ καταξιωθέντες κληθῆναι, καὶ νόμον δεξάμενοι, καὶ πρὸ πάντων αὐτὸν εἰδότες, καὶ τοσαύτης ἀπολαύσαντες δόξης, καὶ θεραπεύσαντες αὐτὸν πρὸ τῆς οἰκουμένης, καὶ ἐπαγγελίας δεξάμενοι, καὶ πατέρων ὄντες τῶν αὐτῷ φίλων, καὶ τὸ δὴ πάντων μεῖζον, καὶ προπάτορες αὐτοῦ γενόμενοι τοῦ Χριστοῦ (τοῦτο γάρ ἐστιν, «ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα»), ἐκβέβληνται καὶ ἠτίμωνται, ἀντεισήχθησαν δὲ ἀντ' ἐκείνων οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες ἄνθρωποι οἱ ἐξ ἐθνῶν· ἐπεὶ οὖν ταῦτα λέγοντες τὸν Θεὸν ἐβλασφήμουν, ἀκούων ταῦτα καὶ δακνόμενος ὁ Παῦλος, καὶ ὑπὲρ τῆς δόξης ἀλγῶν τοῦ Θεοῦ, ηὔξατο ἀνάθεμα εἶναι, εἴγε δυνατὸν ἦν, ὥστε σωθῆναι ἐκείνους, καὶ τὴν βλασφημίαν ταύτην καταλυθῆναι καὶ μὴ δόξαι τὸν Θεὸν ἠπατηκέναι τοὺς ἐκγόνους τοὺς ἐκείνων, οἷς τὰς δωρεὰς ἐπηγγείλατο.

Καὶ ἵνα μάθῃς, ὅτι ὑπὲρ τούτου κοπτόμενος, τοῦ μὴ δόξαι τὴν ὑπόσχεσιν τοῦ Θεοῦ διαπίπτειν τὴν λέγουσαν τῷ Ἀβραάμ, «σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου», ταῦτα ηὔχετο· μετὰ τὸ ταῦτα εἰπεῖν, ἐπήγαγεν· «οὐχ οἷον δέ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ»· δεικνὺς ὅτι ταῦτα πάντα διὰ τὸν λόγον τοῦ Θεοῦ ὑπομεῖναι ἠνείχετο· τουτέστι, τὴν ἐπαγγελίαν τὴν πρὸς Ἀβραὰμ γεγενημένην. Καθάπερ γὰρ Μωϋσῆς ἐδόκει μὲν ὑπὲρ Ἰουδαίων πρεσβεύειν, τὸ δὲ πᾶν ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ ἔπραττεν, «ἵνα γὰρ μὴ εἴπωσι», φησίν, «ὅτι παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς σῶσαι, ἐξήγαγεν αὐτοὺς ἀπολέσαι ἐν τῇ ἐρήμῳ», κατάλυσον τὴν ὀργήν, οὕτω δὴ καὶ Παῦλος, ἵνα μὴ εἴπωσι, φησίν, ὅτι ἐξέπεσεν ἡ ἐπαγγελία τοῦ Θεοῦ, καὶ ἐψεύσατο ἃ ὑπέσχετο, καὶ εἰς ἔργον οὐκ ἐξῆλθεν ὁ λόγος, ἐβουλόμην ἀνάθεμα γενέσθαι. Διὰ δὴ τοῦτο οὐχ ὑπὲρ τῶν ἐθνῶν φησιν· οὐδὲν γὰρ ἦν πρὸς ἐκείνους ἐπηγγελμένον αὐτῷ, οὐδὲ ἦσαν αὐτὸν τεθεραπευκότες· διὸ οὐδὲ ἐβλασφήμουν αὐτὸν δι' ἐκείνους· ἀλλ' ὑπὲρ τῶν Ἰουδαίων τῶν καὶ τὴν ἐπαγγελίαν δεξαμένων, καὶ πρὸ τῶν ἄλλων οἰκειωθέντων αὐτῷ, ταῦτα ηὔχετο.

Εἶδες ὅτι, εἰ μὲν ὑπὲρ τῶν ἐθνῶν ηὔξατο, οὐκ ἂν οὕτως ἐφά-

---

2. Γεν. 12, 7.
3. Δευτ. 9, 28.

ἀλλ' ὅμως, ἐάν δέν θορυβεῖτε, γρήγορα θά προσπαθήσω νά τό κάνω σαφές. Γιατί δέν τά εἶπε, αὐτά πού εἶπε, ἔτσι τυχαῖα, ἀλλ' ἐπειδή ὅλοι ἔλεγαν καί κατηγοροῦσαν τό Θεό, ὅτι παρ' ὅλο πού καταξιώθηκαν νά ὀνομασθοῦν τέκνα τοῦ Θεοῦ, δέχθηκαν τό νόμο, γνώριζαν αὐτόν πρίν ἀπ' ὅλους τούς ἀνθρώπους, δέχθηκαν ὑποσχέσεις, καί ἦταν πατέρες τῶν φίλων του, καί τό πιό μεγαλύτερο ἀπ' ὅλα, παρ' ὅλο πού ὑπῆρξαν προπάτορες τοῦ Χριστοῦ, γιατί αὐτό σημαίνει «ἐξ ὧν ὁ Χριστός τό κατά σάρκα», ἔχουν διωχθεῖ καί ἔχουν ἀτιμασθεῖ, καί μπῆκαν στή θέση τους οἱ ἄνθρωποι πού δέν γνώρισαν ποτέ αὐτόν, ἐκεῖνοι δηλαδή πού προέρχονται ἀπό τούς ἐθνικούς. Ἐπειδή λοιπόν λέγοντας αὐτά βλασφημοῦσαν τό Θεό, καί ὁ Παῦλος ἀκούοντας αὐτά θλιβόταν καί πονοῦσε γιά τή δόξα τοῦ Θεοῦ, εὐχήθηκε νά εἶναι ἀνάθεμα, ἄν βέβαια ἦταν δυνατό, ὥστε νά σωθοῦν ἐκεῖνοι καί νά σταματήσει αὐτή τή βλασφημία, καί νά μή φανεῖ πώς ὁ Θεός ἔχει ἐξαπατήσει τούς ἀπογόνους ἐκείνων, στούς ὁποίους ὑποσχέθηκε τίς δωρεές.

Καί γιά νά μάθεις, ὅτι εὐχόταν αὐτά, ἐπειδή πάσχιζε γι' αὐτό, γιά νά μή φανεῖ δηλαδή πώς ἀποδεικνύεται ψεύτικη ἡ ὑπόσχεση τοῦ Θεοῦ πού δόθηκε στόν Ἀβραάμ, «σέ σένα θά δώσω αὐτή τή γῆ καί στούς ἀπογόνους σου»[2], ἀφοῦ εἶπε αὐτά, πρόσθεσε· «αὐτό ὅμως δέ σημαίνει, ὅτι ἀποδείχθηκε ψεύτικος ὁ λόγος τοῦ Θεοῦ», γιά νά δείξει ὅτι ἀνεχόταν νά ὑπομείνει ὅλα αὐτά γιά τό λόγο τοῦ Θεοῦ, δηλαδή, γιά τήν ὑπόσχεση πού εἶχε δοθεῖ στόν Ἀβραάμ. Γιατί, ὅπως ἀκριβῶς ὁ Μωυσῆς φαινόταν βέβαια πώς πρέσβευε γιά τούς Ἰουδαίους, ἔκαμε ὅμως τό πᾶν γιά τή δόξα τοῦ Θεοῦ. «Γιά νά μήν ποῦν λοιπόν», λέγει, «ὅτι, ἐπειδή δέν μπόρεσε ὁ Κύριος νά τούς σώσει, τούς ἔβγαλε στήν ἔρημο γιά νά τούς θανατώσει»[3], σταμάτησε τήν ὀργή· ἔτσι λοιπόν καί ὁ Παῦλος, γιά νά μήν ποῦν, λέγει, ὅτι ἀποδείχθηκε ψεύτικη ἡ ὑπόσχεση τοῦ Θεοῦ, καί ὅτι εἶπε ψέματα σ' ἐκεῖνα πού ὑποσχέθηκε, καί ὅτι δέν πραγματοποιήθηκε ὁ λόγος,θά ἤθελα νά γίνω ἀνάθεμα. Γι' αὐτό ἀκριβῶς δέ λέγει γιά χάρη τῶν ἐθνικῶν, ἀφοῦ τίποτε δέν εἶχε ὑποσχεθεῖ ὁ Θεός σ' ἐκείνους, οὔτε τόν εἶχαν ὑπηρετήσει, γι' αὐτό καί δέν τόν βλασφημοῦσαν γιά ἐκείνους, ἀλλά γιά χάρη τῶν Ἰουδαίων, οἱ ὁποῖοι καί τήν ὑπόσχεση ἔλαβαν καί πρίν ἀπό τούς ἄλλους τοῦ ἔγιναν οἰκεῖοι, εὐχόταν αὐτά.

Εἶδες ὅτι, ἄν εὐχόταν γιά χάρη τῶν ἐθνικῶν, δέ θά φαινόταν

νη καθαρῶς διὰ τὴν τοῦ Χριστοῦ δόξαν τοῦτο ποιῶν· ἐπειδὴ δὲ ὑπὲρ Ἰουδαίων ἐβουλήθη γενέσθαι ἀνάθεμα, τότε μάλιστα ἐδείχθη, ὅτι διὰ τὸν Χριστὸν μόνον ταῦτα ἐπιθυμεῖ. Διὰ τοῦτο ἔλεγεν, «ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ λατρεία καὶ ἡ ἐπαγγελία». Καὶ γὰρ ὁ νόμος ἐκεῖθεν ὁ περὶ τοῦ Χριστοῦ λέγων, φησί, καὶ αἱ συνθῆκαι πρὸς αὐτοὺς πᾶσαι, καὶ αὐτὸς ἐξ αὐτῶν, καὶ οἱ πατέρες οἱ δεξάμενοι τὰς ἐπαγγελίας ἐκείνων πάντες· ἀλλ' ὅμως τοὐναντίον γέγονε, καὶ πάντων ἐξέπεσον τῶν ἀγαθῶν. Διὰ τοῦτο κόπτομαι, φησί, καὶ εἴγε ἦν χωρισθῆναι τοῦ περὶ τὸν Χριστὸν χοροῦ, καὶ ἀλλοτριωθῆναι, οὐχὶ τῆς ἀγάπης αὐτοῦ, μὴ γένοιτο, ἐπεὶ καὶ ταῦτα δι' ἀγάπην ἐποίει, ἀλλὰ τῆς ἀπολαύσεως ἐκείνης καὶ τῆς δόξης, κατεδεξάμην ἄν, ὥστε μὴ τὸν Δεσπότην βλασφημηθῆναι τὸν ἐμόν, διὰ τὸ μὴ ἀκοῦσαι λεγόντων τινῶν, ὅτι σκηνὴ τὰ πράγματα γέγονεν· ἄλλοις ὑπέσχετο, καὶ ἄλλοις ἔδωκεν· ἐξ ἄλλων ἐγεννήθη, καὶ ἄλλους ἔσωσε· τοῖς τῶν Ἰουδαίων προγόνοις ἐπηγγείλατο, καὶ τοὺς ἐκγόνους ἀφείς, τοὺς οὐδέποτε αὐτὸν ἐγνωκότας εἰς τὰ ἐκείνων εἰσήγαγεν ἀγαθά· ἐκεῖνοι τὸν νόμον ἔκαμον μελετῶντες, καὶ τὰς προφητείας ἀναγινώσκοντες, καὶ οἱ ἀπὸ τῶν βωμῶν καὶ τῶν εἰδώλων χθὲς ἐπανελθόντες, ἀνώτεροι γεγόνασιν ἐκείνων· ποῦ ταῦτα προνοίας;

Ἵν' οὖν μὴ ταῦτα λέγηται περὶ τοῦ Δεσπότου τοῦ ἐμοῦ, φησίν, εἰ καὶ ἀδίκως λέγεται, καὶ βασιλείας ἡδέως ἐξέπιπτον, καὶ τῆς δόξης ἐκείνης τῆς ἀπορρήτου, καὶ πάντα ὑπέμεινα ἂν τὰ δεινά, μεγίστην ἁπάντων ἡγούμενος παραμυθίαν εἶναι, τὸν οὕτω ποθούμενον μηκέτι βλασφημούμενον ἀκούειν. Εἰ δὲ οὐδέπω καταδέχῃ τὸ εἰρημένον, ἐννόησον ὅτι καὶ πατέρες πολλοὶ πολλάκις ταῦτα ὑπὲρ παίδων κατεδέξαντο, καὶ εἵλοντο αὐτῶν χωρισθῆναι, καὶ μᾶλλον αὐτοὺς εὐδοκιμοῦντας ὁρᾶν, τῆς συνουσίας αὐτῶν ἡδίω νομίζοντες εἶναι τὴν εὐδοκίμησιν τὴν ἐκείνων. Ἀλλ' ἐπειδὴ πόρρω τῆς ἀγάπης ἐσμὲν ταύτης, οὐδὲ νοῆσαι τὰ λεγόμενα δυνάμεθα. Οὕτω γάρ τινες καὶ τὴν Παύλου προσηγορίαν ἀκοῦσαί εἰσιν ἀνάξιοι, καὶ τῆς σφοδρότητος τῆς ἐκείνου πόρρω καὶ μακρὰν ἑστήκασιν, ὡς καὶ περὶ θανάτου τοῦ προσκαίρου ταῦτα λέγειν αὐτὸν νομίζειν· οὓς τοσοῦτον

τόσο καθαρά πώς ἔκανε αὐτό γιά τή δόξα τοῦ Χριστοῦ. Ἐπειδή ὅμως θέλησε νά γίνει ἀνάθεμα γιά χάρη τῶν Ἰουδαίων, τότε ἰδίως φάνηκε, πώς μόνο γιά τό Χριστό ἐπιθυμεῖ αὐτά. Γι' αὐτό ἔλεγε, «στούς ὁποίους ἀνήκει ἡ υἱοθεσία καί ἡ δόξα καί ἡ λατρεία καί ἡ ὑπόσχεση». Γιατί πραγματικά ἀπό ἐκεῖ προέρχεται ὁ νόμος πού μιλάει γιά τό Χριστό, λέγει, καί οἱ συμφωνίες ὅλες μ' αὐτούς ἔγιναν, καί ὁ ἴδιος ἀπ' αὐτούς προέρχεται, καί οἱ πατέρες ὅλοι πού ἔλαβαν τίς ὑποσχέσεις σ' ἐκείνους ἀνήκουν, ἀλλ' ὅμως ἔγινε τό ἀντίθετο καί ἔχασαν ὅλα τά ἀγαθά. Γι' αὐτό κόπτομαι, λέγει, καί ἄν βέβαια ἦταν δυνατό νά χωρισθῶ ἀπό τή χορεία τοῦ Χριστοῦ, καί ν' ἀποξενωθῶ, ὄχι ἀπό τήν ἀγάπη του (μακριά μιά τέτοια σκέψη, ἀφοῦ καί αὐτά ἀπό ἀγάπη τά ἔκανε), ἀλλ' ἀπό τήν ἀπόλαυση ἐκείνη καί τή δόξα, θά δεχόμουν, γιά νά μή βλασφημηθεῖ ὁ Κύριός μου, γιά νά μήν ἀκούσει νά λέγουν μερικοί, ὅτι τά πράγματα κατάντησαν ἁπλή σκηνοθεσία· σ' ἄλλους ὑποσχέθηκε καί σ' ἄλλους ἔδωσε· ἀπό ἄλλους γεννήθηκε καί ἄλλους ἔσωσε· στούς προγόνους τῶν Ἰουδαίων ὑποσχέθηκε καί ἐγκαταλείποντας τούς ἀπογόνους τους, ὁδήγησε στά ἀγαθά τους ἐκείνους πού δέν τόν γνώριζαν ποτέ· ἐκεῖνοι κουράστηκαν νά μελετοῦν τό νόμο καί νά διαβάζουν τίς προφητεῖες, ἀλλ' ἐκεῖνοι πού χθές ἐπέστρεψαν ἀπό τούς βωμούς καί τά εἴδωλα, ἔγιναν ἀνώτεροί τους· πῶς λοιπόν αὐτά εἶναι δεῖγμα φροντίδας;

Γιά νά μή λέγονται λοιπόν αὐτά γιά τό δικό μου Κύριο, λέγει, παρ' ὅλο πού ἄδικα λέγονται, καί τή βασιλεία εὐχαρίστως θά ἔχανα, καθώς καί τήν ἀνέκφραστη ἐκείνη δόξα, καί ὅλα τά δεινά θά τά ὑπέφερα, ἐπειδή θεωρῶ πώς ἀπ' ὅλα εἶναι πιό μεγαλύτερη παρηγορία τό νά μήν ἀκούω νά βλασφημεῖται πιά ἐκεῖνος πού τόσο ποθῶ. Ἐάν ὅμως δέ δέχεσαι ἀκόμη αὐτό πού λέχθηκε, σκέψου ὅτι καί πολλοί πατέρες πολλές φορές δέχθηκαν αὐτά γιά χάρη τῶν παιδιῶν τους, καί προτίμησαν νά χωρισθοῦν ἀπ' αὐτά, καί μᾶλλον νά τά βλέπουν νά προοδεύουν, ἐπειδή νομίζουν πώς ἡ πρόοδός τους εἶναι πιό εὐχάριστη ἀπό τή συντροφιά τή δική τους. Ἀλλ' ἐπειδή ἀπέχουμε πολύ ἀπό τήν ἀγάπη αὐτή, δέν μποροῦμε οὔτε αὐτά πού λέγονται νά καταλάβουμε. Ἔτσι λοιπόν μερικοί εἶναι ἀνάξιοι ν' ἀκούσουν καί τό ὄνομα τοῦ Παύλου, καί στέκονται πολύ μακριά ἀπό τό θερμό ζῆλο του, ὥστε νά νομίζουν πώς τά λέγει αὐτά καί γιά τόν προσωρινό θάνατο. Γι' αὐτούς μπορῶ νά πῶ ὅτι τόσο πολύ ἀγνοοῦν τόν

εἴποιμ᾽ ἂν ἀγνοεῖν τὸν Παῦλον, ὅσον τοὺς πηροὺς τὴν ἀκτῖνα τὴν ἡλιακήν· μᾶλλον δὲ καὶ πολλῷ πλέον.

Ὁ γὰρ καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκων, καὶ νιφάδας κινδύνων θείς, καὶ εἰπών, «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός;» καὶ οὐκ ἀρκεσθεὶς τοῖς λεχθεῖσιν, ἀλλ᾽ ὑπερβὰς τὸν οὐρανόν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ ἀγγέλους καὶ ἀρχαγγέλους καὶ πάντα τὰ ἄνω περιδραμών, καὶ συλλαβὼν ὁμοῦ τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὁρώμενα, τὰ νοούμενα, τὰ λυπηρά, τὰ χρηστά, τὰ ἐν ἑκατέροις, καὶ οὐδὲν ὅλως ἀφείς, καὶ οὐδὲ οὕτω κορεσθείς, ἀλλὰ καὶ ἑτέραν τοσαύτην κτίσιν τὴν οὐκ οὖσαν ὑποστησάμενος, πῶς ὡς μέγα τι λέγων μετ᾽ ἐκεῖνα πάντα θανάτου τοῦ προσκαίρου ἐμνημόνευσεν ἄν; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἀλλὰ σκωλήκων ἐν κοπρίᾳ φωλευόντων ἡ τοιαύτη ὑπόνοια. Εἰ γὰρ τοῦτο ἔλεγε, πῶς ἀνάθεμα ἑαυτὸν ηὔχετο εἶναι ἀπὸ τοῦ Χριστοῦ; Ὁ γὰρ τοιοῦτος θάνατος μᾶλλον τῷ τοῦ Χριστοῦ συνῆπτε χορῷ καὶ τῆς δόξης ἀπολαύειν ἐκείνης ἐποίει.

Ἀλλὰ γὰρ εἰσί τινες, οἳ καὶ τούτων ἕτερα καταγελαστότερα τολμῶσι λέγειν. Οὐ γὰρ θάνατον, φησίν, ἀλλὰ κειμήλιον καὶ ἀνάθημα ηὔχετο εἶναι τοῦ Χριστοῦ. Καὶ τίς τοῦτο καὶ τῶν σφόδρα εὐτελῶν καὶ ἀναπεπτωκότων οὐκ ἂν ηὔξατο; Πῶς δὲ ὑπὲρ τῶν συγγενῶν τοῦτο ἔμελλε τῶν αὐτοῦ γίνεσθαι; Ἀφέντες τοίνυν τοὺς μύθους καὶ τὰς φλυαρίας· οὐδὲ γὰρ ἀντιλέγειν πρὸς ταῦτα ἄξιον, ὥσπερ οὖν οὐδὲ πρὸς τὰ παιδία τὰ ψελλίζοντα· εἰς αὐτὴν πάλιν τὴν ῥῆσιν ἐπανέλθωμεν, ἐντρυφῶντες αὐτοῦ τῷ πελάγει τῆς ἀγάπης, καὶ μετὰ ἀδείας πανταχοῦ νηχόμενοι, καὶ τὴν φλόγα ἐννοοῦντες τὴν ἄφατον· μᾶλλον δέ, ὅπερ ἂν εἴπῃ τις, οὐδὲν ἄξιον ἐρεῖ. Καὶ γὰρ πελάγους παντὸς εὐρυτέρα, καὶ φλογὸς ἁπάσης σφοδροτέρα αὕτη ἦν, καὶ οὐδεὶς αὐτὴν κατ᾽ ἀξίαν ἀναγορεῦσαι δυνήσεται λόγος· ἀλλ᾽ ἐκεῖνος μόνος οἶδεν αὐτὴν ὁ μετὰ ἀκριβείας αὐτὴν κτησάμενος.

3. *Φέρε οὖν αὐτὰ πάλιν τὰ ῥήματα εἰς μέσον ἀγάγωμεν. «Ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγώ». Τί ἐστιν, «αὐτὸς ἐγώ»; Ὁ διδάσκαλος ἁπάντων γενόμενος, ὁ μυρία κατορθώματα συναγαγών,*

4. Ρωμ. 8, 35.

Παῦλο, ὅσο οἱ τυφλοί ἀγνοοῦν τήν ἀκτίνα τοῦ ἥλιου, ἤ καλύτερα καί πολύ περισσότερο.

Γιατί ἐκεῖνος πού καθημερινά πεθαίνει, καί ἀνέφερε πολλούς κινδύνους, καί εἶπε, «ποιός θά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Χριστοῦ; θλιψη ἤ στενοχώρια ἤ διωγμός ἤ πείνα;»[4], καί δέν ἀρκέσθηκε σ' αὐτά πού λέχθηκαν, ἀλλά πέρασε πάνω ἀπό τόν οὐρανό, καί τόν οὐρανό τοῦ οὐρανοῦ, καί περιέτρεξε ἀγγέλους καί ἀρχαγγέλους καί ὅλα τά οὐράνια, καί περιέλαβε μαζί τά παρόντα, τά μελλοντικά, τά ὁρατά, τά ἀόρατα, τά λυπηρά, τά ἀγαθά, αὐτά πού ἀνήκουν καί στά δύο, καί τίποτε ἐντελῶς δέν ἄφησε, καί οὔτε ἔτσι χόρτασε, ἀλλά πρόβαλε καί ἄλλην τόσο μεγάλη κτίση πού δέν ὑπάρχει, πῶς θά μποροῦσε ὕστερα ἀπ' ὅλα αὐτά ν' ἀναφέρει τόν προσωρινό θάνατο σάν νά ἔλεγε κάτι μεγάλο; Δέν εἶναι αὐτά, πραγματικά δέν εἶναι, ἀλλά μιά τέτοια γνώμη ἀνήκει στά σκουλήκια πού ζοῦν μέσα στήν κοπριά. Ἐάν λοιπόν ἐννοοῦσε αὐτό, πῶς εὐχόταν νά εἶναι ὁ ἴδιος ἀνάθεμα ἀπό τό Χριστό; Γιατί ἕνας τέτοιος θάνατος τόν συνένωνε περισσότερο μέ τή χορεία τοῦ Χριστοῦ καί τόν ἔκανε ν' ἀπολαμβάνει τή δόξα ἐκείνη.

Ἀλλά βέβαια ὑπάρχουν μερικοί, πού τολμοῦν νά λέγουν καί ἄλλα πιό καταγέλαστα ἀπ' αὐτά. Δέν ἐννοεῖ, λέγει, τό θάνατο, ἀλλ' εὐχόταν νά εἶναι κειμήλιο καί ἀφιέρωμα τοῦ Χριστοῦ. Καί ποιός ἀπό τούς πάρα πολύ ἀσήμαντους καί ἀπελπισμένους δέ θά εὐχόταν αὐτό; Πῶς ὅμως ἐπρόκειτο νά γίνει αὐτό γιά χάρη τῶν δικῶν του συγγενῶν; Ἀφοῦ ἀφήσουμε λοιπόν τούς μύθους καί τίς φλυαρίες, γιατί δέν ἀξίζει νά ἀντιλέγουμε σ' αὐτά, ὅπως ἀκριβῶς δέν ἀξίζει νά ἀντιλέγουμε καί στά παιδιά πού ψελλίζουν, ἄς ἐπιστρέψουμε πάλι σ' αὐτήν τή φράση, ἀπολαμβάνοντας τό πέλαγος τῆς ἀγάπης του καί κολυμπώντας παντοῦ μέ ἀσφάλεια καί κατανοώντας τήν ἀνέκφραστη φλόγα· ἤ καλύτερα ὁτιδήποτε καί ἄν πεῖ κανείς, τίποτε ἄξιο δέ θά πεῖ. Γιατί αὐτή ἦταν καί ἀπό κάθε πέλαγος πιό πλατιά καί ἀπ' ὅλη τή φλόγα πιό ὁρμητική, καί κανείς λόγος δέ θά μπορέσει νά τῆς ἀποδώσει τήν ἀξία ὅπως πρέπει, ἀλλ' ἐκεῖνος μόνο τή γνωρίζει πού μέ ἀκρίβεια τήν ἀπέκτησε.

3. Ἐμπρός λοιπόν ἄς φέρουμε ἐνώπιόν μας πάλι αὐτά τά λόγια. «Θά εὐχόμουν νά εἶμαι ἐγώ ὁ ἴδιος ἀνάθεμα». Τί σημαίνει, «ἐγώ ὁ ἴδιος»; Ἐκεῖνος πού ἔγινε διδάσκαλος ὅλων, πού συγκέντρωσε

ὁ μυρίους ἀναμένων στεφάνους, ὁ ποθήσας αὐτὸν οὕτως ὡς πάντων αὐτοῦ προτιμῆσαι τὴν ἀγάπην, ὁ καθ' ἑκάστην ἡμέραν δι' αὐτὸν καιόμενος, καὶ πάντα δεύτερα εἶναι νομίζων τοῦ φίλτρου τοῦ πρὸς αὐτόν. Οὐδὲ γὰρ τοῦ φιλεῖσθαι ἔμελεν αὐτῷ παρὰ τοῦ Χριστοῦ μόνον, ἀλλὰ καὶ τοῦ σφόδρα αὐτὸν φιλεῖν· καὶ τούτου μάλιστα ἦν. Διὰ δὴ τοῦτο πρὸς τοῦτο ἔβλεπε μόνον, καὶ πάντα εὐκόλως ἔφερεν· ἓν γὰρ ἐσκόπει διὰ πάντων, τὸ τὸν καλὸν τοῦτον ἐμπλῆσαι ἔρωτα. Καὶ εὔχεται μὲν ταῦτα· ἐπειδὴ δὲ οὐκ ἔμελλε γίνεσθαι οὕτως, οὐδὲ ἔμελλεν ἀνάθεμα εἶναι, πειρᾶται λοιπὸν καὶ εἰς ἀπολογίαν ἐμβῆναι τῶν ἐγκλημάτων, καὶ τὰ θρυλούμενα παρὰ πάντων εἰς μέσον ἄγων ἀνατρέψαι. Καὶ πρὶν εἰς τὴν σαφῆ τούτων ἀπολογίαν ἐμβῆναι, τὰ σπέρματα αὐτῆς ἤδη προκαταβάλλεται. Ὅταν γὰρ λέγῃ, «ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι», οὐδὲν ἄλλο φησίν, ἢ ὅτι ὁ Θεὸς μὲν αὐτοὺς ἐβούλετο σωθῆναι· καὶ τοῦτο ἐδήλωσε δι' ὧν ἔμπροσθεν ἐποίησε, καὶ δι' ὧν ὁ Χριστὸς ἐξ ἐκείνων ἐγένετο, καὶ δι' ὧν τοῖς πατράσιν ἐπηγγείλατο· αὐτοὶ δὲ ἐξ οἰκείας ἀγνωμοσύνης ἀπεκρούσαντο τὴν εὐεργεσίαν.

Διὸ καὶ ἐκεῖνα τίθησιν, ἅπερ τῆς τοῦ Θεοῦ δωρεᾶς ἐστιν ἐνδεικτικὰ μόνον, οὐκ ἐκείνων ἐγκώμια· καὶ γὰρ ἡ υἱοθεσία τῆς αὐτοῦ γέγονε χάριτος, καὶ ἡ δόξα καὶ αἱ ἐπαγγελίαι καὶ ὁ νόμος. Ἅπερ ἅπαντα ἐννοήσας, καὶ λογισάμενος πόσην ὁ Θεὸς μετὰ τοῦ παιδὸς ἐποιήσατο τὴν σπουδὴν σῶσαι αὐτούς, ἀνεβόησε μέγα, καὶ εἶπεν· «ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν», τὴν ὑπὲρ πάντων εὐχαριστίαν ἀναφέρων αὐτὸς τῷ μονογενεῖ τοῦ Θεοῦ. Τί γάρ, εἰ καὶ ἕτεροι βλασφημοῦσι, φησίν; ἀλλ' ἡμεῖς οἱ τὰ ἀπόρρητα εἰδότες αὐτοῦ, καὶ τὴν σοφίαν τὴν ἄφατον, καὶ τὴν πρόνοιαν τὴν πολλήν, ἴσμεν σαφῶς, ὅτι οὐ τοῦ βλασφημεῖσθαι, ἀλλὰ τοῦ δοξάζεσθαι ἄξιος. Οὐκ ἀρκεσθεὶς δὲ αὐτοῦ τῷ συνειδότι, πειρᾶται καὶ λογισμοὺς τιθέναι λοιπόν, καὶ σφοδροτέρῳ κεχρῆσθαι κατ' αὐτῶν τῷ λόγῳ. Καὶ οὐ πρότερον ἀποτείνεται πρὸς αὐτούς, ἕως τὴν ὑπόνοιαν αὐτῶν περιεῖλεν. Ἵνα γὰρ μὴ δόξῃ ὡς ἐχθροῖς διαλέγεσθαι, προϊὼν φησιν· «ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ

ἄπειρα κατορθώματα, πού περιμένει ἀμέτρητα στεφάνια, πού πόθησε αὐτόν ἔτσι ὥστε νά προτιμήσει τήν ἀγάπη του ἀπ' ὅλα, πού καίγεται καθημερινά γι' αὐτόν καί πού νομίζει πώς ὅλα βρίσκονται σέ δεύτερη μοίρα ἀπό τήν ἀγάπη πρός αὐτόν. Γιατί δέν ἤθελε νά τόν ἀγαπάει μόνο ὁ Χριστός, ἀλλά καί ὁ ἴδιος νά τόν ἀγαπάει πάρα πολύ· καί ἰδίως αὐτή ἦταν ἡ ἐπιδίωξή του. Γι' αὐτό ἀκριβῶς σ' αὐτό ἔβλεπε μόνο, καί ὅλα τά ὑπέφερε εὔκολα, γιατί σ' ἕνα ἀποσκοποῦσε μέ ὅλα, τό νά ἱκανοποιήσει τόν καλό αὐτόν ἔρωτα. Καί εὔχεται βέβαια αὐτά. Ἐπειδή ὅμως δέν ἐπρόκειτο νά γίνει ἔτσι, οὔτε ἐπρόκειτο νά εἶναι ἀνάθεμα, προσπαθεῖ στή συνέχεια νά μπεῖ καί στήν ἀπολογία τῶν κατηγοριῶν καί, φέρνοντας στή μέση τίς φλυαρίες πού λέγουν ὅλοι, νά τίς ἀνατρέψει. Καί πρίν μπεῖ στή σαφή ἀπολογία αὐτῶν, ρίχνει ἀπό πρίν ἤδη τά σπέρματα τῆς ἀπολογίας αὐτῆς. Γιατί, ὅταν λέγει, «στούς ὁποίους ἀνήκει ἡ υἱοθεσία καί ἡ δόξα καί ἡ νομοθεσία καί ἡ λατρεία καί οἱ ὑποσχέσεις», τίποτε ἄλλο δέ λέγει, παρά ὅτι ὁ Θεός ἤθελε νά σωθοῦν αὐτοί. Καί τό φανέρωσε αὐτό μέ ὅσα ἔκανε προηγουμένως, καί μέ τό ὅτι ὁ Χριστός γεννήθηκε ἀπ' αὐτούς, καί μέ ὅσα ὑποσχέθηκε στούς πατέρες τους. Αὐτοί ὅμως ἀπώθησαν τήν εὐεργεσία ἀπό δική τους ἀχαριστία.

Γι' αὐτό καί ἀναφέρει ἐκεῖνα τά ὁποῖα εἶναι ἐνδεικτικά τῆς δωρεᾶς τοῦ Θεοῦ μόνο καί ὄχι ἐγκώμια αὐτῶν. Γιατί καί ἡ υἱοθεσία εἶναι ἀποτέλεσμα τῆς δικῆς του χάριτος, καθώς καί ἡ δόξα καί οἱ ὑποσχέσεις καί ὁ νόμος. Αὐτά ἀκριβῶς ὅλα ἀφοῦ κατανόησε, καί ἀφοῦ σκέφθηκε πόσο φρόντισε ὁ Θεός μαζί μέ τόν Υἱό ὥστε νά σώσουν αὐτούς, φώναξε δυνατά καί εἶπε, «ὁ ὁποῖος εἶναι εὐλογητός στούς αἰῶνες. Ἀμήν», ἀναφέροντας ὁ ἴδιος τήν εὐχαριστία γιά ὅλους στό Μονογενή Υἱό τοῦ Θεοῦ. Τί λοιπόν, λέγει, ἄν καί ἄλλοι βλασφημοῦν; Ἐμεῖς ὅμως πού γνωρίζουμε τά ἀπόρρητά του, καί τή σοφία τήν ἀνέκφραστη καί τήν πρόνοια τήν πολλή, γνωρίζουμε καλά, ὅτι δέν εἶναι ἄξιος νά βλασφημεῖται, ἀλλά νά δοξάζεται. Χωρίς ν' ἀρκεσθεῖ ὅμως στή συνείδησή του, προσπαθεῖ στή συνέχεια ν' ἀναφέρει καί συλλογισμούς, καί νά χρησιμοποιήσει σφοδρότερο λόγο ἐναντίον τους. Καί δέν ἀπευθύνεται προηγουμένως σ' αὐτούς, μέχρι πού διέλυσε τή γνώμη τους. Γιά νά μή φανεῖ λοιπόν πώς μιλάει μαζί τους σάν νά ἦταν ἐχθροί, λέγει παρακάτω· «ἀδελφοί, ἡ ἐπιθυμία τῆς καρδιᾶς μου καί ἡ προσευχή μου στό Θεό εἶναι γι' αὐ-

δέησις ἡ πρὸς τὸν Θεόν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν». Καὶ ἐνταῦθα δὲ μετὰ τῶν ἄλλων, ὧν εἴρηκε, κατεσκεύαζε τὸ μὴ δόξαι δι' ἔχθραν λέγειν, ἅπερ ἔμελλε κατ' αὐτῶν ἐρεῖν· διόπερ οὐδὲ συγγενεῖς αὐτοὺς καὶ ἀδελφοὺς παραιτεῖται ὀνομάζειν.

Εἰ γὰρ καὶ διὰ τὸν Χριστὸν ἔλεγεν, ἅπερ ἔλεγεν, ἀλλ' ὅμως καὶ τὴν ἐκείνων ἐπισπᾶται διάνοιαν, καὶ προοδοποιεῖ τῷ λόγῳ, καὶ πάσης ἑαυτὸν ὑποψίας ἀπαλλάττει διὰ τὰ μέλλοντα κατ' αὐτῶν λεχθήσεσθαι, καὶ τότε λοιπὸν ἐμβαίνει εἰς τὸν παρὰ τῶν πολλῶν ζητούμενον λόγον. Καὶ γὰρ ἐζήτουν πολλοί, καθάπερ ἔφθην εἰπών, τίνος ἕνεκεν οἱ μὲν δεξάμενοι τὴν ἐπαγγελίαν ἐξέπεσον, οἱ δὲ μὴ ἀκούσαντες αὐτῆς πώποτε, πρὸ ἐκείνων ἐσώθησαν. Ταύτην τοίνυν λύων τὴν ἀπορίαν, πρὸ τῆς ἀντιθέσεως τὴν λύσιν ἐπάγει. Ἵνα γὰρ μὴ λέγῃ τις· τί οὖν; σὺ μᾶλλον φροντίζεις τῆς δόξης τοῦ Θεοῦ, ἢ ὁ Θεὸς τῆς ἑαυτοῦ; καὶ τῆς παρὰ σοῦ δεῖται βοηθείας, ἵνα μὴ ἐκπέσῃ αὐτοῦ ὁ λόγος; πρὸς ταῦτα ἱστάμενός φησι· ταῦτα δὲ εἶπον, «οὐχ οἷον ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ», ἀλλ' ἵνα δείξω τὸ περὶ τὸν Χριστὸν φίλτρον. Καὶ γὰρ καὶ οὕτω τῶν πραγμάτων ἐκβάντων, οὐκ ἀποροῦμεν τῶν ὑπὲρ τοῦ Θεοῦ λόγων, φησί, καὶ τοῦ δεῖξαι, ὅτι ἕστηκεν ἡ ἐπαγγελία. Εἶπεν ὁ Θεὸς τῷ Ἀβραάμ, «σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν»· καί, «ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη». Ἴδωμεν οὖν ποῖόν ἐστι τὸ σπέρμα, φησίν· οὐ γὰρ πάντες οἱ ἐξ αὐτοῦ σπέρμα αὐτοῦ εἰσι. Διὸ καὶ ἔλεγεν· «οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα».

Ἂν τοίνυν μάθῃς ποῖόν ἐστι τὸ σπέρμα τοῦ Ἀβραάμ, ὄψει δοθεῖσαν τὴν ὑπόσχεσιν τῷ σπέρματι αὐτοῦ, καὶ γνώσῃ ὅτι οὐκ ἐξέπεσεν ὁ λόγος. Ποῖον οὖν ἐστιν, εἰπέ, τὸ σπέρμα; Οὐκ ἐγὼ λέγω, φησίν, ἀλλ' αὐτὴ ἡ Παλαιὰ ἑαυτὴν ἑρμηνεύει, οὕτω λέγουσα· «ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα». Τί ἐστιν, «ἐν Ἰσαάκ», ἑρμήνευσον. «Τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα Θεοῦ,

5. Ρωμ. 10, 1.
6. Γεν. 12, 7. 3.
7. Γεν. 21, 12.

τούς, γιά νά σωθοῦν»[5]. Καί ἐδῶ ὅμως μαζί μέ τά ἄλλα πού εἶπε, προετοίμαζε τό νά μή φανεῖ πώς ἀπό ἔχθρα λέγει, αὐτά πού ἐπρόκειτο νά πεῖ ἐναντίον τους. Γι' αὐτό ἀκριβῶς δέ σταμάτησε νά τούς ὀνομάζει συγγενεῖς καί ἀδελφούς.

Γιατί, ἄν καί γιά τό Χριστό ἔλεγε, αὐτά πού ἔλεγε, ἀλλ' ὅμως προσελκύει καί τή δική τους διάνοια, καί ἀφοῦ προετοίμασε τό δρόμο μέ τό λόγο, καί ἀπάλλαξε τόν ἑαυτό του ἀπό κάθε ὑποψία γι' αὐτά πού πρόκειται νά λεχθοῦν ἐναντίον τους, τότε πλέον μπαίνει στό λόγο πού ζητοῦσαν οἱ πολλοί. Γιατί πραγματικά ζητοῦσαν πολλοί, ὅπως ἀκριβῶς εἶπα προηγουμένως, γιά ποιό λόγο ἐκεῖνοι πού ἔλαβαν τήν ὑπόσχεση ἔχασαν τή σωτηρία, ἐνῶ αὐτοί πού δέν ἄκουσαν ποτέ τήν ὑπόσχεση, σώθηκαν πρίν ἀπό ἐκείνους. Λύνοντας λοιπόν αὐτή τήν ἀπορία, φέρνει τή λύση πρίν ἀπό τήν ἀντίθεση. Γιά νά μή λέγει κάποιος, τί λοιπόν; ἐσύ φροντίζεις περισσότερο γιά τή δόξα τοῦ Θεοῦ ἤ ὁ Θεός γιά τή δική του; καί ἔχει ἀνάγκη ἀπό τή βοήθειά σου, γιά νά μήν ἀποδειχθεῖ ψεύτικος ὁ λόγος του; ἀποκρούοντας αὐτά λέγει· αὐτά ὅμως τά εἶπα, «ὄχι γιατί ἔχει ἀποδειχθεῖ ψεύτικος ὁ λόγος τοῦ Θεοῦ», ἀλλά γιά νά δείξω τήν ἀγάπη πρός τό Χριστό. Γιατί βέβαια καί ἄν ἔτσι ἔγιναν τά πράγματα, δέ βρισκόμαστε σέ ἀδυναμία γιά νά ὑπερασπισθοῦμε τό Θεό, λέγει, καί γιά ν' ἀποδείξουμε, ὅτι ἔμεινε σταθερή ἡ ὑπόσχεση. Εἶπε ὁ Θεός στόν Ἀβραάμ, «σέ σένα καί στούς ἀπογόνους σου θά δώσω τή γῆ», καί, «θά εὐλογηθοῦν μέ τούς ἀπογόνους σου ὅλα τά ἔθνη»[6]. Ἄς δοῦμε λοιπόν, λέγει, ποιοί εἶναι οἱ ἀπόγονοι· γιατί δέν εἶναι ὅλοι ὅσοι κατάγονται ἀπ' αὐτόν δικοί του ἀπόγονοι. Γι' αὐτό καί ἔλεγε· «γιατί δέν εἶναι πραγματικοί Ἰσραηλίτες, ὅλοι ὅσοι κατάγονται ἀπό τόν Ἰσραήλ, οὔτε ἐπειδή εἶναι ἀπόγονοι τοῦ Ἀβραάμ, εἶναι ὅλοι πραγματικά τέκνα του».

Ἄν λοιπόν μάθεις ποιοί εἶναι οἱ ἀπόγονοι τοῦ Ἀβραάμ, θά δεῖς ὅτι ἡ ὑπόσχεση δόθηκε στούς ἀπογόνους του, καί θά γνωρίσεις ὅτι δέ διαψεύσθηκε ὁ λόγος. Ποιοί λοιπόν, πές μου, εἶναι οἱ ἀπόγονοι; Δέ μιλάω ἐγώ, λέγει, ἀλλ' ἡ ἴδια ἡ Παλαιά Διαθήκη ἑρμηνεύει τόν ἑαυτό της, λέγοντας τά ἑξῆς· «ἀπό τόν Ἰσαάκ θά ὀνομασθοῦν οἱ δικοί σου ἀπόγονοι»[7]. Ἐξήγησε, τί σημαίνει, «ἐν Ἰσαάκ». «Δηλαδή, τέκνα τοῦ Θεοῦ δέν εἶναι τά τέκνα πού γεννιοῦνται κατά τρόπο φυσικό, ἀλλά τά τέκνα πού γεννιοῦνται σύμφωνα μέ τήν ὑπόσχεση τοῦ

ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας ταῦτα λογίζεται εἰς σπέρμα». Καὶ ὅρα Παύλου σύνεσιν καὶ μεγαλόνοιαν. Ἑρμηνεύων γὰρ οὐκ εἶπεν, ὅτι οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Ἀβραάμ, ἀλλά, «τέκνα τοῦ Θεοῦ», τῷ παρόντι τὰ παλαιὰ συνάπτων, καὶ δεικνύς, ὅτι οὐδὲ Ἰσαὰκ ἁπλῶς τοῦ Ἀβραὰμ τέκνον ἦν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅσοι κατὰ τὸν Ἰσαὰκ ἐγεννήθησαν, οὗτοι τέκνα τοῦ Θεοῦ εἰσι, καὶ σπέρμα τοῦ Ἀβραάμ. Διὰ γὰρ τοῦτο εἶπεν, «Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα», ἵνα μάθῃς, ὅτι οἱ τῷ τρόπῳ τούτῳ γεννώμενοι τῷ κατὰ τὸν Ἰσαάκ, οὗτοι μάλιστά εἰσι τὸ σπέρμα τοῦ Ἀβραάμ.

Πῶς οὖν ὁ Ἰσαὰκ ἐγεννήθη; Οὐ κατὰ νόμον φύσεως, οὐδὲ κατὰ δύναμιν σαρκός, ἀλλὰ κατὰ δύναμιν ἐπαγγελίας. Τί ἐστι, κατὰ δύναμιν ἐπαγγελίας; «Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός». Αὕτη τοίνυν ἡ ἐπαγγελία καὶ τὸ ῥῆμα τοῦ Θεοῦ τὸν Ἰσαὰκ διέπλασέ τε καὶ ἐγέννησε. Τί γάρ, εἰ καὶ μήτρα ὑπέκειτο, καὶ νηδὺς γυναικός; Οὐ γὰρ ἡ δύναμις τῆς νηδύος, ἀλλ' ἡ τῆς ἐπαγγελίας ἰσχὺς ἔτεκε τὸ παιδίον. Οὕτω καὶ ἡμεῖς γεννώμεθα διὰ τῶν τοῦ Θεοῦ ῥημάτων. Ἐν γὰρ τῇ κολυμβήθρᾳ τῶν ὑδάτων ῥήματά ἐστι Θεοῦ τὰ γεννῶντα ἡμᾶς καὶ διαπλάτοντα· εἰς γὰρ ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτιζόμενοι γεννώμεθα. Αὕτη δὲ οὐχὶ φύσεως, ἀλλ' ἐπαγγελίας Θεοῦ ἡ γέννησις. Ὥσπερ γὰρ τὴν τοῦ Ἰσαὰκ προαγορεύσας γέννησιν, τότε αὐτὴν ἐπλήρωσεν, οὕτω καὶ τὴν ἡμετέραν πρὸ πολλῶν προανεφώνησε χρόνων διὰ τῶν προφητῶν ἁπάντων, καὶ μετὰ ταῦτα εἰς ἔργον ἐξήγαγεν. Εἶδες ἡλίκον ἀπέδειξε, καὶ πῶς μέγα ἐπαγγειλάμενος κατεσκεύασεν αὐτὸ μετ' εὐκολίας ἁπάσης; Εἰ δὲ λέγοιεν Ἰουδαῖοι, ὅτι τό, «ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα», τοῦτο εἶναι τὸ τοὺς ἐκ τοῦ Ἰσαὰκ γεννωμένους αὐτῷ λογίζεσθαι εἰς σπέρμα, ἔδει καὶ τοὺς Ἰουδαίους καὶ πάντας ἐκείνους υἱοὺς χρηματίζειν αὐτοῦ· ὁ γὰρ πρόγονος αὐτῶν Ἡσαῦ υἱὸς ἦν τοῦ Ἰσαάκ. Νῦν δὲ οὐ μόνον οὐ χρηματίζουσι παῖδες, ἀλλὰ καὶ σφόδρα εἰσὶν ἀπηλλοτριωμένοι.

Ὁρᾷς, ὅτι οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ,

Θεοῦ αὐτά θεωροῦνται ἀπόγονοι». Καί πρόσεχε τή σύνεση καί τή μεγαλοφροσύνη τοῦ Παύλου. Γιατί, ἑρμηνεύοντας δέν εἶπε, ὅτι 'δέν εἶναι τά τέκνα τῆς σάρκας τέκνα τοῦ 'Αβραάμ', ἀλλά «τά τέκνα τοῦ Θεοῦ», συνδέοντας μέ τό παρόν τά παλαιά, καί δείχνοντας, ὅτι οὔτε ὁ Ἰσαάκ ἁπλῶς ἦταν τέκνο τοῦ 'Αβραάμ. Αὐτό δηλαδή πού λέγει σημαίνει τό ἑξῆς· ὅσοι γεννήθηκαν σύμφωνα μέ τό ὑπόδειγμα τοῦ Ἰσαάκ, αὐτοί εἶναι τέκνα τοῦ Θεοῦ, καί ἀπόγονοι τοῦ 'Αβραάμ. Γι' αὐτό λοιπόν εἶπε, «ἀπό τόν Ἰσαάκ θά ὀνομασθοῦν οἱ δικοί σου ἀπόγονοι», γιά νά μάθεις, ὅτι ὅσοι γεννιοῦνται σύμφωνα μέ τόν τρόπο αὐτόν πού γεννήθηκε ὁ Ἰσαάκ, αὐτοί πρό πάντων εἶναι οἱ ἀπόγοινοι τοῦ 'Αβραάμ.

Πῶς λοιπόν γεννήθηκε ὁ Ἰσαάκ; Ὄχι σύμφωνα μέ τό νόμο τῆς φύσεως, οὔτε σύμφωνα μέ τή δύναμη τῆς σάρκας, ἀλλά σύμφωνα μέ τή δύναμη τῆς ὑπόσχεσης. Τί σημαίνει, «σύμφωνα μέ τή δύναμη τῆς ὑποσχέσεως»; «Κατά τόν καιρό αὐτόν θά ἔρθω, καί ἡ Σάρρα θά ἔχει υἱό». Αὐτή λοιπόν ἡ ὑπόσχεση καί ὁ λόγος τοῦ Θεοῦ καί διέπλασε καί γέννησε τόν Ἰσαάκ. Τί δηλαδη ἄν καί μήτρα ὑπῆρχε καί κοιλιά γυναίκας; Γιατί ὄχι ἡ δύναμη τῆς κοιλιᾶς, ἀλλά ἡ δύναμη τῆς ὑπόσχεσης γέννησε τό παιδί. Ἔτσι καί μεῖς γεννιόμαστε μέ τούς λόγους τοῦ Θεοῦ. Γιατί στήν κολυμβήθρα μέ τό νερό οἱ λόγοι τοῦ Θεοῦ εἶναι ἐκεῖνοι πού μᾶς γεννοῦν καί μᾶς διαπλάθουν, ἀφοῦ γεννιόμαστε ὅταν βαπτιζόμαστε στό ὄνομα τοῦ Πατέρα καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος. Αὐτή ὅμως ἡ γέννηση δέν ἀνήκει στή φύση, ἀλλά στήν ὑπόσχεση τοῦ Θεοῦ. Ὅπως ἀκριβῶς λοιπόν προαναγγέλλοντας τή γέννηση τοῦ Ἰσαάκ, τήν ἐκπλήρωσε τότε, ἔτσι καί τή δική μας γέννηση προανήγγειλε πρίν ἀπό πολλά χρόνια μέ ὅλους τούς προφῆτες, καί ἔπειτα τήν πραγματοποίησε. Εἶδες πόσο μεγάλο πράγμα ἀπέδειξε, καί πῶς, ἀφοῦ ὑποσχέθηκε ἕνα τόσο μεγάλο, τό ἀπέδειξε μέ κάθε εὐκολία; Ἐάν ὅμως ἔλεγαν οἱ Ἰουδαῖοι, ὅτι τό, «ἀπό τόν Ἰσαάκ θά ὀνομασθοῦν οἱ δικοί σου ἀπόγονοι», αὐτό σημαίνει τό νά συγκαταλέγονται στούς ἀπογόνους του ὅσοι γεννιοῦνται ἀπό τόν Ἰσαάκ, ἔπρεπε καί ὅλοι οἱ Ἰδουμαῖοι νά ὀνομάζονται τέκνα του, γιατί ὁ πρόγονός τους ὁ Ἠσαῦ ἦταν υἱός τοῦ Ἰσαάκ. Τώρα ὅμως ὄχι μόνο δέν ὀνομάζονται τέκνα, ἀλλά καί ἔχουν ἀποξενωθεῖ πάρα πολύ ἀπ' αὐτόν.

Βλέπεις, ὅτι τά τέκνα τῆς σάρκας δέν εἶναι τέκνα τοῦ Θεοῦ,

ἀλλὰ καὶ ἐν αὐτῇ τῇ φύσει ἡ διὰ τοῦ βαπτίσματος ἄνωθεν προϋπογράφεται γέννησις; Εἰ δὲ τὴν μήτραν μοι λέγεις, ἔχω κἀγὼ τὸ ὕδωρ εἰπεῖν. Ἀλλ' ὥσπερ ἐνταῦθα τὸ πᾶν τοῦ Πνεύματος, οὕτω κἀκεῖ τὸ πᾶν τῆς ἐπαγγελίας· τοῦ γὰρ ὕδατος ψυχροτέρα ἦν ἡ μήτρα διὰ τὴν στείρωσιν καὶ τὸ γῆρας. Καταμάθωμεν τοίνυν ἡμῶν τὴν εὐγένειαν μετὰ ἀκριβείας ἁπάσης, καὶ ἀξίαν αὐτῆς ἐπιδειξώμεθα πολιτείαν· οὐδὲ γὰρ ἔχει τι σαρκικὸν οὐδὲ γεῶδες. Μὴ τοίνυν μηδὲ ἡμεῖς. Οὐδὲ γὰρ ὕπνος, οὐδὲ θέλημα σαρκὸς καὶ περιπλοκαί, οὐδὲ οἶστρος ἐπιθυμίας, ἀλλὰ φιλανθρωπία Θεοῦ τὸ πᾶν ἐποίησε. Καὶ καθάπερ ἐκεῖ τῆς ἡλικίας ἀπογνωσθείσης, οὕτω καὶ ἐνταῦθα τοῦ γήρως τῶν ἁμαρτημάτων ἐπελθόντος, ἐξαίφνης νέος ἀνῆλθεν ὁ Ἰσαάκ, καὶ πάντες τοῦ Θεοῦ γεγόναμεν παῖδες, καὶ σπέρμα τοῦ Ἀβραάμ.

4. *«Οὐ μόνον δέ, ἀλλὰ καὶ Ρεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν». Μέγα τὸ ζητούμενον ἦν· διὸ καὶ πολλοὺς κινεῖ λογισμούς, καὶ πανταχόθεν ἐπιχειρεῖ λῦσαι τὴν ἀπορίαν. Εἰ γὰρ καὶ παράδοξον καὶ καινὸν τὸ μετὰ τοσαύτας ἐπαγγελίας ἐκπεσεῖν ἐκείνους, πολλῷ παραδοξότερον, τὸ καὶ ἡμᾶς εἰς τὰ ἐκείνων εἰσελθεῖν ἀγαθά, τοὺς μηδὲν προσδοκήσαντας τοιοῦτον. Καὶ ταὐτὸν ἐγένετο, οἷον ἂν εἰ βασιλέως υἱὸς ἐπαγγελίας ἔχων τὴν ἀρχὴν διαδέξασθαι τὴν ἐκείνου, εἰς τὴν τῶν ἀτίμων ἐκβληθείη τάξιν, καὶ ἀντ' ἐκείνου κατάδικος ἄνθρωπος καὶ μυρίων γέμων κακῶν, ἐκβληθεὶς τοῦ δεσμωτηρίου, τὴν ἀρχὴν λάβοι τὴν ἐκείνῳ προσήκουσαν. Τί γὰρ ἂν ἔχοις εἰπεῖν, φησίν; Ὅτι ἀνάξιος ὁ υἱός; Ἀλλὰ καὶ οὗτος ἀνάξιος, καὶ πολλῷ μᾶλλον. Οὐκοῦν ἔδει ἢ ὁμοῦ κολάζεσθαι, ἢ ὁμοῦ τιμᾶσθαι. Τοιοῦτον δή τι καὶ ἐπὶ τῶν ἐθνῶν γέγονε, καὶ ἐπὶ τῶν Ἰουδαίων, καὶ πολλῷ τούτου παραδοξότερον. Ὅτι μὲν γὰρ πάντες ἀνάξιοι, ἐδήλωσεν ἐν τοῖς εἰρημένοις, εἰπών, «πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ», τὸ δὲ καινόν, ὅτι πάντων ἀναξίων ὄντων, τὰ ἔθνη διεσώθη μόνα.*

Μετὰ δὲ τούτων καὶ ἕτερον ἄν τις διαπορήσειε πάλιν, φησίν· εἰ γὰρ μὴ ἔμελλε πληροῦν αὐτοῖς τὰς ὑποσχέσεις ὁ Θεός, τίνος ἕνεκεν καὶ ὑπισχνεῖτο; Ἄνθρωποι μὲν γὰρ οἱ τὸ μέλλον μὴ εἰδότες,

---

8. Ρωμ. 3, 23.

ἀλλά καί ὅτι σ' αὐτή τή φύση ἡ γέννηση μέ τό βάπτισμα προδηλώνεται ἀπό τό Θεό; Ἐάν ὅμως μοῦ λέγεις τή μήτρα, μπορῶ καί ἐγώ νά πῶ τό νερό. Ἀλλ' ὅπως ἐδῶ ὅλα ἀνήκουν στό ἅγιο Πνεῦμα, ἔτσι καί ἐκεῖ ὅλα ἀνήκουν στήν ὑπόσχεση, γιατί ἡ μήτρα ἀπό τή στείρωση καί τά γηρατειά ἦταν πιό ψυχρή ἀπό τό νερό. Ἄς μάθουμε λοιπόν καλά μέ κάθε ἀκρίβεια τήν εὐγενική μας καταγωγή, καί ἄς δείξουμε συμπεριφορά ὅπως ἀξίζει σ' αὐτή· γιατί δέν ἔχει τίποτε τό σαρκικό οὔτε τό γήινο. Ἄς μήν ἔχουμε λοιπόν οὔτε ἐμεῖς. Γιατί οὔτε ὁ ὕπνος, οὔτε τό θέλημα τῆς σάρκας καί οἱ περιπτύξεις, οὔτε ὁ πόθος τῆς ἐπιθυμίας, ἀλλ' ἡ φιλανθρωπία τοῦ Θεοῦ ἔκαμε τά πάντα. Καί ὅπως ἀκριβῶς ἐκεῖ ἀφοῦ προχώρησε πάρα πολύ ἡ ἡλικία, ἔτσι καί ἐδῶ ἀφοῦ ἦρθαν τά γηρατειά τῶν ἁμαρτημάτων, ξαφνικά ἐμφανίσθηκε νέος ὁ Ἰσαάκ, καί ὅλοι γίναμε τέκνα τοῦ Θεοῦ καί ἀπόγονοι τοῦ Ἀβραάμ.

4 «Καί ὄχι μόνο αὐτό, ἀλλά καί ἡ Ρεβέκκα ἀπό ἕναν ἄνδρα, τόν πατέρα μας Ἰσαάκ, συνέλαβε παιδιά». Μεγάλο ἦταν τό ζητούμενο. Γι' αὐτό καί πολλές σκέψεις κάνει καί ἀπό παντοῦ προσπαθεῖ νά λύσει τήν ἀπορία. Ἐάν λοιπόν εἶναι παράξενο καί πρωτάκουστο τό νά ἐκπέσουν ἐκεῖνοι ὕστερα ἀπό τόσο πολλές ὑποσχέσεις, πολύ πιό παράξενο εἶναι τό νά μποῦμε καί μεῖς στά ἀγαθά ἐκείνων, ἐμεῖς πού δέν προσδοκήσαμε τίποτε τέτοιο. Καί ἔγινε τό ἴδιο, ὅπως ἄν ἕνας υἱός τοῦ βασιλιᾶ, πού εἶχε ὑποσχέσεις πώς θά διαδεχθεῖ τήν ἐξουσία του, στεροῦνταν τά πολιτικά του δικαιώματα, καί στή θέση του κάποιος κατάδικος καί φορτωμένος μέ ἄπειρα κακά, ἀφοῦ βγῆκε ἀπό τή φυλακή, ἔπαιρνε τήν ἐξουσία πού ἀνῆκε σ' ἐκεῖνον. Τί λοιπόν, λέγει, θά μποροῦσες νά πεῖς; Ὅτι ἦταν ἀνάξιος ὁ υἱός; Ἀλλά καί αὐτός ἦταν ἀνάξιος, καί πολύ περισσότερο μάλιστα. Ἔπρεπε βέβαια ἤ μαζί νά τιμωροῦνται, ἤ μαζί νά τιμοῦνται. Κάτι τέτοιο λοιπόν ἔγινε σχετικά μέ τούς ἐθνικούς καί τούς Ἰουδαίους, καί πολύ πιό παράδοξο ἀπ' αὐτό. Γιατί, ὅτι ὅλοι εἶναι ἀνάξιοι, τό φανέρωσε στά προηγούμενα, λέγοντας, «γιατί ὅλοι ἁμάρτησαν, καί στεροῦνται τή δόξα τοῦ Θεοῦ»[8], τό πρωτάκουστο ὅμως εἶναι, ὅτι μόνο οἱ ἐθνικοί σώθηκαν, παρ' ὅλο πού ἦταν ἀνάξιοι ὅλοι.

Μαζί μ' αὐτά ὅμως, λέγει, καί ἄλλη ἀπορία θά μποροῦσε νά ἔχει πάλι κάποιος· ἄν λοιπόν δέν ἐπρόκειτο νά τούς ἐκπληρώσει τίς ὑποσχέσεις ὁ Θεός, γιά ποιό λόγο καί ὑποσχόταν; Γιατί οἱ ἄνθρω-

πολλάκις ἀπατώμενοι, καὶ τοῖς οὐκ ἀξίοις τὰς αὐτῶν λαβεῖν δωρεὰς ἐπαγγέλλονται· ὁ δὲ καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα προειδώς, καὶ σαφῶς ἐπιστάμενος, ὅτι ἀναξίους ἑαυτοὺς καταστήσουσι τῶν ὑποσχέσεων, καὶ διὰ τοῦτο οὐδὲν λήψονται τῶν εἰρημένων, τίνος ἕνεκεν καὶ ἐπαγγέλλεται; Πῶς οὖν αὐτὰ ἔλυσεν ὁ Παῦλος; Ἀπὸ τοῦ δεῖξαι τίς ἐστιν ὁ Ἰσραήλ, ᾧ ὑπέσχετο. Τούτου γὰρ δειχθέντος, κἀκεῖνο συναποδέδεικται, τὸ πεπληρῶσθαι τὰς ἐπαγγελίας ἁπάσας. Ὅπερ οὖν δηλῶν ἔλεγεν, «οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ». Διὰ τοῦτο οὐδὲ τὸ τοῦ Ἰακὼβ ὄνομα τέθεικε, ἀλλὰ τὸ τοῦ Ἰσραήλ· ὅπερ ἀρετῆς ἦν τοῦ δικαίου, καὶ τῆς ἄνωθεν δωρεᾶς, καὶ τοῦ Θεὸν ἑωρακέναι σύμβολον. Καίτοι φησίν, ὅτι πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Εἰ οὖν πάντες ἥμαρτον, πῶς οἱ μὲν ἐσώθησαν οἱ δὲ ἀπώλοντο; Ὅτι μὴ πάντες προσελθεῖν ἠβουλήθησαν· ὡς τό γε αὐτοῦ μέρος διεσώθησαν ἅπαντες· καὶ γὰρ ἐκλήθησαν ἅπαντες.

Ἀλλὰ τέως τοῦτο οὐ τίθησιν, ἀλλ' ἐκ περιουσίας αὐτὸ λύει, καὶ ἐκ παραδειγμάτων ἑτέρων, ἄλλο ζήτημα εἰς μέσον ἀγαγών, καὶ καθάπερ ἐν τοῖς ἔμπροσθεν ἔλυσεν ἀπορίαν μεγίστην δι' ἀπορίας ἑτέρας. Ἐπειδὴ γὰρ ἐζητεῖτο, πῶς, τοῦ Χριστοῦ δικαιωθέντος, πάντες ἀπήλαυσαν οἱ λοιποὶ τῆς δικαιοσύνης ἐκείνης, τὸ τοῦ Ἀδὰμ παρεισήγαγε, λέγων· «Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος λαβόντες, ἐν ζωῇ βασιλεύσουσι». Καὶ τὸ μὲν τοῦ Ἀδὰμ οὐ λύει, τὸ δὲ αὐτοῦ λύει ἐκ τούτου, καὶ δείκνυσιν ὅτι λόγον ἔχει πλείονα τὸ τὸν ὑπὲρ αὐτῶν ἀποθανόντα ἐξουσίαν ἔχειν αὐτῶν, ὡς ἂν ἐθέλῃ. Τὸ μὲν γὰρ ἑνὸς ἁμαρτόντος πάντας κολάζεσθαι, οὐ σφόδρα δοκεῖ κατὰ λόγον γίνεσθαι τοῖς πολλοῖς, τὸ δὲ ἑνὸς κατορθώσαντος πάντας δικαιοῦσθαι, καὶ λόγον ἂν ἔχοι μᾶλλον, καὶ τῷ Θεῷ πρεπωδέστερον. Ἀλλ' ὅμως οὐκ ἔλυσεν ἐκεῖνο τὸ ἀπορούμενον· ὅσῳ γὰρ ἀσαφέστερον ἔμενε, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἐπεστομίζετο· καὶ ἡ τούτου διαπόρησις ἐπ' ἐκεῖνο μετέβαινε, καὶ σαφέστερον τοῦτο ἐκεῖθεν ἐγίνετο.

Οὕτω δὴ καὶ ἐνταῦθα, ἐκ διαπορουμένων ἑτέρων λύει τὰ

9. Ρωμ. 5, 17.

ποι, οἱ ὁποῖοι δέ γνωρίζουν τό μέλλον, πολλές φορές γελιοῦνται καί ὑπόσχονται νά λάβουν τίς δωρεές τους καί οἱ ἀνάξιοι, ἐνῶ αὐτός πού γνωρίζει ἀπό πρίν καί τά παρόντα καί τά μέλλοντα, καί γνωρίζει μάλιστα καλά, ὅτι θά καταστήσουν τούς ἑαυτούς τους ἀνάξιους γιά τίς ὑποσχέσεις, καί γι' αὐτό δέ θά λάβουν τίποτε ἀπ' αὐτά πού λέχθηκαν, γιά ποιό λόγο καί ὑπόσχεται; Πῶς λοιπόν ἔλυσε αὐτά ὁ Παῦλος; Ἀπό τό νά δείξει ποιός εἶναι ὁ Ἰσραήλ, στόν ὁποῖο ὑποσχόταν. Γιατί, ἀφοῦ ἀποδειχθεῖ αὐτό, καί ἐκεῖνο ἔχει ἀποδειχθεῖ μαζί, τό ὅτι δηλαδή ἐκπληρώθηκαν ὅλες οἱ ὑποσχέσεις. Αὐτό ἀκριβῶς λοιπόν γιά νά δηλώσει ἔλεγε, «γιατί πραγματικοί Ἰσραηλίτες δέν εἶναι ὅλοι ὅσοι κατάγονται ἀπό τόν Ἰσραήλ». Γι' αὐτό οὔτε τό ὄνομα τοῦ Ἰακώβ ἀνέφερε, ἀλλά τό ὄνομα τοῦ Ἰσραήλ, πράγμα πού ἦταν ἀπόδειξη τῆς ἀρετῆς τοῦ δικαίου καί τῆς δωρεᾶς πού ἔλαβε ἀπό τό Θεό, καί σημάδι τοῦ ὅτι εἶχε δεῖ τό Θεό. Ἐάν λοιπόν ὅλοι ἁμάρτησαν, πῶς ἄλλοι σώθηκαν καί ἄλλοι καταστράφηκαν; Γιατί δέ θέλησαν ὅλοι νά ἔρθουν πρός τό Θεό· ὡς πρός τό δικό του μέρος βέβαια σώθηκαν ὅλοι, γιατί πραγματικά κλήθηκαν ὅλοι.

Ὅμως πρῶτα δέν ἀνεφέρει αὐτό, ἀλλά λύνει τό ζήτημα κατά τρόπο θαυμαστό καί ἀπό παραδείγματα ἄλλα, φέρνοντας ἄλλο ζήτημα στή μέση, καί ὅπως ἀκριβῶς στά προηγούμενα ἔλυσε μέγιστη ἀπορία μέ ἄλλη ἀπορία. Ἐπειδή λοιπόν τό ζήτημα ἦταν, πῶς, ἀφοῦ δικαιώθηκε ὁ Χριστός, ὅλοι οἱ ὑπόλοιποι ἀπόλαυσαν τή δικαίωση ἐκείνη, παρουσίασε τό σχετικό μέ τόν Ἀδάμ, λέγοντας· «ἐάν λοιπόν μέ τό ἁμάρτημα τοῦ ἑνός βασίλευσε ὁ θάνατος, πολύ περισσότερο ἐκεῖνοι πού παίρνουν τήν ἀφθονία τῆς χάριτος θά βασιλεύσουν στή ζωή»[9]. Καί τό ζήτημα τοῦ Ἀδάμ δέν τό λύνει, ἀλλά λύνει ἀπ' αὐτό τό δικό του, καί δείχνει πώς ἔχει περισσότερο λόγο τό νά τούς ἐξουσιάζει, ὅπως θά ἤθελε, ἐκεῖνος πού πέθανε γιά τή σωτηρία τους. Γιατί τό νά τιμωροῦνται ὅλοι, ἐπειδή ἁμάρτησε ἕνας, δέ φαίνεται στούς πολλούς πώς εἶναι πάρα πολύ λογικό, ἐνῶ τό νά δικαιώνονται ὅλοι, ἐπειδή ἕνας κατόρθωσε, καί περισσότερο λογικό θά ἦταν καί πιό ταιριαστό στό Θεό. Ἀλλ' ὅμως δέν ἔλυσε ἐκείνη τήν ἀπορία. Γιατί ὅσο παρέμενε ἀσαφέστερο, τόσο περισσότερο ἀποστομωνόταν ὁ Ἰουδαῖος· καί ἡ δική του ἀπορία μεταφερόταν σ' ἐκεῖνο, καί σαφέστερο γινόταν αὐτό ἀπό ἐκεῖ.

Ἔτσι λοιπόν καί ἐδῶ, ἀπό ἄλλα πού βρίσκονται σέ πλήρη ἀμ-

ζητούμενα· πρὸς γὰρ Ἰουδαίους ὁ ἀγὼν ἦν αὐτῷ. Διά τοι τοῦτο τὰ μὲν παραδείγματα, ἅπερ ἤγαγεν εἰς μέσον, οὐ σφόδρα λύει· οὐ γὰρ ἦν ὑπεύθυνος τούτοις, ὡς ἐν τῇ πρὸς Ἰουδαίους μάχῃ· τὰ δὲ αὐτοῦ πάντα ἐξ ἐκείνων ποιεῖ σαφέστερα. Τί γὰρ θαυμάζεις, φησίν, ὅτι Ἰουδαίων οἱ μὲν ἐσώθησαν, οἱ δὲ οὐκ ἐσώθησαν νῦν; Καὶ γὰρ ἄνωθεν τοῦτο ἐπὶ τῶν πατριαρχῶν γινόμενον ἴδοι τις ἄν. Διὰ τί γὰρ ὁ Ἰσαὰκ σπέρμα καλεῖται μόνος, καίτοιγε καὶ τοῦ Ἰσμαὴλ αὐτὸς ἦν πατὴρ καὶ ἑτέρων πλειόνων; Ἀλλὰ ἀπὸ δούλης ἦν μητρός; Καὶ τί τοῦτο πρὸς τὸν γεγεννηκότα; Πλὴν οὐδὲν φιλονεικῶ· ἐκβαλλέσθω διὰ τὴν μητέρα οὗτος· τί ἂν εἴποιμεν περὶ τῶν ἀπὸ τῆς Χεττούρας; οὐχὶ ἐλεύθεροι, καὶ ἐξ ἐλευθέρας; διὰ τί μὴ τοῖς αὐτοῖς ἐτιμήθησαν προεδρίοις τῷ Ἰσαάκ; Καὶ τί λέγω τούτους; Ἡ γὰρ Ρεβέκκα καὶ μόνη τῷ Ἰσαὰκ γέγονε γυνή, καὶ δύο τεκοῦσα παῖδας, ἐκ τοῦ Ἰσαὰκ ἔτεκεν ἀμφοτέρους· ἀλλ' ὅμως οἱ τεχθέντες τοῦ αὐτοῦ πατρὸς ὄντες, τῆς αὐτῆς μητρός, τὰς αὐτὰς λύσαντες ὠδῖνας, καὶ ὁμοπάτριοι ὄντες καὶ ὁμομήτριοι, καὶ πρὸς τούτοις καὶ δίδυμοι, οὐ τῶν αὐτῶν ἀπήλαυσαν. Καίτοιγε ἐνταῦθα οὐ δουλείαν ἔχεις αἰτιάσασθαι μητρός, ὡς ἐπὶ τοῦ Ἰσμαήλ, οὐ τὸν μὲν ἐκ ταύτης, τὸν δὲ ἐξ ἑτέρας γεγεννῆσθαι νηδύος, καθάπερ ἐπὶ τῆς Χεττούρας καὶ τῆς Σάρρας, ὅπου γε καὶ τῆς ὥρας αὐτῆς ἐκοινώνησαν τῶν ὠδίνων.

Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ὡς ἐπὶ σαφέστερον ἐξελθὼν παράδειγμα, «οὐ μόνον δὲ» ἐπὶ τοῦ Ἰσαὰκ τοῦτο συνέβη», φησίν, «ἀλλὰ καὶ Ρεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν. Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος, ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι· καθὼς γέγραπται, τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα». Τίνος οὖν ἕνεκεν ὁ μὲν ἐφιλεῖτο, ὁ δὲ ἐμισεῖτο; διὰ τί ὁ μὲν ἐδούλευεν, ὁ δὲ ἐδουλεύετο; Ἐπειδὴ ὁ μὲν πονηρός, ὁ δὲ ἀγαθὸς ἦν. Καίτοι μηδέπω γεννηθέντων, ὁ μὲν ἐτιμᾶτο, ὁ δὲ κατεδικά-

10. Τόν Ἰσμαήλ ἀπέκτησε ὁ Ἀβραάμ ἀπό τήν Ἄγαρ.

11. Ἡ Χεττούρα ἦταν ἡ δεύτερη γυναίκα τόν Ἀβραάμ. Γιά τούς ἀπογόνους της βλ. Γεν. 25, 1–6.

φιβολία λύνει τά ζητήματα. Γιατί ὁ ἀγώνας του ἦταν πρός τούς Ἰουδαίους. Γι' αὐτό βέβαια τά παραδείγματα πού ἀνέφερε, δέν τά λύνει πλήρως, γιατί δέν ἦταν ὑπεύθυνος γι' αὐτά, ὅπως στή μάχη πρός τούς Ἰουδαίους, τά δικά του ὅμως ὅλα τά κάνει σαφέστερα ἀπό ἐκεῖνα. Γιατί λοιπόν θαυμάζεις, λέγει, ὅτι ἀπό τούς Ἰουδαίους ἄλλοι σώθηκεν, ἐνῶ ἄλλοι δέ σώθηκαν τώρα; Γιατί μπορεῖ νά δεῖ κανείς νά γίνεται αὐτό καί ἀπό τήν ἀρχή στούς πατριάρχες. Γιατί λοιπόν ὁ Ἰσαάκ ὀνομάζεται ἀπόγονος μόνο, μολονότι βέβαια ὁ Ἀβραάμ ἦταν πατέρας καί τοῦ Ἰσμαήλ[10] καί πάρα πολλῶν ἄλλων; Ἀλλ' ἦταν ἀπό δούλη μητέρα; Καί τί σχέση ἔχει αὐτό πρός τόν πατέρα; Ὅμως καθόλου δέ φιλονεικῶ· ἄς ἐξαιρεθεῖ αὐτός ἐξ αἰτίας τῆς μητέρας. Τί θά λέγαμε γιά τούς ἀπογόνους τῆς Χεττούρας[11]; Δέν ἦταν ἐλεύθεροι καί δέν κατάγονταν ἀπό ἐλεύθερη μητέρα; Γιατί δέν τιμήθηκαν μέ τά ἴδια ἀξιώματα μέ τόν Ἰσαάκ; Καί γιατί λέγω αὐτούς; Καθόσον ἡ Ρεβέκκα καί ἡ μόνη γυναίκα ὑπῆρξε τοῦ Ἰσαάκ, καί δύο παιδιά ἀφοῦ γέννησε, τά ἀπέκτησε καί τά δύο ἀπό τόν Ἰσαάκ. Ἀλλ' ὅμως τά παιδιά, ἄν καί ἦταν ἀπό τόν ἴδιο πατέρα, καί τήν ἴδια μητέρα, ἄν καί ἔλυσαν τούς ἴδιους πόνους τοῦ τοκετοῦ, ἄν καί κατάγονταν καί ἀπό τόν ἴδιο πατέρα καί ἀπό τήν ἴδια μητέρα, καί μαζί μ' αὐτά ἦταν καί δίδυμοι, δέν ἀπόλαυσαν τά ἴδια. Ὅμως ἐδῶ δέν μπορεῖς νά κατηγορήσεις γιά δουλεία τῆς μητέρας, ὅπως στόν Ἰσμαήλ, οὔτε ὅτι ὁ ἕνας γεννήθηκε ἀπ' αὐτή τήν κοιλιά, ἐνῶ ὁ ἄλλος ἀπό ἄλλη, ὅπως ἀκριβῶς στή Χεττούρα καί τή Σάρρα, ἀφοῦ βέβαια βγῆκαν ἀπό τήν ἴδια κοιλιά.

Γι' αὐτό λοιπόν καί ὁ Παῦλος, ἐπειδή κατέληξε σέ σαφέστερο παράδειγμα, «καί ὄχι μόνο» στόν Ἰσαάκ συνέβηκε αὐτό, λέγει, «ἀλλά καί ἡ Ρεβέκκα, ἀπό ἕναν ἄνδρα, τόν πατέρα μας Ἰσαάκ, συνέλαβε παιδιά. Καί ἐνῶ δέν εἶχαν ἀκόμη γεννηθεῖ καί δέν εἶχαν κάνει τίποτε καλό ἤ κακό, γιά νά μένει σταθερή ἡ ἀπόφαση τοῦ Θεοῦ, ἡ ὁποία βασίζεται στήν ἐκλογή του καί δέν ἐξαρτᾶται ἀπό ἔργα, ἀλλ' ἀπό ἐκεῖνον πού καλεῖ, λέχθηκε σ' αὐτήν, ὅτι ὁ μεγαλύτερος θά δουλέψει στόν πιό νέο, καθώς εἶναι γραμμένο, τόν Ἰακώβ ἀγάπησα, τόν Ἠσαῦ ὅμως μίσησα». Γιά ποιό λοιπόν λόγο ὁ ἕνας ἀγαπιόταν, ἐνῶ ὁ ἄλλος μισοῦνταν; Γιατί ὁ ἕνας ὑπηρετοῦσε, ἐνῶ ὁ ἄλλος ὑπηρετοῦνταν; Ἐπειδή ὁ ἕνας ἦταν καλός, ἐνῶ ὁ ἄλλος κακός. Καί ὅμως, ἐνῶ δέν εἶχαν ἀκόμη γεννηθεῖ, ὁ ἕνας τιμόταν καί ὁ ἄλλος

ζετο· οὔπω γὰρ γεννηθέντων, ὁ Θεὸς ἔλεγεν, ὅτι «ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι». Τίνος οὖν ἕνεκεν τοῦτο εἶπεν ὁ Θεός; Ὅτι οὐκ ἀναμένει, καθάπερ ἄνθρωπος, ἀπὸ τοῦ τέλους τῶν πράξεων ἰδεῖν τὸν ἀγαθὸν καὶ τὸν οὐ τοιοῦτον, ἀλλὰ καὶ πρὸ τούτων οἶδε τίς μὲν ὁ πονηρός, τίς δὲ ὁ μὴ τοιοῦτος. Καὶ τοῦτο καὶ ἐπὶ τῶν Ἰσραηλιτῶν γέγονε μετὰ πλείονος τοῦ θαύματος. Τί γὰρ λέγω, φησί, περὶ τοῦ Ἠσαῦ καὶ τοῦ Ἰακώβ, ὧν ὁ μὲν πονηρὸς ἦν, ὁ δὲ ἀγαθός; Ἐπὶ γὰρ τῶν Ἰσραηλιτῶν κοινὸν τὸ ἁμάρτημα ἦν· πάντες γὰρ τὸν μόσχον προσεκύνησαν. Ἀλλ' ὅμως οἱ μὲν ἠλεήθησαν, οἱ δὲ οὐκ ἠλεήθησαν. «Ἐλεήσω γάρ», φησίν, «ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἄν οἰκτείρω».

Τοῦτο καὶ ἐπὶ τῶν κολαζομένων ἴδοι τις ἄν. Τί γὰρ ἂν εἴποις περὶ τοῦ Φαραώ, ὅτι ἐκολάσθη καὶ τοσαύτην ἔδωκε δίκην; Ὅτι σκληρὸς ἦν καὶ ἀπειθής; Ἆρ' οὖν αὐτὸς μόνος, ἄλλος δὲ οὐδὲ εἷς; πῶς οὖν αὐτὸς οὕτω σφοδρῶς ἐκολάζετο; Τί δήποτε δὲ καὶ ἐπὶ τῶν Ἰουδαίων τὸν οὐ λαὸν ἐκάλεσε λαόν, καὶ πάλιν οὐ πάντας τῆς αὐτῆς ἠξίωσε τιμῆς; «Ἐὰν γὰρ ὦσι», φησίν, «ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται». Καὶ τίνος ἕνεκεν τὸ κατάλειμμα μόνον; Ὁρᾷς ὅσης ἀπορίας ἐνέπλησε τὰ προκείμενα; Καὶ μάλα εἰκότως. Ὅταν γὰρ ἐξῇ τὸν ἀντίδικον εἰς ἀπορίαν ἐμβαλεῖν, μὴ εὐθέως τὴν λύσιν ἔπαγε. Εἰ γὰρ καὶ αὐτὸς φανείη τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος ὤν, τί κινδύνους αὐτὸς ἀναδέχῃ περιττούς; τί θρασύτερον ποιεῖς ἐκεῖνον, τὸ πᾶν ἐπὶ σαυτὸν ἕλκων; Εἰπὲ γάρ μοι, ὦ Ἰουδαῖε, τοσαῦτα ἀπορῶν, καὶ λύειν οὐδὲν τούτων δυνάμενος, πῶς ὑπὲρ τῆς τῶν ἐθνῶν κλήσεως ἡμῖν πράγματα παρέχεις; αἴτοιγε ἐγὼ ἔχω καὶ αἰτίαν δικαίαν εἰπεῖν, δι' ἣν τὰ ἔθνη ἐδικαιώθη, ὑμεῖς δὲ ἐξεπέσετε. Τίς οὖν ἡ αἰτία; Ὅτι οἱ μὲν ἐκ πίστεως, ὑμεῖς δὲ ὡς ἐξ ἔργων νόμου· καὶ ταύτῃ φιλονεικήσαντες προεδόθητε πανταχόθεν. «Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην», φησί, «καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν».

12. Ἠσ. 10, 22.

καταδικαζόταν. Γιατί, ἐνῶ δέν εἶχαν γεννηθεῖ ἀκόμη, ὁ Θεός ἔλεγε, ὅτι «ὁ μεγαλύτερος θά ὑπηρετήσει τόν πιό νέο». Γιά ποιό λόγο λοιπόν τό εἶπε ὁ Θεός αὐτό; Γιατί δέν περιμένει, ὅπως ὁ ἄνθρωπος ἀπό τό τέλος τῶν πράξεων νά δεῖ τόν ἀγαθό καί τόν πονηρό, ἀλλά καί πρίν ἀπ' αὐτές γνωρίζει ποιός εἶναι ὁ πονηρός καί ποιός εἶναι ὁ ἀγαθός. Καί αὐτό ἔγινε καί στήν περίπτωση τῶν Ἰσραηλιτῶν μέ περισσότερο θαυμαστό τρόπο. Γιατί ὅμως μιλάω, λέγει, γιά τόν Ἠσαῦ καί τόν Ἰακώβ, ἀπό τούς ὁποίους ὁ πρῶτος ἦταν πονηρός καί ὁ ἄλλος ἀγαθός; Γιατί στήν περίπτωση τῶν Ἰσραηλιτῶν ἦταν κοινό τό ἁμάρτημα, ἐπειδή ὅλοι προσκύνησαν τό μοσχάρι. Ἀλλ' ὅμως ἄλλοι ἐλεήθηκαν καί ἄλλοι δέν ἐλεήθηκαν. «Γιατί θά ἐλεήσω», λέγει, «ἐκεῖνον πού θέλω νά ἐλεῶ καί θά εὐσπλαχνισθῶ ἐκεῖνον πού θέλω νά εὐσπλαχνίζομαι».

Αὐτό θά μποροῦσε νά δεῖ κανείς καί σ' ἐκείνους πού τιμωροῦνται. Τί λοιπόν θά ἔλεγες γιά τό Φαραώ, πού κολάσθηκε καί τιμωρήθηκε τόσο πολύ; Ὅτι ἦταν σκληρός καί δέν ὑπάκουε; Μήπως τάχα αὐτός ἦταν μόνο, καί ἄλλος οὔτε ἕνας; Πῶς λοιπόν αὐτός τιμωροῦνταν τόσο σκληρά; Ἀλλά γιατί καί στούς Ἰουδαίους ὀνόμασε λαό ἐκεῖνον πού δέν ἦταν λαός του, καί πάλι δέν ἀξίωσε ὅλους μέ τήν ἴδια τιμή; «Γιατί ἄν θά γίνουν», λέγει, «ὅπως ἡ ἄμμος τῆς θάλασσας, ἕνα ὑπόλοιπο μόνο ἀπ' αὐτούς θά σωθεῖ»[12]. Καί γιά ποιό λόγο τό ὑπόλοιπο μόνο; Βλέπεις μέ πόση ἀπορία γέμισε τά ζητήματα αὐτά; Καί πολύ εὔλογα. Γιατί ὅταν θέλεις νά βάλεις σέ ἀπορία τόν ἀντίδικο, νά μήν προσθέτεις ἀμέσως τή λύση. Καθόσον ἄν φανερωνόταν πώς καί ἐσύ ὁ ἴδιος εἶσαι ὑπόλογος γιά τήν ἴδια ἄγνοια, γιατί ἀναλαμβάνεις περιττούς κινδύνους; Γιατί τόν κάνεις ἐκεῖνον θρασύτερο σύροντας τά πάντα ἐναντίον σου; Πές μου λοιπόν, Ἰουδαῖε, ἐνῶ ἔχεις τόσο πολλές ἀπορίες καί δέν μπορεῖς νά λύσεις καμιά ἀπ' αὐτές, πῶς μᾶς ἐνοχλεῖς γιά τήν κλήση τῶν ἐθνικῶν; Καί ὅμως ἐγώ μπορῶ νά πῶ καί αἰτία δίκαιη, γιά τήν ὁποία οἱ ἐθνικοί δικαιώθηκαν, ἐνῶ ἐσεῖς χάσατε τή δικαίωση. Ποιά λοιπόν εἶναι ἡ αἰτία; Ὅτι αὐτοί δικαιώθηκαν ἀπό τήν πίστη τους, ἐνῶ ἐσεῖς ἀπό τά ἔργα τοῦ νόμου χάσατε τή δικαίωση· καί ἀφοῦ φιλονεικήσατε ἔτσι προδοθήκατε ἀπό παντοῦ. «Γιατί, ἐπειδή ἀγνοοῦν τή δικαίωση τοῦ Θεοῦ», λέγει, «καί ἐπειδή ζητοῦν νά στήσουν τή δική τους ἀντίληψη γιά δικαίωση, δέν ὑποτάχθηκαν στή δικαίωση τοῦ Θεοῦ».

5. Ἡ μὲν οὖν λύσις τοῦ χωρίου παντός, ὡς ἐν κεφαλαίῳ τὸ πᾶν εἰπεῖν, οὕτω προάγεται παρὰ τῆς μακαρίας ἐκείνης ψυχῆς. Ἵνα δὲ καὶ σαφέστερα ταῦτα γένηται, καὶ καθ' ἕκαστον τῶν εἰρημένων ποιησώμεθα τὴν ἐξέτασιν ἐκεῖνο εἰδότες, ὅτι τὸ σπουδαζόμενον τῷ μακαρίῳ Παύλῳ τοῦτο ἦν, δεῖξαι διὰ πάντων τῶν εἰρημένων, ὅτι τοὺς ἀξίους ὁ Θεὸς οἶδε μόνος, ἀνθρώπων δὲ οὐδὲ εἷς, κἂν σφόδρα εἰδέναι δοκῇ, ἀλλὰ πολλαχοῦ διαπίπτει τὰ τῆς ψήφου ταύτης. Ὁ γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος, αὐτὸς οἶδε σαφῶς, τίνες μὲν στεφάνων ἄξιοι, τίνες δὲ κολάσεως καὶ τιμωρίας. Διὰ δὴ τοῦτο καὶ πολλοὺς παρὰ τοῖς ἀνθρώποις νομιζομένους ἀγαθοὺς εἶναι ἐκόλασε διελέγξας, καὶ πονηροὺς ὑποπτευομένους ἐστεφάνωσε, δείξας οὐκ ὄντας τοιούτους· οὐκ ἀπὸ τῆς τῶν δούλων γνώμης, ἀλλ' ἀπὸ τῆς οἰκείας κρίσεως τῆς ἀκριβοῦς καὶ ἀδεκάστου τὴν ψῆφον φέρων, καὶ οὐκ ἀναμένων ἀπὸ τῆς τῶν πράξεων ἐκβάσεως ἰδεῖν τὸν φαῦλον καὶ τὸν οὐ τοιοῦτον.

Πλὴν ἀλλ' ἵνα μὴ πάλιν ἀσαφέστερον τὸν λόγον ποιήσωμεν, ἐπ' αὐτὰ τὰ ῥήματα ἴωμεν τὰ ἀποστολικά. «Οὐ μόνον δέ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα». Ἠδυνάμην μὲν γάρ, φησίν, εἰπεῖν καὶ τοὺς ἀπὸ τῆς Χεττούρας, ἀλλ' οὐ λέγω· ἀλλ' ὥστε ἐκ περιουσίας τὴν νίκην ἄρασθαι, τοὺς ἐξ ἑνὸς πατρὸς καὶ μιᾶς τεχθέντας μητρός, τούτους εἰς μέσον ἄγω. Καὶ γὰρ ἀπὸ τῆς Ῥεβέκκας ἦσαν ἀμφότεροι, καὶ ἀπὸ τοῦ Ἰσαὰκ τοῦ γνησίου παιδός, τοῦ δοκίμου, τοῦ πάντων προτιμηθέντος, περὶ οὗ ἔφησεν, «ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα», τοῦ πατρὸς ἡμῶν πάντων γενομένου. Εἰ δὲ πατὴρ ἡμῶν ἐκεῖνος, καὶ τοὺς ἐξ ἐκείνου πατέρας ἔδει εἶναι· ἀλλ' οὐκ ἐγένοντο. Εἶδες πῶς οὐκ ἐπὶ τοῦ Ἀβραὰμ μόνον τοῦτο συμβαίνει, ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ παιδός, καὶ πανταχοῦ πίστις καὶ ἀρετή ἐστιν ἡ διαλάμπουσα, καὶ τὴν ἀκριβῆ συγγένειαν χαρακτηρίζουσα; Ἐντεῦθεν γὰρ μανθάνομεν, ὅτι οὐ μόνον διὰ τὸν τρόπον τῆς γεννήσεως, ἀλλὰ καὶ διὰ τὸ ἄξιοι εἶναι τῆς ἀρετῆς τοῦ γεγεννηκότος, οἱ παῖδες καλοῦνται παῖδες ἐκείνου. Εἰ γὰρ ἀπὸ τοῦ τρόπου τῆς γεννήσεως μόνον, ἔδει καὶ τὸν Ἠσαῦ τῶν αὐτῶν ἀπολαῦσαι τῷ Ἰακώβ· καὶ γὰρ καὶ οὗτος ἀπὸ νενεκρωμένης μήτρας ἦν, καὶ στεῖρα

5. Ἡ λύση λοιπόν ὅλου τοῦ χωρίου, γιά νά τά πῶ περιληπτικά ὅλα, ἔτσι δίνεται ἀπό τή μακάρια ἐκείνη ψυχή. Γιά νά γίνουν ὅμως καί σαφέστερα αὐτά, ἄς ἐξετάσουμε ἕνα - ἕνα χωριστά αὐτά πού λέχθηκαν, γνωρίζοντας αὐτό, ὅτι ἡ ὅλη φροντίδα τοῦ μακάριου Παύλου ἦταν αὐτή, τό νά δείξει δηλαδή μέ ὅλα ὅσα λέχθηκαν, ὅτι ὁ Θεός μόνο γνωρίζει τούς ἄξιους, ἐνῶ ἀπό τούς ἀνθρώπους οὔτε ἕνας, ἔστω καί ἄν νομίζει ὅτι γνωρίζει πάρα πολύ, ἀλλά σέ πολλά κάνει λάθος στήν κρίση του αὐτή. Ἐκεῖνος λοιπόν πού γνωρίζει καλά τά ἀπόρρητα τῆς διανοίας, αὐτός γνωρίζει καλά, ποιοί εἶναι ἄξιοι γιά βραβεῖα καί ποιοί γιά κόλαση καί τιμωρία. Γι' αὐτό βέβαια καί πολλούς, πού νομίζονταν ἀπό τούς ἀνθρώπους πώς εἶναι ἀγαθοί, τούς τιμώρησε ἀφοῦ τούς ἔλεγξε αὐστηρά, καί ἐκείνους πού θεωροῦνταν πονηροί τούς στεφάνωσε, ἀφοῦ ἔδειξε πώς δέν εἶναι τέτοιοι, βγάζοντας τήν ἀπόφαση ὄχι ἀπό τή γνώμη τῶν δούλων, ἀλλ' ἀπό τή δική του τήν κρίση τή σωστή καί ἀδέκαστη, καί χωρίς νά περιμένει νά δεῖ ἀπό τό ἀποτέλεσμα τῶν πράξεων τόν κακό καί τόν καλό.

Ἀλλ' ὅμως, γιά νά μήν κάνουμε πάλι ἀσαφέστερο τό λόγο, ἄς ἔρθουμε στά ἴδια τά ἀποστολικά λόγια. «Καί ὄχι μόνο αὐτό, ἀλλά καί ἡ Ρεβέκκα ἀπό ἕναν ἄνδρα μόνο συνέλαβε παιδιά». Μποροῦσα βέβαια, λέγει, ν' ἀναφέρω καί τούς ἀπογόνους τῆς Χεττούρας, ὅμως δέν τούς ἀναφέρω. Ἀλλά γιά νά κερδίσω πλούσια τή νίκη, ἐκείνους πού γεννήθηκαν ἀπό ἕνα πατέρα καί μία μητέρα, αὐτούς σᾶς ἀναφέρνω. Γιατί καί οἱ δύο ἦταν καί ἀπό τή Ρεβέκκα καί ἀπό τόν Ἰσαάκ, τό γνήσιο υἱό, τό νόμιμο, πού προτιμήθηκε ἀπ' ὅλους, γιά τόν ὁποῖο εἶπε, «ἀπό τόν Ἰσαάκ θά ὀνομασθοῦν οἱ δικοί σου ἀπόγονοι», πού ἔγινε πατέρας ὅλων μας. Ἐάν ὅμως ἐκεῖνος ἦταν πατέρας μας, καί οἱ ἀπόγονοί του ἔπρεπε νά εἶναι πατέρες, ἀλλά δέν ἔγιναν. Εἶδες πῶς αὐτό δέ συμβαίνει στόν Ἀβραάμ μόνο, ἀλλά καί σ' αὐτόν τόν υἱό του, καί πῶς παντοῦ ἡ πίστη καί ἡ ἀρετή εἶναι ἐκείνη πού λάμπει καί χαρακτηρίζει τήν ἀκριβή συγγένεια; Γιατί ἀπό ἐδῶ μαθαίνουμε, ὅτι ὄχι μόνο ἀπό τόν τρόπο τῆς γεννήσεως, ἀλλά καί ἀπό τό ὅτι εἶναι ἄξια τῆς ἀρετῆς τοῦ πατέρα, τά παιδιά ὀνομάζονται παιδιά του. Γιατί, ἄν ἦταν μόνο ἀπό τόν τρόπο τῆς γεννήσεως, ἔπρεπε καί ὁ Ἡσαῦ ν' ἀπολαύσει τά ἴδια μέ τόν Ἰακώβ, γιατί καί αὐτός

ἦν ἡ μήτηρ αὐτοῦ. Ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον μόνον, ἀλλὰ καὶ ὁ τρόπος, ὅπερ οὐ τὸ τυχὸν καὶ εἰς βίου συμβάλλεται διδασκαλίαν ἡμῖν.

Καὶ οὐ λέγει, ὅτι ἐπειδὴ ὁ μὲν ἀγαθός, ὁ δὲ πονηρός, διὰ τοῦτο προετιμήθη, ἵνα μὴ εὐθέως ἀντιπέσῃ αὐτῷ τοῦτο· τί οὖν; ἀγαθοί οἱ ἐξ ἐθνῶν μᾶλλον ἢ οἱ ἐκ περιτομῆς; Εἰ γὰρ καὶ οὕτως εἶχεν ἡ τοῦ πράγματος ἀλήθεια, ἀλλ' οὔπω αὐτὸ τίθησι· καὶ γὰρ ἐδόκει φορτικώτερον εἶναι· ἀλλ' ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν τὸ πᾶν ἔρριψεν, ᾗτινι μάχεσθαι οὐδεὶς ἂν ἐτόλμησεν, οὐδὲ εἰ σφόδρα μαινόμενος ἦν. «Μήπω γὰρ γεννηθέντων», φησίν, «ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι». Καὶ δείκνυσιν, ὅτι οὐδὲ ἡ κατὰ σάρκα εὐγένεια ὠφελεῖ, ἀλλὰ ψυχῆς ἀρετὴν δεῖ ζητεῖν, ἣν καὶ πρὸ τῶν ἔργων ὁ Θεὸς οἶδε. «Μήπω γὰρ γεννηθέντων», φησί, «μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι». Τοῦτο γὰρ προγνώσεως, τὸ καὶ ἐξ ὠδίνων αὐτῶν ἐκλέγεσθαι. Ἵνα οὖν φανῇ τοῦ Θεοῦ, φησίν, ἡ ἐκλογὴ ἡ κατὰ πρόγνωσιν γενομένη, ἐκ πρώτης ἡμέρας καὶ τὸν ἀγαθόν, καὶ τὸν οὐ τοιοῦτον καὶ εἶδε καὶ ἀνεκήρυξε. Μὴ τοίνυν μοι λέγε, φησίν, ὅτι νόμον ἀνέγνως καὶ προφήτας, καὶ τοσοῦτον ἐδούλευσας χρόνον. Ὁ γὰρ εἰδὼς ψυχὴν δοκιμάζειν, οὗτος οἶδε καὶ τίς ἄξιός ἐστι σωθῆναι. Παραχώρει τοίνυν τῷ ἀκαλήπτῳ τῆς ἐκλογῆς· καὶ γὰρ μόνος αὐτὸς οἶδεν ἀκριβῶς στεφανοῦν.

Πόσοι γοῦν τοῦ Ματθαίου βελτίους εἶναι ἐδόκουν κατὰ τὴν τῶν ἔργων ἐπίδειξιν τὴν φαινομένην; Ἀλλ' ὁ τὰ ἀπόρρητα εἰδώς, καὶ διανοίας ἐπιτηδειότητα δοκιμάσαι δυνάμενος, καὶ ἐν τῷ βορβόρῳ τὸν μαργαρίτην κείμενον ἔγνω, καὶ τοὺς ἄλλους παραδραμών, καὶ τούτου τὴν εὐμορφίαν θαυμάσας, αὐτὸν ἐξελέξατο, καὶ τῇ τῆς προαιρέσεως εὐγενείᾳ τὴν παρ' ἑαυτοῦ προσθεὶς χάριν, δόκιμον αὐτὸν ἀπέφηνεν. Εἰ γὰρ ἐπὶ τῶν τεχνῶν τούτων τῶν ἐπικήρων, καὶ τῶν ἄλλων πραγμάτων ἁπάντων, οἱ δεινοὶ κρίνειν οὐκ

ἦταν ἀπό νεκρή μήτρα καί στείρα ἦταν ἡ μητέρα του. Ὅμως δέν ἦταν αὐτό μόνο τό ζητούμενο, ἀλλά καί ὁ τρόπος, πράγμα πού δέν εἶναι τυχαῖο καί συμβάλλει στή διδασκαλία τῆς συμπεριφορᾶς μας.

Καί δέ λέγει, ὅτι ἐπειδή ὁ ἕνας ἦταν ἀγαθός καί ὁ ἄλλος πονηρός, γι' αὐτό προτιμήθηκε, γιά νά μήν τοῦ ἐναντιωθεῖ ἀμέσως σ' αὐτό,αὐτό· τί λοιπόν; περισσότερο ἀγαθοί εἶναι αὐτοί πού προέρχονται ἀπό τούς ἐθνικούς ἤ οἱ προερχόμενοι ἀπό τούς Ἰουδαίους; Ἄν καί βέβαια ἔτσι εἶχε ἡ ἀλήθεια τοῦ πράγματος, ἀλλά δέν τό ἀναφέρει αὐτό ἀκόμη, γιατί πραγματικά φαινόταν πώς εἶναι πιό ἐνοχλητικό. Ἀλλ' ὅλα τά ἀπέδωσε στή γνώση τοῦ Θεοῦ, μέ τήν ὁποία κανείς δέ θά τολμοῦσε νά πολεμήσει, οὔτε καί ἄν ἦταν πάρα πολύ τρελλός. «Καί ἐνῶ δέν εἶχαν ἀκόμη γεννηθεῖ», λέγει, «λέχθηκε σ' αὐτήν, ὅτι ὁ μεγαλύτερος θά δουλέψει στό μικρότερο». Καί δείχνει, ὅτι οὔτε ἡ σαρκική εὐγενική καταγωγή ὠφελεῖ, ἀλλά πρέπει νά ἐπιδιώκουμε τήν ἀρετή τῆς ψυχῆς, τήν ὁποία ὁ Θεός γνωρίζει καί πρίν ἀπό τά ἔργα. «Καί ἐνῶ δέν εἶχαν ἀκόμη γεννηθεῖ», λέγει, «καί δέν εἶχαν κάνει τίποτε καλό ἤ κακό, γιά νά παραμένει σταθερή ἡ ἀπόφαση τοῦ Θεοῦ πού βασίζεται στήν ἐκλογή του, λέχθηκε σ' αὐτήν, ὅτι ὁ μεγαλύτερος θά δουλέψει στό μικρότερο». Γιατί αὐτό ἦταν ἀπόδειξη προγνώσεως, τό νά ἐκλέγει δηλαδή καί ἀπ' αὐτούς τούς πόνους τοῦ τοκετοῦ. Γιά νά φανεῖ λοιπόν, λέγει, ἡ ἐκλογή τοῦ Θεοῦ πού ἔγινε σύμφωνα μέ τήν πρόγνωσή του, ἀπό τήν πρώτη ἡμέρα καί τόν ἀγαθό καί τόν πονηρό καί εἶδε καί ἀνακήρυξε. Μή λοιπόν μοῦ ἀναφέρεις, λέγει, ὅτι διάβασες τό νόμο καί τούς προφῆτες, καί ὅτι ὑπηρέτησες τόσο χρόνο. Γιατί ἐκεῖνος πού γνωρίζει νά δοκιμάζει τήν ψυχή, αὐτός γνωρίζει καί ποιός εἶναι ἄξιος νά σωθεῖ. Νά ὑποχωρεῖς λοιπόν στό ἀκατάληπτο τῆς ἐκλογῆς, γιατί πραγματικά αὐτός μόνο γνωρίζει μέ ἀκρίβεια νά στεφανώνει.

Πόσοι λοιπόν νόμιζαν πώς εἶναι καλύτεροι ἀπό τό Ματθαῖο σύμφωνα μέ τή φαινόμενη ἐπίδειξη τῶν ἔργων; Ἀλλ' ἐκεῖνος πού γνωρίζει τά ἀπόρρητα καί πού μπορεῖ νά δοκιμάσει τήν ἱκανότητα τῆς διάνοιας, γνώρισε τό μαργαριτάρι πού βρισκόταν μέσα στό βοῦρκο, καί, ἀφοῦ ἄφησε τούς ἄλλους καί θαύμασε τήν ὀμορφιά του, τόν διάλεξε καί,ἀφοῦ στήν εὐγένεια τῆς προαιρέσεώς του πρόσθεσε τή δική του χάρη, τόν ἀπέδειξε δόκιμο. Ἐάν λοιπόν στίς τέχνες αὐτές τίς ἀνθρώπινες καί σέ ὅλα τά ἄλλα πράγματα, οἱ ἱκανοί

ἀφ' ὧν ἰδιῶται ψηφίζονται, ἀπὸ τούτων ἐκλέγονται τὰ προκείμενα, ἀλλ' ἀφ' ὧν ἴσασιν αὐτοὶ σαφῶς, καὶ τὸ μὲν παρὰ τοῖς ἰδιώταις δοκιμασθὲν πολλάκις ἠτίμασαν, τὸ δὲ ἀτιμασθὲν ἐνέκριναν· καὶ πωλοδάμναι πολλάκις ἐπὶ τῶν ἵππων τοῦτο ἐποίησαν, καὶ οἱ τῶν τιμίων λίθων κριταί, καὶ οἱ τῶν ἄλλων δὲ τεχνῶν δημιουργοί· πολλῷ μᾶλλον ὁ φιλάνθρωπος Θεός, ἡ ἄπειρος σοφία, ὁ μόνος πάντα εἰδὼς σαφῶς, οὐκ ἀνέξεται τῆς τῶν ἀνθρώπων ὑπονοίας, ἀλλ' ἀπὸ τῆς οἰκείας σοφίας τῆς ἀκριβοῦς καὶ ἀδιαπτώτου τὴν περὶ πάντων οἴσει ψῆφον. Διά τοι τοῦτο καὶ τελώνην ἐξελέξατο καὶ ληστὴν καὶ πόρνην· ἱερέας δὲ καὶ πρεσβυτέρους καὶ ἄρχοντας ἠτίμασε καὶ ἐξέβαλε.

Τοῦτο καὶ ἐπὶ τῶν μαρτύρων συμβαῖνον ἴδοι τις ἄν. Πολλοὶ γοῦν τῶν σφόδρα ἀπερριμμένων ἐν καιρῷ τῶν ἀγώνων ἐστεφανώθησαν· καὶ τοὐναντίον, μεγάλοι παρὰ πολλοῖς νομισθέντες εἶναί τινες, ὑπεσκελίσθησαν καὶ κατέπεσον. Μὴ τοίνυν εὐθύνας ἀπαίτει τὸν δημιουργόν, μηδὲ λέγε, διὰ τί ὁ μὲν ἐστεφανώθη, ὁ δὲ ἐκολάσθη; οἶδε γὰρ μετὰ ἀκριβείας ταῦτα ποιεῖν. Διὸ καὶ ἔλεγε· «τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα». Ὅτι γὰρ δικαίως, σὺ μὲν ἀπὸ τοῦ τέλους ἔγνως, αὐτὸς δὲ καὶ πρὸ τοῦ τέλους ᾔδει σαφῶς. Οὐδὲ γὰρ ἔργων ἐπίδειξιν ζητεῖ μόνον ὁ Θεός, ἀλλὰ καὶ προαιρέσεως εὐγένειαν καὶ γνώμην εὐγνώμονα. Ὁ γὰρ τοιοῦτος, κἂν ὑπὸ περιστάσεώς τινός ποτε ἁμάρτῃ, ταχέως ἑαυτὸν ἀνακτήσεται· κἂν ἐν κακίᾳ διατρίβων τύχῃ, οὐ περιοφθήσεται, ἀλλὰ ταχέως αὐτὸν ἀνιμήσεται ὁ πάντα εἰδὼς Θεός· ὥσπερ οὖν ὁ ταύτῃ διεφθαρμένος, κἂν ἀγαθόν τι δόξῃ ποιεῖν, ἀπολεῖται μετὰ πονηρᾶς τοῦτο ἐργαζόμενος γνώμης. Ἐπεὶ καὶ ὁ Δαυΐδ, καὶ φονεύσας καὶ μοιχεύσας, ἐπειδὴ ἀπὸ περιστάσεώς τινος καὶ συναρπαγῆς, οὐκ ἀπὸ μελέτης τῆς κατὰ τὴν πονηρίαν ταῦτα εἰργάσατο, ταχέως αὐτὰ ἀπενίψατο· ὁ μέντοι Φαρισαῖος, οὐδὲν τούτων τολμήσας, ἀλλὰ καὶ ἐν ἄλλοις κομῶν ἀγαθοῖς, τῇ πονηρᾷ προαιρέσει πάντα ἀπώλεσε.

6. *«Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο». Οὐ-*

νά κρίνουν δέν ἐκλέγουν τά πράγματα πού τούς ἐνδιαφέρουν ἀπ' αὐτά πού ἀποφασίζουν οἱ ἀπλοϊκοί ἄνθρωποι, ἀλλά ἀπό ἐκεῖνα πού οἱ ἴδιοι γνωρίζουν καλά, καί ἐκεῖνο πού διάλεξαν οἱ ἀπλοϊκοί πολλές φορές τό περιφρόνησαν, ἐνῶ ἐκεῖνο πού περιφρόνησαν τό δέχτηκαν σάν σωστό, πράγμα πού καί οἱ γυμναστές ἀλόγων πολλές φορές τό ἔκαμαν στά ἄλογα, καί οἱ κριτές τῶν πολύτιμων λίθων, καθώς καί οἱ τεχνίτες τῶν ἄλλων τεχνῶν, πολύ περισσότερο ὁ φιλάνθρωπος Θεός, ἡ ἄπειρη σοφία, ὁ μόνος πού γνωρίζει τά πάντα καλά, δέ θά δεχθεῖ τή γνώμη τῶν ἀνθρώπων, ἀλλά θά βγάλει τήν ἀπόφαση γιά ὅλα ἀπό τή δική του σοφία τή σωστή καί ἀλάθητη. Γι' αὐτό ἀκριβῶς καί διάλεξε καί τελώνη καί ληστή καί πόρνη, ἐνῶ τούς ἱερεῖς, τούς πρεσβυτέρους καί τούς ἄρχοντες τούς περιφρόνησε καί τούς ἀπέρριψε.

Αὐτό καί στούς μάρτυρες μπορεῖ νά τό δεῖ κανείς νά συμβαίνει. Πολλοί λοιπόν ἀπό ἐκείνους πού εἶχαν περιφρονηθεῖ πάρα πολύ στήν ἐποχή τῶν ἀγώνων στεφανώθηκαν· καί τό ἀντίθετο, μερικοί πού θεωρήθηκαν ἀπό πολλούς ὅτι εἶναι μεγάλοι, ἀνατράπηκαν καί ἔπεσαν. Νά μή ζητᾶς λοιπόν εὐθύνες ἀπό τό Δημιουργό, οὔτε νά λέγεις, γιατί ὁ ἕνας στεφανώθηκε καί ὁ ἄλλος τιμωρήθηκε, γιατί γνωρίζει νά κάνει αὐτά μέ ἀκρίβεια. Γι' αὐτό καί ἔλεγε· «τόν Ἰακώβ ἀγάπησα, ἐνῶ τόν Ἠσαῦ τόν μίσησα». Καί δίκαια βέβαια, γιατί σύ ἀπό τό τέλος τό γνώρισες, ἐνῶ αὐτός καί πρίν ἀπό τό τέλος τό γνώριζε πολύ καλα. Γιατί ὁ Θεός δέ ζητάει μόνο ἐπίδειξη ἔργων, ἀλλά καί εὐγένεια προαιρέσεως καί ἀγαθή διάθεση. Γιατί ἕνας τέτοιος, καί ἄν ἀκόμη ἀπό κάποια περίσταση ἁμαρτήσει ποτέ, γρήγορα θά συνέλθει· καί ἄν ἀκόμη ζεῖ τυχαῖα στήν κακία, δέ θά περιφρονηθεῖ, ἀλλά γρήγορα θά τόν σηκώσει ὁ παντογνώστης Θεός, ὅπως ἀκριβῶς πάλι ἐκεῖνος πού ἔχει διαφθαρεῖ ἀπ' αὐτήν, καί ἄν ἀκόμη φανεῖ ὅτι κάνει κάτι ἀγαθό, θά χαθεῖ, ἀφοῦ κάνει αὐτό μέ πονηρή διάθεση. Γιατί καί ὁ Δαβίδ παρ' ὅλο πού ἔκαμε καί φόνο καί μοιχεία, ἐπειδή τά ἔπραξε αὐτά ἀπό κάποια κακή περίσταση καί ἀπερισκεψία καί ὄχι ἀπό πονηρή μελέτη, γρήγορα τά καθάρισε. Ὁ Φαρισαῖος ὅμως, ἐπειδή δέν τόλμησε τίποτε ἀπ' αὐτά, ἀλλά καί ἐπειδή καυχιόταν γιά ἄλλα ἀγαθά, ἔχασε τά πάντα ἐξ αἰτίας τῆς πονηρῆς προαιρέσεώς του.

6. «Τί θά ποῦμε λοιπόν; μήπως ὁ Θεός ἔκαμε ἀδικία; Μακριά μιά

κοῦν οὐδὲ ἐφ' ἡμῶν καὶ τῶν Ἰουδαίων. Εἶτα ἐπάγει ἕτερον τούτου σαφέστερον. Τὸ ποῖον; «Τῷ γὰρ Μωϋσεῖ λέγει ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω». Καὶ πάλιν αὔξει τὴν ἀντίθεσιν, διὰ μέσου διακόπτων αὐτὴν καὶ λύων, καὶ ἑτέραν πάλιν ἀπορίαν ποιῶν. Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, ἑρμηνεῦσαι αὐτὸ ἀναγκαῖον. Εἶπε, φησίν, ὁ Θεός, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι, πρὸ τῆς ὠδῖνος. Τί οὖν; μὴ ἄδικος ὁ Θεός; Οὐδαμῶς. Οὐκοῦν ἄκουε καὶ τῶν ἑξῆς. Ἐκεῖ μὲν γὰρ κἂν ἡ ἀρετὴ καὶ ἡ κακία διέκρινεν, ἐνταῦθα δὲ ἓν τὸ ἁμάρτημα ἁπάντων ἦν Ἰουδαίων, τὸ τῆς μοσχοποιΐας, καὶ ὅμως οἱ μὲν ἐκολάσθησαν, οἱ δὲ οὐκ ἐκολάσθησαν. Διὸ καὶ ἔλεγεν. «Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω». Οὐ γὰρ σόν ἐστι εἰδέναι, φησίν, ὦ Μωϋσῆ, τίνες ἄξιοι φιλανθρωπίας, ἀλλ' ἐμοὶ παραχώρει τούτου. Εἰ δὲ Μωϋσέως οὐκ ἦν εἰδέναι, πολλῷ μᾶλλον ἡμῶν. Διὰ γὰρ τοῦτο οὐδὲ ἁπλῶς τέθεικε τὸ εἰρημένον, ἀλλὰ καὶ πρὸς τίνα εἶπεν, ἐμνημόνευσε· «τῷ γὰρ Μυωσεῖ», φησί, «λέγει»· ἵνα καὶ τῷ ἀξιώματι τοῦ προσώπου τὸν ἀντιλέγοντα ἐντρέψῃ.

Εἰπὼν τοίνυν τὴν λύσιν τῶν ἀπορουμένων, διὰ μέσου διακόπτει, πάλιν ἑτέραν ἀντίθεσιν εἰσάγων, καὶ λέγων· «ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. Λέγει γὰρ ἡ Γραφὴ τῷ Φαραῷ, ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ». Ὥσπερ γὰρ ἐκεῖ, φησίν, οἱ μὲν ἐσώθησαν, οἱ δὲ ἐκολάσθησαν, οὕτω καὶ ἐνταῦθα οὗτος εἰς αὐτὸ τοῦτο ἐτηρεῖτο. Εἶτα πάλιν ἀντίθεσιν ἐπάγει. «Ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. Ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν»; Ὁρᾷς πῶς ἐσπούδασεν αὐτὸ ποιῆσαι διὰ πάντων ἄπορον; Καὶ οὐδὲ τὴν λύσιν εὐθέως ἐπάγει, συμφερόντως καὶ τοῦτο ποιῶν, ἀλλ' ἐπιστομίζει πρῶτον τὸν ζητοῦντα, λέγων οὕτω· «μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ»;

τέτοια σκέψη». Ἐπομένως οὔτε σ' ἐμᾶς δέν ἔγινε οὔτε καί στούς Ἰουδαίους. Ἔπειτα προσθέτει ἄλλο σαφέστερο ἀπ' αὐτό. Ποιό; «Γιατί στό Μωυσῆ λέγει, θά ἐλεήσω ἐκεῖνον πού θέλω νά ἐλεῶ καί θά εὐσπλαχνισθῶ ἐκεῖνον πού θέλω νά εὐσπλαχνίζομαι». Καί πάλι μεγαλώνει τήν ἀντίθεση, στή μέση διακόπτοντας αὐτήν καί λύνοντας, καί δημιουργώντας πάλι ἄλλη ἀπορία. Γιά νά γίνει ὅμως σαφέστερο αὐτό πού λέγεται, εἶναι ἀνάγκη νά τό ἑρμηνεύσουμε. Εἶπε, λέγει, ὁ Θεός, ὅτι ὁ μεγαλύτερος θά δουλέψει στό μικρότερο, πρίν ἀπό τή γέννησή τους. Τί λοιπόν; μήπως εἶναι ἄδικος ὁ Θεός; Καθόλου. Λοιπόν ἄκου καί τά ἑπόμενα. Γιατί ἐκεῖ τουλάχιστο ξεχώριζε ἡ ἀρετή καί ἡ κακία, ἐνῶ ἐδῶ ἕνα ἦταν τό ἁμάρτημα ὅλων τῶν Ἰουδαίων, τό ἁμάρτημα τῆς κατασκευῆς τοῦ μοσχαριοῦ, καί ὅμως ἄλλοι τιμωρήθηκαν, ἐνῶ ἄλλοι δέν τιμωρήθηκαν. Γι' αὐτό καί ἔλεγε, «θά ἐλεήσω ἐκεῖνον πού θέλω νά ἐλεῶ, καί θά εὐσπλαχνισθῶ ἐκεῖνον πού θέλω νά εὐσπλαχνίζομαι». Γιατί δέν εἶναι δικό σου ἔργο, λέγει, Μωυσῆ, νά ξέρεις ποιοί εἶναι ἄξιοι φιλανθρωπίας, ἀλλ' ἄφησέ το αὐτό σ' ἐμένα. Ἐάν ὅμως δέν ἦταν ἔργο τοῦ Μωυσῆ νά ξέρει, πολύ περισσότερο δέν εἶναι δικό μας. Γι' αὐτό λοιπόν δέν ἀνέφερε ἁπλῶς αὐτό πού λέχθηκε, ἀλλά μνημόνευσε καί σέ ποιόν τό εἶπε· «Γιατί», λέγει, «στό Μωυσῆ λέγει γιά νά ἐλέγξει καί μέ τό ἀξίωμα τοῦ προσώπου ἐκεῖνον πού ἀντιλέγει».

Ἀφοῦ εἶπε λοιπόν τή λύση στίς ἀπορίες, διακόπτει στή μέση, παρουσιάζοντας πάλι ἄλλη ἀντίθεση, καί λέγοντας· «ὥστε λοιπόν δέν ἐξαρτᾶται ἀπό τή θέληση ἤ τήν προσπάθεια τοῦ ἀνθρώπου, ἀλλά ἀπό τό ἔλεος τοῦ Θεοῦ. Γιατί λέγει ἡ Γραφή στό Φαραώ, ὅτι ἀκριβῶς γι' αὐτό σέ ἀνύψωσα, γιά νά δείξω μέ σένα τή δύναμή μου, καί νά διαλαληθεῖ τό ὄνομά μου σέ ὅλη τήν οἰκουμένη». Γιατί, ὅπως ἀκριβῶς ἐκεῖ, λέγει, ἄλλοι σώθηκαν καί ἄλλοι τιμωρήθηκαν, ἔτσι καί ἐδῶ αὐτός γι' αὐτό ἀκριβῶς διατηροῦνταν στή ζωή. Στή συνέχεια πάλι προσθέτει ἀντίθεση. «Ἄρα λοιπόν ἐκεῖνον πού θέλει τόν ἐλεεῖ, καί ἐκεῖνον πού θέλει τόν κάνει σκληρό. Θά μοῦ πεῖς ὅμως· γιατί κατηγορεῖ ἀκόμη; καθόσον ποιός ἀντιστάθηκε στή θέλησή του;». Βλέπεις πῶς φρόντισε αὐτό νά τό μετατρέψει μέ ὅλα σέ ἀπορία; Καί δέν προσθέτει ἀμέσως τή λύση, κάνοντας καί αὐτό γιά τό συμφέρον τους, ἀλλ' ἀποστομώνει πρῶτα ἐκεῖνον πού ἐρευνάει αὐτά, λέγοντας τά ἑξῆς· «ἀλλά ποιός εἶσαι ἐσύ, ἄνθρωπε, πού ἀντι-

Ποιεῖ δὲ τοῦτο, τὴν ἄκαιρον αὐτοῦ περιεργίαν ἀναστέλλων, καὶ τὴν πολλὴν πολυπραγμοσύνην, καὶ χαλινὸν περιτιθείς, καὶ παιδεύων εἰδέναι· τί μὲν Θεός, τί δὲ ἄνθρωπος, καὶ πῶς ἀκατάληπτος αὐτοῦ ἡ πρόνοια, καὶ πῶς ὑπερβαίνουσα τὸν ἡμέτερον λογισμόν, καὶ πῶς ἅπαντα αὐτῷ πείθεσθαι δεῖ· ἵνα ὅταν τοῦτο κατασκευάσῃ παρὰ τῷ ἀκροατῇ, καὶ καταστείλῃ καὶ λεάνῃ τὴν γνώμην, τότε μετὰ πολλῆς εὐκολίας ἐπάγων τὴν λύσιν, εὐπαράδεκτον αὐτῷ ποιήσῃ τὸ λεγόμενον.

Καὶ οὐ λέγει, ὅτι ἀδύνατον τὰ τοιαῦτα λύειν, ἀλλ' ὅτι παράνομον τὰ τοιαῦτα ζητεῖν. Δεῖ γὰρ πείθεσθαι τοῖς ὑπὸ τοῦ Θεοῦ γινομένοις, οὐ περιεργάζεσθαι, κἂν τὸν λόγον αὐτῶν ἀγνοῶμεν. Διό φησι, «σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ»; Εἶδες πῶς ἐξηυτέλισε, πῶς κατήνεγκε τὸ φύσημα; «Σὺ τίς εἶ»; Κοινωνὸς εἶ τῆς ἀρχῆς; ἀλλὰ δικαστὴς ἐκάθισας τῷ Θεῷ; Πρὸς γὰρ τὴν ἐκείνου σύγκρισιν οὐδὲ εἶναί τι δύνασαι, οὐ τόδε ἢ τόδε, ἀλλ' οὐδὲ εἶναί τι. Τοῦ γὰρ εἰπεῖν, 'οὐδὲν εἶ', πολὺ τὸ εἰπεῖν, «τίς εἶ», οὐδαμινέστερον. Καὶ ἄλλως πλείονα τὴν ἀγανάκτησιν ἐνδείκνυται τῇ ἐρωτήσει. Καὶ οὐκ εἶπε, 'σὺ τίς εἶ ὁ ἀποκρινόμενος τῷ Θεῷ;', ἀλλ', «ὁ ἀνταποκρινόμενος», τουτέστιν, ὁ ἀντιλέγων, ὁ ἐναντιούμενος. Τὸ γὰρ εἰπεῖν, ὅτι οὕτως ἔδει, καὶ οὐχ οὕτως ἔδει, ἀνταποκρινομένου. Εἶδες πῶς ἐφόβησε, πῶς κατέπληξε, πῶς τρέμειν μᾶλλον ἐποίησεν, ἢ ζητεῖν καὶ περιεργάζεσθαι; Τοῦτο ἀρίστου διδασκάλου, τὸ μὴ τῇ τῶν μαθητῶν ἐπιθυμίᾳ ἕπεσθαι πανταχοῦ, ἀλλ' αὐτοὺς πρὸς τὸ οἰκεῖον ἄγειν θέλημα, καὶ τὰς ἀκάνθας ἀνασπᾶν, καὶ τότε καταβάλλειν τὰ σπέρματα, καὶ μὴ εὐθέως πρὸς τὰ ἐρωτώμενα ἀποκρίνεσθαι πανταχοῦ.

7. «Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεύς, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;». Ἐνταῦθα οὐ τὸ αὐτεξούσιον ἀναιρῶν τοῦτο λέγει, ἀλλὰ δεικνὺς μέχρι πόσου δεῖ πείθεσθαι τῷ Θεῷ. Εἰς γὰρ τὸ τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας, οὐδὲ μᾶλλον τοῦ πηλοῦ διακεῖσθαι δεῖ. Οὐ γὰρ δὴ μόνον ἀντιλέγειν οὐ χρή, οὐδὲ ζητεῖν, ἀλλ' οὐδὲ φθέγγεσθαι ὅλως, οὐδὲ ἐννοεῖν, ἀλλ' ἐοικέναι

λέγεις στό Θεό;». Καί κάνει αὐτό, γιά νά σταματήσει τήν ἄκαιρη περιέργειά του καί τή μεγάλη πολυπραγμοσύνη του, γιά νά τοῦ βάλει χαλινάρι, καί γιά νά μᾶς διδάξει νά γνωρίσουμε τί εἶναι ὁ Θεός, τί εἶναι ὁ ἄνθρωπος, πῶς εἶναι ἀκατάληπτη ἡ πρόνοιά του, πῶς εἶναι ἀνώτερη ἀπό τό λογικό μας, καί πῶς πρέπει ὅλα νά ὑπακοῦν σ' αὐτόν, ὥστε, ὅταν ἀποδείξει αὐτό στόν ἀκροατή καί σταματήσει καί μαλακώσει τή διάθεσή του, τότε, προσθέτοντας μέ πολλή εὐκολία τή λύση, νά τοῦ κάμει εὐπρόσδεκτο τό λεγόμενο.

Καί δέ λέγει, ὅτι εἶναι ἀδύνατο νά λύνουμε αὐτά, ἀλλ' ὅτι εἶναι παράνομο νά ἐρευνοῦμε τά παρόμοια. Γιατί πρέπει νά πιστεύουμε σ' αὐτά πού κάνει ὁ Θεός, ὄχι νά τά περιεργαζόμαστε, καί ἄν ἀκόμη ἀγνοοῦμε τήν αἰτία τους. Γι' αὐτό λέγει, «ποιός εἶσαι ἐσύ πού ἀντιλέγεις στό Θεό;». Εἶδες πῶς ἐξευτέλισε, πῶς μείωσε τήν ἀλαζονεία; «Ἐσύ ποιός εἶσαι»; Συμμετέχεις στήν ἐξουσία; μήπως διορίσθηκες δικαστής τοῦ Θεοῦ; Γιατί σέ σύγκριση μ' ἐκεῖνον δέν μπορεῖς νά εἶσαι κάτι, ὄχι αὐτό ἤ ἐκεῖνο, ἀλλά δέν εἶσαι οὔτε κἄν κάτι. Γιατί ἀπό τό νά πεῖ, τίποτε δέν εἶσαι, εἶναι πολύ πιό μηδαμινό τό νά πεῖ, ποιός εἶσαι. Ἄλλωστε ἀποδεικνύει περισσότερη τήν ἀγανάκτηση μέ τήν ἐρώτηση. Καί δέν εἶπε, 'ἐσύ ποιός εἶσαι πού ἀπαντᾶς στό Θεό;', ἀλλ' «ὁ ἀνταποκρινόμενος», δηλαδή, ἐσύ πού ἀντιλέγεις, πού ἐναντιώνεσαι. Γιατί τό νά πεῖ, ὅτι ἔτσι ἔπρεπε, καί ὄχι ἔτσι, εἶναι γνώρισμα ἐκείνου πού ἀντιλέγει. Εἶδες πῶς φοβέρισε, πῶς προκάλεσε κατάπληξη, πῶς ἔκαμε νά τρέμουν περισσότερο παρά νά ἐρευνοῦν καί νά περιεργάζονται; Αὐτό εἶναι γνώρισμα τοῦ ἄριστου διδασκάλου, τό νά μήν ἀκολουθεῖ παντοῦ τήν ἐπιθυμία τῶν μαθητῶν, ἀλλά νά τούς ὁδηγεῖ στή δική του θέληση, καί ἀφοῦ ξεριζώσει τά ἀγκάθια, τότε νά ρίχνει τά σπέρματα, καί νά μήν ἀπαντάει παντοῦ ἀμέσως στίς ἐρωτήσεις.

7. «Μήπως θά πεῖ τό πήλινο ἀγγεῖο στόν πλάστη του, γιατί μέ ἔπλασες ἔτσι; Ἤ δέν μπορεῖ ὁ ἀγγειοπλάστης, ἀπό τήν ἴδια μάζα νά κάνει ἕνα ἀγγεῖο γιά σπουδαία χρήση καί ἄλλο γιά ἀσήμαντη;». Ἐδῶ δέν τό λέγει αὐτό γιά νά ἀναιρέσει τό αὐτεξούσιο, ἀλλά γιά νά δείξει μέχρι πόσο πρέπει νά ὑπακοῦμε στό Θεό. Ὅταν λοιπόν ἀπαιτοῦμε εὐθύνες ἀπό τό Θεό, ὁπωσδήποτε δέν φερόμαστε καθόλου καλύτερα ἀπό τόν πηλό. Γιατί ὄχι μόνο δέν πρέπει νά ἀντιλέγουμε, οὔτε νά ζητοῦμε εὐθύνες, ἀλλ' οὔτε κἄν νά μιλοῦμε, οὔτε νά σκε-

ἐκείνῳ τῷ ἀψύχῳ, καὶ ταῖς χερσὶν ἑπομένῳ τοῦ κεραμέως, καὶ περιαγομένῳ ὅπουπερ ἂν ἐκεῖνος ἐθέλῃ. Εἰς τοῦτο γὰρ μόνον τὸ ὑπόδειγμα ἔλαβεν, οὐκ εἰς τὴν τῆς πολιτείας ἐπίδειξιν, ἀλλ' εἰς τὴν ἐπιτεταμένην ὑπακοὴν καὶ σιγήν. Καὶ τοῦτο πανταχοῦ δεῖ παρατηρεῖν, ὅτι τὰ ὑποδείγματα οὐ πάντα καθόλου δεῖ λαμβάνειν, ἀλλὰ τὸ χρήσιμον αὐτῶν ἐκλεξεμένους, καὶ εἰς ὅπερ παρείληπται, τὸ λοιπὸν ἅπαν ἐᾶν. Ὥσπερ οὖν ὅταν λέγῃ, «Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων», τὸ ἄμαχον καὶ φοβερὸν ἐκλαμβάνομεν, οὐ τὸ θηριῶδες, οὐδὲ ἄλλο τι τῶν τῷ λέοντι προσόντων· καὶ πάλιν ὅταν λέγῃ, «ἀπαντήσομαι αὐτοῖς, ὡς ἄρκτος ἀπορουμένη», τὸ τιμωρητικόν· καὶ ὅταν λέγῃ, «ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον», τὸ δαπανητικὸν τὸ ἐκ τῆς κολάσεως· οὕτω καὶ ἐνταῦθα τὸν πηλὸν καὶ τὸν κεραμέα καὶ τὰ σκεύη ἐκλαμβάνειν ἀνάγκη.

Καὶ ὅταν δὲ ἐπάγῃ καὶ λέγῃ, «ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;», μὴ εἰς δημιουργίας λόγον νόμιζε ταῦτα εἰρῆσθαι τῷ Παύλῳ, μηδὲ εἰς γνώμης ἀνάγκην, ἀλλ' εἰς οἰκονομιῶν ἐξουσίαν καὶ διαφοράν. Εἰ γὰρ μὴ οὕτως ἐκλάβοιμεν, πολλὰ τὰ ἄτοπα ἕψεται. Καὶ γὰρ εἰ περὶ γνώμης ἐνταῦθα ὁ λόγος, καὶ τῶν ἀγαθῶν καὶ τῶν οὐ τοιούτων, ἔσται αὐτὸς δημιουργὸς τούτων, καὶ ὁ ἄνθρωπος πάσης αἰτίας ἐκτός. Φανεῖται δὲ καὶ ὁ Παῦλος οὕτως αὐτὸς ἑαυτῷ μαχόμενος ὁ πανταχοῦ τὴν προαίρεσιν στεφανῶν. Οὐδὲν τοίνυν ἐνταῦθα ἕτερον κατασκευάσαι βούλεται, ἢ τὸ πεῖσαι τὸν ἀκροατὴν μεθ' ὑπερβολῆς ἁπάσης εἴκειν τῷ Θεῷ, καὶ μηδενὸς μηδέποτε ἀπειτεῖν εὐθύνας αὐτόν. Καθάπερ γὰρ ὁ κεραμεύς, φησίν, ἐκ τοῦ αὐτοῦ φυράματος ἃ βούλεται ποιεῖ, καὶ οὐδεὶς ὁ ἀντιλέγων, οὕτω καὶ τὸν Θεὸν ἐκ τοῦ αὐτοῦ γένους τῶν ἀνθρώπων τοὺς μὲν κολάζοντα, τοὺς δὲ τιμῶντα μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει, ἀλλὰ προσκύνει μόνον, καὶ μιμοῦ τὸν πηλόν· καὶ καθάπερ ἐκεῖνος ἕπεται ταῖς χερσὶ τοῦ κεραμέως, οὕτω καὶ σὺ τῇ γνώμῃ τοῦ ταῦτα

13. Ἀριθμ. 24, 9.
14. Ὠσηέ 13, 8.
15. Δευτ. 4, 24.

πτόμαστε, ἀλλά νά ὁμοιάζουμε μ' ἐκεῖνο τό ἄψυχο, πού ὑπακούει στά χέρια τοῦ ἀγγειοπλάστη καί μεταφέρεται ὅπου ἐκεῖνος θέλει. Γιατί γι' αὐτό μόνο ἀνέφερε τό παράδειγμα, ὄχι γιά τήν ἐπίδειξη τῆς συμπεριφορᾶς, ἀλλά γιά τήν ἀπεριόριστη ὑπακοή καί σιγή. Καί παντοῦ αὐτό πρέπει νά προσέχουμε, ὅτι δηλαδή τά παραδείγματα δέν πρέπει νά τά λαμβάνουμε στό σύνολό τους, ἀλλ', ἀφοῦ διαλέξουμε τό χρήσιμο στοιχεῖο τους, καί αὐτό γιά τό ὁποῖο χρησιμοποιήθηκαν, ἄς ἀφήνουμε ὅλο τό ὑπόλοιπο. Ὅπως ἀκριβῶς λοιπόν ὅταν λέγει, «ἀφοῦ ξάπλωσε, κοιμήθηκε σάν λιοντάρι»[13], ἐννοοῦμε τό ἀκαταμάχητο καί τό φοβερό, ὄχι τή θηριωδία, οὔτε κάποια ἄλλη ἀπό τίς ἰδιότητες τοῦ λιονταριοῦ· καί πάλι ὅταν λέγει, «θά ὁρμήσω ἐναντίον τους σάν ἀρκούδα ἀγριεμένη ἀπό τήν πείνα»[14], ἐννοοῦμε τήν ἐπιθυμία τῆς ἐκδικήσεως, καί ὅταν λέγει, «ὁ Θεός μας εἶναι φωτιά πού ἐξαφανίζει»[15], ἐννοοῦμε τήν καταστροφικότητα ἀπό τήν κόλαση, ἔτσι καί ἐδῶ πρέπει νά ἐννοοῦμε τόν πηλό, τόν ἀγγειοπλάστη καί τά ἀγγεῖα.

Καί ὅταν ὅμως προσθέτει καί λέγει, «ἤ δέν μπορεῖ ὁ ἀγγειοπλάστης νά κάνει ὅ,τι θέλει μέ τόν πηλό καί ἀπό τήν ἴδια μάζα νά κάνει ἕνα ἀγγεῖο γιά σπουδαία χρήση καί ἄλλο γιά ἀσήμαντη;», νά μή νομίζεις πώς τά εἶπε αὐτά ὁ Παῦλος γιά τή δημιουργία, οὔτε γιά τήν ἀνάγκη τῆς διαθέσεως, ἀλλά γιά τήν ἐξουσία καί τή διαφορά τῆς οἰκονομίας τῶν πραγμάτων. Γιατί ἄν δέν τά λαμβάνουμε ἔτσι, θ' ἀκολουθήσουν πολλά ἄτοπα. Πραγματικά λοιπόν ἄν ὁ λόγος ἐδῶ εἶναι γιά τή διάθεση, καί γιά τά ἀγαθά καί τά κακά, θά εἶναι ὁ Θεός δημιουργός τους, καί ὁ ἄνθρωπος ἔξω ἀπό κάθε αἰτία. Θά φανεῖ ὅμως καί ὁ Παῦλος ἔτσι πώς μάχεται ὁ ἴδιος τόν ἑαυτό του, αὐτός πού βραβεύει παντοῦ τήν προαίρεση. Ἐδῶ λοιπόν τίποτε ἄλλο δέ θέλει ν' ἀποδείξει, παρά τό νά πείσει τόν ἀκροατή μέ κάθε ὑπερβολή νά ὑποχωρεῖ στό Θεό καί γιά τίποτε ποτέ νά μή ζητάει εὐθύνες ἀπ' αὐτόν. Γιατί, ὅπως ἀκριβῶς ὁ ἀγγειοπλάστης, λέγει, ἀπό τήν ἴδια μάζα κάνει ἐκεῖνα πού θέλει καί κανείς δέν ἀντιλέγει, ἔτσι καί τό Θεό, ὁ ὁποῖος ἀπό τό ἴδιο γένος τῶν ἀνθρώπων ἄλλους τιμωρεῖ καί ἄλλους τιμάει, νά μήν τόν περιεργάζεσαι, οὔτε νά τόν πολυεξετάζεις, ἀλλά νά τόν προσκυνεῖς μόνο καί νά μιμεῖσαι τόν πηλό· καί ὅπως ἀκριβῶς αὐτός ὑπακούει στά χέρια τοῦ ἀγγειοπλάστη, ἔτσι καί ἐσύ νά ὑπακοῦς στή γνώμη ἐκείνου πού οἰκονομεῖ αὐτά. Γιατί

οἰκονομοῦντος. Οὐδὲν γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἐργάζεται, κἂν αὐτὸς ἀγνοῇς τὸ τῆς σοφίας ἀπόρρητον.

Σὺ δὲ ἐκείνῳ μὲν συγχωρεῖς ἐκ τοῦ αὐτοῦ φυράματος διάφορα ποιεῖν, καὶ οὐκ ἐγκαλεῖς, τοῦτον δὲ εὐθύνας ἀπαιτεῖς τῶν κολάσεων καὶ τῶν τιμῶν, καὶ οὐ παραχωρεῖς αὐτῷ εἰδέναι, τίς μὲν ἄξιος, τίς δὲ οὐ τοιοῦτος, ἀλλ' ἐπειδήπερ τὸ αὐτὸ φύραμα τῆς οὐσίας ἐστί, καὶ τὰς αὐτὰς προαιρέσεις ἀξιοῖς εἶναι. Καὶ πόσης ταῦτα παραπληξίας; Καίτοιγε οὐδὲ ἐπὶ τοῦ κεραμέως ἐκ τοῦ φυράματος τὸ ἄτιμον καὶ τὸ ἔντιμον, ἀλλ' ἀπὸ τῆς χρήσεως τῶν μεταχειριζομένων, ὥσπερ οὖν καὶ ἐνταῦθα ἀπὸ τῆς προαιρέσεως. Πλήν, ὅπερ ἔφθην εἰπών, εἰς ἓν τοῦτο λαμβάνειν δεῖ μόνον τὸ ὑπόδειγμα, τὸ μὴ δεῖν ἀντιλέγειν τῷ Θεῷ, ἀλλὰ παραχωρεῖν αὐτοῦ τῷ ἀκαταλήπτῳ τῆς προνοίας. Καὶ γὰρ τὰ παραδείγματα μείζοντα εἶναι δεῖ τῶν προκειμένων, καὶ ὑπὲρ ὧν εἰς μέσον ἄγεται, ὥστε μᾶλλον ἐνάγειν τὸν ἀκροατήν· ἐπεὶ εἰ μὴ μείζω εἴη, καὶ πλείονα ἔχοι τὴν ὑπερβολήν, οὐκ ἂν ὡς χρὴ καθικέσθαι δυνηθείη, καὶ ἐντρέψαι τὸν ἀντιλέγοντα.

8. Τὴν μὲν οὖν ἄκαιρον αὐτῶν φιλονεικίαν οὕτως ἐπεστόμισε μετὰ τῆς προσηκούσης ὑπερβολῆς, ἐπάγει δὲ λοιπὸν καὶ τὴν λύσιν. Τίς οὖν ἡ λύσις; «Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν· καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν· οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· σκεῦος ὀργῆς ἦν ὁ Φαραώ· τουτέστιν, ἄνθρωπος τοῦ Θεοῦ τὴν ὀργὴν ἀνάπτων διὰ τῆς οἰκείας σκληρότητος· πολλῆς γὰρ ἀπολαύσας μακροθυμίας, οὐκ ἐγένετο βελτίων, ἀλλ' ἀδιόρθωτος ἔμεινε. Διὸ οὐδὲ σκεῦος ὀργῆς αὐτὸν ἐκάλεσε μόνον, ἀλλὰ καί, «κατηρτισμένον εἰς ἀπώλειαν»· τουτέστιν, ἀπηρτισμένον, οἴκοθεν μέντοι καὶ παρ' ἑαυτοῦ. Οὔτε γὰρ ὁ Θεὸς ἐνέλιπέ

τίποτε δέν κάνει χωρίς λόγο, οὔτε τυχαῖα, ἔστω καί ἄν ἐσύ δέ γνωρίζεις τό ἀπόρρητο τῆς σοφίας του.

Καί σύ βέβαια ἀφήνεις ἐκεῖνον νά κάνει ἀπό τήν ἴδια μάζα διάφορα ἀγγεῖα καί δέν τόν κατηγορεῖς, ἐνῶ ἀπ' αὐτόν ἀπαιτεῖς εὐθύνες γιά τίς τιμωρίες καί τίς τιμές, καί δέν ἐπιτρέπεις σ' αὐτόν νά γνωρίζει, ποιός εἶναι ἄξιος καί ποιός εἶναι ἀνάξιος, ἀλλ' ἐπειδή ἡ ἴδια μάζα εἶναι ἀπό τήν ἴδια οὐσία, ἔχεις τήν ἀξίωση καί οἱ προαιρέσεις νά εἶναι ἴδιες. Καί πόσο μεγάλης παραφροσύνης γνώρισμα δέν εἶναι αὐτά; Μολονότι βέβαια οὔτε στήν περίπτωση τοῦ ἀγγειοπλάστη τό μηδαμινό καί τό σπουδαῖο ὀφείλεται στή μάζα, ἀλλ' ἐξαρτᾶται ἀπό τή χρήση ἐκείνων πού μεταχειρίζονται αὐτά, ὅπως ἀκριβῶς λοιπόν καί ἐδῶ ἐξαρτᾶται ἀπό τήν προαίρεση. Πλήν ὅμως, ὅπως προανέφερα, μέ αὐτή μόνο τήν ἔννοια πρέπει νά λαμβάνουμε τό παράδειγμα αὐτό, ὅτι δηλαδή δέν πρέπει νά ἀντιλέγουμε στό Θεό, ἀλλά νά ὑποχωροῦμε μπροστά στό ἀκατάληπτο τῆς πρόνοιάς του. Καθόσον τά παραδείγματα πρέπει νά εἶναι μεγαλύτερα ἀπό τά ζητήματα αὐτά καί γιά χάρη ἐκείνων πού ἀναφέρονται, ὥστε νά προτρέπουν περισσότερο τόν ἀκροατή· γιατί ἄν δέν ἦταν μεγαλύτερα καί δέν εἶχαν περισσότερη τήν ὑπεροχή, δέ θά ἦταν δυνατό νά πλησιάσουν ὅπως πρέπει καί νά ἐλέγξουν ἐκεῖνον πού ἀντιλέγει.

8. Ἔτσι λοιπόν ἀποστόμωσε τήν ἄκαιρη φιλονεικία τους μέ τήν πρέπουσα ὑπερβολή. Στή συνέχεια ὅμως προσθέτει καί τή λύση. Ποιά λοιπόν εἶναι ἡ λύση; «Ἐάν ὅμως ὁ Θεός, θέλοντας νά δείξει τήν ὀργή του καί νά κάνει γνωστή τή δύναμή του, ἀνέχθηκε μέ πολλή μακροθυμία σκεύη ὀργῆς παρασκευασμένα γιά καταστροφή, καί γιά νά κάνει γνωστό τόν πλοῦτο τῆς δόξας του, σέ σκεύη ἐλέους, πού προετοίμασε γιά τή δόξα αὐτή, τούς ὁποίους, δηλαδή ἐμᾶς, καί κάλεσε ὄχι μόνο ἀπό τούς Ἰουδαίους, ἀλλά καί ἀπό τούς ἐθνικούς». Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· σκεῦος ὀργῆς ἦταν ὁ Φαραώ, δηλαδή ὁ ἄνθρωπος πού μέ τή δική του σκληρότητα ἐξάπτει τήν ὀργή τοῦ Θεοῦ. Γιατί, παρ' ὅλο πού ἀπόλαυσε πολλή μακροθυμία, δέν ἔγινε καλύτερος, ἀλλά παρέμεινε ἀδιόρθωτος. Γι' αὐτό δέν τόν ὀνόμασε μόνο σκεῦος ὀργῆς, ἀλλά καί, «καταρτισμένο γιά καταστροφή», δηλαδή, παρασκευασμένο, ἀπό μόνο του βέβαια καί ἀπό τόν ἑαυτό του. Γιατί οὔτε ὁ Θεός παρέλειψε κάτι ἀπό τά κατάλληλα γιά τή διόρθωσή του, οὔτε ὁ ἴδιος παρέλειψε κάτι ἀπό ἐκεῖνα πού

τι τῶν εἰς τὴν διόρθωσιν ἡκόντων τὴν ἐκείνου, οὔτε αὐτὸς ἐνέλιπέ τι τῶν ἀπολλύντων αὐτόν, καὶ πάσης ἀποστερούντων συγγνώμης.

Ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς ὁ Θεός, «ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ», βουλόμενος αὐτὸν εἰς μετάνοιαν ἀγαγεῖν· εἰ γὰρ μὴ τοῦτο ἤθελεν, οὐδ' ἂν ἐμακροθύμησεν. Ἐπειδὴ δὲ οὐκ ἠθέλησεν εἰς μετάνοιαν τῇ μακροθυμίᾳ χρήσασθαι, ἀλλ' ἀπήρτισεν ἑαυτὸν εἰς ὀργήν, ἐχρήσατο αὐτῷ εἰς τὴν ἑτέρων διόρθωσιν, διὰ τῆς εἰς ἐκεῖνον κολάσεως ἑτέρους σπουδαιοτέρους ποιῶν, καὶ τὴν δύναμιν αὐτοῦ ταύτῃ δεικνύς. Ὅτι γὰρ οὐ βούλεται ὁ Θεὸς οὕτως αὐτοῦ γνωρίζεσθαι τὸ δυνατόν, ἀλλ' ἑτέρως δι' ὧν εὐεργετεῖ, δι' ὧν εὖ ποιεῖ, καὶ τοῦτο διὰ πάντων ἐδήλωσεν ἄνωθεν. Εἰ γὰρ Παῦλος οὐχ οὕτω βούλεται φαίνεσθαι δυνατός, «οὐ γὰρ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν», φησίν, «ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε», πολλῷ μᾶλλον ὁ Θεός. Ἀλλ' ἐπειδὴ ἐμακροθύμησε μέν, ἵνα εἰς μετάνοιαν ἀγάγῃ, οὐ μετενόησε δὲ ἐκεῖνος, ἤνεγκεν αὐτὸν ἐπὶ πολὺν χρόνον, ὁμοῦ μὲν τὴν αὐτοῦ χρηστότητα ἐπιδεικνύμενος, ὁμοῦ δὲ καὶ τὴν δύναμιν εἰ μὴ βουληθείη τι κερδᾶναι ἐκεῖνος ἀπὸ τῆς πολλῆς ταύτης μακροθυμίας. Ὥσπερ οὖν τοῦτον ἀδιόρθωτον μείναντα κολάσας ἔδειξεν αὐτοῦ τὴν δύναμιν, οὕτω τοὺς πολλὰ ἁμαρτήσαντας καὶ μετανοήσαντας ἐλεήσας, ἐδήλωσεν αὐτοῦ τὴν φιλανθρωπίαν.

Ἀλλ' οὐκ εἶπε τὴν φιλανθρωπίαν, ἀλλὰ τὴν δόξαν, δεικνὺς ὅτι τοῦτο μάλιστα δόξα Θεοῦ, καὶ τοῦτο πρὸ τῶν ἄλλων ἁπάντων ἐσπούδακεν. Ὅταν δὲ λέγῃ, «ἃ προητοίμασεν εἰς δόξαν», οὐ τοῦ Θεοῦ τὸ πᾶν εἶναί φησιν· ἐπεὶ εἰ τοῦτο ἦν, οὐδὲν ἐκώλυεν ἅπαντας σώζεσθαι· ἀλλὰ πάλιν αὐτοῦ τὴν πρόγνωσιν δείκνυσι, καὶ τὸ μέσον Ἰουδαίων καὶ ἐθνῶν ἀναιρεῖ. Καὶ οὐ μικρὰν καὶ ἐντεῦθεν τῷ λόγῳ κατασκευάζει πάλιν ἀπολογίαν. Οὐδὲ γὰρ μόνον ἐπὶ τῶν Ἰουδαίων οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἐσώθησαν, ἀλλὰ καὶ ἐπὶ τῶν ἐθνῶν τοῦτο γέγονε. Διόπερ οὐ λέγει τὰ ἔθνη πάντα, ἀλλ' «ἐξ ἐθνῶν»· οὐδέ, Ἰουδαίους πάντας, ἀλλά, «τοὺς ἐξ Ἰουδαίων». Ὥσπερ οὖν ὁ Φαραὼ σκεῦος ὀργῆς γέγονεν ἀπὸ τῆς οἰκείας ἀγνωμοσύνης. Εἰ γὰρ

16. Β' Κορ. 13, 7.

ὁδηγοῦσαν αὐτόν στήν καταστροφή καί τοῦ στεροῦσαν κάθε συγγνώμη.

Ἀλλ' ὅμως καί αὐτά ἄν καί τά γνώριζε ὁ Θεός, «τόν ἀνέχθηκε μέ πολλή μακροθυμία», ἐπειδή ἤθελε νά τόν ὁδηγήσει σέ μετάνοια· γιατί, ἄν δέν ἤθελε αὐτό, οὔτε θά μακροθυμοῦσε. Ἐπειδή ὅμως δέ θέλησε νά χρησιμοποιήσει τή μακροθυμία γιά μετάνοια, ἀλλά παρασκεύασε τόν ἑαυτό του γιά ὀργή, χρησιμοποίησε αὐτόν γιά τή διόρθωση τῶν ἄλλων, κάνοντας μέ τήν τιμωρία του πιό ἀγαθούς ἄλλους καί δείχνοντας ἔτσι τή δική του δύναμη. Ὅτι βέβαια ὁ Θεός δέ θέλει νά γίνεται ἔτσι γνωστή ἡ δύναμή του, ἀλλά διαφορετικά μέ τίς εὐεργεσίες καί τίς ἀγαθοεργίες του, καί αὐτό τό δήλωσε μέ ὅλα ἀπό τήν ἀρχή. Γιατί, ἄν ὁ Παῦλος δέ θέλει νά φαίνεται ἔτσι δυνατός, γιατί λέγει, «ὄχι λοιπόν γιά νά φανοῦμε ἐμεῖς δόκιμοι, ἀλλά γιά νά κάνετε ἐσεῖς τό καλό»[16], πολύ περισσότερο δέ θέλει ὁ Θεός. Ἀλλ' ἐπειδή μακροθύμησε, ὥστε νά τόν ὁδηγήσει σέ μετάνοια, δέ μετανόησε ὅμως ἐκεῖνος, τόν ἀνέχθηκε γιά πολύ χρόνο, φανερώνοντας μαζί καί τή δική του ἀγαθότητα καί δύναμη, ἄν καί δέν ἤθελε ἐκεῖνος νά κερδίσει κάτι ἀπό τήν πολλή αὐτή μακροθυμία. Ὅπως ἀκριβῶς λοιπόν ἔδειξε τή δύναμή του τιμωρώντας αὐτόν, ἐπειδή παρέμεινε ἀδιόρθωτος, ἔτσι φανέρωσε τή φιλανθρωπία του ἐλεώντας ἐκείνους πού ἔκαμαν πολλές ἁμαρτίες καί μετανόησαν.

Ἀλλ' ὅμως δέν εἶπε 'τή φιλανθρωπία', ἀλλά «τή δόξα», γιά νά δείξει πώς αὐτό ἰδιαίτερα εἶναι δόξα τοῦ Θεοῦ, καί γι' αὐτό ἔχει φροντίσει πρίν ἀπ' ὅλα τά ἄλλα. Ὅταν ὅμως λέγει, «τά ὁποῖα προετοίμασε γιά τή δόξα», δέν ἐννοεῖ πώς τά πάντα ἐξαρτῶνται ἀπό τό Θεό, γιατί ἄν συνέβαινε αὐτό, τίποτε δέν θά ἐμπόδιζε νά σώζονται ὅλοι, ἀλλά πάλι δείχνει τήν πρόγνωσή του, καί καταργεῖ τή διαφορά Ἰουδαίων καί ἐθνικῶν. Καί μεγάλη πάλι ἀπολογία δημιουργεῖ καί ἀπό ἐδῶ. Γιατί ὄχι μόνο ἀπό τούς Ἰουδαίους ἄλλοι καταστράφηκαν καί ἄλλοι σώθηκαν, ἀλλά καί στούς ἐθνικούς συνέβηκε αὐτό. Γι' αὐτό ἀκριβῶς δέ λέγει ὅλους τούς ἐθνικούς, ἀλλά, «ἀπό τούς ἐθνικούς», οὔτε, ὅλους τούς Ἰουδαίους, ἀλλά, «ἀπό τούς Ἰουδαίους». Ὅπως ἀκριβῶς λοιπόν ὁ Φαραώ ἔγινε σκεῦος ὀργῆς ἀπό τή δική του παρανομία, ἔτσι καί αὐτοί ἔγιναν σκεύη ἐλέους ἀπό τή δική τους εὐγνωμοσύνη. Γιατί, ἄν καί τό περισσότερο ἀνήκει στό Θεό, ἀλλ' ὅμως καί αὐτοί πρόσφεραν κάτι μικρό. Γι' αὐτό δέν εἶπε,

καὶ τὸ πλέον ἐστὶ τοῦ Θεοῦ, ἀλλ' ὅμως καὶ αὐτοί τι μικρὸν εἰσήνεγκαν. Διὸ οὐδὲ εἶπε, σκεύη κατορθωμάτων, οὐδέ, σκεύη παρρησίας, ἀλλά, «σκεύη ἐλέους», δεικνὺς ὅτι τὸ πᾶν ἐστι τοῦ Θεοῦ. Καὶ γὰρ τό, «οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος», εἰ καὶ ἐν τάξει ἀντιθέσεως εἴρηται, ἀλλ' ὅμως καὶ παρὰ τοῦ Παύλου λεγόμενον, ἀπορίαν οὐδεμίαν φέρει.

Ὅταν γὰρ εἴπῃ, «οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος», οὐ τὴν ἐξουσίαν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν, ὅτι οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ δεῖται τῆς ἄνωθεν χάριτος. Ἔδει μὲν γὰρ καὶ θέλειν καὶ τρέχειν· θαρρεῖν δὲ μὴ τοῖς οἰκείοις πόνοις, ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. Ὅπερ καὶ ἀλλαχοῦ ἔλεγεν· «οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί». Καὶ καλῶς εἶπεν, «ἃ προητοίμασεν εἰς δόξαν». Ἐπειδὴ γὰρ τοῦτο ὠνείδιζον, ὅτι χάριτι ἐσώθησαν, καὶ καταισχύνειν αὐτοὺς ἐνόμιζον, ἐκ πολλῆς τῆς περιουσίας ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. Εἰ γὰρ τῷ Θεῷ δόξαν τὸ πρᾶγμα ἤνεγκε, πολλῷ μᾶλλον ἐκείνοις, δι' ὧν καὶ ὁ Θεὸς ἐδοξάσθη. Σκόπει δὲ αὐτοῦ εὐγνωμοσύνην καὶ σοφίαν ἄφατον. Δυνάμενος γὰρ μὴ τὸν Φαραὼ παρενεγκεῖν εἰς τὸν περὶ τῶν κολαζομένων λόγον, ἀλλ' ἐξ Ἰουδαίων τοὺς ἡμαρτηκότας, καὶ σαφέστερον μᾶλλον ποιῆσαι τὸν λόγον, καὶ δεῖξαι ὅτι ἔνθα οἱ αὐτοὶ πατέρες, ἔνθα τὰ αὐτὰ ἁμαρτήματα, οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἠλεήθησαν· καὶ πεῖσαι μηκέτι διαπορεῖν, εἰ καὶ ἐξ ἐθνῶν τινες ἐσώθησαν, Ἰουδαίων ἀπολομένων· ἵνα μὴ ποιήσῃ τὸν λόγον φορτικόν, τὴν μὲν τῆς κολάσεως ἀπόδειξιν ἀπὸ τοῦ βαρβάρου παράγει, ὥστε μὴ ἀναγκασθῆναι αὐτοὺς σκεύη ὀργῆς καλέσαι, τοὺς δὲ ἐλεουμένους ἀπὸ τοῦ δήμου τῶν Ἰουδαίων παράγει.

Καίτοι γε ἱκανῶς καὶ ὑπὲρ τοῦ Θεοῦ ἀπολελόγηται, ὅτι καὶ σφόδρα αὐτὸν εἰδὼς ἀπαρτίζοντα ἑαυτὸν σκεῦος ἀπωλείας, ὅμως τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, τὴν ἀνοχήν, τὴν μακροθυμίαν, καὶ οὐχ ἁπλῶς μακροθυμίαν, ἀλλὰ πολλὴν μακροθυμίαν· ἀλλ' ὅμως οὐκ ἠθέλησεν ἐπὶ τῶν Ἰουδαίων αὐτὸ γυμνάσαι. Πόθεν οὖν οἱ μὲν σκεύη ὀργῆς, οἱ δὲ ἐλέους; Ἀπὸ προαιρέσεως οἰκείας. Ὁ δὲ Θεὸς σφόδρα ἀγαθὸς ὤν, ἐπ' ἀμφοτέρων τὴν αὐτὴν ἐπιδείκνυται

17. Α' Κορ. 15, 10.

'σκεύη κατορθωμάτων', οὔτε, 'σκεύη παρρησίας', ἀλλά, «σκεύη ἐλέους», γιά νά δείξει ὅτι ὅλα ἀνήκουν στό Θεό. Καθόσον τό, «δέν ἐξαρτᾶται ἀπό τή θέληση ἤ τήν προσπάθεια τοῦ ἀνθρώπου», ἄν καί λέχθηκε σάν ἀντίθεση, ἀλλ' ὅμως καί λεγόμενο ἀπό τόν Παῦλο, δέ δημιουργεῖ καμιά ἀπορία.

Ὅταν λοιπόν λέγει, «δέν ἐξαρτᾶται ἀπό τή θέληση ἤ τήν προσπάθεια τοῦ ἀνθρώπου», δέν καταργεῖ τήν ἐξουσία, ἀλλά δείχνει πώς ὅλα δέν ἀνήκουν σ' αὐτόν, ἀλλά χρειάζεται τή χάρη τοῦ Θεοῦ. Ἔπρεπε δηλαδή καί νά θέλει καί νά προσπαθεῖ, ὅμως νά μήν ἔχει ἐμπιστοσύνη στούς δικούς του κόπους, ἀλλά στή φιλανθρωπία τοῦ Θεοῦ. Αὐτό ἀκριβῶς καί ἀλλοῦ ἔλεγε· «ὄχι ὅμως ἐγώ, ἀλλ' ἡ χάρη τοῦ Θεοῦ πού εἶναι μαζί μου»[17]. Καί καλά εἶπε, «τά ὁποῖα προετοίμασε γιά δόξα». Ἐπειδή λοιπόν κατηγοροῦσαν αὐτό, ὅτι δηλαδή σώθηκαν μέ τή χάρη, καί νόμιζαν ὅτι τούς ντροπιάζει αὐτό, ἀναιρεῖ τή γνώμη αὐτή μέ πολλή ἄνεση. Γιατί ἄν τό πράγμα ἔφερε δόξα στό Θεό, πολύ περισσότερο σ' ἐκείνους, μέ τούς ὁποίους δοξάστηκε καί ὁ Θεός. Πρόσεχε ὅμως τήν εὐγνωμοσύνη καί τήν ἀνέκφραστη σοφία του. Γιατί, ἄν καί μποροῦσε νά μήν ἀναφέρει τό Φαραώ στό λόγο του γι' αὐτούς πού τιμωροῦνται, ἀλλ' ἀπό τούς Ἰουδαίους ἐκείνους πού εἶχαν ἁμαρτήσει, καί νά κάμει περισσότερο σαφέστερο τό λόγο, καί νά δείξει ὅτι ὅπου ὑπῆρχαν οἱ ἴδιοι πατέρες καί τά ἴδια ἁμαρτήματα, ἄλλοι καταστράφηκαν καί ἄλλοι ἐλεήθηκαν, καί νά τούς πείσει νά μήν ἔχουν πιά ἀπορίες, παρ' ὅλο πού καί ἀπό τούς ἐθνικούς σώθηκαν μερικοί, ἐνῶ οἱ Ἰουδαῖοι καταστράφηκαν, γιά νά μήν κάμει τό λόγο ἐνοχλητικό, παρουσιάζει τήν ἀπόδειξη τῆς τιμωρίας ἀπό τό βάρβαρο, ὥστε νά μήν ἀναγκασθεῖ νά ὀνομάσει αὐτούς σκεύη ὀργῆς, ἐνῶ ἐκείνους πού ἐλεοῦνται τούς παρουσιάζει ἀπό τόν Ἰουδαϊκό λαό.

Ἄν καί βέβαια ἀπολογήθηκε ἀρκετά ὑποστηρίζοντας καί τό Θεό, γιατί, ἄν καί γνώριζε πάρα πολύ καλά, ὅτι αὐτός παρασκεύζει τόν ἑαυτό του γιά σκεῦος καταστροφῆς, ὅμως πρόσφερε τά δικά του, τήν ἀνοχή, τή μακροθυμία, καί ὄχι ἁπλῶς μακροθυμία, ἀλλά πολλή μακροθυμία, ἀλλ' ὅμως δέ θέλησε ν' ἀναφέρει αὐτό στούς Ἰουδαίους. Ἀπό ποῦ λοιπόν γίνονται ἄλλοι σκεύη ὀργῆς, καί ἄλλοι σκεύη ἐλέους; Ἀπό τή δική τους προαίρεση. Ὁ Θεός ὅμως, ἐπειδή εἶναι πάρα πολύ ἀγαθός, δείχνει καί στούς δύο τήν ἴδια ἀγαθότητα.

χρηστότητα. Καὶ γὰρ οὐχὶ τοὺς σωζομένους ἠλέησε μόνον, ἀλλὰ καὶ τὸν Φαραώ, τό γε αὐτοῦ μέρος· τῆς γὰρ αὐτῆς μακροθυμίας καὶ ἐκεῖνοι καὶ οὗτος ἀπήλαυσαν. Εἰ δὲ μὴ ἐσώθη, παρὰ τὴν αὐτοῦ γνώμην τὸ πᾶν· ὡς τό γε εἰς τὸν Θεὸν ἧκον, οὐδὲν ἔλαττον τῶν διασωθέντων ἔσχεν.

9. Ἀποδοὺς τοίνυν τὴν λύσιν τῷ ζητήματι τὴν διὰ τῶν πραγμάτων, ὥστε καὶ ἑτέρωθεν ἀξιόπιστον ποιῆσαι τὸν λόγον, καὶ τοὺς προφήτας ἐπεισάγει τὰ αὐτὰ προαναφωνοῦντας. Καὶ γὰρ Ὠσηέ, φησίν, ἄνωθεν ταῦτα ἔγραφεν, οὕτω λέγων· «καλέσω τὸν οὐ λαόν μου, λαόν μου, καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην». Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι παραλογίζῃ ἡμᾶς ταῦτα λέγων, τὸν Ὠσηὲ ἐκάλεσε μάρτυρα, βοῶντα καὶ λέγοντα, «καλέσω τὸν οὐ λαόν μου, λαόν μου». Τίς γὰρ ἦν ὁ οὐ λαός; Τὰ ἔθνη δῆλον ὅτι. Καὶ τίς ἡ οὐκ ἠγαπημένη; Τὰ αὐτὰ πάλιν. Ἀλλ' ὅμως ἔφησεν αὐτοὺς καὶ λαὸν καὶ ἠγαπημένην καὶ υἱοὺς Θεοῦ ἔσεσθαι. «Αὐτοὶ γὰρ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος». Εἰ δὲ λέγοιεν περὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων τοῦτο εἰρῆσθαι, καὶ οὕτως ὁ λόγος ἵσταται. Εἰ γὰρ ἐπὶ τῶν ἀγνωμονησάντων μετὰ πολλὰς εὐεργεσίας, καὶ ἀλλοτριωθέντων, καὶ τὸ λαὸς εἶναι ἀπολωλεκότων τοσαύτη γέγονεν ἡ μεταβολή, τί ἐκώλυε καὶ τοὺς οὐ μετὰ τὴν οἰκείωσιν ἀλλοτριωθέντας, ἀλλ' ἐξ ἀρχῆς ἀλλοτρίους ὄντας, κληθῆναι, καὶ ὑπακούσαντας τῶν αὐτῶν ἀξιωθῆναι;

Παραγαγὼν τοίνυν τὸν Ὠσηέ, οὐ τούτῳ ἀρκεῖται μόνον, ἀλλὰ καὶ τὸν Ἠσαΐαν μετ' ἐκεῖνον εἰσάγει συνῳδὰ τούτῳ φθεγγόμενον. «Ἠσαΐας γὰρ κράζει», φησίν, «ὑπὲρ τοῦ Ἰσραήλ»· τουτέστι, μετὰ παρρησίας ἀναφωνεῖ, καὶ οὐχ ὑποστέλλεται. Τί τοίνυν ἡμῖν ἐγκαλεῖτε, ὅταν ἐκεῖνοι σάλπιγγος λαμπρότερον ταῦτα προαναφωνῶσι; Τί οὖν κράζει ὁ Ἠσαΐας; «Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάττης, τὸ κατάλειμμα σωθήσεται». Ὁρᾷς, ὅτι καὶ ἐκεῖνος οὐχὶ πάντας λέγει σώζεσθαι, ἀλλὰ τοὺς ἀξίους σωθῆναι; Οὐ γὰρ αἰδοῦμαι τὸ πλῆθος, φησίν, οὐδὲ δυσωπεῖ με τὸ γένος οὕτως ἐκκεχυμένον, ἀλλ' ἐκείνους σώζω μόνον τοὺς ἀξίους ἑαυτοὺς παρέχοντας. Καὶ οὐχ ἁπλῶς ἄμμου θαλάσσης

Γιατί δέν ἐλέησε μόνο αὐτούς πού σώζονται, ἀλλά καί τό Φαραώ, ὅσο ἐξαρτῶνταν βέβαια ἀπ' αὐτόν, ἀφοῦ ἀπόλαυσαν καί ἐκεῖνοι καί αὐτός τήν ἴδια μακροθυμία. Ἐάν ὅμως δέ σώθηκε, τό πᾶν ὀφείλεται στή δική του διάθεση, ἐφόσον δέν ἔλαβε, ὅσο ἐξαρτῶνταν ἀπό τό Θεό, τίποτε λιγότερο ἀπό ἐκείνους πού σώθηκαν.

9. Ἀφοῦ λοιπόν ἔδωσε τή λύση στό ζήτημα ἀπό τά ἴδια τά πράγματα, γιά νά κάνει καί ἀπό ἀλλοῦ ἀξιόπιστο τό λόγο, παρουσιάζει καί τούς προφῆτες πού ἀπό πρίν φωνάζουν τά ἴδια. Γιατί καί ὁ Ὠσηέ, λέγει, ἀπό τήν ἀρχή ἔγραφε αὐτά, λέγοντας τά ἑξῆς· «θά καλέσω λαό μου ἐκεῖνον πού δέν εἶναι λαός μου, καί ἀγαπημένη ἐκείνη πού δέν εἶναι ἀγαπημένη». Γιά νά μή λέγουν, ὅτι μᾶς ἐξαπατᾶς λέγοντας αὐτά, κάλεσε μάρτυρα τόν Ὠσηέ, πού φωνάζει καί λέγει, «θά ὀνομάσω λαό μου ἐκεῖνον πού δέν εἶναι λαός μου». Ποιός λοιπόν ἦταν ἐκεῖνος πού δέν ἦταν λαός του; Εἶναι φανερό πώς ἦταν οἱ ἐθνικοί. Καί ποιά ἐκείνη πού δέν ἦταν ἀγαπημένη; Οἱ ἴδιοι πάλι. Ἀλλ' ὅμως τούς εἶπε αὐτούς καί λαό καί ἀγαπημένη καί ὅτι θά γίνουν τέκνα τοῦ Θεοῦ. «Γιατί αὐτοί θά ὀνομασθοῦν τέκνα τοῦ ζωντανοῦ Θεοῦ». Ἐάν ὅμως ἔλεγαν ὅτι αὐτό λέχθηκε γιά ἐκείνους πού πίστεψαν ἀπό τούς Ἰουδαίους, καί ἔτσι στέκεται ὁ λόγος. Ἐάν λοιπόν σ' ἐκείνους πού ἦταν ἀχάριστοι ὕστερα ἀπό πολλές εὐεργεσίες, καί ἀποξενώθηκαν καί εἶχαν χάσει τό δικαίωμα νά εἶναι λαός ἔγινε τόσο μεγάλη μεταβολή, τί ἐμπόδιζε νά κληθοῦν καί ἐκεῖνοι πού δέν ἀποξενώθηκαν μετά τήν οἰκείωση, ἀλλ' ἦταν ἀπό τήν ἀρχή ξένοι, καί ἀφοῦ ὑπακούσουν, νά ἀξιωθοῦν τά ἴδια;

Ἀφοῦ παρουσίασε λοιπόν τόν Ὠσηέ, δέν ἀρκεῖται μόνο σ' αὐτόν, ἀλλά μετά ἀπ' αὐτόν παρουσιάζει καί τόν Ἡσαΐα, πού μιλάει συμφωνώντας μ' αὐτόν. «Γιατί ὁ Ἡσαΐας», λέγει, «κραυγάζει γιά τούς Ἰσραηλίτες»· δηλαδή, μέ παρρησία φωνάζει καί δέν ὑποχωρεῖ. Γιατί λοιπόν μᾶς κατηγορεῖτε, ὅταν ἐκεῖνοι φωνάζουν ἀπό πρίν αὐτά πιό δυνατά ἀπό σάλπιγγα; Τί λοιπόν φωνάζει ὁ Ἡσαΐας; «Ἐάν εἶναι ὁ ἀριθμός τῶν ἀπογόνων τοῦ Ἰσραήλ σάν τήν ἄμμο τῆς θάλασσας, ἕνα ὑπόλοιπο θά σωθεῖ». Βλέπεις πώς καί ἐκεῖνος δέ λέγει ὅτι θά σωθοῦν ὅλοι, ἀλλ' οἱ ἄξιοι θά σωθοῦν; Γιατί δέ σέβομαι τό πλῆθος, λέγει, οὔτε μέ συγκινεῖ τό γένος πού εἶναι τόσο διασκορπισμένο, ἀλλ' ἐκείνους σώζω μόνο πού παρουσιάζουν τούς ἑαυτούς τους ἄξιους. Καί δέν τούς ἀνέφερε τυχαῖα τήν ἄμμο τῆς θάλασσας,

ἐμνημόνευσεν, ἀλλ' ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἐπαγγελίας, ἧς ἀναξίους ἑαυτοὺς κατέστησαν. Τί τοίνυν θορυβεῖσθε, ὡς τῆς ὑποσχέσεως διαπεσούσης, τῶν προφητῶν ἁπάντων δηλούντων, οὐ πάντας εἶναι τοὺς σωζομένους;

Εἶτα καὶ τὸν τρόπον τῆς σωτηρίας λέγει. Εἶδες ἀκρίβειαν προφητικήν, καὶ σύνεσιν ἀποστολικήν, οἵαν μαρτυρίαν παρήγαγε, πῶς σφόδρα ἐπιτηδείαν; Οὐ γὰρ μόνον ὅτι τινές εἰσιν οἱ σωζόμενοι καὶ οὐχὶ πάντες, δείκνυσιν ἡμῖν αὕτη, ἀλλὰ καὶ πῶς σωθήσονται προστίθησι. Πῶς οὖν σωθήσονται; καὶ πῶς αὐτοὺς ὁ Θεὸς ἀξιώσει τῆς εὐεργεσίας; «Λόγον συντελῶν καὶ συντέμνων», φησίν, «ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ περιόδου χρεία καὶ πόνων καὶ ταλαιπωρίας τῆς ἀπὸ τῶν ἔργων τῶν νομίμων, ἀλλὰ μετὰ πολλῆς τῆς συντομίας ἔσται ἡ σωτηρία. Τοιοῦτον γὰρ ἡ πίστις· ἐν βραχέσι ῥήμασιν ἔχει τὴν σωτηρίαν. «Ἐὰν γὰρ ὁμολογήσῃς», φησίν, «ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐν νεκρῶν, σωθήσῃ».

Εἶδες τί ἐστι, «λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς»; Καὶ τὸ δὴ θαυμαστόν, ὅτι ὁ βραχὺς οὗτος λόγος οὐ σωτηρίαν μόνον, ἀλλὰ καὶ δικαιοσύνην ἐκόμισε. «Καὶ καθὼς προείρηκεν Ἠσαΐας, εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν». Πάλιν ἐνταῦθα ἄλλο τι δείκνυσιν, ὅτι οὐδὲ αὐτοὶ οἱ ὀλίγοι οἴκοθεν διεσώθησαν. Καὶ γὰρ καὶ οὗτοι ἀπώλοντο ἂν καὶ τὰ Σοδόμων ἔπαθον, τουτέστι, πανωλεθρίαν ὑπέμειναν· καὶ γὰρ καὶ ἐκεῖνοι πρόρριζοι πάντες ἀπώλοντο, καὶ οὐδὲ τὸ τυχὸν σπέρμα αὐτῶν κατέλιπον· καὶ οὗτοι οὖν, φησίν, ὡς ἐκεῖνοι ἂν ἐγένοντο, εἰ μὴ πολλῇ ὁ Θεὸς ἐχρήσατο τῇ ἀγαθότητι, καὶ διετήρησε διὰ τῆς πίστεως αὐτούς. Τοῦτο δὲ καὶ ἐπὶ τῆς αἰσθητῆς γέγονεν αἰχμαλωσίας. Οἱ μὲν γὰρ πλείους ἀπήχθησαν καὶ ἀπώλοντο, ὀλίγοι δὲ διεσώθησαν μόνοι.

10. *«Τί οὖν ἐροῦμεν;» φησίν. «Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως, Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐ*

18. Ρωμ. 10, 9.

ἀλλά γιά νά τούς θυμήσει τήν παλιά ὑπόσχεση, γιά τήν ὁποία ἔκαμαν τούς ἑαυτούς τους ἀνάξιους. Γιατί λοιπόν ἀνησυχεῖτε, ἐπειδή τάχα διαψεύσθηκε ἡ ὑπόσχεση, ἀφοῦ ὅλοι οἱ προφῆτες δηλώνουν, ὅτι δέ σώζονται ὅλοι;

Στή συνέχεια λέγει καί τόν τρόπο τῆς σωτηρίας. Εἶδες ἀκρίβεια προφητική, καί σύνεση ἀποστολική, ποιά μαρτυρία παρουσίασε, καί πῶς ἦταν πάρα πολύ κατάλληλη; Γιατί αὐτή δέ μᾶς δείχνει μόνο, ὅτι μερικοί εἶναι αὐτοί πού σώζονται καί ὄχι ὅλοι, ἀλλά καί προσθέτει πῶς θά σωθοῦν. Πῶς λοιπόν θά σωθοῦν; καί πῶς ὁ Θεός θά τούς θεωρήσει ἄξιους γιά τήν εὐεργεσία του; «Γιατί ὁ Κύριος», λέγει, «θά πραγματοποιήσει σύντομα τήν ἀπόφασή του μέ δικαιοσύνη, θά τήν πραγματοποιήσει σύντομα ἐπάνω στή γῆ». Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· δέν ἔχει ἀνάγκη ἀπό χρονική περίοδο καί κόπους καί ταλαιπωρία ἀπό τά ἔργα τοῦ νόμου, ἀλλά ἡ σωτηρία θά συμβεῖ πολύ σύντομα. Γιατί τέτοια εἶναι ἡ πίστη· μέσα σέ λίγα λόγια περιέχει τή σωτηρία. «Γιατί, ἄν ὁμολογήσεις μέ τό στόμα σου», λέγει, «ὅτι ὁ Ἰησοῦς εἶναι Κύριος καί πιστέψεις μέ τήν καρδιά σου, ὅτι ὁ Θεός τόν ἀνάστησε ἀπό τούς νεκρούς, θά σωθεῖς»[18].

Εἶδες τί σημαίνει, «λόγον συντετμημένον ποιήσει Κύριος ἐπί τῆς γῆς»; Καί τό πιό θαυμαστό, ὅτι ἡ σύντομη αὐτή ἀπόφαση δέν ἔφερε μόνο τή σωτηρία, ἀλλά καί τή δικαιοσύνη. «Καί καθώς προεῖπε ὁ Ἠσαΐας, ἐάν ὁ Κύριος ὁ Σαβαώθ δέ μᾶς ἄφηνε ἀπογόνους, θά εἴχαμε γίνει σάν τά Σόδομα καί θά εἴχαμε ἐξομοιωθεῖ μέ τά Γόμορρα». Πάλι ἐδῶ κάτι ἄλλο δείχνει, ὅτι οὔτε αὐτοί οἱ λίγοι δέ σώθηκαν ἀπό μόνοι τους. Καθόσον καί αὐτοί θά καταστρέφονταν καί θά πάθαιναν ὅπως τά Σόδομα, θά καταστρέφονταν δηλαδή ὁλοκληρωτικά (γιατί βέβαια καί ἐκεῖνοι ὅλοι καταστράφηκαν τελείως καί δέν ἄφησαν τούς συνηθισμένους ἀπογόνους)· καί αὐτοί λοιπόν, λέγει, θά γίνονταν ὅπως ἐκεῖνοι, ἄν ὁ Θεός δέ μεταχειριζόταν πολλή ἀγαθότητα καί δέν τούς διατηροῦσε μέ τήν πίστη. Αὐτό ὅμως συνέβηκε καί στή σωματική αἰχμαλωσία. Γιατί οἱ περισσότεροι ὁδηγήθηκαν αἰχμάλωτοι καί χάθηκαν, ἐνῶ μόνο λίγοι διασώθηκαν.

10. «Τί λοιπόν θά ποῦμε»; λέγει. «Ὅτι οἱ ἐθνικοί, πού δέν ἐπιδίωκαν τή δικαίωση, κατέκτησαν τή δικαίωση, ἀλλά τή δικαίωση πού προέρχεται ἀπό τήν πίστη. Ἐνῶ οἱ Ἰσραηλίτες, πού ἐπιδίωκαν

ἔφθασεν». Ἡ σαφεστάτη λύσις ἐνταῦθα λοιπόν. Ἐπειδὴ γὰρ καὶ ἀπὸ τῶν πραγμάτων ἔδειξεν, «οὐ γὰρ πάντες», φησίν, «οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ», καὶ ἀπὸ τῶν προγόνων τοῦ Ἰακὼβ καὶ τοῦ Ἡσαῦ, καὶ ἀπὸ τῶν προφητῶν τοῦ Ὠσηὲ καὶ τοῦ Ἡσαΐου, καὶ τὴν κυριωτάτην ἐπάγει λύσιν, πρότερον τὴν ἀπορίαν αὐξήσας. Καὶ γὰρ δύο ἐστὶ τὰ ζητούμενα, ὅτι καὶ τὰ ἔθνη ἐπέτυχε, καὶ μὴ διώκοντα ἐπέτυχε, τουτέστι, μὴ σπουδάσαντα. Καὶ πάλιν ἐπὶ τῶν Ἰουδαίων ὁμοίως τὰ δύο ἄπορα, ὅτι καὶ Ἰσραὴλ οὐκ ἐπέτυχε, καὶ σπουδάζων οὐκ ἐπέτυχε. Διὸ καὶ ταῖς λέξεσιν ἐμφαντικώτερον κέχρηται· οὐδὲ γὰρ εἶπεν, ὅτι ἔσχε δικαιοσύνην, ἀλλά, «κατέλαβε». Τὸ γὰρ καινὸν μάλιστα καὶ παράδοξον τοῦτό ἐστιν, ὅτι ὁ διώκων οὐ κατέλαβεν, ὁ δὲ μὴ διώκων κατέλαβε. Καὶ δοκεῖ μὲν αὐτοῖς χαρίζεσθαι τῷ λέγειν, «διώκων», ὕστερον δὲ καιρίαν ἐπάγει τὴν πληγήν.

Ἐπειδὴ γὰρ ἔχει ἰσχυρὰν λύσιν ἐπαγαγεῖν, οὐδὲν δέδοικε χαλεπωτέραν ποιῶν τὴν ἀντίθεσιν. Διὰ τοῦτο οὐδὲ περὶ πίστεως διαλέγεται, καὶ τῆς ἐντεῦθεν δικαιοσύνης, ἀλλὰ δείκνυσι καὶ πρὸ τῆς πίστεως καὶ ἐν τοῖς οἰκείοις ἡττηθέντας αὐτοὺς καὶ καταδεδικασμένους. Σὺ μὲν γάρ, ὦ Ἰουδαῖε, φησίν, οὐδὲ τὴν ἐκ τοῦ νόμου δικαιοσύνην εὗρες (παρέβης γὰρ αὐτὸν καὶ ὑπεύθυνος γέγονας τῇ ἀρᾷ), οὗτοι δὲ οἱ μὴ διὰ τοῦ νόμου ἐλθόντες, ἀλλ' ἑτέραν ὁδόν, μείζονα ταύτης εὗρον δικαιοσύνην, τὴν ἀπὸ τῆς πίστεως. Ὅπερ οὖν καὶ ἀνωτέρω ἔλεγεν, «εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν», δεικνὺς ὅτι αὕτη ἡ δικαιοσύνη μείζων ἐκείνης ἐστίν. Ἔμπροσθεν μὲν οὖν ἔλεγον, ὅτι δύο ἐστὶ τὰ ἀπορούμενα, νυνὶ δὲ καὶ τρία τὰ ζητήματα γέγονεν· ὅτι τὰ ἔθνη καὶ εὗρε δικαιοσύνην, καὶ μὴ διώκοντα εὗρε, καὶ μείζονα εὗρε τῆς ἐκ

19. Ρωμ. 4, 2.

τή δικαίωση ἀπό τήν τήρηση τοῦ νόμου, δέν κατόρθωσαν τή δικαίωση αὐτή». Ἡ σαφέστατη λύση βρίσκεται βέβαια ἐδῶ. Ἐπειδή λοιπόν καί ἀπό τά πράγματα ἔδειξε, «γιατί δέν εἶναι πραγματικοί Ἰσραηλίτες», λέγει, «ὅλοι ὅσοι κατάγονται ἀπό τόν Ἰσραήλ», καί ἀπό τούς προγόνους τοῦ Ἰακώβ καί τοῦ Ἡσαῦ, καί ἀπό τούς προφῆτες Ὠσηέ καί Ἡσαΐα, προσθέτει καί τήν πιό σπουδαιότερή λύση, ἀφοῦ προηγουμένως μεγάλωσε τήν ἀπορία. Καθόσον δύο εἶναι τά ζητούμενα, ὅτι καί οἱ ἐθνικοί κατόρθωσαν νά δικαιωθοῦν, καί ὅτι τό κατόρθωσαν χωρίς νά τό ἐπιδιώκουν, δηλαδή, χωρίς νά προσπαθήσουν. Καί στούς Ἰουδαίους πάλι τό ἴδιο δύο εἶναι οἱ ἀπορίες, ὅτι καί οἱ Ἰσραηλίτες δέν κατόρθωσαν νά δικαιωθοῦν, καί ὅτι δέν τό κατόρθωσαν, ἄν καί προσπαθοῦσαν. Γι' αὐτό καί τίς λέξεις τίς χρησιμοποιεῖ μέ περισσότερη ἔμφαση· γιατί δέν εἶπε, 'ὅτι ἀπέκτησε δικαίωση', ἀλλά, «κατέλαβε». Τό κατ' ἐξοχή δηλαδή πρωτάκουστο καί παράδοξο εἶναι αὐτό, ὅτι ἐκεῖνος πού ἐπιδίωκε δέν ἐπέτυχε νά δικαιωθεῖ, ἐνῶ ἐκεῖνος πού δέν ἐπιδίωκε ἐπέτυχε. Καί φαίνεται βέβαια πώς τούς κάνει χάρη μέ τό νά πεῖ, «ἐκεῖνος πού ἐπιδιώκει», ἀλλά ὕστερα δίνει τό καίριο κτύπημα.

Ἐπειδή λοιπόν ἔχει νά προσθέσει ἰσχυρή λύση, δέ φοβήθηκε καθόλου κάνοντας πιό φοβερή τήν ἀντίθεση. Γι' αὐτό δέ μιλάει γιά τήν πίστη καί τή δικαίωση ἀπ' αὐτήν, ἀλλά δείχνει καί πρίν ἀπό τήν πίστη καί στά δικά τους νά ἔχουν νικηθεῖ καί νά εἶναι καταδικασμένοι. Ἐσύ λοιπόν, Ἰουδαῖε, λέγει δέ βρῆκες οὔτε τή δικαίωση ἀπό τό νόμο, γιατί τόν παρέβηκες καί ἔγινες ὑπεύθυνος στήν κατάρα, ἐνῶ αὐτοί πού δέν ἦρθαν μέσα ἀπό τό νόμο, ἀλλά ἀπό ἄλλο δρόμο, βρῆκαν μεγαλύτερη ἀπ' αὐτή δικαίωση, αὐτήν πού προέρχεται ἀπό τήν πίστη. Αὐτό ἀκριβῶς ἔλεγε καί προηγουμένως, «γιατί ἄν ὁ Ἀβραάμ δικαιώθηκε ἀπό τά ἔργα του, ἔχει λόγο νά καυχιέται, ἀλλ' ὄχι ἐνώπιον τοῦ Θεοῦ»[19], γιά νά δείξει ὅτι αὐτή ἡ δικαίωση εἶναι μεγαλύτερη ἀπό ἐκείνη. Προηγουμένως λοιπόν ἔλεγα, ὅτι δύο εἶναι οἱ ἀπορίες, τώρα ὅμως τά ζητούμενα ἔγιναν τρία· ὅτι δηλαδή οἱ ἐθνικοί καί δικαίωση βρῆκαν, καί ὅτι χωρίς νά τήν ἐπιδιώκουν τή βρῆκαν, καί ὅτι μεγαλύτερη βρῆκαν ἀπό τή δικαίωση πού προέρχεται ἀπό τό νόμο. Οἱ ἴδιες ἀκριβῶς ἀπορίες διατυπώνονται καί γιά τούς Ἰουδαίους πάλι ἀπό τήν ἀντίθετη πλευρά· ὅτι οἱ Ἰσραηλίτες δέ βρῆκαν δικαίωση, καί ὅτι δέν τή βρῆκαν παρ' ὅλο πού τήν ἐπιδίω-

τοῦ νόμου. Τὰ αὐτὰ δὴ ταῦτα καὶ ἐπὶ τῶν Ἰουδαίων διαπορεῖται πάλιν ἐξ ἐναντίας· ὅτι Ἰσραὴλ οὐχ εὗρε, καὶ σπουδάζων οὐχ εὗρε, καὶ τὴν ἐλάττονα οὐχ εὗρεν. Ἐμβαλὼν τοίνυν εἰς ἀπορίαν τὸν ἀκροατήν, ἐπάγει λοιπὸν σύντομον τὴν λύσιν, καὶ τὴν αἰτίαν φησὶ τῶν εἰρημένων ἁπάντων. Τίς οὖν ἐστιν ἡ αἰτία; «Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου».

Αὕτη ἡ σαφεστάτη τοῦ χωρίου παντὸς λύσις, ἣν εἰ εὐθέως ἐν προοιμίοις εἶπεν, οὐκ ἂν οὕτως εὐπαράδεκτος ἐγεγόνει· ἐπειδὴ δὲ μετὰ πολλὰς ἀπορίας καὶ κατασκευὰς καὶ ἀποδείξεις αὐτὴν τέθεικε, καὶ προδιορθώσεσι μυρίαις ἐχρήσατο, εὐμαθεστέραν τε αὐτὴν λοιπὸν καὶ εὐπαράδεκτον μᾶλλον ἐποίησε. Τοῦτο γὰρ αἴτιον, φησί, τῆς ἀπωλείας αὐτῶν, ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων ἠθέλησαν δικαιωθῆναι. Καὶ οὐκ εἶπεν, ἐξ ἔργων, ἀλλ', «ὡς ἐξ ἔργων νόμου», δεικνὺς ὅτι οὐδὲ ταύτην ἔσχον τὴν δικαιοσύνην. «Προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος, καθὼς γέγραπται· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν οὐ καταισχυνθήσεται».

Εἶδες πάλιν πῶς ἀπο τῆς πίστεως ἡ παρρησία καὶ καθολικὴ ἡ δωρεά; Οὐ γὰρ περὶ Ἰουδαίων εἴρηται μόνον, ἀλλὰ καὶ περὶ παντὸς τοῦ τῶν ἀνθρώπων γένους. Πᾶς γάρ, φησί, κἂν Ἰουδαῖος, κἂν Ἕλλην, κἂν Σκύθης, κἂν Θρᾴξ, κἂν ὁστισοῦν ἕτερος ᾖ, πιστεύσας, πολλῆς ἀπολαύσεται τῆς παρρησίας. Τὸ δὲ θαυμαστὸν τοῦ προφήτου, ὅτι οὐχ ὅτι πιστεύσουσι μόνον εἶπεν, ἀλλ' ὅτι καὶ ἀπιστήσουσι· τὸ γὰρ προσκόψαι, τὸ ἀπιστῆσαί ἐστιν. Ὥσπερ οὖν ἀνωτέρω τούς τε ἀπολλυμένους, τούς τε σωζομένους ἐδήλωσεν εἰπών, «ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάττης, τὸ κατάλειμμα σωθήσεται», καί, «εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν», καί, «ἐκάλεσεν οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν», οὕτω δὴ οὖν καὶ ἐνταῦθα λέγει, ὅτι οἱ μὲν πιστεύσουσιν, οἱ δὲ προσκόψουσι· τὸ δὲ προσκόπτειν ἐκ τοῦ μὴ προσέχειν γίνεται, ἐκ τοῦ πρὸς ἕτερα κεχηνέναι. Ἐπεὶ οὖν καὶ οὗτοι τῷ νόμῳ προσεῖχον, προσέκοψαν τῷ λίθῳ. Προσκόμματος

καν, καί ὅτι οὔτε τή μικρότερη δέ βρῆκαν. Ἀφοῦ λοιπόν ἔβαλε σέ ἀπορία τόν ἀκροατή, προσθέτει στή συνέχεια σύντομη τή λύση καί λέγει τήν αἰτία ὅλων ὅσων λέχθηκαν. Ποιά λοιπόν εἶναι ἡ αἰτία; «Γιατί δέν ἐπιδίωκαν τή δικαίωση ἀπό τήν πίστη, ἀλλά ἀπό τά ἔργα τοῦ νόμου».

Αὐτή εἶναι ἡ σαφέστατη λύση ὅλου τοῦ χωρίου, τήν ὁποία ἄν ἔλεγε ἀμέσως ἀπό τήν ἀρχή, δέ θά γινόταν τόσο εὔκολα ἀποδεκτός. Ἐπειδή ὅμως τήν ἀνέφερε ὕστερα ἀπό πολλές ἀπορίες καί ἑτοιμασίες καί ἀποδείξεις, καί χρησιμοποίησε πάρα πολλές ἐξηγήσεις, τήν ἔκαμε στή συνέχεια πιό εὐκολονόητη καί περισσότερο εὐπρόσδεκτη. Αὐτό λοιπόν, λέγει, εἶναι ἡ αἰτία τῆς καταστροφῆς τους, ὅτι δηλαδή δέ θέλησαν νά δικαιωθοῦν ἀπό τήν πίστη, ἀλλά ἀπό τά ἔργα τοῦ νόμου. Καί δέν εἶπε ἀπό τά ἔργα, ἀλλά, «σάν νά ἦταν δυνατό νά τήν ἐπιτύχουν ἀπό τά ἔργα τοῦ νόμου», δείχνοντας πώς οὔτε αὐτήν τή δικαίωση δέν ἀπέκτησαν. «Σκόνταψαν δηλαδή στό λίθο τοῦ προσκόμματος, καθώς εἶναι γραμμένο· νά, θά βάλω στή Σιών λίθο προσκόμματος καί πέτρα σκανδάλου, καί καθένας πού πιστεύει σ' αὐτόν δέ θά ντροπιασθεῖ».

Εἶδες πάλι πῶς ἀπό τήν πίστη προέρχεται ἡ παρρησία καί πῶς εἶναι καθολική ἡ δωρεά; Γιατί δέν λέχθηκε μόνο γιά τούς Ἰουδαίους, ἀλλά καί γιά ὁλόκληρο τό ἀνθρώπινο γένος. Γιατί ὁ καθένας, λέγει, εἴτε εἶναι Ἰουδαῖος, εἴτε εἶναι Ἕλληνας, εἴτε εἶναι Σκύθης, εἴτε εἶναι Θρακιώτης, εἴτε εἶναι ὁποιοσδήποτε ἄλλος, ὅταν πιστέψει, θ' ἀπολαύσει πολλή παρρησία. Τό ἀξιοθαύμαστο ὅμως τοῦ προφήτη εἶναι ὅτι δέν εἶπε μόνο ὅτι θά πιστέψουν, ἀλλά καί ὅτι θ' ἀπιστήσουν· γιατί τό θά σκοντάψουν, σημαίνει τό θ' ἀπιστήσουν. Ὅπως ἀκριβῶς λοιπόν παραπάνω δήλωσε καί ἐκείνους πού καταστρέφονται καί ἐκείνους πού σώζονται λέγοντας, «ἐάν οἱ ἀπόγονοι τοῦ Ἰσραήλ εἶναι σάν τήν ἄμμο τῆς θάλασσας, μόνο ἕνα ὑπόλοιπο θά σωθεῖ», καί, «ἐάν ὁ Κύριος ὁ Σαβαώθ δέ μᾶς ἄφηνε ἀπογόνους, θά εἴχαμε γίνει σάν τά Σόδομα», καί, «κάλεσε ὄχι μόνο ἀπό τούς Ἰουδαίους, ἀλλά καί ἀπό τούς ἐθνικούς», ἔτσι ἀκριβῶς λοιπόν καί ἐδῶ λέγει, ὅτι ἄλλοι θά πιστέψουν καί ἄλλοι θά σκοντάψουν. Τό ὅτι σκοντάφτουν ὅμως προέρχεται ἀπό τό ὅτι δέν προσέχουν, ἀπό τό ὅτι χάσκουν σέ ἄλλα πράγματα. Ἐπειδή λοιπόν καί αὐτοί πρόσεχαν στό νόμο, σκόνταψαν στό λίθο. Καί λέγει λίθο προσκόμματος καί

δὲ λίθον καὶ πέτραν σκανδάλου φησὶν ἀπὸ τῆς γνώμης καὶ τοῦ τέλους τῶν ἀπιστησάντων.

11. Ἆρα ὑμῖν δῆλα γέγονε τὰ εἰρημένα, ἢ πολλῆς ἔτι δεῖται τῆς σαφηνείας; Ἐγὼ μὲν οἶμαι τοῖς προσεσχηκόσιν εὐσύνοπτα εἶναι· εἰ δέ τινας διέλαθεν, ἔξεστι καὶ ἰδίᾳ συντυχόντας ἐρωτῆσαι καὶ μαθεῖν. Διὰ γὰρ τοῦτο καὶ εἰς μακρότερον ἐξήνεγκα τοῦ λόγου τὴν ἐξήγησιν, ἵνα μὴ ἀναγκασθῶ, διατεμὼν τὸ συνεχὲς τῆς ἀκολουθίας, λυμήνασθαι τὴν σαφήνειαν τῶν λεγομένων. Διὸ δὴ καὶ ἐνταῦθα καταλύσω τὸν λόγον, οὐδὲν περὶ τῶν ἠθικωτέρων ὑμῖν διαλεχθείς, ὅπερ ἔθος ἡμῖν ποιεῖν, ὥστε μὴ πάλιν ἐπισκοτῆσαι τῇ μνήμῃ τῷ πλήθει τῶν λεγομένων. Ὥρα δὴ λοιπὸν καταλῦσαι εἰς τὸ προσῆκον τέλος κατακλείσαντας τὸν λόγον, τὴν δοξολογίαν τοῦ τῶν ὅλων Θεοῦ. Κοινῇ τοίνυν ἀναπαυσάμενοι ἡμεῖς τε οἱ λέγοντες, ὑμεῖς τε οἱ ἀκούοντες, ἀναπέμψωμεν αὐτῷ δόξαν, ὅτι αὐτοῦ ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

πέτρα σκανδάλου ἀπό τή διάθεση καί τό τέλος ἐκείνων πού δέν πίστεψαν.

11. Ἄραγε σᾶς ἔγιναν σαφή αὐτά πού λέχθηκαν, ἤ χρειάζονται ἀκόμη πολλή ἐξήγηση; Ἐγώ νομίζω πώς σ' ἐκείνους πού πρόσεξαν εἶναι εὐκολοκατανόητα, ἐάν ὅμως ξέφυγαν τήν προσοχή μερικῶν, εἶναι δυνατό, ἀφοῦ μέ συναντήσουν ἰδιαίτερα, καί νά ἐρωτήσουν καί νά μάθουν. Γιατί γι' αὐτό καί μακρύτερη ἔκαμα τήν ἐξήγηση τοῦ λόγου, γιά νά μήν ἀναγκασθῶ, διακόπτοντας τή συνέχεια τῆς ἀλληλουχίας τῶν σκέψεων, νά καταστρέψω τή σαφήνεια ὅσων λέγονται. Γι' αὐτό λοιπόν καί ἐδῶ θά τελειώσω τήν ὁμιλία, χωρίς νά σᾶς μιλήσω καθόλου γιά τά ἠθικά ζητήματα, πράγμα πού συνηθίζω νά κάνω, γιά νά μή σᾶς θολώσω πάλι τή μνήμη μέ τά πολλά λόγια. Εἶναι ὥρα λοιπόν πλέον νά τελειώσω μέ τό κατάλληλο τέλος, κλείνοντας τήν ὁμιλία στή δοξολογία τοῦ Θεοῦ τῶν ὅλων. Ὅλοι λοιπόν μαζί, ἀφοῦ ἀναπαυθοῦμε καί μεῖς πού μιλᾶμε καί ἐσεῖς πού ἀκοῦτε, ἄς ἀναπέμψουμε σ' αὐτόν δοξολογία, γιατί δική του εἶναι ἡ βασιλεία καί ἡ δύναμη καί ἡ δόξα στούς αἰῶνες. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ'

(Ρωμ. 10,1-13)

«Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεόν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν».

1. Μέλλει πάλιν αὐτῶν καθάπτεσθαι σφοδρότερον ἢ πρότερον· διὸ πάλιν ἀναιρεῖ πάσης ἀπεχθείας ὑπόνοιαν, καὶ πολλῇ κέχρηται τῇ προδιορθώσει. Μὴ γὰρ τοῖς λόγοις προσέχετε, φησί, μηδὲ ταῖς κατηγορίαις, ἀλλ' ὅτι οὐκ ἀπὸ διανοίας ἐχθρᾶς ταῦτα φθέγγομαι. Οὐ γάρ ἐστι τοῦ αὐτοῦ σωθῆναί τε αὐτοὺς ἐπιθυμεῖν, καὶ μὴ μόνον ἐπιθυμεῖν, ἀλλὰ καὶ εὔχεσθαι, καὶ πάλιν μισεῖν καὶ ἀποστρέφεσθαι. Καὶ γὰρ εὐδοκίαν ἐνταῦθα τὴν σφοδρὰν ἐπιθυμίαν φησί, καὶ τὴν δέησιν ἣν ποιεῖται. Οὐ γὰρ ὥστε ἀπαλλαγῆναι κολάσεως μόνον, ἀλλ' ὥστε καὶ σωθῆναι αὐτούς, πολλὴν καὶ τὴν σπουδὴν ποιεῖται καὶ τὴν εὐχήν. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς δείκνυσι τὴν εὔνοιαν, ἣν ἔχει πρὸς αὐτούς. Ἀπὸ γὰρ τῶν ἐγχωρούντων, ὡς οἷός τε ἦν, βιάζεται καὶ φιλονεικεῖ, ζητῶν σκιὰν γοῦν τινα ἀπολογίας αὐτοῖς εὑρεῖν· καὶ οὐκ ἰσχύει, ὑπὸ τῆς τῶν πραγμάτων νικώμενος φύσεως. «Μαρτυρῶ γὰρ αὐτοῖς», φησίν, «ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν». Οὐκοῦν συγγνώμης ταῦτα, οὐ κατηγορίας ἄξια. Εἰ γὰρ μὴ δι' ἄνθρωπόν εἰσιν ἀπεσχισμένοι, ἀλλὰ διὰ ζῆλον, ἐλεεῖσθαι μᾶλλον αὐτούς, ἢ κολάζεσθαι δίκαιον.

Ἀλλ' ὅρα πῶς σοφῶς καὶ ἐχαρίσατο τῷ ρήματι, καὶ ἔδειξεν αὐτῶν τὴν ἄκαιρον φιλονεικίαν. «Ἀγνοοῦντες γάρ», φησί, «τὴν τοῦ Θεοῦ δικαιοσύνην». Πάλιν τὸ ρῆμα συγγνώμης· ἀλλὰ τὸ ἑξῆς κα-

ΟΜΙΛΙΑ ΙΗ'

(Ρωμ. 10,1 – 13)

«Ἀδελφοί, ἡ ἐπιθυμία τῆς καρδιᾶς μου καί ἡ προσευχή μου στό Θεό εἶναι γιά τούς Ἰσραηλίτες, γιά νά σωθοῦν».

1. Πρόκειται πάλι ν' ἀσχοληθεῖ μ' αὐτούς σφοδρότερα ἀπ' ὅ,τι προηγουμένως. Γι' αὐτό πάλι ἀναιρεῖ τήν ὑποψία κάθε ἀποστροφῆς καί χρησιμοποιεῖ πολύ τήν προδιόρθωση. Νά μήν προσέχετε λοιπόν, λέγει, στά λόγια οὔτε στίς κατηγορίες μου, ἀλλ' ὅτι λέγω αὐτά ὄχι ἀπό ἐχθρική διάθεση. Γιατί δέν εἶναι γνώρισμα τοῦ ἴδιου ἀτόμου καί νά ἐπιθυμεῖ νά σωθοῦν αὐτοί, καί ὄχι μόνο νά ἐπιθυμεῖ, ἀλλά καί νά προσεύχεται, καί πάλι νά τούς μισεῖ καί νά τούς ἀποστρέφεται. Καθόσον εὐδοκία ἐδῶ λέγει τή σφοδρή ἐπιθυμία καί τήν προσευχή πού κάνει. Ὄχι μόνο λοιπόν γιά ν' ἀπαλλαγοῦν ἀπό τήν κόλαση, ἀλλά καί γιά νά σωθοῦν αὐτοί, καί φροντίζει καί προσεύχεται πολύ. Ὄχι ὅμως μόνο ἀπό ἐδῶ, ἀλλά καί ἀπό τά ἑπόμενα δείχνει τήν ἀγάπη πού ἔχει πρός αὐτούς. Γιατί ἀπό τά ἴδια τά πράγματα, ὅσο μποροῦσε, ἀγωνίζεται καί μάχεται ζητώντας νά βρεῖ γι' αὐτούς ἔστω καί κάποια ἀσήμαντη ἀπολογία· καί δέν μπορεῖ, γιατί νικιέται ἀπό τή φύση τῶν πραγμάτων. «Γιατί δίνω μαρτυρία γι' αὐτούς», λέγει, «ὅτι ἔχουν ζῆλο Θεοῦ, ἀλλ' ὄχι μέ ἐπίγνωση». Ἀσφαλῶς αὐτά εἶναι ἄξια γιά συγγνώμη, ὄχι γιά κατηγορία. Ἐάν λοιπόν εἶναι ἀποχωρισμένοι ὄχι γιά ἄνθρωπο, ἀλλά γιά ζῆλο, εἶναι δίκαιο νά ἐλεοῦνται αὐτοί μᾶλλον, παρά νά τιμωροῦνται.

Ἀλλά πρόσεχε πῶς μέ σύνεση καί τούς ἔκαμε χάρη μέ τό λόγο του καί ἔδειξε τήν ἄκαιρη φιλονεικία τους. «Γιατί, ἐπειδή ἀγνοοῦσαν», λέγει, «τή δικαίωση τοῦ Θεοῦ». Πάλι τά λόγια αὐτά

τηγορίας ἐπιτεταμένης, καὶ πᾶσαν ἀναιρούσης ἀπολογίαν. «Καὶ τὴν ἰδίαν γάρ», φησί, «δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν». Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι ἀπὸ φιλονεικίας καὶ φιλαρχίας μᾶλλον, ἢ ἐξ ἀγνοίας ἐπλανήθησαν, καὶ ὅτι οὐδὲ αὐτὴν ταύτην τὴν δικαιοσύνην τὴν ἀπὸ τῶν νομίμων ἔστησαν. Τὸ γὰρ εἰπεῖν, «ζητοῦντες στῆσαι», τοῦτό ἐστιν ἐμφαίνοντος. Καὶ σαφῶς μὲν αὐτὸ οὐ τέθεικεν· οὐδὲ γὰρ εἶπεν, ὅτι ἑκατέρας τῆς δικαιοσύνης ἐξέπεσον· ᾐνίξατο δὲ αὐτὸ συνετῶς σφόδρα καὶ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας. Εἰ γὰρ ἐκείνην ἔτι ζητοῦσι στῆσαι, εὔδηλον ὅτι οὐκ ἔστησαν· εἰ ταύτῃ οὐχ ὑπετάγησαν, καὶ ταύτης ἐξέπεσον. Ἰδίαν δὲ δικαιοσύνην αὐτὴν καλεῖ, ἢ διὰ τὸ μηκέτι τὸν νόμον ἰσχύειν, ἢ διὰ τὸ πόνων εἶναι καὶ ἱδρώτων· ταύτην δὲ τοῦ Θεοῦ δικαιοσύνην τὴν ἐκ πίστεως, διὰ τὸ ὁλόκληρον αὐτὴν ἐκ τῆς ἄνωθεν εἶναι χάριτος, καὶ οὐχὶ πόνοις, ἀλλὰ Θεοῦ δικαιοῦσθαι δωρεᾷ. Ἀλλ' οἱ ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες, καὶ φιλονεικοῦντες διὰ τοῦ νόμου δικαιωθῆναι, οὐ προσῆλθον τῇ πίστει· μὴ προσελθόντες δὲ τῇ πίστει, μηδὲ λαβόντες τὴν ἐξ αὐτῆς δικαιοσύνην, καὶ ἀπὸ τοῦ νόμου μὴ δυνηθέντες δικαιωθῆναι, πάντοθεν ἐξέπεσον.

2. *«Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι». Ὅρα Παύλου σύνεσιν. Ἐπειδὴ γὰρ εἶπε δικαιοσύνην καὶ δικαιοσύνην, ἵνα μὴ δόξωσιν οἱ πιστεύσαντες ἐξ Ἰουδαίων τὴν μὲν ἔχειν, τῆς δὲ ἀπεστερῆσθαι, καὶ παρανομίας κρίνεσθαι· καὶ γὰρ καὶ τούτους οὐχ ἧττον δεδοικέναι ἐχρῆν ἔτι νεήλυδας ὄντας· μηδὲ Ἰουδαῖοι πάλιν προσδοκήσωσιν αὐτὴν κατορθοῦν, καὶ εἴπωσιν, ὅτι εἰ καὶ μὴ νῦν ἐπληρώσαμεν, ἀλλὰ πάντως πληρώσομεν· ὅρα τί κατασκευάζει. Δείκνυσιν, ὅτι μία τίς ἐστιν ἡ δικαιοσύνη, καὶ ἐκείνη εἰς ταύτην ἀνακεφαλαιοῦται, καὶ ὅτι ὁ μὲν ταύτην ἑλόμενος τὴν διὰ πίστεως, κἀκείνην ἐπλήρωσεν· ὁ δὲ ταύτην ἀτιμάσας, κἀκείνης μετὰ*

δείχνουν συγγνώμη, ἀλλά τά ἑπόμενα δείχνουν πολύ ἔντονη κατηγορία, καί ἀναιρεῖ κάθε δικαιολογία. «Καί ἐπειδή ζητοῦσαν», λέγει, «νά στήσουν τή δική τους ἀντίληψη γιά δικαίωση, δέν ὑποτάχθηκαν στή δικαίωση τοῦ Θεοῦ». Καί τά ἔλεγε αὐτά, γιά νά δείξει ὅτι πλανήθηκαν περισσότερο ἀπό φιλονεικία καί φιλαρχία, παρά ἀπό ἄγνοια, καί ὅτι δέν ἔστησαν οὔτε αὐτήν τή δικαίωση πού προέρχεται ἀπό τήν ἐκτέλεση τοῦ νόμου. Γιατί μέ τό νά πεῖ, «ἐπειδή ζητοῦσαν νά στήσουν», φανερώνει αὐτό ἀκριβῶς. Καί αὐτό δέν τό ἀνέφερε βέβαια καθαρά, γιατί δέν εἶπε, 'ὅτι ἔχασαν κάθε δικαίωση', ἀλλ' ὑπαινίχθηκε αὐτό μέ ὑπερβολική σύνεση καί μέ τή σοφία πού ἁρμόζει σ' αὐτόν. Γιατί, ἄν ἀκόμη ζητοῦν νά τή στήσουν ἐκείνη, εἶναι ὁλοφάνερο ὅτι δέν τήν ἔστησαν· ἄν δέν ὑποτάχθηκαν σ' αὐτήν, καί αὐτήν τήν ἔχασαν. Καί τήν ὀνομάζει δική τους δικαίωση, ἤ γιατί δέν ἰσχύει πιά ὁ νόμος, ἤ γιατί ἐξαρτᾶται ἀπό τούς κόπους καί τούς ἱδρῶτες, ἐνῶ αὐτήν πού προέρχεται ἀπό τήν πίστη τήν ὀνομάζει δικαίωση τοῦ Θεοῦ, γιατί ὁλόκληρη ἐξαρτᾶται ἀπό τή χάρη τοῦ Θεοῦ, καί λαμβάνεται ὄχι μέ κόπους, ἀλλά μέ τή δωρεά τοῦ Θεοῦ. Ἀλλ' ἐκεῖνοι πού πάντοτε ἀντιστέκονται στό ἅγιο Πνεῦμα καί ἀγωνίζονται νά δικαιωθοῦν μέ τό νόμο, δέν προσῆλθαν στήν πίστη. Ἐπειδή ὅμως δέν προσῆλθαν στήν πίστη, οὔτε ἔλαβαν τή δικαίωση πού προέρχεται ἀπ' αὐτήν, καί ἐπειδή δέν μπόρεσαν νά δικαιωθοῦν καί ἀπό τό νόμο, ἀπό παντοῦ ἔχασαν τή δικαίωση.

2. «Γιατί τό τέλος τοῦ νόμου εἶναι ὁ Χριστός, γιά νά δικαιωθεῖ καθένας πού πιστεύει». Βλέπε τή σύνεση τοῦ Παύλου. Ἐπειδή λοιπόν εἶπε δικαίωση καί δικαίωση, γιά νά μή νομίσουν ὅσοι ἀπό τούς Ἰουδαίους πίστεψαν ὅτι ἔχουν τή μία καί ἔχασαν τήν ἄλλη, καί ὅτι κατηγοροῦνται γιά παρανομία (γιατί πραγματικά καί αὐτοί δέν ἔπρεπε νά φοβοῦνται λιγότερο, ἀφοῦ ἀκόμη ἦταν νεοφώτιστοι), οὔτε οἱ Ἰουδαῖοι πάλι νά ἔχουν προσδοκίες πῶς θά τήν κατορθώσουν αὐτήν, καί νά ποῦν, ὅτι, ἄν καί δέν τήν ἐπιτύχαμε τώρα, ὁπωσδήποτε ὅμως θά τήν ἐπιτύχουμε, πρόσεχε τί κάνει. Δείχνει ὅτι μία εἶναι ἡ δικαίωση, καί ἐκείνη ἀνακεφαλαιώνεται σ' αὐτήν, καί ὅτι ἐκεῖνος πού προτίμησε αὐτήν πού προέρχεται ἀπό τήν πίστη, πραγματοποίησε καί ἐκείνην· ἐκεῖνος ὅμως πού περιφρόνησε αὐτήν, ἔχασε καί ἐκείνην μαζί μ' αὐτήν. Γιατί, ἄν τό τέλος τοῦ νόμου εἶναι ὁ Χριστός,

ταύτης ἐξέπεσεν. Εἰ γὰρ τοῦ νόμου τέλος ὁ Χριστός, ὁ τὸν Χριστὸν οὐκ ἔχων, κἂν ἐκείνην ἔχειν δοκῇ, οὐκ ἔχει, ὁ δὲ τὸν Χριστὸν ἔχων, κἂν μὴ κατορθωκὼς τὸν νόμον, τὸ πᾶν εἴληφε.

Καὶ γὰρ τέλος ἰατρικῆς ὑγεία. Ὥσπερ οὖν ὁ δυνάμενος ὑγιῆ ποιεῖν, κἂν μὴ τὴν ἰατρικὴν ἔχῃ, τὸ πᾶν ἔχει, ὁ δὲ μὴ εἰδὼς θεραπεύειν, κἂν μετιέναι δοκῇ τὴν τέχνην, τοῦ παντὸς ἐξέπεσεν, οὕτως ἐπὶ τοῦ νόμου καὶ τῆς πίστεως, ὁ μὲν ταύτην ἔχων, καὶ τὸ ἐκείνου τέλος ἔχει, ὁ δὲ ταύτης ἔξω ὤν, ἀμφοτέρων ἐστὶν ἀλλότριος. Τί γὰρ ἐβούλετο ὁ νόμος; Δίκαιον ποιῆσαι τὸν ἄνθρωπον. Ἀλλ' οὐκ ἴσχυσεν· οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. Τοῦτο οὖν τέλος ἦν τοῦ νόμου, καὶ εἰς τοῦτο πάντα ἔβλεπε, καὶ διὰ τοῦτο πάντα ἐγίνετο, καὶ ἑορταὶ καὶ ἐντολαὶ καὶ θυσίαι καὶ τὰ λοιπὰ ἅπαντα, ἵνα δικαιωθῇ ὁ ἄνθρωπος. Ἀλλὰ τοῦτο τὸ τέλος ἤνυσεν ὁ Χριστὸς μειζόνως διὰ τῆς πίστεως. Μὴ τοίνυν φοβηθῇς, φησίν, ὡς τὸν νόμον παραβαίνων, ἐπειδὴ τῇ πίστει προσῆλθες. Τότε γὰρ αὐτὸν παραβαίνεις, ὅταν δι' αὐτὸν τῷ Χριστῷ μὴ πιστεύσῃς· ὡς, ἂν πιστεύσῃς αὐτῷ, κἀκεῖνον ἐπλήρωσας, καὶ πολλῷ πλέον ἢ ἐκέλευσε· πολλῷ γὰρ μείζονα δικαιοσύνην ἔλαβες.

3. Εἶτα ἐπειδὴ ταῦτα ἀπόφασις ἦν, ἀπὸ τῶν Γραφῶν πάλιν αὐτὰ πιστοῦται. «Μωϋσῆς γὰρ γράφει», φησί, «τὴν ἐκ τοῦ νόμου δικαιοσύνην». Ὃ δὲ λέγει, τοῦτό ἐστι· Μωϋσῆς δείκνυσιν ἡμῖν τὴν ἐκ τοῦ νόμου δικαιοσύνην, ὁποία τίς ἐστι καὶ ποταπή. Ποία τοίνυν ἐστί, καὶ πόθεν συνίσταται; Ἀπὸ τοῦ πληρωθῆναι τὰς ἐντολάς. «Ὁ ποιήσας αὐτά», φησί, «ζήσεται ἐν αὐτοῖς». Καὶ ἄλλως οὐκ ἔνι δίκαιον γενέσθαι ἐν νόμῳ, ἀλλ' ἢ πάντα πληρώσαντα· τοῦτο δὲ οὐδενὶ γέγονε δυνατόν. Οὐκοῦν διαπέπτωκεν ἡ δικαιοσύνη αὕτη. Ἀλλ' εἰπὲ καὶ τὴν ἑτέραν ἡμῖν, ὦ Παῦλε, δικαιοσύνην τὴν ἐκ τῆς χάριτος. Τίς οὖν ἐστιν αὕτη, καὶ πόθεν συνίσταται; Ἄκουσον αὐτοῦ σαφῶς αὐτὴν ὑπογράφοντος. Ἐπειδὴ γὰρ ἤλεγξεν ἐκείνην, μεταβαίνει λοιπὸν ἐπὶ ταύτην, καί φησιν· «Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν

ἐκεῖνος πού δέν ἔχει τό Χριστό, καί ἄν ἀκόμη νομίζει πώς ἔχει τή δικαίωση ἐκείνη, δέν τήν ἔχει· ἐνῶ ἐκεῖνος πού ἔχει τό Χριστό, καί ἄν ἀκόμη δέν ἔχει κατορθώσει τό νόμο, τά ἔλαβε ὅλα.

Γιατί καί ὁ σκοπός τῆς ἰατρικῆς εἶναι ἡ ὑγεία. Ὅπως ἀκριβῶς λοιπόν ἐκεῖνος πού μπορεῖ νά κάνει κάποιον ὑγιή, καί ἄν ἀκόμη δέν ἔχει τήν ἰατρική, τά ἔχει ὅλα, ἐνῶ ἐκεῖνος πού δέν ξέρει νά θεραπεύει, καί ἄν ἀκόμη νομίζει πώς ἀσκεῖ τήν ἰατρική τέχνη, ἔχασε τά πάντα· ἔτσι στό νόμο καί τήν πίστη, ἐκεῖνος πού βρίσκεται ἔξω ἀπό τήν πίστη, εἶναι ξένος καί ἀπό τά δύο. Τί λοιπόν ἤθελε ὁ νόμος; Νά δικαιώσει τόν ἄνθρωπο. Δέν τά κατάφερε ὅμως, γιατί κανένας δέ τόν ἐκπλήρωσε. Αὐτό λοιπόν ἦταν τό τέλος τοῦ νόμου, καί σ' αὐτό ἀποσκοποῦσαν ὅλα, καί γι' αὐτό γίνονταν ὅλα, καί οἱ γιορτές καί οἱ ἐντολές καί οἱ θυσίες καί ὅλα τά ὑπόλοιπα, γιά νά δικαιωθεῖ ὁ ἄνθρωπος. Ἀλλά τό τέλος αὐτό τό κατόρθωσε ὁ Χριστός σέ μεγαλύτερο βαθμό μέ τήν πίστη. Μή φοβηθεῖς λοιπόν, λέγει, ὅτι παραβαίνεις τό νόμο, ἐπειδή προσῆλθες στήν πίστη. Γιατί τότε παραβαίνεις αὐτόν, ὅταν ἐξ αἰτίας αὐτοῦ δέ πιστέψεις στό Χριστό. Γιατί, ἄν πιστέψεις σ' αὐτόν, καί ἐκεῖνον ἐκπλήρωσες, καί πολύ περισσότερο ἀπ' ὅσο διέταξε· γιατί ἔλαβες πολύ μεγαλύτερη δικαίωση.

3. Στή συνέχεια, ἐπειδή αὐτά ἦταν ἀπόφαση, τά ἐπιβεβαιώνει πάλι ἀπό τίς Γραφές. «Γιατί ὁ Μωϋσῆς γράφει», λέγει, «γιά τή δικαίωση πού προέρχεται ἀπό τό νόμο». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· ὁ Μωϋσῆς μᾶς δείχνει τή δικαίωση πού προέρχεται ἀπό τό νόμο, ποιά εἶναι καί τί λογῆς. Ποιά λοιπόν εἶναι καί ἀπό τί ἀποτελεῖται; Ἀπό τήν ἐκπλήρωση τῶν ἐντολῶν. «Ὁ ἄνθρωπος πού τήρησε τίς ἐντολές», λέγει, «θά ζήσει μ' αὐτές». Ἄλλωστε δέν εἶναι δυνατό νά γίνει δίκαιος μέ τό νόμο, παρά μόνο ὅταν ἐκπληρώσει ὅλες τίς ἐντολές· αὐτό ὅμως σέ κανένα δέν ἔγινε δυνατό. Συνεπῶς ἐξέπεσε ἡ δικαίωση αὐτή. Ἀλλά πές μας, Παῦλε, καί τήν ἄλλη δικαίωση πού προέρχεται ἀπό τή χάρη. Ποιά λοιπόν εἶναι αὐτή καί ἀπό τί ἀποτελεῖται; Ἄκουσε αὐτόν πού τήν περιγράφει μέ σαφήνεια. Ἐπειδή λοιπόν κατηγόρησε ἐκείνη, πηγαίνει στή συνέχεια σ' αὐτήν, καί λέγει, «ἡ δικαίωση ὅμως πού προέρχεται ἀπό τήν πίστη λέγει αὐτά· μήν πεῖς στήν καρδιά σου, ποιός θ' ἀνεβεῖ στόν οὐρανό; γιά νά καταβάσει δηλαδή τό Χριστό, ἤ ποιός θά κατεβεῖ στήν ἄβυσ-

ἄβυσσον; τουτέστι, Χριστὸν ἐν νεκρῶν ἀναγαγεῖν. Ἀλλὰ τί λέγει; Ἐγγὺς σοῦ τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι, τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ».

Ἵνα γὰρ μὴ λέγωσιν Ἰουδαῖοι, πῶς εὗρον μείζονα δικαιοσύνην οἱ τὴν ἐλάττω μὴ εὑρόντες; λέγει λογισμὸν ἀναντίρρητον, ὅτι κουφοτέρα αὕτη ἡ ὁδὸς ἐκείνης. Αὕτη μὲν γὰρ πλήρωσιν ἀπαιτεῖ πάντων· ὅταν γὰρ ποιήσῃς πάντα, τότε ζήσῃ· ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὐ τοῦτο λέγει, ἀλλὰ τί; «Ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ». Εἶτα, ἵνα μὴ δόξῃ πάλιν εὐκαταφρόνητον αὐτὴν ποιεῖν τῷ εὔκολον καὶ εὐτελῆ δεικνύναι, ὅρα πῶς πλατύνει τὸν λόγον τὸν περὶ αὐτῆς. Οὐ γὰρ εὐθέως ἐπὶ τοῦτο ἦλθεν, ὅπερ εἰρήκαμεν, ἀλλὰ τί φησιν; «Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν». Ὥσπερ γὰρ τῇ ἀρετῇ τῇ διὰ τῶν ἔργων ἀνθίσταται ῥᾳθυμία, τοὺς τόνους ἐκλύουσα, καὶ δεῖ σφόδρα ἀγρυπνούσης ψυχῆς, ὥστε μὴ εἴκειν, οὕτω καὶ ὅταν πιστεῦσαι δέῃ, εἰσὶ λογισμοὶ θορυβοῦντες καὶ λυμαινόμενοι τὴν τῶν πολλῶν διάνοιαν, καὶ δεῖ νεανικωτέρας ψυχῆς, ὥστε αὐτοὺς διακρούσασθαι.

Διὰ δὴ τοῦτο καὶ αὐτοὺς τούτους εἰς μέσον ἄγει· καὶ ὅπερ ἐπὶ τοῦ Ἀβραὰμ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Καὶ γὰρ ἐκεῖ δείξας αὐτὸν ἀπὸ πίστεως δικαιωθέντα, ἵνα μὴ δόξῃ μάτην καὶ εἰκῇ τοσοῦτον εἰληφέναι στέφανον, ὡς οὐδὲν τοῦ πράγματος ὄντος, ἐπαίρων τὴν τῆς πίστεως φύσιν, φησίν· «ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν· καὶ μὴ ἀσθενήσας τῇ πίστει, κατενόησε μὲν τὸ ἑαυτοῦ σῶμα νενεκρωμέ-

σο; γιά ν' ἀνεβάσει δηλαδή τό Χριστό ἀπό τούς νεκρούς. Ἀλλά τί λέγει; Κοντά σου εἶναι ὁ λόγος, στό στόμα σου καί στήν καρδία σου. Ὁ λόγος δηλαδή τῆς πίστεως πού κηρύττουμε. Γιατί, ἄν ὁμολογήσεις μέ τό στόμα σου ὅτι ὁ Ἰησοῦς εἶναι Κύριος καί πιστέψεις μέ τήν καρδιά σου ὅτι ὁ Θεός τόν ἀνέστησε ἀπό τούς νεκρούς, θά σωθεῖς».

Γιά νά μή λέγουν λοιπόν οἱ Ἰουδαῖοι πῶς βρῆκαν μεγαλύτερη δικαίωση ἐκεῖνοι πού δέ βρῆκαν τή μικρότερη, ἀναφέρει ἀναντίρρητη σκέψη, ὅτι ὁ δρόμος αὐτός εἶναι πιό εὔκολος ἀπό ἐκεῖνον. Γιατί αὐτός ὁ δρόμος ἀπαιτεῖ ἐκπλήρωση ὅλων τῶν ἐντολῶν· ὅταν λοιπόν τά κάνεις ὅλα, τότε θά ζήσεις. Ἡ δικαίωση ὅμως ἀπό τήν πίστη δέ λέγει αὐτό, ἀλλά τί; «Ἐάν ὁμολογήσεις μέ τό στόμα σου ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Κύριος καί πιστέψεις μέ τήν καρδιά σου ὅτι ὁ Θεός τόν ἀνέστησε ἀπό τούς νεκρούς, θά σωθεῖς». Στή συνέχεια, γιά νά μή φανεῖ πάλι ὅτι τήν κάνει εὐκαταφρόνητη μέ τό νά δείχνει πώς εἶναι εὔκολη καί ἁπλή, πρόσεχε πῶς πλαταίνει τό λόγο γι' αὐτή. Γιατί δέν ἦρθε ἀμέσως σ' αὐτό, πού ἔχουμε πεῖ, ἀλλά τί λέγει; «Ἡ δικαίωση ὅμως πού προέρχεται ἀπό τήν πίστη λέγει αὐτά· μήν πεῖς στήν καρδιά σου, ποιός θ' ἀνεβεῖ στόν οὐρανό; γιά νά κατεβάσει δηλαδή τό Χριστό, ἤ ποιός θά κατεβεῖ στήν ἄβυσσο; γιά ν' ἀνεβάσει δηλαδή τό Χριστό ἀπό τούς νεκρούς». Γιατί, ὅπως στήν ἀρετή πού ἐκδηλώνεται μέ τά ἔργα ἀντιστέκεται ἡ ραθυμία, χαλαρώνοντας τίς δυνάμεις, καί πρέπει νά ἀγρυπνεῖ πάρα πολύ ἡ ψυχή, ὥστε νά μήν ὑποχωρεῖ, ἔτσι καί ὅταν πρέπει νά πιστέψουμε, ὑπάρχουν σκέψεις πού προκαλοῦν σύγχυση καί βλάπτουν τή διάνοια τῶν πολλῶν, καί χρειάζεται πιό ρωμαλέα ψυχή, ὥστε ν' ἀποκρούσει αὐτές.

Γι' αὐτό ἀκριβῶς καί ἀναφέρει τίς σκέψεις αὐτές, καί ἐκεῖνο πού ἔκαμε στήν περίπτωση τοῦ Ἀβραάμ, αὐτό κάνει καί ἐδῶ. Γιατί καί ἐκεῖ, ἀφοῦ ἔδειξε πώς αὐτός δικαιώθηκε ἀπό τήν πίστη, γιά νά μή φανεῖ ὅτι εἶχε λάβει μάταια καί χωρίς λόγο τόσο μεγάλο στεφάνι, σάν νά μήν ἦταν τίποτε τό πράγμα, ἐξυψώνοντας τή φύση τῆς πίστεως, λέγει· «Αὐτός ἀντίθετα ἀπό κάθε ἐλπίδα πίστεψε μέ ἐλπίδα στό ὅτι θά γίνει πατέρας πολλῶν ἐθνῶν· καί χωρίς νά κλονισθεῖ ἡ πίστη του, σκέφθηκε βέβαια τό σῶμα του πού ἦταν πιά νεκρό, καί

νον, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας, εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι»· καὶ ἔδειξεν, ὅτι καὶ δυνάμεως χρεία καὶ ψυχῆς ὑψηλῆς τὰ ὑπὲρ ἐλπίδα δεχομένης, καὶ μὴ προσπταιούσης τοῖς ὁρωμένοις. Τοῦτο τοίνυν καὶ ἐνταῦθα ποιεῖ, καὶ δείκνυσιν ὅτι φιλοσόφου διανοίας χρεία, καὶ γνώμης οὐρανομήκους τινὸς καὶ μεγάλης. Καὶ οὐκ εἶπε, 'μὴ εἴπῃς ἁπλῶς', ἀλλά, «μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου»· τουτέστι, μηδὲ ἐννοήσῃς ἀμφιβαλεῖν καὶ εἰπεῖν κατὰ σεαυτόν, καὶ πῶς τοῦτο δυνατόν;

Ὁρᾷς, ὅτι τοῦτο μάλιστα πίστεως ἴδιον, τὸ τὴν κάτω πᾶσαν ἀκολουθίαν ἀφέντας τὸ ὑπὲρ φύσιν ἐπιζητεῖν, καὶ λογισμῶν ἀσθένειαν ἐκβάλλοντας, ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως ἅπαντα παραδέχεσθαι; Καίτοιγε οὐ ταῦτα Ἰουδαῖοι ἔλεγον μόνον, ἀλλ' ὅτι οὐ δυνατὸν ἐκ πίστεως δικαιωθῆναι. Ἀλλ' αὐτὸς ἐφ' ἕτερον αὐτὸ ἄγει τὸ γεγενημένον, ἵνα, ὅταν δείξῃ μέγα οὕτως ὄν, ὡς καὶ μετὰ τὸ γεγενῆσθαι πίστεως αὐτὸ δεῖσθαι, δικαίως δόξῃ τούτοις τὸν στέφανον πλέκειν. Καὶ κέχρηται ῥήμασι τοῖς ἐν τῇ παλαιᾷ κειμένοις, σπουδάζων ἀεὶ τὰ τῆς καινοτομίας καὶ τῆς πρὸς ἐκείνην μάχης ἐγκλήματα διαφεύγειν. Τοῦτο γάρ, ὃ περὶ πίστεως ἐνταῦθά φησι, περὶ τῆς ἐντολῆς αὐτοῖς λέγει Μωϋσῆς, δεικνὺς ὅτι πολλῆς ἀπήλαυσαν παρὰ τοῦ Θεοῦ τῆς εὐεργεσίας. Οὐ γὰρ ἔστιν εἰπεῖν, φησίν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβῆναι δεῖ, καὶ πέλαγος διαβῆναι μέγα, καὶ τότε λαβεῖν τὰς ἐντολάς· ἀλλὰ τὰ οὕτω μεγάλα καὶ ὑπέρογκα εὔκολα ἡμῖν ἐποίησεν ὁ Θεός.

Τί δέ ἐστιν, «ἐγγὺς σοῦ τὸ ῥῆμά ἐστι»; Τουτέστιν, εὔκολόν ἐστιν· ἐν γὰρ τῇ διανοίᾳ σου καὶ τῇ γλώττῃ ἡ σωτηρία. Οὐ μακρὰν ὁδὸν βαδίσαντας, οὐδὲ πέλαγος πλεύσαντας, οὐδὲ ὄρη παρελθόντας, οὕτω σωθῆναι δεῖ· ἀλλ' εἰ μηδὲ αὐτὸν βουληθείης ὑπερβῆναι τὸν οὐδόν, ἔξεστί σοι καὶ οἴκοι καθημένῳ σωθῆναι· ἐν γὰρ τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σού ἐστι τῆς σωτηρίας ἡ ἀφορμή.

1. Ρωμ. 4, 18–22.

τή νέκρωση τῆς μήτρας τῆς Σάρρας, στήν ὑπόσχεση ὅμως τοῦ Θεοῦ δέν ταλαντεύθηκε ἀπό ἀπιστία, ἀλλ' ἐνισχύθηκε στήν πίστη, ἀφοῦ ἀπέδωσε δόξα στό Θεό καί βεβαιώθηκε ὅτι, ἐκεῖνο πού ὑποσχέθηκε, εἶναι δυνατός καί νά τό ἐκτελέσει»[1]. Καί ἔδειξε ὅτι χρειάζεται καί δύναμη καί ψυχή ἀνώτερη πού νά δέχεται ἐκεῖνα πού ὑπερβαίνουν τήν ἐλπίδα καί νά μήν σκοντάφτει στά ὁρατά πράγματα. Αὐτό λοιπόν καί ἐδῶ κάνει καί δείχνει πώς χρειάζεται φιλόσοφη διάνοια καί διάθεση ὑψηλή μέχρι τόν οὐρανό καί μεγάλη. Καί δέν εἶπε ἁπλῶς, 'μήν πεῖς' ἀλλά, «μήν πεῖς στήν καρδιά σου»· δηλαδή, οὔτε νά σκεφθεῖς ν' ἀμφιβάλεις καί νά πεῖς στόν ἑαυτό σου, καί πῶς εἶναι δυνατό αὐτό;

Βλέπεις ὅτι αὐτό πρό πάντων εἶναι τό γνώρισμα τῆς πίστεως, τό νά ἐπιζητοῦμε δηλαδή, ἀφοῦ ἀφήσουμε κάθε φυσική συνέχεια τῶν πραγμάτων, τό ὑπερφυσικό, καί, ἀφοῦ ἀπομακρύνουμε τήν ἀσθένεια τῶν σκέψεων, νά παραδεχόμαστε πώς ὅλα προέρχονται ἀπό τή δύναμη τοῦ Θεοῦ; Ἄν καί βέβαια οἱ Ἰουδαῖοι δέν ἔλεγαν μόνο αὐτά, ἀλλ' ὅτι δέν εἶναι δυνατό νά δικαιωθοῦν ἀπό τήν πίστη. Ἀλλ' αὐτός σέ ἄλλο ὁδηγεῖ αὐτό πού ἔχει γίνει, μέ σκοπό, ὅταν δείξει ὅτι εἶναι τόσο μεγάλο, ὥστε καί ἀφοῦ πραγματοποιηθεῖ νά χρειάζεται τήν πίστη, νά φανεῖ πώς δίκαια πλέκει τό στεφάνι σ' αὐτούς. Καί χρησιμοποιεῖ λόγια τῆς Παλαιᾶς Διαθήκης, φροντίζοντας πάντοτε ν' ἀποφεύγει τίς κατηγορίες γιά καινοτομία καί σύγκρουση μ' ἐκείνη. Γιατί αὐτό, πού λέγει ἐδῶ γιά τήν πίστη, τό λέγει σ' αὐτούς γιά τήν ἐντολή ὁ Μωυσῆς, γιά νά δείξει ὅτι ἀπόλαυσαν πολλές εὐεργεσίες ἀπό τό Θεό. Γιατί δέν εἶναι δυνατό νά πεῖ, λέγει, ὅτι πρέπει ν' ἀνεβεῖ στόν οὐρανό καί νά περάσει μεγάλο πέλαγος, καί τότε νά λάβει τίς ἐντολές, ἀλλά τά τόσο μεγάλα καί ὑπέρογκα μᾶς τά ἔκαμε εὔκολα ὁ Θεός.

Τί ὅμως σημαίνει, «κοντά σου εἶναι ὁ λόγος»; Δηλαδή, εἶναι εὔκολος, γιατί ἡ σωτηρία βρίσκεται στή σκέψη σου καί στή γλώσσα σου. Χωρίς νά βαδίζουμε πολύ δρόμο, οὔτε νά πλεύσουμε πέλαγος, οὔτε νά περάσουμε βουνά, ἔτσι πρέπει νά σωθοῦμε. Ἀλλ' ἄν δέν θέλεις οὔτε αὐτό τό δρόμο νά βαδίσεις, εἶναι δυνατό παραμένοντας καί στό σπίτι σου νά σωθεῖς, γιατί ἡ ἀφετηρία τῆς σωτηρίας σου βρίσκεται στό στόμα σου καί στήν καρδιά σου. Στή

Εἶτα καὶ ἑτέρωθεν εὔκολον ποιῶν τὸν τῆς πίστεως λόγον, φησὶν ὅτι «ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐν νεκρῶν». Ἐννόησον γὰρ τὸ ἀξίωμα τοῦ ποιήσαντος, καὶ οὐκέτι ὄψει δυσκολίαν οὐδεμίαν ἐν τῷ πράγματι. Οὐκοῦν ὅτι μὲν Κύριος, ἐκ τῆς ἀναστάσεως δῆλον, ὃ καὶ ἀρχόμενος τῆς ἐπιστολῆς ἔλεγε, «τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐξ ἀναστάσεως νεκρῶν»· ὅτι δὲ καὶ ἡ ἀνάστασις εὔκολος, ἐκ τῆς τοῦ ποιήσαντος ἰσχύος ἀποδέδεικται καὶ τοῖς σφόδρα διαπιστοῦσιν. Ὅταν οὖν καὶ μείζων ᾖ ἡ δικαιοσύνη καὶ κούφη καὶ εὐπαράδεκτος, καὶ ἄλλως δικαιωθῆναι μὴ ᾖ, οὐκ ἐσχάτης φιλονεικίας τὸ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, τὰ εὔκολα ἀφέντας καὶ ῥᾴδια; Οὐ γὰρ ἔχοιεν ἂν εἰπεῖν, ὅτι ὡς φορτικὸν τὸ πρᾶγμα παρῃτήσαντο.

Εἶδες πῶς πάσης αὐτοὺς ἀποστερεῖ συγγνώμης; Ποίας γὰρ ἂν εἶεν ἀπολογίας ἄξιοι, τὸ μὲν φορτικὸν ἑλόμενοι καὶ ἀνήνυτον, παραδραμόντες δὲ τὸ κοῦφον καὶ δυνάμενον αὐτοὺς σῶσαι, κἀκεῖνα παρασχεῖν, ἅπερ ὁ νόμος οὐκ ἴσχυσε; Ταῦτα γὰρ οὐδὲν ἕτερον, ἀλλ' ἢ φιλονεικούσης γνώμης ἐστὶ μόνον, καὶ πρὸς Θεὸν στασιαζούσης. Ὁ μὲν γὰρ νόμος ἐπαχθής, ἡ δὲ χάρις ῥᾳδία· ὁ νόμος, κἂν μυρία φιλονεικήσωσιν οὐ σώζει· ἡ χάρις καὶ τὴν ἐξ ἑαυτῆς καὶ τὴν ἐκ τοῦ νόμου παρέχει δικαιοσύνην. Τίς οὖν αὐτοὺς ἐξαιρήσεται λόγος πρὸς μὲν ταύτην φιλονείκως διακειμένους, ἐκείνου δὲ ἀντεχομένους εἰκῇ καὶ μάτην;

***4.** Εἶτα, ἐπειδὴ μέγα εἴρηκε, πάλιν ἀπὸ τῆς Γραφῆς αὐτὸ πιστοῦται. «Λέγει γὰρ ἡ Γραφή», φησί· «πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται. Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς γάρ, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται». Εἶδες πῶς καὶ τῆς πίστεως καὶ τῆς ὁμολογίας παράγει μάρτυρας; Τῷ μὲν γὰρ εἰπεῖν, ὅτι «πᾶς ὁ πιστεύων», τὴν πίστιν ἐδήλωσε, τῷ δὲ εἰπεῖν, «ὃς ἂν ἐπικαλέσηται», τὴν ὁμολογίαν ἐνέφηνεν. Εἶτα πάλιν τὸ κοινὸν τῆς χάριτος ἀνακηρύττων καὶ*

2. Ρωμ. 1, 4.

συνέχεια, κάνοντας καί ἀπό ἀλλοῦ εὔκολο τό λόγο γιά τήν πίστη, λέγει ὅτι «ὁ Θεός ἀνέστησε αὐτόν ἀπό τούς νεκρούς». Σκέψου λοιπόν τήν ἀξία ἐκείνου πού τόν ἀνέστησε, καί δέ θά δεῖς πιά καμιά δυσκολία στό πράγμα. Ἐπομένως, τό ὅτι βέβαια εἶναι Κύριος, εἶναι φανερό ἀπό τήν ἀνάσταση, πράγμα πού καί στήν ἀρχή τῆς ἐπιστολῆς ἔλεγε, «ὁ ὁποῖος ἀποδείχθηκε Υἱός τοῦ Θεοῦ ἀπό τήν ἀνάστασή του ἀπό τούς νεκρούς»[2], τό ὅτι ὅμως καί ἡ ἀνάσταση εἶναι εὔκολη, ἔχει ἀποδειχθεῖ ἀπό τή δύναμη ἐκείνου πού τήν ἔκαμε καί σ' αὐτούς πού πάρα πολύ δύσκολα πιστεύουν. Ὅταν λοιπόν καί μεγαλύτερη εἶναι ἡ δικαίωση καί εὔκολη καί εὔκολα ἀποδεκτή, καί δέν εἶναι δυνατό νά δικαιωθοῦμε διαφορετικά, δέν εἶναι τότε δεῖγμα τῆς χειρότερης μορφῆς φιλονεικίας τό νά ἐπιχειροῦν τά ἀδύνατα, ἐγκαταλείποντας τά εὔκολα καί ἐλαφρά; Γιατί δέν θά μποροῦσαν νά ποῦν, ὅτι ἐγκατέλειψαν τό πράγμα ἐπειδή ἦταν βαρύ.

Εἶδες πῶς τούς στερεῖ ἀπό κάθε συγγνώμη; Γιά ποιά ἀπολογία λοιπόν μπορεῖ νά εἶναι ἄξιοι, ἀφοῦ προτίμησαν τό βαρύ καί ἀκατόρθωτο, ἐνῶ περιφρόνησαν τό εὔκολο καί αὐτό πού μποροῦσε νά τούς σώσει καί νά τούς δώσει ἐκεῖνα, πού δέν μπόρεσε νά τούς δώσει ὁ νόμος; Γιατί αὐτά δέν εἶναι τίποτε ἄλλο, παρά μόνο ἀπόδειξη διαθέσης πού φιλονεικεῖ καί ξεσηκώνεται ἐναντίον τοῦ Θεοῦ. Καθόσον ὁ νόμος εἶναι δυσβάστακτος, ἐνῶ ἡ χάρη εὔκολη· ὁ νόμος, καί ἄν ἀκόμη προσπαθήσουν πάρα πολύ, δέ σώζει, ἐνῶ ἡ χάρη χορηγεῖ καί τή δική της δικαίωση καί τή δικαίωση τοῦ νόμου. Ποιός λόγος λοιπόν θά τούς σώσει ὅταν φέρονται μέ ἐχθρική διάθεση σ' αὐτήν, ἐνῶ προσηλώνονται σ' ἐκεῖνον ἄσκοπα καί στά χαμένα;

4. Ἔπειτα, ἐπειδή εἶπε κάτι μεγάλο, τό βεβαιώνει πάλι ἀπό τή Γραφή. «Γιατί», λέγει, «ἡ Γραφή λέγει, καθένας πού πιστεύσει σ' αὐτόν δέ θά ντροπιασθεῖ. Καθόσον δέν ὑπάρχει διάκριση μεταξύ Ἰουδαίου καί Ἕλληνα, γιατί ὁ ἴδιος εἶναι Κύριος ὅλων, χαρίζοντας τόν πλοῦτο του σέ ὅλους πού τόν ἐπικαλοῦνται. Γιατί καθένας, πού θά ἐπικαλεσθεῖ τό ὄνομα τοῦ Κυρίου, θά σωθεῖ». Εἶδες πῶς παρουσιάζει μάρτυρες καί γιά τήν πίστη καί γιά τήν ὁμολογία; Γιατί μέ τό νά πεῖ, ὅτι «καθένας πού πιστεύει», φανέρωσε τήν πίστη, ἐνῶ μέ τό νά πεῖ, «πού θά ἐπικαλεσθεῖ», ἔδειξε τήν ὁμολογία. Στή συνέχεια πάλι ἀνακηρύσσοντας τό κοινό τῆς χάριτος καί συγκρατώντας τήν

τὸ ἐκείνων φύσημα καταστέλλων, ἃ διὰ πολλῶν ἔμπροσθεν ἀπέδειξε, ταῦτα ἐν βραχέσιν ἀναμιμνήσκει, πάλιν δεικνύς, ὅτι οὐδὲν τὸ μέσον Ἰουδαίου καὶ ἀκροβύστου. «Οὐ γάρ ἐστι διαστολή», φησίν, «Ἰουδαίου τε καὶ Ἕλληνος».

Καὶ ὃ περὶ τοῦ Πατρὸς εἴρηκεν ἐν τῇ περὶ τούτου ἀποδείξει, τοῦτο ἐνταῦθα περὶ τοῦ Υἱοῦ λέγει. Ὥσπερ γὰρ ἔμπροσθεν αὐτὸ κατασκευάζων ἔλεγεν· «Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν· ἐπείπερ εἷς ὁ Θεός»· οὕτω καὶ ἐνταῦθά φησιν· «Ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας». Ὁρᾷς πῶς δείκνυσιν αὐτὸν σφοδρῶς ἐφιέμενον ἡμῶν τῆς σωτηρίας, εἴγε καὶ πλοῦτον οἰκεῖον ἡγεῖται ταύτην; ὥστε μηδὲ νῦν αὐτοὺς ἀπογνῶναι, μηδὲ νομίσαι, εἴγε βουληθεῖεν μετανοῆσαι, ἀσυγγνώστους εἶναι. Ὁ γὰρ πλοῦτον οἰκεῖον ἡγούμενος τὸ σώζειν ἡμᾶς, οὐ παύσεται πλουτῶν· ἐπεὶ καὶ τοῦτο πλοῦτος τὸ εἰς πάντας ἐκχεῖσθαι τὴν δωρεάν. Ἐπειδὴ γὰρ καὶ τοῦτο μάλιστα αὐτοὺς ἐθορύβει, τὸ προεδρίας ἀπολαύοντας ὑπὲρ τὴν οἰκουμένην ἅπασαν, νῦν ἐκ τῆς πίστεως ἀπὸ τῶν θρόνων καταβιβάζεσθαι ἐκείνων, καὶ μηδὲν πλέον τῶν λοιπῶν ἔχειν· συνεχῶς τοὺς προφήτας εἰσάγει ταύτην ἐπᾴδοντας αὐτοῖς τὴν ἰσοτιμίαν· «πᾶς γάρ», φησίν, ὁ «πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται»· καί, «πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται». Καὶ πανταχοῦ τὸ «πᾶς» τέθειται, ἵνα μὴ ἀντιλέγωσιν.

5. *Ἀλλ' οὐδὲν κενοδοξίας χεῖρον· αὕτη γάρ, αὕτη μάλιστα πάντων αὐτοὺς ἀπώλεσε. Διὸ καὶ ὁ Χριστὸς αὐτοῖς ἔλεγε· «Πῶς δύνασθε πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες»; Αὕτη μετὰ τῆς ἀπωλείας πολὺν καὶ τὸν γέλωτα ἐπάγει, καὶ πρὸ τῆς κολάσεως τῆς ἐκεῖ, μυρίοις ἐνταῦθα περιβάλλει δεινοῖς. Καὶ εἰ δοκεῖ, ἵνα τοῦτο μάθῃς σαφῶς, τοὺς οὐρανοὺς ἀφέντες τέως, ὧν ἡμᾶς ἐξάγει, καὶ τὴν γέενναν, εἰς ἣν ἐμβάλλει, τὸ πρᾶγμα ἐντεῦθεν ἐξετάσωμεν ἅπαν. Τί τοί-*

---

3. Ρωμ. 3, 29. 30.
4. Ἡσ. 28, 16.
5. Ἰωήλ 3, 5.
6. Ἰω. 5, 44.

ἀλαζονεία ἐκείνων, ἐκεῖνα πού ἀπέδειξε μέ πολλά πρωτύτερα, τά ἴδια θυμίζει μέ συντομία, γιά νά δείξει πάλι, ὅτι δέν ὑπάρχει καμιά διαφορά μεταξύ Ἰουδαίου καί ἀπερίτμητου. «Γιατί δέν ὑπάρχει διαφορά», λέγει, «μεταξύ Ἰουδαίου καί Ἕλληνα».

Καί ἐκεῖνο πού εἶπε γιά τόν Πατέρα στήν ἀπόδειξη γι' αὐτόν, τό ἴδιο λέγει ἐδῶ γιά τόν Υἱό. Γιατί ὅπως πιό μπροστά ἀποδεικνύοντας αὐτό ἔλεγε, «μήπως ὁ Θεός εἶναι Θεός τῶν Ἰουδαίων μόνο; δέν εἶναι καί τῶν ἐθνικῶν; Ναί καί τῶν ἐθνικῶν, ἀφοῦ ἕνας εἶναι ὁ Θεός»[3], ἔτσι καί ἐδῶ λέγει· «γιατί ὁ ἴδιος εἶναι Κύριος ὅλων, πλούσιος γιά ὅλους καί σέ ὅλους». Βλέπεις πῶς δείχνει ὅτι αὐτός ἐπιθυμεῖ πάρα πολύ τή σωτηρία μας, ἀφοῦ βέβαια τή θεωρεῖ καί δικό του πλοῦτο; Ἑπομένως νά μήν ἀπελπισθοῦν τώρα αὐτοί, οὔτε νά νομίσουν, ἄν βέβαια θελήσουν νά μετανοήσουν, ὅτι εἶναι ἀσυγχώρητοι. Γιατί ἐκεῖνος πού θεωρεῖ δικό του πλοῦτο τό νά σώζει ἐμᾶς, δέ θά σταματήσει νά εἶναι πλούσιος, ἐπειδή καί αὐτό εἶναι πλοῦτος, τό νά στέλνει ἄφθονη σέ ὅλους τή δωρεά. Ἐπειδή λοιπόν καί αὐτό τούς ἀνησυχοῦσε ἰδιαίτερα, τό ὅτι, ἐνῶ ἀπολάμβαναν τήν πρωτοκαθεδρία καί βρίσκονταν πάνω ἀπό ὁλόκληρη τήν οἰκουμένη, τώρα ἐξ αἰτίας τῆς πίστεως κατεβάζονται ἀπό τούς θρόνους ἐκείνους καί δέν ἔχουν τίποτε περισσότερο ἀπό τούς ὑπόλοιπους, παρουσιάζει συνέχεια τούς προφῆτες πού ἐπαναλαμβάνουν σ' αὐτούς τήν ἰσοτιμία αὐτή. «Γιατί καθένας», λέγει, «πού πιστεύει σ' αὐτόν, δέ θά ντροπιασθεῖ»[4], καί «καθένας πού θά ἐπικαλεσθεῖ τό ὄνομα τοῦ Κυρίου, θά σωθεῖ»[5]. Καί παντοῦ ἀναφέρει τό «καθένας», γιά νά μήν ἀντιλέγουν.

5. Ἀλλά δέν ὑπάρχει τίποτε χειρότερο ἀπό τήν κενοδοξία, γιατί αὐτή, αὐτή περισσότερο ἀπ' ὅλα, τούς κατέστρεψε. Γι' αὐτό καί ὁ Χριστός τούς ἔλεγε· «πῶς μπορεῖτε νά πιστεύετε, ἀφοῦ δέχεσθε τιμές ὁ ἕνας ἀπό τόν ἄλλο καί δέ ζητᾶτε τήν τιμή πού προέρχεται ἀπό τό μοναδικό Θεό;»[6]. Αὐτή μαζί μέ τήν καταστροφή προσθέτει καί πολλή γελοιοποίηση, καί πρίν ἀπό τήν τιμωρία ἐκεῖ, περιβάλλει ἐδῶ μέ ἄπειρα κακά. Καί ἄν θέλεις, γιά νά μάθεις αὐτό καλά, ἀφοῦ ἀφήσουμε πρῶτα τούς οὐρανούς, ἀπό τούς ὁποίους μᾶς βγάζει, καί τή γέεννα, στήν ὁποία μᾶς ρίχνει, ἄς ἐξετάσουμε ἀπό ἐδῶ ὁλόκληρο τό πράγμα. Τί λοιπόν εἶναι πιό δαπανηρό ἀπ' αὐτήν; καί τί θά μπο-

νυν ταύτης δαπανηρότερον; τί δὲ αἰσχρότερον γένοιτ' ἂν καὶ δυσκολώτερον; Ὅτι μὲν γὰρ δαπανηρὸν τὸ νόσημα τοῦτο, δῆλον ἐκ τῶν ἀναλισκόντων εἰκῇ καὶ μάτην ἐν θεάτροις καὶ ἱπποδρομίαις καὶ ἄλλαις τοιαύταις ἀκαίροις φιλοτιμίαις· ἐκ τῶν τὰς οἰκίας οἰκοδομούντων τὰς λαμπρὰς καὶ πολυτελεῖς, καὶ τὰ ἄλλα πάντα τὰ εἰς περιουσίαν κατασκευαζόντων ἀνόνητον, ἅπερ οὐκ ἔστιν ἐπελθεῖν τῷ λόγῳ νῦν.

Ὅτι δὲ δαπανηρὸν ὄντα καὶ πολυτελῆ τὸν οὕτω νοσοῦντα, καὶ ἅρπαγα καὶ πλεονέκτην εἶναι ἀνάγκη, παντί που δῆλον. Ἵνα γὰρ ἔχῃ τῷ θηρίῳ παρέχειν τροφήν, εἰς τὰς τῶν ἄλλων οὐσίας τὰς ἑαυτοῦ ῥίπτει χεῖρας. Καὶ τί λέγω τὰς οὐσίας; Οὐδὲ γὰρ χρήματα μόνον, ἀλλὰ καὶ ψυχὰς τουτὶ κατεσθίει τὸ πῦρ, καὶ οὐ τὸν παρόντα μόνον, ἀλλὰ καὶ τὸν μέλλοντα ἐργάζεται θάνατον. Μήτηρ γὰρ γεέννης κενοδοξία, καὶ τὸ πῦρ ἀνάπτει σφοδρῶς ἐκεῖνο, καὶ τὸν σκώληκα τὸν ἰοβόλον. Ἴδοι δ' ἄν τις αὐτὴν καὶ ἐν νεκροῖς κρατοῦσαν· οὗ τί χεῖρον γένοιτ' ἄν; Τὰ μὲν γὰρ ἄλλα πάντα πάθη καταλύεται τῷ θανάτῳ, αὕτη δὲ καὶ μετὰ τελευτὴν βιάζεται καὶ φιλονεικεῖ τὴν ἑαυτῆς ἐπιδείκνυσθαι φύσιν ἐν τῷ τεθνηκότι σώματι. Ὅταν γὰρ σήματα λαμπρὰ καὶ πᾶσαν αὐτῶν ἀναλίσκοντα τὴν οὐσίαν ἐπισκήπτωσι τελευτῶντες αὐτοῖς ἀνιστᾶν, καὶ ἐνταφίων ἀσωτίαν πολλὴν σπουδάζωσι προαποτίθεσθαι, καὶ ζῶντες μὲν ὑπὲρ ὀβολοῦ καὶ ἄρτου ἑνὸς ὑβρίζωσι τοὺς προσιόντας πένητας, τελευτῶντες δὲ δαψιλῆ τῷ σκώληκι παρέχωσι τράπεζαν, ποίαν ἑτέραν ζητεῖς ὑπερβολὴν τῆς τοῦ νοσήματος τυραννίδος; Ἀπὸ τούτου καὶ ἔρωτες ἄτοποι τίκτονται τοῦ δεινοῦ. Πολλοὺς γὰρ οὐχ ἡ τῆς ὄψεως ὥρα, οὐδὲ ἡ τῆς μίξεως ἐπιθυμία, ἀλλὰ τὸ βούλεσθαι καυχᾶσθαι, ὅτι τὴν δεῖνα ὑπεσκέλισα, καὶ εἰς μοιχείαν ἐνέβαλε.

Καὶ τί δεῖ τὰ ἄλλα λέγειν, ὅσα ἐντεῦθεν βλαστάνει κακά; Μυρίων γὰρ ἂν ἑλόμην βαρβάρων γενέσθαι δοῦλος, ἢ κενοδοξίας ἅπαξ. Οὐδὲ γὰρ ἐπιτάττουσιν ἐκεῖνοι τοιαῦτα τοῖς αἰχμαλώτοις, οἷα αὕτη κελεύει τοῖς ὑπηκόοις. Πάντων γὰρ ἔσο δοῦλος, φησί, κἂν

ροῦσε νά ὑπάρξει αἰσχρότερο καί δυσκολότερο; Γιατί, τό ὅτι βέβαια εἶναι δαπανηρή ἡ ἀρρώστια αὐτή, γίνεται φανερό ἀπό ἐκείνους πού ξοδεύουν στά χαμένα καί χωρίς λόγο στά θέατρα καί τίς ἱπποδρομίες καί στίς ἄλλες τέτοιες ἄκαιρες σπατάλες· ἀπό ἐκείνους πού κτίζουν τά λαμπρά καί πολυτελή σπίτια, καί πού κατασκευάζουν ὅλα γιά νά εἶναι περιουσία ἄχρηστη, τά ὁποῖα δέν εἶναι δυνατό νά τά ἀναφέρουμε τώρα μέ τό λόγο.

Τό ὅτι βέβαια, ἀφοῦ εἶναι πολυέξοδος καί σπάταλος ἐκεῖνος πού ἔχει αὐτήν τήν ἀρρώστια, εἶναι ἀναγκασμένος νά γίνει καί ἅρπαγας καί πλεονέκτης, εἶναι ἀσφαλῶς στόν καθένα φανερό. Γιατί, γιά νά μπορεῖ νά δίνει τροφή στό θηρίο, ἁπλώνει τά χέρια του στίς περιουσίες τῶν ἄλλων. Καί τί λέγω στίς περιουσίες; Γιατί ὄχι μόνο χρήματα, ἀλλά καί ψυχές κατατρώγει αὐτή ἐδῶ ἡ φωτιά, καί προετοιμάζει ὄχι μόνο τόν παρόντα, ἀλλά καί τό μελλοντικό θάνατο. Γιατί μητέρα τῆς γέεννας εἶναι ἡ κενοδοξία, πού καί ἀνάβει δυνατά τή φωτιά ἐκείνη καί τρέφει τό φαρμακερό σκουλήκι. Θά μποροῦσε βέβαια κανείς νά δεῖ αὐτήν νά ἐπικρατεῖ καί στούς νεκρούς, πράγμα ἀπό τό ὁποῖο τί θά μποροῦσε νά ὑπάρξει χειρότερο; Καθόσον ὅλα τά ἄλλα πάθη καταργοῦνται μέ τό θάνατο, ἀλλ' αὐτή καί μετά τό θάνατο ἀγωνίζεται καί προσπαθεῖ νά δείξει τή φύση της στό νεκρό σῶμα. Γιατί, ὅταν ἀφήνουν παραγγελία πεθαίνοντας νά τούς κατασκευάσουν τάφους λαμπρούς, ξοδεύοντας ὅλη τήν περιουσία τους, καί φροντίζουν νά μαζέψουν ἀπό πρίν πάρα πολλά χρήματα γιά τά ἔξοδα τῆς ταφῆς, καί, ἐν ὅσω ζοῦν, περιφρονοῦν τούς φτωχούς πού τούς πλησιάζουν γιά ἕνα ὀβολό καί ἕνα κομμάτι ψωμί, μόλις πεθαίνουν ὅμως προσφέρουν πλούσιο τραπέζι στό σκώληκα, ποιά ἄλλη ζητᾶς ὑπερβολή τῆς τυραννικῆς ἐξουσίας τῆς ἀρρώστιας αὐτῆς; Ἀπό τό κακό αὐτό γεννιοῦνται καί παράλογοι ἔρωτες. Γιατί πολλούς τούς ἔρριξε καί στή μοιχεία, ὄχι ἡ ὀμορφιά τοῦ προσώπου, οὔτε ἡ ἐπιθυμία τῆς σαρκικῆς μίξεως, ἀλλά τό ὅτι θέλουν νά καυχιοῦνται, ὅτι τήν τάδε τήν ἔρριξα κάτω.

Καί γιατί πρέπει νά λέγω τά ἄλλα, ὅσα κακά φυτρώνουν ἀπό ἐδῶ; Γιατί θά προτιμοῦσα νά γίνω δοῦλος σέ ἄπειρους βαρβάρους, παρά στήν κενοδοξία μία φορά. Καθόσον δέν προστάζουν ἐκεῖνοι στούς αἰχμαλώτους τέτοια, πού αὐτή διατάζει στούς ὑπηκόους της.

λαμπρότεροί σου, κἂν εὐτελέστεροι τύχωσιν ὄντες· καταφρόνει ψυχῆς, ἀμέλησον ἀρετῆς, καταγέλασον ἐλευθερίας, κατάθυσόν σου τὴν σωτηρίαν· κἂν ἀγαθόν τι ποιῇς, μὴ πρὸς ἀρέσκειαν Θεοῦ, ἀλλὰ πρὸς ἐπίδειξιν τῶν πολλῶν, ἵνα ἀπολέσῃς τὸν ἐπὶ τούτοις στέφανον· κἂν ἐλεῇς, κἂν νηστεύῃς, τὸν μὲν πόνον ὑπόστηθι, τὸ δὲ κέρδος ἀπολέσαι σπούδασον. Τί τούτων ὠμότερον τῶν ἐπιταγμάτων γένοιτο; Ἐντεῦθεν καὶ βασκανία τὴν ἀρχὴν ἔχει, ἐντεῦθεν καὶ ἀπόνοια, ἐντεῦθεν καὶ ἡ μήτηρ τῶν κακῶν ἡ φιλαργυρία. Ὁ γὰρ ἐσμὸς τῶν οἰκετῶν, καὶ οἱ χρυσοφοροῦντες βάρβαροι, καὶ οἱ παράσιτοι, καὶ οἱ κόλακες, καὶ τὰ ἀργυρένδετα ὀχήματα, καὶ τὰ ἄλλα τὰ τούτων καταγελαστότερα, οὐχ ἡδονῆς ἕνεκεν οὐδὲ χρείας τινὸς γίνεται, ἀλλ' ἢ κενοδοξίας μόνης.

6. *Ναί, φησίν· ἀλλ' ὅτι μὲν κακὸν τουτὶ τὸ πάθος, παντί που δῆλόν ἐστι· πῶς δ' ἂν αὐτὸ διαφύγοιμεν, τοῦτο εἰπεῖν χρή. Μάλιστα μέν, ἂν πείσῃς σαυτὸν καλῶς, ὅτι χαλεπὸν τουτὶ τὸ νόσημα, ἀρχὴν λήψῃ διορθώσεως ἀρίστην· ἐπεὶ καὶ ὁ νοσῶν ταχέως ἐπιζητήσει τὸν ἰατρόν, ἂν τοῦτο μάθῃ πρὸ τῶν ἄλλων, ὅτι νοσεῖ. Εἰ δὲ καὶ ἑτέραν ὁδὸν ἐπιζητεῖς τῆς ἐντεῦθεν φυγῆς, ὅρα πρὸς τὸν Θεὸν διηνεκῶς, καὶ ἀρκοῦ τῇ παρ' αὐτοῦ δόξῃ. Κἂν ἴδῃς τὸ πάθος γαργαλίζον σε καὶ διεγεῖρον εἰπεῖν τοῖς συνδούλοις τὰ κατωρθωμένα σοι, λογισάμενος πάλιν, ὅτι μετὰ τὸ εἰπεῖν οὐδὲν γίνεται κέρδος, σβέσον τὴν ἄτοπον ἐπιθυμίαν, καὶ πρὸς τὴν ψυχήν σου εἰπέ· ἰδοὺ τοσοῦτον ὤδινες χρόνον εἰπεῖν σου τὰ κατορθώματα, καὶ οὐκ ἐκαρτέρησας σιγῇ κατασχεῖν, ἀλλ' εἰς πάντας ἐξήνεγκας· τί οὖν σοι πλέον γέγονεν ἐντεῦθεν; Πλέον μὲν οὐδέν, ζημία δὲ ἐσχάτη, καὶ τὸ κενῶσαι ἅπαντα τὰ μετὰ πολλοῦ συλλεγέντα πόνου.*

Μετὰ δὲ τούτων κἀκεῖνο ἐννόησον, ὅτι διεφθαρμένη τῶν πολλῶν ἡ ψῆφος καὶ ἡ κρίσις ἐστί, καὶ οὐ διεφθαρμένη μόνον, ἀλλ' ὅτι καὶ ταχέως μαραίνεται. Κἂν γὰρ πρὸς ὥραν θαυμάσωσι, τοῦ καιροῦ παρελθόντος, πάντων εἰσὶν ἐπιλελησμένοι, καὶ τὸν παρὰ

Σέ ὅλους λοιπόν νά εἶσαι δοῦλος, λέγει, εἴτε συμβαίνει νά εἶναι ἀνώτεροί σου εἴτε κατώτεροί σου. Περιφρόνα τήν ψυχή, μή φροντίζεις γιά τήν ἀρετή, περιγέλα τήν ἐλευθερία, θυσίαζε τελείως τήν σωτηρία σου. Καί ἄν κάνεις κάποιο ἀγαθό, μήν τό κάνεις γιά ν' ἀρέσεις στό Θεό, ἀλλά γιά ἐπίδειξη στούς πολλούς, γιά νά χάσεις τό βραβεῖο γι' αὐτά. Καί ὅταν δίνεις ἐλεημοσύνη ἤ νηστεύεις, νά ὑποφέρεις τόν κόπο, ἀλλά φρόντισε νά χάσεις τό κέρδος. Τί θά μποροῦσε νά ὑπάρξει σκληρότερο ἀπό τίς διαταγές αὐτές; Ἀπό ἐδῶ προέρχεται καί ὁ φθόνος, ἀπό ἐδῶ καί ἡ ἀπόγνωση, ἀπό ἐδῶ καί ἡ μητέρα τῶν κακῶν, ἡ φιλαργυρία. Γιατί τό πλῆθος τῶν ὑπηρετῶν καί οἱ χρυσοστολισμένοι βάρβαροι καί οἱ παράσιτοι καί οἱ κόλακες καί τά καλυμμένα μέ ἀσήμι ὀχήματα καί τά ἄλλα πού εἶναι περισσότερο καταγέλαστα ἀπ' αὐτά, δέ γίνονται ἐξ αἰτίας ἡδονῆς οὔτε ἐξ αἰτίας κάποιας ἀνάγκης, παρά μόνο ἐξ αἰτίας τῆς κενοδοξίας.

6. Ναί, λέγει· ἀλλά, ὅτι βέβαια εἶναι κακό αὐτό ἐδῶ τό πάθος, στόν καθένα εἶναι φανερό, πῶς ὅμως θά τό ἀποφεύγαμε, αὐτό πρέπει νά μᾶς πεῖς. Θά κάνεις πολύ ἄριστο ξεκίνημα γιά διόρθωση, ἄν πείσεις τόν ἑαυτό σου καλά, ὅτι εἶναι φοβερή αὐτή ἐδῶ ἡ ἀρρώστια. Ἐπειδή καί ὁ ἄρρωστος γρήγορα θά ζητήσει τόν ἰατρό, ἄν μάθει αὐτό πρίν ἀπό τά ἄλλα, ὅτι δηλαδή εἶναι ἄρρωστος. Ἐάν ὅμως ἀναζητᾶς καί ἄλλον τρόπο ἀποφυγῆς ἀπό ἐδῶ, νά βλέπεις παντοτινά πρός τό Θεό, καί νά ἀρκεῖσαι μέ τή δόξα αὐτοῦ. Καί ἄν ἀκόμη δεῖς τό πάθος νά σέ γαργαλίζει καί νά σέ παρακινεῖ νά πεῖς στούς συνανθρώπους σου τά κατορθώματά σου, ἀφοῦ σκεφθεῖς πάλι, πώς λέγοντάς τα δέν προκύπτει κανένα κέρδος, σβῆσε τήν παράλογη ἐπιθυμία καί πές στήν ψυχή σου· νά, τόσο πολύ χρόνο πάσχιζες νά πεῖς τά κατορθώματά σου καί δέν ἄντεξες νά τά κρατήσεις μυστικά, ἀλλά τά φανέρωσες σέ ὅλους· τί λοιπόν σοῦ ἔγινε περισσότερο ἀπό ἐδῶ; Περισσότερο βέβαια τίποτε, ζημία ὅμως ἡ χειρότερη, καί τό ν' ἀδειάσει ὅλα ἐκεῖνα πού συγκεντρώθηκαν μέ πολύ κόπο.

Μαζί μ' αὐτά ὅμως σκέψου καί ἐκεῖνο, ὅτι δηλαδή ἡ ἀπόφαση καί ἡ κρίση τῶν πολλῶν εἶναι λανθασμένη, καί ὄχι μόνο λανθασμένη, ἀλλά καί γρήγορα μαραίνεται. Γιατί, καί ἄν ἀκόμη σέ θαυμάσουν πρός στιγμή, ὅταν περάσει ὁ καιρός, ἔχουν ξεχάσει τά πάντα, καί ἔτσι ἄρπαξαν τό στεφάνι πού σοῦ ἔδωσε ὁ Θεός, καί δέν μπόρε-

τοῦ Θεοῦ σοι στέφανον δεδομένον ἥρπασαν, καὶ τὸν παρ' ἑαυτῶν οὐκ ἴσχυσάν σοι διατηρῆσαι. Καίτοι καὶ εἰ οὗτος ἔμενε, πολλῆς ἀθλιότητος ἦν ἐκείνου τοῦτον ἀλλάξασθαι, ὅταν δὲ καὶ οὗτος διαρρέῃ, ποίαν ἕξομεν ἀπολογίαν, ὑπὲρ τοῦ μὴ μένοντος τὸν μένοντα προδιδόντες, ὑπὲρ τῆς τῶν ὀλίγων εὐφημίας τοσαῦτα ἀπολλύντες ἀγαθά; Καίτοι καὶ εἰ πολλοὶ οἱ ἐπαινοῦντες εἶεν, καὶ οὕτω τοῦ ταλανίζεσθαι ἄξιοι, καὶ τότε μᾶλλον, ὅταν πλείους οἱ τοῦτο ποιοῦντες ὦσιν. Εἰ δὲ θαυμάζεις τὸ εἰρημένον, ἄκουσον τοῦ Χριστοῦ ταῦτα ψηφιζομένου. «Οὐαὶ γὰρ ὑμῖν», φησίν, «ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι». Καὶ μάλα εἰκότως. Εἰ γὰρ ἑκάστης τέχνης τοὺς δημιουργοὺς δεῖ ζητεῖν κριτάς, πῶς τῆς ἀρετῆς τὴν δοκιμασίαν τοῖς πολλοῖς ἐπιτρέπεις, ἀλλ' οὐχὶ πρὸ πάντων ἐκείνῳ τῷ μάλιστα πάντων εἰδότι, καὶ συγκροτῆσαι καὶ στεφανῶσαι δυναμένῳ; Τοῦτο τοίνυν τὸ ῥῆμα ἐγγράψωμεν καὶ τοίχοις καὶ θύραις καὶ διανοίᾳ, καὶ συνεχῶς λέγωμεν πρὸς ἑαυτούς, «οὐαὶ ἡμῖν, ὅταν καλῶς ἡμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι».

Καὶ γὰρ καὶ αὐτοὶ οἱ λέγοντες ὕστερον διαβάλλουσιν, ὡς κενόδοξον καὶ φιλότιμον καὶ ἐρῶντα τῆς παρ' αὐτῶν εὐφημίας. Ἀλλ' οὐχ ὁ Θεὸς οὕτως, ἀλλ' ὅταν ἴδῃ σε ἐρῶντα τῆς παρ' αὐτοῦ δόξης, τότε σε μάλιστα ἐπαινέσεται καὶ θαυμάσεται καὶ ἀνακηρύξει. Ὁ δὲ ἄνθρωπος οὐχ οὕτως, ἀλλὰ λαβών σε δοῦλον ἀντ' ἐλευθέρου, καὶ διὰ ψιλοῦ ῥήματος πολλάκις σοι χαρισάμενος ἔπαινον ψευδῆ, ἥρπασεν ἀπὸ σοῦ μισθὸν ἀληθῆ, καὶ ἀργυρωνήτου μᾶλλον ὑπέταξεν. Ἐκείνους μὲν γὰρ μετὰ τὰ ἐπιτάγματα ἔχουσιν ὑπακούοντας οἱ δεσπόται, σὺ δὲ καὶ χωρὶς ἐπιταγμάτων δουλεύεις. Οὐδὲ γὰρ ἀναμένεις ἀκοῦσαί τι παρ' αὐτῶν, ἀλλ' ἂν γνῷς μόνον δι' ὧν αὐτοῖς χαριῇ, οὐδὲ ἐπιταττόντων αὐτῶν πάντα ποιεῖς. Πόσης οὖν οὐκ ἂν εἴημεν ἄξιοι γεέννης, τοὺς μὲν μοχθηροὺς τέρποντες, καὶ πρὶν ἐπιτάξουσι θεραπεύοντες, τοῦ δὲ Θεοῦ καθ' ἑκάστην ἡμέραν ἐγκελευομένου καὶ παραινοῦντος, μηδὲ οὕτως ἀκούοντες;

Καίτοι γε εἰ δόξης καὶ ἐπαίνων ἐρᾷς, φύγε τὸν παρὰ ἀνθρώ-

7. Λουκᾶ 6, 26.

σαν νά σοῦ διατηρήσουν τό δικό τους. Ἄν καί βέβαια καί ἄν ἀκόμη παρέμενε αὐτό, θά ἦταν πολύ ἐλεεινό ν' ἀλλάξεις αὐτό μ' ἐκεῖνο, ὅταν ὅμως καί αὐτό καταστρέφεται, ποιά δικαιολογία θά ἔχουμε, ἀφοῦ γιά χάρη ἐκείνου πού δέ μένει παραδίνουμε αὐτό πού μένει, ἀφοῦ γιά χάρη τοῦ ἐπαίνου τῶν λίγων χάνουμε τόσα πολλά ἀγαθά; Καί ἄν ἀκόμη ἦταν πολλοί αὐτοί πού ἐπαινοῦν, καί ἔτσι εἴμαστε ἄξιοι γιά ταλανισμό, καί τότε μάλιστα, ὅταν εἶναι περισσότεροι ἐκεῖνοι πού κάμνουν αὐτό. Ἐάν ὅμως ἀπορεῖς γι' αὐτό πού λέχθηκε, ἄκουσε τό Χριστό πού ἐπιδοκιμάζει αὐτά. «Γιατί ἀλλοίμονό σας», λέγει, «ὅταν ὅλοι οἱ ἄνθρωποι λέγουν καλά λόγια γιά σᾶς»[7]. Καί πολύ εὔλογα. Γιατί, ἄν οἱ τεχνίτες πρέπει νά ζητοῦν κριτές γιά κάθε τέχνη, πῶς ἐπιτρέπεις τόν ἔλεγχο τῆς ἀρετῆς στούς πολλούς, καί ὄχι πρίν ἀπ' ὅλους σ' ἐκεῖνον πού γνωρίζει πολύ περισσότερο ἀπ' ὅλους καί πού μπορεῖ νά ἐπιδοκιμάσει καί νά στεφανώσει; Αὐτή τή φράση λοιπόν ἄς τή γράψουμε καί στούς τοίχους καί στίς πόρτες καί στό νοῦ μας, καί συνέχεια ἄς λέμε στούς ἑαυτούς μας· 'ἀλλοίμονό μας, ὅταν ὅλοι οἱ ἄνθρωποι ποῦν καλά λόγια γιά μᾶς'.

Πραγματικά λοιπόν καί αὐτοί πού σ' ἐπαινοῦν, σέ συκοφαντοῦν ἀργότερα σάν κενόδοξο καί φιλόδοξο καί ὅτι ἐπιθυμεῖς ὑπερβολικά τό δικό τους ἔπαινο. Ὁ Θεός ὅμως δέν κάνει αὐτό, ἀλλ' ὅταν δεῖ ὅτι ἐπιθυμεῖς τή δική του δόξα, τότε πρό πάντων θά σέ ἐπαινέσει καί θά σέ θαυμάσει καί θά σέ στεφανώσει. Ἀντίθετα ὁ ἄνθρωπος δέ συμπεριφέρεται ἔτσι, ἀλλά θεωρώντας σε δοῦλο ἀντί γιά ἐλεύθερο καί πολλές φορές χαρίζοντάς σου μέ ἁπλά λόγια μόνο ψεύτικο ἔπαινο, σοῦ ἅρπαξε τόν ἀληθινό μισθό, καί ἀγοράζοντάς σε ἔτσι σέ ἔκανε πιό πολύ δοῦλο. Καθόσον ἐκείνους τούς ἔχουν οἱ κύριοί τους νά ὑπακοῦν ὕστερα ἀπό τίς προσταγές, σύ ὅμως καί χωρίς προσταγές γίνεσαι δοῦλος. Γιατί δέν περιμένεις ν' ἀκούσεις κάτι ἀπ' αὐτούς, ἀλλ' ἄν σκεφθεῖς μόνο ἐκεῖνα μέ τά ὁποῖα θά τούς προσφέρεις χαρά, χωρίς νά προστάζουν αὐτοί, τά κάνεις ὅλα. Πόσης λοιπόν γέεννας δέ θά ἤμασταν ἄξιοι, ὅταν εὐχαριστοῦμε τούς μοχθηρούς καί τούς περιποιούμαστε προτοῦ νά προστάξουν, ἐνῶ τό Θεό, πού καθημερινά προτρέπει καί συμβουλεύει, οὔτε καί ἔτσι τόν ἀκοῦμε;

Ἐάν ὅμως ἐπιθυμεῖς πολύ τή δόξα καί τούς ἐπαίνους, ἀπόφυγε

πων ἔπαινον, καὶ τότε ἐπιτεύξῃ δόξης· ἀποστράφηθι τὰς εὐφημίας, καὶ τότε μυρίων ἀπολαύσεις τῶν ἐπαίνων καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις. Οὐδένα γὰρ οὕτω δοξάζειν εἰώθαμεν, ὡς τὸν ὑπερορῶντα δόξης, οὐδὲ ἐπαινεῖν καὶ θαυμάζειν, ὡς τὸν καταφρονοῦντα τοῦ θαυμάζεσθαι καὶ ἐπαινεῖσθαι. Εἰ δὲ ἡμεῖς, πολλῷ μᾶλλον ὁ τῶν ὅλων Θεός. Ὅταν δὲ ἐκεῖνός σε δοξάζῃ καὶ ἐπαινῇ, τίς σου μακαριστότερος γένοιτ' ἄν; Καὶ γὰρ ὅσον δόξης καὶ ἀτιμίας τὸ μέσον, τοσοῦτον τῆς ἄνωθεν δόξης πρὸς τὴν ἀνθρωπίνην τὸ διάφορον· μᾶλλον δὲ πολλῷ πλέον καὶ ἄπειρον. Εἰ γὰρ καὶ μηδενὶ παραβαλλομένη αἰσχρά τις ἐστὶ καὶ δυσειδής, ὅταν καὶ πρὸς ἑτέραν αὐτὴν ἀντεξετάζωμεν, ἐννόησον ὅσον φανεῖται τὸ αἶσχος. Καθάπερ γὰρ ἑταιριζομένη γυνὴ καὶ ἐπὶ τοῦ τέγους ἑστῶσα ἅπασιν ἑαυτὴν ἐκδίδωσιν, οὕτω καὶ οἱ κενοδοξίας δοῦλοι· μᾶλλον δὲ καὶ ἐκείνης αἰσχίους οὗτοι. Ἐκεῖναι μὲν γὰρ πολλαχοῦ καὶ κατεφρόνησάν τινων ἐρασθέντων αὐτῶν, σὺ δὲ ἅπασι σαυτὸν προύθηκας, καὶ δραπέταις καὶ λῃσταῖς καὶ βαλλαντιοτόμοις· ἀπὸ γὰρ τούτων καὶ τῶν τοιούτων τὰ ἐπαινοῦντα ὑμᾶς συνέστηκε θέατρα· καὶ οὓς καθ' ἑαυτοὺς ὄντας οὐδενὸς ἀξίους εἶναι νομίζεις, τούτους συλλεγέντας τῆς σεαυτοῦ προτιμᾷς σωτηρίας, καὶ πάντων ἐκείνων ἀτιμότερον σαυτὸν ἀποφαίνεις.

Πῶς γὰρ οὐκ ἀτιμότερος ὁ τῆς παρ' ἑτέρων δεόμενος εὐφημίας, καὶ μὴ νομίζων ἀρκεῖν σευατῷ, εἰ μὴ τὴν παρ' ἑτέρων δόξαν λάβοις; Οὐκ ἐννοεῖς, εἰπέ μοι, μετὰ τῶν εἰρημένων, ὅτι περίβλεπτος μὲν ὢν καὶ πᾶσι κατάδηλος, ἂν ἁμάρτῃς, μυρίους ἔχεις κατηγόρους, ἄγνωστος δὲ ὤν, ἐν ἀσφαλείᾳ μένεις; Ναί, φησίν· ἀλλὰ καὶ κατορθῶν μυρίους ἔχω τοὺς θαυμαστάς. Τοῦτο γάρ ἐστι τὸ δεινόν, ὅτι οὐ μόνον ἁμαρτάνοντά σε, ἀλλὰ καὶ κατορθοῦντα βλάπτει τῆς κενοδοξίας ἡ νόσος, τότε μὲν μυρίους ὑποσκελίζουσα, νῦν δὲ πάντα σου κενοῦσα τὸν μισθόν.

τόν ἔπαινο τῶν ἀνθρώπων καί τότε θά ἐπιτύχεις τή δόξα· περιφρόνησε τά καλά λόγια, καί τότε θ' ἀπολαύσεις πάρα πολλούς ἐπαίνους καί ἀπό τό Θεό καί ἀπό τούς ἀνθρώπους. Γιατί κανένα συνήθως δέ δοξάζουμε τόσο, ὅσο ἐκεῖνον πού περιφρονεῖ τή δόξα, οὔτε ἐπαινοῦμε καί θαυμάζουμε, ὅσο ἐκεῖνον πού καταφρονεῖ τό νά θαυμάζεται καί νά ἐπαινεῖται. Ἐάν λοιπόν δοξάζουμε ἐμεῖς, πολύ περισσότερο θά μᾶς δοξάζει ὁ Θεός τῶν ὅλων. Καί ὅταν ἐκεῖνος σέ δοξάζει καί σέ ἐπαινεῖ, ποιός μπορεῖ νά γίνει πιό μακαριστός ἀπό σένα; Γιατί πραγματικά ὅση εἶναι ἡ ἀπόσταση ἀνάμεσα στή δόξα καί στήν περιφρόνηση, τόση εἶναι ἡ διαφορά τῆς δόξας τοῦ Θεοῦ πρός τήν ἀνθρώπινη· ἤ καλύτερα, πολύ περισσότερη καί ἄπειρη. Ἐάν λοιπόν καί ὅταν δέ συγκρίνεται μέ τίποτε εἶναι αἰσχρή καί ἄσχημη, ὅταν τήν ἐξετάζουμε σέ σύγκριση καί μέ ἄλλη, σκέψου πόσο θά φανεῖ τό αἶσχος. Γιατί, ὅπως ἀκριβῶς ἡ πόρνη γυναίκα καί ὅταν ἀκόμη μένει στό σπίτι, ἐκδίδει τόν ἑαυτό της σέ ὅλους, ἔτσι καί οἱ δοῦλοι τῆς κενοδοξίας· καί μᾶλλον αὐτοί εἶναι χειρότεροι καί ἀπό ἐκείνην. Γιατί οἱ γυναῖκες ἐκεῖνες πολλές φορές περιφρόνησαν καί κάποιους πού τίς ἐπιθύμησαν, ἐνῶ σύ ἔχεις ἐκθέσει τόν ἑαυτό σου σέ ὅλους, καί σέ δραπέτες καί σέ ληστές καί σέ κλέφτες χρημάτων. Γιατί ἀπ' αὐτούς καί τούς παρόμοιους ἀποτελοῦνται οἱ θεατές πού σᾶς ἐπαινοῦν. Καί ἐκείνους πού ὅταν εἶναι μόνοι τους δέν τούς θεωρεῖς καθόλου ἄξιους, αὐτούς, ἀφοῦ συγκεντρωθοῦν, τούς προτιμᾶς ἀπό τή δική σου σωτηρία, καί παρουσιάζεις τόν ἑαυτό σου πιό ἄδοξο ἀπ' ὅλους ἐκείνους.

Πραγματικά πῶς δέν εἶσαι πιό ἄδοξος ἐσύ πού χρειάζεσαι τόν ἔπαινο ἀπό ἄλλους, καί δέ νομίζεις πώς εἶσαι χρήσιμος γιά τόν ἑαυτό σου, ἄν δέ λάβεις τή δόξα ἀπό ἄλλους; Δέ σκέφτεσαι, πές μου, μαζί μέ αὐτά πού λέχθηκαν, πώς ὅταν σέ βλέπουν ἀπό παντοῦ καί εἶσαι γνωστός σέ ὅλους, ἄν ἁμαρτήσεις, ἔχεις ἄπειρους κατηγόρους, ἐνῶ ὅταν εἶσαι ἄγνωστος, παραμένεις σέ ἀσφάλεια; Ναί, λέγει· ἀλλά καί ὅταν κάνω κατορθώματα, ἔχω ἄπειρους θαυμαστές. Γιατί αὐτό εἶναι τό φοβερό, ὅτι δηλαδή ὄχι μόνο ὅταν ἁμαρτάνεις, ἀλλά καί ὅταν κατορθώνεις σέ βλάπτει ἡ ἀρρώστια τῆς κενοδοξίας· τότε βέβαια ρίχνοντας κάτω πάρα πολλούς, ἐνῶ τώρα ἀφαιρώντας ὅλο τό μισθό σου.

7. Δεινὸν μὲν οὖν, καὶ πάσης ἀτιμίας ἀνάμεστον, τὸ καὶ ἐν πολιτικοῖς πράγμασι δόξης ἐρᾶν· ὅταν δὲ καὶ ἐν τοῖς πνευματικοῖς τὸ αὐτὸ τοῦτο πάσχῃς, τίς λείπεταί σοι συγγνώμη λοιπόν, μηδὲ τοσαύτην βουλομένῳ παρέχειν τῷ Θεῷ τιμήν, ὅσην αὐτὸς παρὰ τῶν οἰκετῶν ἔχεις; Καὶ γὰρ ὁ δοῦλος πρὸς τοὺς ὀφθαλμοὺς ὁρᾷ τοῦ δεσπότου, καὶ ὁ μισθωτὸς πρὸς τὸν τοῦ ἔργου κύριον τὸν μέλλοντα ἀποδιδόναι τοὺς μισθούς, καὶ ὁ μαθητὴς πρὸς τὸν διδάσκαλον· σὺ δὲ τοὐναντίον ἅπαν, τὸν μισθωσάμενόν σε Θεὸν ἀφεὶς καὶ τὸν δεσπότην, πρὸς τοὺς ὁμοδούλους βλέπεις, καὶ ταῦτα εἰδώς, ὅτι ὁ μὲν Θεὸς μέμνηται καὶ εἰς τὰ μετὰ ταῦτα τῶν σῶν κατορθωμάτων, ἄνθρωπος δὲ εἰς τὸ παρόν· καὶ ἐν οὐρανῷ τὸ θέατρον ἔχων καθήμενον, τοὺς ἐπὶ τῆς γῆς θεατὰς συνάγεις. Καὶ ὁ μὲν ἀθλητὴς ἔνθα ἀγωνίζεται, ἐκεῖ βούλεται εὐδοκιμεῖν, σὺ δὲ ἀγωνιζόμενος ἄνω, κάτω στεφανοῦσθαι σπουδάζεις. Καὶ τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς ἀνοίας;

Ἴδωμεν δέ, εἰ δοκεῖ, καὶ τοὺς στεφάνους· ὁ μὲν γὰρ ἐξ ἀπονοίας σύγκειται, ὁ δὲ ἐκ τῆς πρὸς ἕτερον βασκανίας, ὁ δὲ ἐξ εἰρωνείας καὶ κολακείας, ὁ δὲ ἀπὸ χρημάτων, ὁ δὲ ἀπὸ δουλοπρεποῦς διακονίας. Καὶ καθάπερ τὰ παιδία τὰ παίζοντα χόρτου στέφανον ἐπιτιθέασιν ἀλλήλοις, καὶ τοῦ στεφανωθέντος οὐκ εἰδότος καταγελῶσιν ὄπισθεν πολλάκις, οὕτω δὴ καὶ νῦν οἱ ἐγκωμιάζοντές σε, καθ' ἑαυτοὺς πολλάκις ἐχλεύασαν, τὸν χόρτον ἡμῖν ἐπιτιθέντες. Καὶ εἴθε χόρτον μόνον· νυνὶ δὲ καὶ πολλῆς γέμει βλάβης ὁ στέφανος, καὶ πάντα ἡμῶν ἀπόλλυσι τὰ κατορθώματα. Ἐννοήσας τοίνυν αὐτοῦ τὸ εὐτελές, φύγε τὴν ζημίαν. Πόσους γὰρ εἶναι βούλει σου τοὺς ἐπαινέτας; ἑκατόν, ἢ δὶς τοσούτους, καὶ τρὶς καὶ τετράκις; μᾶλλον δέ, εἰ βούλει, τίθει δεκάκις τοσούτους καὶ εἰκοσάκις, καὶ ἔστωσαν δισχίλιοι καὶ τετρακισχίλιοι, εἰ δὲ βούλει, καὶ μυρίοι οἱ κροτοῦντες· ἀλλ' οὐδὲν οὗτοι κολοιῶν ἄνωθεν κραζόντων διαφέρουσι· μᾶλλον δέ, ἂν ἐννοήσῃς τὸ τῶν ἀγγέλων θέατρον, καὶ σκωλήκων οὗτοι φανοῦνται εὐτελέστεροι, καὶ ἀράχνης ἀσθενεστέρα αὐτῶν ἡ εὐφημία, καὶ καπνοῦ καὶ ὀνειράτων. Ἄκουσον γοῦν

7. Εἶναι φοβερό λοιπόν καί γεμάτο ἀπό κάθε ἀτιμία τό νά ἐπιθυμεῖς πολύ τή δόξα στά κοσμικά πράγματα, ὅταν ὅμως καί στά πνευματικά παθαίνεις τό ἴδιο ἀκριβῶς, ποιά συγγνώμη σοῦ ἀπομένει πλέον, ἀφοῦ δέ θέλεις νά προσφέρεις στό Θεό τόση τιμή, ὅση ἐσύ ὁ ἴδιος ἔχεις ἀπό τούς ὑπηρέτες; Καθόσον ὁ δοῦλος βλέπει στά μάτια τοῦ κυρίου, καί ὁ ἐργάτης στόν ἐργοδότη πού πρόκειται νά πληρώσει τούς μισθούς, καί ὁ μαθητής στό διδάσκαλο, ἐνῶ ἐσύ ἐντελῶς τό ἀντίθετο, ἀφοῦ ἄφησες τό Θεό πού σέ πῆρε στήν ἐργασία του μέ μισθό καί τόν Κύριο, βλέπεις στούς συνανθρώπους σου, καί παρ' ὅλο πού γνωρίζεις αὐτά, ὅτι δηλαδή ὁ Θεός θυμᾶται καί στό μέλλον τά κατορθώματά σου, ἐνῶ ὁ ἄνθρωπος τά θυμᾶται στό παρόν, καί μολονότι ἔχεις τούς θεατές νά κάθονται στόν οὐρανό, συγκεντρώνεις τούς θεατές τῆς γῆς. Καί ὁ ἀθλητής βέβαια ὅπου ἀγωνίζεται, ἐκεῖ θέλει νά διακρίνεται, ἐνῶ σύ, ἄν καί ἀγωνίζεσαι στόν οὐρανό, προσπαθεῖς νά στεφανώνεσαι στή γῆ. Καί τί θά μποροῦσε νά ὑπάρξει χειρότερο ἀπό τήν ἀνοησία αὐτή;

Ἄς δοῦμε ὅμως, ἄν θέλεις, καί τά στεφάνια. Γιατί τό ἕνα ἀποτελεῖται ἀπό ἀνοησία, ἄλλο ἀπό τό φθόνο γιά ἄλλον, ἄλλο ἀπό εἰρωνεία καί κολακεία, ἄλλο ἀπό χρήματα καί ἄλλο ἀπό δουλοπρεπή διακονία. Καί ὅπως τά παιδιά πού παίζουν βάζουν τό ἕνα στό ἄλλο στεφάνι ἀπό χόρτο, καί πολλές φορές χωρίς νά τό γνωρίζει ἐκεῖνο πού στεφανώθηκε τό περιγελοῦν ἀπό πίσω, ἔτσι λοιπόν καί τώρα ἐκεῖνοι πού σέ ἐπαινοῦν, ἀπό μέσα τους πολλές φορές σέ χλεύασαν, τοποθετώντας σου τό χόρτο. Καί εἴθε τό χόρτο μόνο· ἀλλά τώρα τό στεφάνι εἶναι γεμάτο καί ἀπό πολλή βλάβη, καί καταστρέφει ὅλα τά κατορθώματά μας. Ἀφοῦ λοιπόν σκεφθεῖς πόσο ἀσήμαντο εἶναι, ἀπόφυγε τή ζημιά. Γιατί πόσοι θέλεις νά εἶναι αὐτοί πού σέ ἐπαινοῦν; ἑκατό, ἤ διακόσιοι καί τριακόσιοι καί τετρακόσιοι; ἤ καλύτερα, ἄν θέλεις, ὑπολόγισε δέκα φορές τόσοι καί εἴκοσι καί ἄς εἶναι δύο χιλιάδες καί τέσσερις χιλιάδες, ἄν ὅμως θέλεις, καί δέκα χιλιάδες ἐκεῖνοι πού σέ χειροκροτοῦν, ἀλλά δέ διαφέρουν καθόλου αὐτοί ἀπό τίς καλιακοῦδες πού κράζουν ἀπό ψηλά· ἤ καλύτερα, ἄν σκεφθεῖς τό θέατρο τῶν ἀγγέλων, θά φανοῦν αὐτοί πιό τιποτένιοι καί ἀπό τά σκουλήκια, καί ὁ ἔπαινός τους πιό ἀδύνατος ἀπό τήν ἀράχνη καί τόν καπνό καί τά ὄνειρα. Ἄκουσε λοιπόν πῶς ὁ Παῦλος, πού τά

πῶς ὁ Παῦλος ὁ ταῦτα διεσκεμμένος ἀκριβῶς, οὐ μόνον αὐτὰ οὐκ ἐπιζητεῖ, ἀλλὰ καὶ ἀπεύχεται, λέγων· «ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ».

Ταύτην τοίνυν καὶ σὺ ζήλωσον τὴν καύχησιν, ἵνα μὴ παροξύνῃς τὸν δεσπότην. Καὶ γὰρ εἰς τὸν Θεὸν ὑβρίζεις, τοῦτο ποιῶν, οὐκ εἰς σαυτὸν μόνον. Οὐδὲ γὰρ εἰ ζωγράφος ὢν μαθητήν τινα εἶχες, εἶτα ἐκεῖνος ἀφεὶς ἐπιδείξασθαί σοι τὰ τῆς τέχνης, τὸν πίνακα ἔξω προυτίθει τοῖς παριοῦσιν ἁπλῶς, πρᾴως ἂν ἤνεγκας. Εἰ δὲ ἐπὶ τῶν ὁμοδούλων τοῦτο ὕβρις, πολλῷ μᾶλλον ἐπὶ τοῦ δεσπότου. Εἰ δὲ καὶ ἑτέρωθεν βούλει μαθεῖν τοῦ πράγματος καταφρονεῖν, ὑψηλὸς γενοῦ τὴν διάνοιαν, καταγέλασον τῶν ὁρωμένων, αὔξησον τῆς ἀληθοῦς δόξης τὸν ἔρωτα, ἐμπλήσθητι φρονήματος πνευματικοῦ, εἰπὲ πρὸς τὴν ψυχήν, ὡς Παῦλος εἶπεν, «οὐκ οἶδας ὅτι ἀγγέλους κρινοῦμεν;» καὶ ἀναστήσας αὐτὴν ἐντεῦθεν, ἐπιτίμησον λοιπόν, καὶ εἰπέ, ἡ ἀγγέλους κρινοῦσα, ὑπὸ καθαρμάτων κρίνεσθαι βούλει, καὶ μετὰ ὀρχηστῶν ἐπαινεῖσθαι καὶ μίμων καὶ θηριομάχων καὶ ἡνιόχων; ταύτας γὰρ οὗτοι τὰς εὐφημίας διώκουσιν.

Ἀλλὰ σὺ ὑψηλότερον τῆς τούτων κραυγῆς τὸ πτερὸν κατασκεύασον, καὶ ζήλωσον τὸν τῆς ἐρήμου πολίτην Ἰωάννην, καὶ μάθε πῶς ὑπερεώρα τοῦ πλήθους ἐκεῖνος, καὶ κολακεύοντος οὐκ ἐπεστρέφετο, ἀλλ' ὁρῶν ἅπαντας τοὺς τὴν Παλαιστίνην οἰκοῦντας περὶ αὐτὸν ἐκκεχυμένους καὶ θαυμάζοντας καὶ ἐκπληττομένους, οὐκ ἐχαυνοῦτο τῇ τοσαύτῃ τιμῇ, ἀλλὰ καὶ κατεξανίστατο αὐτῶν, καὶ ὡς ἑνὶ μειρακίῳ δήμῳ τοσούτῳ διαλεγόμενος, οὕτως ἐπέπληττε λέγων, «ὄφεις, γεννήματα ἐχιδνῶν». Καίτοιγε δι' αὐτὸν συνέδραμον, καὶ τὰς πόλεις ἀφῆκαν, ὥστε τὴν ἱερὰν κεφαλὴν ἐκείνην ἰδεῖν· ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων ἐξέλυσε· πόρρω γὰρ ἦν δόξης, καὶ τύφου παντὸς ἐλεύθερος. Οὕτω καὶ ὁ Στέφανος ὁρῶν τὸν αὐτὸν δῆμον πάλιν οὐχὶ τιμῶντα, ἀλλὰ μαινόμενον καὶ τρίζοντα τοὺς ὀδόντας, ὑψηλότερος αὐτῶν γενόμενος τῆς ὀργῆς, ἔλεγε· «σκληροτράχηλοι, καὶ ἀπερίτμητοι ταῖς καρδίαις». Οὕτω καὶ Ἠλίας, τῶν στρατοπέδων παρόντων ἐκείνων καὶ τοῦ βασιλέως

8. Γαλ. 6, 14.
9. Α' Κορ. 6, 3.
10. Ματθ. 3, 7.
11. Πράξ. 7, 51.
12. Βλ. Γ' Βασ. 18, 19.

ἔχει σκεφθεῖ μέ προσοχή αὐτά, ὄχι μόνο δέν ἐπιζητᾶ αὐτά, ἀλλά καί τά ἀπεύχεται, λέγοντας· «σέ μένα ὅμως εἴθε νά μή γίνει νά καυχηθῶ γιά τίποτε, παρά μόνο γιά τό σταυρό τοῦ Χριστοῦ»[8].

Αὐτή λοιπόν τήν καύχηση νά μιμηθεῖς καί σύ, γιά νά μήν ἐξοργίσεις τόν Κύριο. Καθόσον κάμνοντας αὐτό περιφρονεῖς τό Θεό, καί ὄχι τόν ἑαυτό σου μόνο. Οὔτε βέβαια ἄν ἦσουν ζωγράφος καί εἶχες κάποιο μαθητή, καί ἄν αὐτός στή συνέχεια, παραλείποντας νά σοῦ δείξει τήν τέχνη του, τοποθετοῦσε ἔξω τόν πίνακα γιά τούς περαστικούς μόνο, θά τό ὑπέφερες αὐτό ἤρεμα. Ἐάν ὅμως γιά τούς συνανθρώπους σου αὐτό εἶναι ὕβρη, πολύ περισσότερο εἶναι γιά τόν Κύριο. Καί ἄν θέλεις νά μάθεις καί ἀλλιῶς νά περιφρονεῖς τό πράγμα, γίνε ἀνώτερος στή σκέψη, περιφρόνησε τά ὁρατά πράγματα, μεγάλωσε τόν ἔρωτα τῆς ἀληθινῆς δόξας, γέμισε πνευματικό φρόνημα, πές στήν ψυχή σου, ὅπως εἶπε ὁ Παῦλος, «δέν ξέρεις ὅτι θά κρίνουμε ἀγγέλους;»[9], καί ἀφοῦ τήν ἐξυψώσεις ἔτσι, ἐπιτίμησέ την στή συνέχεια, καί πές της, ἐσύ πού θά κρίνεις ἀγγέλους, θέλεις νά κρίνεσαι ἀπό τιποτένιους καί νά ἐπαινεῖσαι μαζί μέ τούς χορευτές καί τούς μίμους καί τούς θηριομάχους καί τούς ἡνιόχους; καθόσον αὐτοί ἐπιδιώκουν τούς ἐπαίνους αὐτούς.

Ἐσύ ὅμως κάνε τό πτερό ψηλότερο ἀπό τίς κραυγές τους, καί μιμήσου τόν κάτοικο τῆς ἐρήμου Ἰωάννη, καί μάθε πῶς περιφρονοῦσε τό πλῆθος ἐκεῖνος, καί ὅταν τόν κολάκευαν δέν ἄλλαζε, ἀλλά βλέποντας ὅτι ὅλοι οἱ κάτοικοι τῆς Παλαιστίνης εἶχαν ξεχυθεῖ γύρω του καί τόν θαύμαζαν καί ἔμεναν ἔκπληκτοι, δέ γινόταν νωθρός ἀπό τήν τόσο μεγάλη τιμή, ἀλλά καί ἀγανακτοῦσε ἐναντίον τους καί μιλώντας μέ τόσους πολλούς σάν νά μιλοῦσε μ' ἕνα μικρό παιδί, ἔτσι τούς ἐπιτιμοῦσε λέγοντας, «φίδια, γεννήματα ὀχιῶν»[10]. Ἄν καί βέβαια γι' αὐτόν συγκεντρώθηκαν καί ἐγκατέλειψαν τίς πόλεις, γιά νά δοῦν τήν ἱερή ἐκείνη κεφαλή, ἀλλ' ὅμως τίποτε ἀπ' αὐτά δέν τόν ἐξαχρείωσε, γιατί ἦταν μακριά ἀπό τή δόξα καί ἐλεύθερος ἀπό κάθε ἀλαζονεία. Ἔτσι καί ὁ Στέφανος βλέποντας τόν ἴδιο λαό πάλι νά μή τόν τιμᾶ, ἀλλά νά εἶναι ἐξαγριωμένος καί νά τρίζει τά δόντια, ἀφοῦ ὑψώθηκε πιό πάνω ἀπό τήν ὀργή τους, ἔλεγε· «σκληροτράχηλοι καί ἀπερίτμητοι στίς καρδιές»[11]. Ἔτσι καί ὁ Ἠλίας, ἐνῶ ἦταν παρόντα τά στρατεύματα ἐκεῖνα[12] καθώς καί ὁ βασιλιάς καί ὅλος ὁ λαός,

καὶ τοῦ δήμου παντός, ἔλεγεν· «ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν;». Ἀλλ' ἡμεῖς ἅπαντας κολακεύομεν, θεραπεύομεν, τῇ δουλοπρεπεῖ διακονοίᾳ ταύτῃ τὴν ἐκείνων τιμὴν ὠνούμενοι. Διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, καὶ τῆς χάριτος ταύτης προδέδοται τὰ τοῦ Χριστιανισμοῦ πράγματα, καὶ πάντα ἠμέληται διὰ τὴν τῶν πολλῶν δόξαν.

Ἐξορίσωμεν τοίνυν τὸ πάθος, καὶ τότε εἰσόμεθα καλῶς τὴν ἐλευθερίαν καὶ τὸν λιμένα καὶ τὴν γαλήνην. Ὁ μὲν γὰρ κενόδοξος τοῖς χειμαζομένοις ἔοικεν, ἀεὶ τρέμων καὶ δεδοικὼς καὶ μυρίους θεραπεύων δεσπότας, ὁ δὲ ταύτης ἔξω τῆς τυραννίδος ὤν, τοῖς ἐν λιμέσι καθημένοις, καὶ ἐλευθερίας ἀπολαύουσι καθαρᾶς. Ἀλλ' οὐκ ἐκεῖνος, ἀλλ' ὅσοις ἐστὶ γνώριμος, τοσούτους ἔχει δεσπότας, πᾶσι δουλεύειν ἀναγκαζόμενος. Πῶς οὖν ἀπαλλαγησόμεθα τῆς χαλεπῆς ταύτης δουλείας; Ἂν ἑτέρας ἐρασθῶμεν δόξης, τῆς ὄντως δόξης. Καθάπερ γὰρ τοὺς τῶν σωμάτων ἐρῶντας λαμπροτέρα ἑτέρα φανεῖσα ὄψις τῆς προτέρας ἀπέστησεν, οὕτω δὴ καὶ τοὺς δόξης ἐπιθυμοῦντας τῆς παρ' ἡμῖν, ἡ ἐκ τῶν οὐρανῶν λάμψασα δόξα ἀπαγαγεῖν ταύτης δυνήσεται. Ἴδωμεν τοίνυν ἐκείνην, καὶ καταμάθωμεν αὐτὴν ἀκριβῶς, ἵνα τὸ κάλλος αὐτῆς θαυμάσαντες, φύγωμεν ταύτης τὴν αἰσχρότητα, καὶ πολλῆς ἀπολαύσωμεν ἡδονῆς, ἐντρυφῶντες ἐκείνῃ διηνεκῶς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἔλεγε· «μέχρι πότε θά κουτσαίνετε καί ἀπό τά δύο πόδια σας;»[13]. Ἐμεῖς ὅμως τούς κολακεύουμε ὅλους, τούς ὑπηρετοῦμε δουλικά, ἐξαγοράζοντας μέ τή δουλική αὐτή ὑπηρεσία τήν τιμή τους. Γι' αὐτό ὅλα ἔγιναν ἄνω-κάτω, καί τά πράγματα τοῦ Χριστιανισμοῦ ἀπομακρύνθηκαν ἀπό τή χάρη αὐτή καί ὅλα ἔχουν παραμεληθεῖ γιά τή δόξα τῶν πολλῶν.

Ἄς ξερριζώσουμε λοιπόν τό παθος, καί τότε θά γνωρίσουμε καλά τήν ἐλευθερία καί τό λιμάνι καί τή γαλήνη. Γιατί ὁ κενόδοξος ὁμοιάζει μ' ἐκείνους πού βρίσκονται σέ τρικυμία, πάντοτε τρέμει καί φοβᾶται, ὑπηρετεῖ ἄπειρους κυρίους, ἐνῶ αὐτός πού βρίσκεται ἔξω ἀπό τήν τυραννία αὐτή, μοιάζει μ' ἐκείνους πού κάθονται σέ λιμάνια καί ἀπολαμβάνουν καθαρή ἐλευθερία. Ἐκεῖνος ὅμως δέν εἶναι ἔτσι, ἀλλά σέ ὅσους εἶναι γνωστός, τόσους κυρίους ἔχει καί ἀναγκάζεται νά γίνεται δοῦλος σέ ὅλους. Πῶς λοιπόν θ' ἀπαλλαγοῦμε ἀπό τή φοβερή αὐτή δουλεία; Ἄν ἀγαπήσουμε ἄλλη δόξα, τήν ἀληθινή δόξα. Γιατί ὅπως ἐκείνους πού ἀγαποῦν τά σώματα, ὅταν φανεῖ ἄλλο λαμπρότερο πρόσωπο, τούς ἀπομακρύνει ἀπό τό προηγούμενο, ἔτσι ἀκριβῶς καί ἐκείνους πού ἐπιθυμοῦν τήν ἀνθρώπινη δόξα, ὅταν λάμψει ἡ δόξα ἀπό τούς οὐρανούς θά μπορέσει νά τούς ἀπομακρύνει ἀπ' αὐτήν. Ἄς προσέξουμε λοιπόν ἐκείνη τή δόξα καί ἄς μάθουμε καλά αὐτήν, ὥστε, ἀφοῦ θαυμάσουμε τόν ὀμορφιά της, ν' ἀποφύγουμε τήν αἰσχρότητά της καί ν' ἀπολαύσουμε πολλή ἡδονή, βρίσκοντας παντοτινά ἀπόλαυση σ' ἐκείνη. Αὐτή τή δόξα εἴθε νά τήν ἐπιτύχουμε ὅλοι μας, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

13. Γ' Βασ. 18, 21.





ΟΜΙΛΙΑ ΙΘ'

(Ρωμ. 10,14–11,6)

«Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὰ γέγραπται».

1. Πάλιν ἀναιρεῖ τὴν συγγνώμην αὐτῶν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι «μαρτυρῶ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν», καί, ὅτι «ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, οὐχ ὑπετάγησαν», δείκνυσι λοιπόν, ὅτι καὶ αὐτῆς τῆς ἀγνοίας δίκην ὀφείλουσι τῷ Θεῷ. Καὶ οὐ λέγει μὲν οὕτω, κατασκευάζει δὲ τοῦτο, κατὰ ἐρώτησιν προάγων τὸν λόγον, καὶ σαφέστερον ποιῶν τὸν ἔλεγχον τῷ κατὰ ἀντίθεσιν καὶ λύσιν ἅπαν ὑφᾶναι τουτὶ τὸ χωρίον. Σκόπει δὲ ἄνωθεν. Εἶπεν, φησίν, ὁ προφήτης, ὅτι «πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται». Ἀλλ' ἴσως ἔχοι τις ἂν εἰπεῖν· καὶ πῶς ἠδύναντο ἐπικαλέσασθαι τοῦτον, ᾧ οὐκ ἐπίστευσαν; Εἶτα ἐρώτησις παρ' αὐτοῦ μετὰ τὴν ἀντίθεσιν· καὶ διὰ τί οὐκ ἐπίστευσαν; Καὶ πάλιν ἀντίθεσις· πάντως ἔχει τις εἰπεῖν, καὶ πῶς εἶχον πιστεῦσαι μὴ ἀκούσαντες; Καὶ μὴν ἤκουσαν, φησίν. Εἶτα ἑτέρα πάλιν ἀντίθεσις· καὶ πῶς ἠδύναντο ἀκοῦσαι χωρὶς κηρύσσοντος; Εἶτα

1. Ρωμ. 10, 2. 3. 2. Ρωμ. 10, 11.

ΟΜΙΛΙΑ ΙΘ'

(Ρωμ. 10,14 – 11,6)

«Πῶς λοιπόν θά ἐπικαλεσθοῦν ἐκεῖνον, στόν ὁποῖο δέν πίστεψαν; καί πῶς θά πιστέψουν σ' ἐκεῖνον γιά τόν ὁποῖο δέν ἄκουσαν; ἀλλά καί πῶς θ' ἀκούσουν χωρίς νά κηρύττει κάποιος; καί πῶς θά κηρύξουν, ἐάν δέν ἀποσταλοῦν; ὅπως ἔχει γραφεῖ».

1. Πάλι τούς ἀφαιρεῖ τή συγγνώμη. Ἐπειδή δηλαδή εἶπε, «δίνω μαρτυρία γι' αὐτούς, ὅτι ἔχουν ζῆλο γιά τό Θεό, ἀλλ' ὄχι μέ ἐπίγνωση», καί « ἀγνοώντας τή δικαίωση τοῦ Θεοῦ, δέν ὑποτάχθηκαν»[1], δείχνει στή συνέχεια, ὅτι καί γιά τήν ἄγνοια αὐτή καταδικάζονται ἀπό τό Θεό. Καί δέ τό λέγει βέβαια αὐτό, ἀλλά τό προετοιμάζει, συνεχίζοντας μέ ἐρώτηση τό λόγο, καί ἔτσι κάμνει σαφέστερο τόν ἔλεγχο, ὑφαίνοντας ὁλόκληρο αὐτό ἐδῶ τό χωρίο μέ ἐρωτήσεις καί ἐξηγήσεις. Πρόσεχε ὅμως ἀπό τήν ἀρχή. Εἶπε, λέγει, ὁ προφήτης, ὅτι «καθένας πού θά ἐπικαλεσθεῖ τό ὄνομα τοῦ Κυρίου, θά σωθεῖ»[2]. Ἀλλ' ἴσως θά μποροῦσε κάποιος νά πεῖ· καί πῶς μποροῦσαν νά ἐπικαλεσθοῦν αὐτόν, στόν ὁποῖο δέν πίστεψαν; Ἔπειτα ἀκολουθεῖ ἐρώτηση ἀπ' αὐτόν μετά τήν ἀντίθεση· καί γιατί δέ πίστεψαν; Καί πάλι ἀντίθεση· ὁπωσδήποτε μπορεῖ νά πεῖ κάποιος, καί πῶς μποροῦσαν νά πιστέψουν χωρίς ν' ἀκούσουν; Καί ὅμως ἄκουσαν, λέγει. Ἔπειτα ἄλλη πάλι ἀντίθεση· καί πῶς μποροῦσαν ν' ἀκούσουν χωρίς

πάλιν λύσις· καὶ μὴν· ἐκήρυξαν, καὶ ἀπεστάλησαν εἰς αὐτὸ τοῦτο πολλοί. Καὶ πόθεν δῆλον, ὅτι οὗτοί εἰσιν ἐκεῖνοι οἱ ἀποσταλέντες; Τότε δὴ λοιπὸν εἰσάγει τὸν προφήτην λέγοντα, «ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά».

Ὁρᾷς πῶς ἀπὸ τοῦ τρόπου τοῦ κηρύγματος δείκνυσι τοὺς κήρυκας; Οὐδὲν γὰρ ἄλλο περιήεσαν οὗτοι πανταχοῦ λέγοντες, ἀλλ' ἢ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, καὶ τὴν τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους γεγενημένην εἰρήνην. Ὥστε ἀπιστοῦντες, οὐχ ἡμῖν ἀπιστεῖτε, φησίν, ἀλλὰ τῷ Ἡσαΐᾳ τῷ πρὸ πολλῶν ἐτῶν εἰπόντι, ὅτι καὶ ἀποσταλησόμεθα καὶ κηρύξομεν καὶ ἐροῦμεν ἅπερ εἰρήκαμεν. Εἰ τοίνυν τὸ μὲν σωθῆναι ἐκ τοῦ ἐπικαλέσασθαι ἦν, τὸ δὲ ἐπικαλέσασθαι ἐκ τοῦ πιστεῦσαι, τὸ δὲ πιστεῦσαι ἐκ τοῦ ἀκοῦσαι, τὸ δὲ ἀκοῦσαι ἐκ τοῦ κηρῦξαι, τὸ δὲ κηρῦξαι ἐκ τοῦ ἀποσταλῆναι, ἀπεστάλησαν δὲ καὶ ἐκήρυξαν, καὶ μετ' αὐτῶν ὁ προφήτης περιήει, δεικνὺς αὐτοὺς καὶ ἀνακηρύττων, καὶ λέγων ὅτι οὗτοί εἰσιν, οὓς πρὸ πολλῶν ἄνωθεν ἐδήλουν χρόνων, ὧν καὶ τοὺς πόδας ἐνεκωμίαζον διὰ τὸν τοῦ κηρύγματος τρόπον· εὔδηλον, ὅτι τὸ μὴ πιστεῦσαι ἐκείνων ἔγκλημα γέγονε μόνων· καὶ γὰρ τὰ παρὰ τοῦ Θεοῦ πάντα ἀπήρτισται.

2. «Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ». Ἐπειδὴ πάλιν ἑτέραν ἐπῆγον ἀντίθεσιν λέγοντες, ὅτι καὶ μὴν εἰ ἦσαν οὗτοι οἱ ἀπεσταλμένοι καὶ παρὰ τοῦ Θεοῦ πεμφθέντες, ἔδει πάντας ὑπακοῦσαι· σκόπει τοῦ Παύλου τὴν σύνεσιν, πῶς αὐτὸ τοῦτο, ὃ τὸν θόρυβον ἐποίει, τοῦ θορύβου καὶ τῆς ταραχῆς δείκνυσιν ὂν ἀναιρετικόν. Τί γάρ σε σκανδαλίζει, φησίν, ὦ Ἰουδαῖε, μετὰ τοσαύτην καὶ τηλικαύτην μαρτυρίαν καὶ πραγμάτων ἀπόδειξιν; ὅτι οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ; Τοῦτο μὲν οὖν αὐτὸ μετὰ τῶν ἄλλων ἱκανόν σε πιστώσασθαι ὑπὲρ αὐτούς, καὶ εἰς ζῆλον ἀγούσης, καὶ εἰς μνήμην τῆς προφητείας Μωϋσέως τῆς λεγούσης, «παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει». Οὐ

νά κηρύττει κάποιος; Ἔπειτα πάλι ἐξήγηση· καί ὅμως κήρυξαν καί στάλθηκαν γι' αὐτό ἀκριβῶς πολλοί. Καί ἀπό ποῦ εἶναι φανερό, ὅτι αὐτοί εἶναι ἐκεῖνοι πού στάλθηκαν. Τότε πλέον παρουσιάζει τόν προφήτη πού λέγει, «πόσο ὡραῖα εἶναι τά πόδια ἐκείνων πού εὐαγγελίζονται τήν εἰρήνη, ἐκείνων πού εὐαγγελίζονται τά ἀγαθά».

Βλέπεις πῶς ἀπό τόν τρόπο τοῦ κηρύγματος δείχνει τούς κήρυκες; Γιατί τίποτε ἄλλο δέν ἔλεγαν αὐτοί, ὅταν πήγαιναν παντοῦ, παρά μόνο τά ἀπόρρητα ἐκεῖνα ἀγαθά καί τήν εἰρήνη τοῦ Θεοῦ πού εἶχε γίνει πρός τούς ἀνθρώπους. Ἑπομένως ὅταν ἀπιστεῖτε, δέν ἀπιστεῖτε σ' ἐμᾶς, λέγει, ἀλλά στόν Ἠσαΐα πού πρίν ἀπό πολλά χρόνια εἶπε, ὅτι καί θ' ἀποσταλοῦμε καί θά κηρύξουμε καί θά ποῦμε ἐκεῖνα πού ἔχουμε πεῖ. Ἐάν λοιπόν τό νά σωθοῦν ἐξαρτῶταν ἀπό τό νά ἐπικαλεσθοῦν τό ὄνομα τοῦ Κυρίου, καί τό νά ἐπικαλεσθοῦν ἀπό τό νά πιστέψουν, καί τό νά πιστέψουν ἀπό τό ν' ἀκούσουν, καί τό ν' ἀκούσουν ἀπό τό νά κηρύξουν, καί τό νά κηρύξουν ἀπό τό νά ἀποσταλοῦν, στάλθηκαν ὅμως καί κήρυξαν, καί μαζί μέ αὐτούς ὁ προφήτης γύριζε, δείχνοντας αὐτούς καί ἀνακηρύττοντας καί λέγοντας πώς αὐτοί εἶναι ἐκεῖνοι, πού πρίν ἀπό πολλά χρόνια φανέρωνα μέ τή βοήθεια τοῦ Θεοῦ, καί τῶν ὁποίων ἐπαινοῦσα καί τά πόδια τους γιά τόν τρόπο τοῦ κηρύγματος, εἶναι ὁλοφάνερο, ὅτι τό νά μήν πιστέψουν ἔγινε κατηγορία γιά ἐκείνους μόνο· καθόσον ὅλα ὅσα ἐξαρτῶνταν ἀπό τό Θεό εἶχαν ὁλοκληρωθεῖ.

2. «Ἀλλά δέν ὑπάκουσαν ὅλοι στό εὐαγγέλιο. Γιατί ὁ Ἠσαΐας λέγει· Κύριε, ποιός πίστεψε στό κήρυγμά μας; Ἑπομένως ἡ πίστη ἔρχεται ἀπό τήν ἀκοή τοῦ κηρύγματος, καί τό κήρυγμα μέ τό λόγο τοῦ Θεοῦ». Ἐπειδή πάλι πρόσθεταν ἄλλη ἀντίθεση λέγοντας, ὅτι, 'ἄν αὐτοί ἦταν οἱ ἀπεσταλμένοι καί στάλθηκαν ἀπό τό Θεό, ἔπρεπε ὅλοι νά ὑπακούσουν', πρόσεχε τή σύνεση τοῦ Παύλου, πῶς αὐτό τό ἴδιο, πού προκαλοῦσε θόρυβο, τό παρουσιάζει νά εἶναι ἀναιρετικό τοῦ θορύβου καί τῆς ταραχῆς. Τί λοιπόν σέ σκανδαλίζει, λέγει, Ἰουδαῖε, ὕστερα ἀπό τόση καί τέτοια μαρτυρία καί ἀπόδειξη τῶν πραγμάτων; ὅτι δέν ὑπάκουσαν ὅλοι στό εὐαγγέλιο; Αὐτό ἀκριβῶς, λοιπόν, μαζί μέ τά ἄλλα ἦταν ἀρκετό νά σέ κάμει νά πιστέψεις γι' αὐτά πού λέχθηκαν, τό ὅτι δηλαδή δέν ὑπακούουν ὅλοι, καθόσον καί αὐτό τό προεῖπε ἀπό τήν ἀρχή ὁ προφήτης. Καί πρόσεχε τήν ἀπερί-

τῶν εἰρημένων, τὸ μὴ πάντας ὑπακούειν· καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προεῖπεν ὁ προφήτης. Καὶ σκόπει τὴν ἄφατον σοφίαν, πῶς πλέον δείκνυσιν ἢ προσεδόκων ἐκεῖνοι καὶ ἤλπιζον ἀντερεῖν. Τί γάρ φατε, φησίν; ὅτι οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ; Ἀλλὰ καὶ τοῦτο ἄνωθεν προεῖπεν Ἡσαΐας· μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ τούτου πλέον. Ὑμεῖς μὲν γὰρ ἐγκαλεῖτε, διὰ τί μὴ πάντες ὑπήκουσαν· ὁ δὲ Ἡσαΐας πλέον τούτου λέγει. Τί γάρ φησι; «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν»;

Εἶτα, ἐπειδὴ τὸν θόρυβον τοῦτον ἐξεῖλε παρεμβαλὼν τὸν προφήτην, πάλιν ἔχεται τῆς προτέρας ἀκολουθίας. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐπικαλέσασθαι ἔδει, τοὺς δὲ ἐπικαλουμένους πιστεῦσαι, τοὺς δὲ πιστεύοντας ἀκοῦσαι πρῶτον, τοὺς δὲ μέλλοντας ἀκούσεσθαι τοὺς κηρύσσοντας ἔχειν, τοὺς δὲ κηρύσσοντας ἀπεστάλθαι, καὶ ἔδειξεν ὅτι ἀπεστάλησαν καὶ ὅτι ἐκήρυξαν, ἑτέραν πάλιν μέλλων εἰσάγειν ἀντίθεσιν, ἀφορμὴν λαβὼν πρότερον ἀπὸ ἑτέρας μαρτυρίας τοῦ προφήτου, καθ' ἣν ἔλυσε τὴν μικρῷ πρὸ ταύτης ἀντίθεσιν, οὕτως αὐτὴν πλέκει καὶ συνείρει τοῖς προτέροις. Ἐπειδὴ γὰρ παρήγαγε τὸν προφήτην λέγοντα, «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;», εὐκαίρως τῆς μαρτυρίας ἐπιλαβόμενος, φησίν, «ἄρα ἡ πίστις ἐξ ἀκοῆς». Τοῦτο δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἐπειδὴ καθ' ἕκαστον καιρὸν σημεῖα ἐζήτουν οἱ Ἰουδαῖοι, καὶ τὴν ὄψιν τῆς ἀναστάσεως, καὶ πολὺ πρὸς τὸ πρᾶγμα κεχηνότες ἦσαν, φησὶν ὅτι καὶ μὴν ὁ προφήτης οὐ ταῦτα ἐπηγγείλατο, ἀλλ' ὅτι ἐξ ἀκοῆς ἡμᾶς ἔδει πιστεῦσαι. Διὸ πρότερον αὐτὸ κατασκευάζει, καί φησιν, «ἄρα ἡ πίστις ἐξ ἀκοῆς».

Εἶτα, ἐπειδὴ ἐδόκει τοῦτο εὐτελὲς εἶναι, ὅρα πῶς αὐτὸ ἀνάγει. Οὐ γὰρ ἁπλῶς ἀκοὴν εἶπον, φησίν, οὐδ' ὅτι ἀνθρωπίνων δεῖ ῥημάτων ἀκοῦσαι καὶ πιστεῦσαι, ἀλλ' ἀκοὴν μεγάλην λέγω· ἡ γὰρ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Οὐ γὰρ τὰ αὐτῶν ἔλεγον, ἀλλὰ τὰ παρὰ τοῦ Θεοῦ μανθάνοντες ἀπήγγελλον· ὃ σημείων ἐστὶν ὑψηλότερον.

γραπτη σοφία, πῶς περισσότερο τό ἀποδεικνύει, ἀπ' ὅσο προσδοκοῦσαν ἐκεῖνοι καί ἔλπιζαν νά προβάλουν ἀντίρρηση. Τί λοιπόν ἰσχυρίζεστε; λέγει· ὅτι δέν ὑπάκουσαν ὅλοι στό εὐαγγέλιο; Ἀλλά καί αὐτό ἀπό τήν ἀρχή τό προεῖπε ὁ Ἠσαΐας· ἤ καλύτερα, ὄχι μόνο αὐτό, ἀλλά καί πολύ περισσότερο ἀπ' αὐτό. Γιατί ἐσεῖς κατηγορεῖτε, γιατί δέν ὑπάκουσαν ὅλοι, ἐνῶ ὁ Ἠσαΐας λέγει κάτι περισσότερο ἀπ' αὐτό. Τί λοιπόν λέγει; «Κύριε, ποιός πίστεψε στό κήρυγμά μας;».

Στή συνέχεια, ἐπειδή ἀπομάκρυνε τό θόρυβο αὐτό μέ τήν παρεμβολή τοῦ προφήτη, ἐπανέρχεται πάλι στήν προηγούμενη συνέχεια. Ἐπειδή λοιπόν εἶπε, ὅτι ἔπρεπε νά ἐπικαλεσθοῦν τό ὄνομα τοῦ Κυρίου, καί ἐκεῖνοι πού τό ἐπικαλοῦνται νά πιστέψουν, καί ἐκεῖνοι πού πιστεύουν ν' ἀκούσουν πρῶτα, καί ἐκεῖνοι πού πρόκειται ν' ἀκούσουν νά ἔχουν ὅσους κηρύττουν, καί ὅσοι κηρύττουν ν' ἀποσταλοῦν, ἔδειξε καί ὅτι στάλθηκαν καί ὅτι κήρυξαν. Ἐπειδή πάλι ἐπρόκειτο νά παρουσιάσει ἄλλη ἀντίθεση, παίρνοντας πρῶτα ἀφορμή ἀπό ἄλλη μαρτυρία τοῦ προφήτη, κατά τήν ὁποία ἔλυσε τή λίγο πρίν ἀπ' αὐτήν ἀντίθεση, ἔτσι πλέκει αὐτήν καί τή συνδέει μέ τά προηγούμενα. Ἐπειδή λοιπόν παρουσίασε τόν προφήτη νά λέγει, «Κύριε, ποιός πίστεψε στό κήρυγμά μας;», ἐκμεταλεύεται στήν κατάλληλη στιγμή τή μαρτυρία καί λέγει, «ἐπομένως ἡ πίστη ἔρχεται ἀπό τήν ἀκοή τοῦ κηρύγματος». Αὐτό ὅμως δέν τό ἀνέφερε τυχαῖα, ἀλλ' ἐπειδή κάθε ἐποχή οἱ Ἰουδαῖοι ζητοῦσαν θαύματα καί τήν ἐμφάνιση τῆς ἀναστάσεως, καί εἶχαν πολλές ἀμφιβολίες γι' αὐτά, λέγει ὅτι καί ὁ προφήτης δέν ὑποσχέθηκε αὐτά, ἀλλ' ὅτι ἐμεῖς ἔπρεπε νά πιστέψουμε ἀκούοντας τό κήρυγμα. Γι' αὐτό πρῶτα παρουσιάζει αὐτό, καί λέγει, «ἐπομένως ἡ πίστη ἔρχεται ἀπό τήν ἀκοή τοῦ κηρύγματος».

Ἔπειτα, ἐπειδή αὐτό φαινόταν πώς εἶναι ἀσήμαντο, πρόσεχε πῶς τό παρουσιάζει. Γιατί, λέγει, δέν εἶπα ἁπλῶς ἀκοή, οὔτε ὅτι πρέπει ν' ἀκούσουμε ἀνθρώπινα λόγια καί νά πιστέψουμε, ἀλλ' ἀκοή μεγάλη λέγω· γιατί ἡ ἀκοή γίνεται μέ τό λόγο τοῦ Θεοῦ. Καθόσον δέν ἔλεγαν τά δικά τους, ἀλλ' ἀνάγγελναν ἐκεῖνα πού μάθαιναν ἀπό τό Θεό, πράγμα πού εἶναι ἀνώτερο ἀπό τά θαύματα. Γιατί στό Θεό καί ὅταν μιλάει καί ὅταν κάνει θαύματα πρέπει τό ἴδιο νά

Τῷ γὰρ Θεῷ καὶ λέγοντι καὶ θαυματουργοῦντι ὁμοίως πιστεύειν καὶ πείθεσθαι δεῖ· ἐπεὶ καὶ τὰ ἔργα καὶ τὰ θαύματα ἀπὸ τῶν λόγων ἐστὶ τῶν ἐκείνου. Καὶ γὰρ καὶ ὁ οὐρανὸς καὶ τὰ ἄλλα πάντα οὕτως ἔστη.

3. Δείξας τοίνυν, ὅτι δεῖ πιστεῦσαι τοῖς προφήταις ἀεὶ τὰ τοῦ Θεοῦ λέγουσι, καὶ ἀκροάσεως μηδὲν πλέον ἐπιζητῆσαι, ἐπάγει λοιπὸν τὴν ἀντίθεσιν, ἣν εἶπον, καί φησιν· «ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν;». Τί γάρ, φησίν, εἰ ἀπεστάλησαν οἱ κηρύσσοντες, καὶ ἐκήρυξαν ἅπερ ἐκελεύσθησαν, οὗτοι δὲ οὐκ ἤκουσαν; Εἶτα μεθ' ὑπερβολῆς πάσης ἡ λύσις τῆς ἀντιθέσεως· «μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Τί λέγεις, φησίν; οὐκ ἤκουσαν; Ἡ οἰκουμένη καὶ τὰ πέρατα τῆς γῆς ἤκουσαν· καὶ ὑμεῖς, παρ' οἷς τοσοῦτον οἱ κήρυκες διέτριψαν χρόνον, καὶ ὅθεν ἦσαν, οὐκ ἠκούσατε; καὶ πῶς ἂν ἔχοι λόγον; Εἰ γὰρ τὰ πέρατα τῆς οἰκουμένης ἤκουσε, πολλῷ μᾶλλον ὑμεῖς. Εἶτα παλιν ἑτέρα ἀντίθεσις· «ἀλλὰ λέγω, μὴ Ἰσραὴλ οὐκ ἔγνω;». Τί γάρ, εἰ ἤκουσαν μέν, φησίν, οὐκ ἔγνωσαν δὲ τὰ εἰρημένα, οὐδὲ συνῆκαν, ὅτι οὗτοι ἐκεῖνοι ἦσαν οἱ ἀποσταλέντες; οὐκ ἄξιοι συγγνώμης τῆς ἀγνοίας ἕνεκεν ταύτης; Οὐδαμῶς. Καὶ γὰρ ὁ Ἡσαΐας ἐχαρακτήρισεν αὐτούς, εἰπών, «ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην»· καὶ πρὸ τούτου πάλιν ὁ νομοθέτης αὐτός. Διὸ καὶ ἐπήγαγε, «πρῶτος Μωϋσῆς λέγει· ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς».

Ὥστε καὶ ἐντεῦθεν ἐχρῆν γνωρίσαι τοὺς κήρυκας, οὐκ ἀφ' ὧν ἠπίστησαν οὗτοι μόνον, οὐκ ἀφ' ὧν εἰρήνην ἐκήρυττον ἐκεῖνοι, οὐκ ἀφ' ὧν τὰ ἀγαθὰ ἐκεῖνα εὐηγγελίζοντο, οὐκ ἀφ' ὧν πανταχοῦ τῆς οἰκουμένης ὁ λόγος ἐσπείρετο, ἀλλὰ καὶ ἀφ' ὧν τοὺς καταδεεστέρους αὐτῶν τοὺς ἐξ ἐθνῶν εἶδον ἐν πλείονι ὄντας τιμῇ. Ἃ γὰρ μηδέποτε ἤκουσαν οὗτοι, μηδὲ τούτων οἱ πρόγονοι, ταῦτα ἐξαίφνης ἐφιλοσόφουν ἐκεῖνοι· ὅπερ ἐπιτεταμένης ἦν τιμῆς, παρακνιζούσης

---

3. Ἡσ. 52, 7.

πιστεύουμε καί νά ὑπακοῦμε, ἐπειδή καί τά ἔργα καί τά θαύματα γίνονται ἀπό τά δικά 'του λόγια. Γιατί πραγματικά καί ὁ οὐρανός καί ὅλα τά ἄλλα ἔτσι στερεώθηκαν.

3. 'Αφοῦ ἔδειξε λοιπόν, ὅτι πρέπει νά πιστέψουν στούς προφῆτες, πού πάντοτε λέγουν τά λόγια τοῦ Θεοῦ, καί νά μήν ἐπιζητήσουν τίποτε περισσότερο ἀπό τήν ἀκρόαση, προσθέτει στή συνέχεια τήν ἀντίθεση, πού εἶπα, καί λέγει· «ἀλλ' ἐρωτῶ, μήπως δέν ἄκουσαν;». Τί λοιπόν, λέγει, ἄν στάλθηκαν οἱ κήρυκες καί κήρυξαν ἐκεῖνα πού διατάχθηκαν, αὐτοί ὅμως δέν ἄκουσαν; Ἔπειτα ἀκολουθεῖ μέ κάθε ὑπερβολή ἡ λύση τῆς ἀντιθέσεως· «βέβαια ἄκουσαν, γιατί ἡ φωνή τους ἁπλώθηκε σ' ὅλη τή γῆ καί τά λόγια τους ἀκούστηκαν στά πέρατα τῆς οἰκουμένης». Τί λέγεις; λέγει· δέν ἄκουσαν; Ἡ οἰκουμένη καί τά πέρατα τῆς γῆς ἄκουσαν, καί σεῖς, κοντά στούς ὁποίους οἱ κήρυκες παρέμειναν τόσο πολύ χρόνο καί πού κατάγονταν ἀπό σᾶς, δέν ἀκούσατε; Καί πῶς μπορεῖ νά ἔχει δικαιολογία αὐτό; Ἐάν λοιπόν τά πέρατα τῆς οἰκουμένης ἄκουσαν, πολύ περισσότερο σεῖς. Ἔπειτα πάλι ἄλλη ἀντίθεση· «πάλι ἐρωτῶ, μήπως ὁ Ἰσραηλιτικός λαός δέ γνώρισε;». Τί λοιπόν, ἐάν ἄκουσαν βέβαια, λέγει, ἀλλά δέ γνώρισαν αὐτά πού λέχθηκαν, οὔτε κατάλαβαν πώς ἐκεῖνοι οἱ ἴδιοι ἦταν οἱ ἀπεσταλμένοι; δέν εἶναι ἄξιοι συγγνώμης γιά τήν ἄγνοιά τους αὐτή; Καθόλου. Καθόσον ὁ Ἠσαΐας χαρακτήρισε αὐτούς, λέγοντας, «πόσο ὡραῖα εἶναι τά πόδια ἐκείνων πού εὐαγγελίζονται τήν εἰρήνη»[3], καί πρίν ἀπ' αὐτόν πάλι ὁ ἴδιος ὁ νομοθέτης. Γι' αὐτό καί πρόσθεσε, «πρῶτος ὁ Μωϋσῆς λέγει· Ἐγώ θά σᾶς κεντήσω τή ζήλεια σας μέ ἔθνος πού δέν τό λαγαριάζετε γιά ἔθνος καί θά σᾶς ἐξοργίσω μέ ἔθνος ἀνόητο».

Ὥστε καί γι' αὐτό ἔπρεπε νά γνωρίσουν τούς κήρυκες, ὄχι γιατί δέ πίστεψαν αὐτοί μόνο, οὔτε γιατί κήρυτταν τήν εἰρήνη ἐκεῖνοι, οὔτε γιατί εὐαγγελίζονταν τά ἀγαθά ἐκεῖνα, οὔτε γιατί ὁ λόγος σπερνόταν σέ ὅλα τά μέρη τῆς οἰκουμένης, ἀλλά καί γιατί εἶδαν ὅτι οἱ κατώτεροί τους, πού προέρχονταν ἀπό τούς ἐθνικούς, βρίσκονταν σέ περισσότερη τιμή. Γιατί ἐκεῖνα πού δέν ἄκουσαν ποτέ αὐτοί, οὔτε οἱ πρόγονοί τους, αὐτά ξαφνικά τά πίστευαν ἐκεῖνοι, πράγμα πού ἦταν γνώρισμα ὑπερβολικῆς τιμῆς, πού τούς ἐρέθιζε πολύ καί τούς ὁδηγοῦσε σέ ζήλεια καί σέ ὑπενθύμιση τῆς προφητείας τοῦ Μωϋσῆ πού ἔλεγε, «Θά κεντήσω τή ζήλεια σας μέ ἔθνος πού δέν τό

γὰρ δὴ μόνον τὸ μέγεθος τῆς τιμῆς ἱκανὸν ἦν αὐτοὺς εἰς ζῆλον ἐμβαλεῖν, ἀλλὰ καὶ τὸ οὕτως εὐτελὲς εἶναι τὸ ἔθνος τὸ τούτων ἀπολαῦσαν, ὡς μηδὲ ἔθνος ἄξιον εἶναι λογίζεσθαι. «Ἐγὼ γὰρ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς». Τί γὰρ Ἑλλήνων ἀσυνετώτερον ἦν; τί δὲ εὐτελέστερον; Ὁρᾷς πῶς διὰ πάντων γνωρίσματα καὶ σημεῖα σαφῆ τῶν καιρῶν τούτων ἄνωθεν ἔδωκεν αὐτοῖς ὁ Θεός, ὥστε διανοῖξαι αὐτῶν τὴν πώρωσιν; Οὐδὲ γὰρ ἐν γωνίᾳ μικρᾷ τὸ γινόμενον ἦν, ἀλλ' ἐν γῇ καὶ θαλάττῃ, καὶ πανταχοῦ τῆς οἰκουμένης· καὶ ἑώρων μυρίων ἀπολαύοντας ἀγαθῶν τοὺς πρότερον παρ' αὐτῶν καταφρονουμένους. Ἔδει τοίνυν ἐννοῆσαι, ὅτι τοῦτο ἐκεῖνό ἐστι τὸ ἔθνος, περὶ οὗ φησιν ὁ Μωϋσῆς· «παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς».

Ἆρα οὖν Μωϋσῆς μόνος τοῦτο εἶπεν; Οὐδαμῶς, ἀλλὰ καὶ Ἡσαΐας μετ' ἐκεῖνον. Διὸ καὶ Παῦλος ἔλεγε, «πρῶτος Μωϋσῆς», δεικνὺς ὅτι καὶ δεύτερος ἥξει τὰ αὐτὰ λέγων καὶ τρανότερον καὶ σαφέστερον. Ὥσπερ οὖν ἀνωτέρω εἶπε, «κράζει Ἡσαΐας», οὕτω καὶ ἐνταῦθα, «Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐβιάσατο καὶ ἐφιλονείκησε μηδὲν συνεσκιασμένον εἰπεῖν, ἀλλὰ καὶ γυμνὰ πρὸ τῶν ὀφθαλμῶν ὑμῶν θεῖναι τὰ πράγματα, μᾶλλον ἑλόμενος κινδυνεύειν ἐκ τοῦ φανερῶς εἰπεῖν, ἢ τὴν οἰκείαν ὑφορώμενος σωτηρίαν, σκιὰν γοῦν ὑμῖν καταλιπεῖν ἀγνωμοσύνης. Καίτοι γε προφητείας οὐκ ἦν τὸ σαφῶς οὕτως εἰπεῖν. Ἀλλ' ὅμως ὥστε ἐκ περιουσίας ὑμῶν ἐμφράξαι τὰ στόματα, σαφῶς πάνυ καὶ διαρρήδην ἅπαντα προλέγει. Ἅπαντα· ποῖα; Καὶ τὴν ὑμῶν ἔκπτωσιν, καὶ τὴν ἐκείνων εἰσαγωγήν, οὕτω λέγων· «εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι». Τίνες οὖν οἱ μὴ ζητοῦντες; τίνες οἱ μὴ ἐπερωτῶντες; Εὔδηλον ὅτι οὐκ Ἰουδαῖοι, ἀλλ' οἱ ἐξ ἐθνῶν, οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες. Ὥσπερ οὖν

---

4. Ρωμ. 9, 27.

λαγαριάζετε γιά ἔθνος». Γιατί δέν ἦταν μόνο τό μέγεθος τῆς τιμῆς ἱκανό νά τούς ὁδηγήσει σέ ζήλεια, ἀλλά καί τό ὅτι τό ἔθνος πού ἀπόλαυσε αὐτά ἦταν τόσο τιποτένιο, ὥστε δέν ἦταν ἄξιο οὔτε ἔθνος νά λογαριάζεται. «Γιατί ἐγώ θά κεντήσω τή ζήλεια σας μέ ἔθνος πού δέν τό λογαριάζετε γιά ἔθνος καί θά σᾶς ἐξοργίσω μέ ἔθνος ἀνόητο». Γιατί τί ἦταν πιό ἀσύνετο ἀπό τούς εἰδωλολάτρες; τί πιό ἀσήμαντο; Βλέπεις πῶς μέ ὅλους ὁ Θεός τούς ἔδωσε ἀπό τήν ἀρχή γνωρίσματα καί σημεῖα σαφή γιά τούς καιρούς αὐτούς, ὥστε νά τούς ἀνοίξει τήν πώρωσή τους; Γιατί αὐτό πού γινόταν δέ συνέβαινε σέ κάποια μικρή γωνία, ἀλλά σ' ὅλη τή γῆ καί τή θάλασσα καί σ' ὅλα τά μέρη τῆς οἰκουμένης, καί ἔβλεπαν ὅτι ἀπολάμβαναν ἄπειρα ἀγαθά ἐκεῖνοι πού προηγουμένως περιφρονοῦνταν ἀπ' αὐτούς. Ἔπρεπε λοιπόν νά καταλάβουν, ὅτι αὐτό ἀκριβῶς εἶναι τό ἔθνος, γιά τό ὁποῖο λέγει ὁ Μωϋσῆς· «θά κεντήσω τή ζήλεια σας μέ ἔθνος πού δέν τό λογαριάζετε γιά ἔθνος καί θά σᾶς ἐξοργίσω μέ ἔθνος ἀνόητο».

Ἄραγε λοιπόν μόνο ὁ Μωϋσῆς τό εἶπε αὐτό; Καθόλου, ἀλλά καί ὁ Ἠσαΐας ὕστερα ἀπ' αὐτόν. Γι' αὐτό καί ὁ Παῦλος ἔλεγε, «πρῶτος ὁ Μωϋσῆς», γιά νά δείξει ὅτι καί δεύτερος θά ἔρθει νά πεῖ τά ἴδια καί πιό δυνατά καί πιό καθαρά. Ὅπως ἀκριβῶς εἶπε παραπάνω, «κράζει ὁ Ἠσαΐας»[4], ἔτσι καί ἐδῶ, «ὁ Ἠσαΐας μάλιστα τολμάει καί λέγει». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· ἀγωνίσθηκε καί προσπάθησε νά μήν πεῖ τίποτε σκοτεινό, ἀλλά νά τοποθετήσει γυμνά τά πράγματα μπροστά στά μάτια σας, προτιμώντας περισσότερο νά κινδυνεύει ἀπό τό ὅτι μίλησε φανερά, παρά ν' ἀφήσει στή σκιά τήν ἀχαριστία σας, ἀποβλέποντας στή δική του σωτηρία. Μολονότι βέβαια δέν ἦταν γνώρισμα τῆς προφητείας τό νά μιλήσει τόσο καθαρά. Ἀλλ' ὅμως γιά νά κλείσει τά στόματά σας μέ δύναμη, τά προλέγει ὅλα πολύ καθαρά καί χωρίς περιστροφές. Ὅλα· ποιά; Καί τή δική σας ἔκπτωση καί τή δική τους εἰσαγωγή, λέγοντας ἔτσι· «βρέθηκα ἀπό ἐκείνους πού δέ μέ ζητοῦσαν, φανερώθηκα σ' ἐκείνους πού δέν ἐρωτοῦσαν γιά μένα». Ποιοί λοιπόν εἶναι ἐκεῖνοι πού δέ τόν ζητοῦσαν; καί ποιοί ἐκεῖνοι πού δέν ἐρωτοῦσαν; Εἶναι ὁλοφάνερο ὅτι δέν εἶναι οἱ Ἰουδαῖοι, ἀλλ' ἐκεῖνοι πού προέρχονται ἀπό τούς ἐθνικούς, ἐκεῖνοι πού δέν γνώρισαν ποτέ αὐτόν. Ὅπως ἀκριβῶς

Μωϋσῆς ἐχαρακτήρισεν αὐτοὺς εἰπών, «ἐπ' οὐκ ἔθνει», καί, «ἔθνει ἀσυνέτῳ», οὕτω καὶ ἐνταῦθα ἀπὸ τῆς αὐτῆς ὑποθέσεως αὐτοὺς δηλοῖ, τῆς ἀγνοίας τῆς ἐπιτεταμένης, ὃ μεγίστη κατηγορία Ἰουδαίων ἦν, ὅτι οἱ μὴ ζητοῦντες εὗρον, καὶ οἱ ζητοῦντες ἀπώλεσαν.

4. *«Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα». Εἶδες πῶς τὸ ἄπορον ἐκεῖνο καὶ παρὰ πολλῶν ζητούμενον εὑρίσκεται ἄνωθεν καὶ ἐν τοῖς προφητικοῖς ῥήμασι κείμενον, καὶ σαφῶς λυόμενον; Τί δὲ τοῦτό ἐστιν; Ἤκουσάς ἔμπροσθεν Παύλου λέγοντος· «τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε». Τοῦτο καὶ Ἠσαΐας ἐνταῦθά φησι. Τὸ γάρ, «εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι», ταὐτόν ἐστι τῷ εἰπεῖν, «ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην». Εἶτα δεικνύς, ὅτι οὐχὶ τῆς τοῦ Θεοῦ χάριτος μόνον ἦν τὸ γινόμενον, ἀλλὰ καὶ τῆς γνώμης τῶν προσελθόντων, ὥσπερ οὖν καὶ ἡ ἐκείνων ἔκπτωσις τῆς φιλονεικίας τῶν ἀπειθησάντων, ἄκουσον τί ἐπήγαγε· «πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα»· ἡμέραν ἐνταῦθα τὸν πάντα χρόνον λέγων τὸν ἔμπροσθεν. Τὸ δὲ ἐκπετάσαι τὰς χεῖρας, τὸ καλέσαι καὶ ἐπισπάσασθαι καὶ παρακαλέσαι δηλοῖ. Εἶτα δεικνὺς τὸ ἔγκλημα ἅπαν ἐκείνων ὄν, φησί, «πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα».*

Εἶδες πόση ἡ κατηγορία; Οὗτοι μὲν γὰρ οὐδὲ παρακαλοῦντι ἐπείσθησαν, ἀλλὰ καὶ ἀντεῖπον, καὶ ταῦτα οὐχ ἅπαξ, οὐ δίς, οὐ τρίς, ἀλλὰ διὰ παντὸς τοῦ χρόνου ταῦτα ποιοῦντα ὁρῶντες, ἕτεροι δὲ οἱ μηδέποτε αὐτὸν ἐγνωκότες ἴσχυσαν αὐτὸν ἐπισπάσασθαι. Ἀλλ' οὐ λέγει, ὅτι αὐτοὶ ἴσχυσαν αὐτὸν ἐπισπάσασθαι, ἀλλὰ καθαιρῶν καὶ τῶν ἐξ ἐθνῶν τὰ φρονήματα, καὶ δεικνὺς τὴν αὐτοῦ χάριν τὸ πᾶν ἐργασαμένην, φησίν, ὅτι ἐγὼ ἐμφανὴς ἐγενόμην, καὶ ἐγὼ

5. Ρωμ. 9, 30.

λοιπόν ὁ Μωϋσῆς τούς χαρακτήρισε αὐτούς λέγοντας, «μέ ἔθνος πού δέν τό λογαριάζετε γιά ἔθνος», καί «μέ ἔθνος ἀνόητο», ἔτσι καί ἐδῶ τούς φανερώνει ἀπό τήν ἴδια αἰτία, τήν ὑπερβολική δηλαδή ἄγνοια, πράγμα πού ἦταν μέγιστη κατηγορία ἐναντίον τῶν Ἰουδαίων, γιατί ἐκεῖνοι πού δέν τόν ζητοῦσαν τόν βρῆκαν, καί ἐκεῖνοι πού τόν ζητοῦσαν τόν ἔχασαν.

4. «Καί πρός τούς Ἰσραηλίτες λέγει· ὅλη τήν ἡμέρα ἅπλωσα τά χέρια μου σέ λαό, πού ἀπειθεῖ καί ἀντιλέγει». Εἶδες πῶς ἡ ἀπορία ἐκείνη, πού τή ζητοῦσαν πάρα πολλοί βρίσκεται ἀπό τήν ἀρχή καί στά προφητικά λόγια νά ὑπάρχει καί μέ σαφήνεια νά λύνεται; Τί σημαίνει αὐτό; Ἄκουσες πιό μπροστά τόν Παῦλο νά λέγει· «τί θά ποῦμε λοιπόν; Ὅτι οἱ ἐθνικοί πού δέν ἐπιδίωκαν τή δικαίωση, τήν ἐπέτυχαν, ἐνῶ οἱ Ἰσραηλίτες πού ἐπιδίωκαν τή δικαίωση ἀπό τό νόμο, δέν ἔφθασαν στή δικαίωση ἀπό τήν τήρηση τοῦ νόμου»[5]. Αὐτό καί ὁ Ἠσαΐας λέγει ἐδῶ. Γιατί τό, «βρέθηκα ἀπό ἐκείνους πού δέ μέ ζητοῦσαν, καί φανερώθηκα σ' ἐκείνους πού δέν ἐρωτοῦσαν γιά μένα», τό ἴδιο σημαίνει μέ τό νά πεῖ, ὅτι οἱ ἐθνικοί πού δέν ἐπιδίωκαν τή δικαίωση, τήν ἐπέτυχαν. Ἔπειτα γιά νά δείξει, ὅτι αὐτό πού γινόταν δέν ἀνῆκε μόνο στή χάρη τοῦ Θεοῦ, ἀλλά καί στή διάθεση ἐκείνων πού προσῆλθαν, ὅπως ἀκριβῶς πάλι καί ἡ ἔκπτωσή τους ἦταν ἀποτέλεσμα τῆς φιλονεικίας ὅσων δέν ὑπάκουσαν, ἄκουσε τί πρόσθεσε· «καί πρός τούς Ἰσραηλίτες λέγει· ὅλη τήν ἡμέρα ἅπλωσα τά χέρια μου σέ λαό, πού δέν ὑπακούει καί ἀντιλέγει», ἐννοώντας «ἡμέρα» ἐδῶ ὅλον τόν προηγούμενο χρόνο. Καί τό, «ἅπλωσα τά χέρια», δηλώνει ὅτι τόν κάλεσε καί τόν πρακίνησε καί τόν παρακάλεσε. Ἔπειτα γιά νά δείξει ὅτι ὅλη ἡ κατηγορία ἦταν ἐναντίον τους, λέγει, «σέ λαό πού δέν ὑπακούει καί ἀντιλέγει».

Εἶδες πόση εἶναι ἡ κατηγορία; Γιατί αὐτοί οὔτε ὅταν τούς παρακαλοῦσε ὑπάκουσαν, ἀλλά καί ὑποστήριξαν τά ἀντίθετα, καί αὐτά ὄχι μιά φορά, οὔτε δύο, οὔτε τρεῖς, ἀλλ' ὅλο τό χρόνο, ἄν καί ἔβλεπαν ὅτι ἔκαμνε αὐτά, ἐνῶ ἄλλοι, πού δέν τόν γνώρισαν ποτέ, μπόρεσαν νά τόν προσελκύσουν. Ὅμως δέ λέγει, ὅτι αὐτοί μπόρεσαν νά τόν προσελκύσουν, ἀλλά γιά νά συγκρατήσει τά φρονήματα καί ἐκείνων πού προέρχονται ἀπό τούς ἐθνικούς, καί γιά νά δείξει ὅτι ὅλα τά ἔκανε ἡ δική του χάρη, λέγει, ὅτι ἐγώ φανερώθηκα, καί ἐγώ

εὑρέθην. Οὐκοῦν κενοὶ πάντων ἐκεῖνοι, φησίν. Οὐδαμῶς, ἀλλὰ τὸ εὑρεθέντα λαβεῖν καὶ φανέντα ἐπιγνῶναι, τοῦτο παρ' ἑαυτῶν εἰσήνεγκαν. Εἶτα ἵνα μὴ λέγωσιν οὗτοι, διὰ τί οὖν καὶ ἡμῖν ἐμφανὴς οὐκ ἐγένου; τὸ πλέον τούτου τίθησιν, ὅτι οὐ μόνον ἐμφανὴς ἐγενόμην, ἀλλὰ καὶ παρέμεινα τὰς χεῖρας ἀναπεταννὺς καὶ παρακαλῶν, πατρὸς φιλοστόργου καὶ μητρὸς φιλόπαιδος κηδεμονίαν ἐπιδεικνύμενος. Ὅρα πῶς σαφεστάτην τῶν ἔμπροσθεν διαπορηθέντων ἁπάντων τὴν λύσιν ἐπήγαγε, δείξας τῆς γνώμης αὐτῶν τὴν ἀπώλειαν γενομένην, καὶ ὡς πάντοθεν ἀνάξιοι συγγνώμης εἰσί, καὶ ἀκούσαντες καὶ νοήσαντες τὰ λεγόμενα, καὶ οὐδὲ οὕτω βουληθέντες προσελθεῖν.

Καὶ τὸ πολὺ πλεῖον, ὅτι οὐ μόνον ἀκοῦσαι αὐτοὺς ταῦτα ἐποίησεν, οὐδὲ μόνον νοῆσαι, ἀλλὰ καὶ ὃ μείζονα ἰσχὺν ἔχει πρὸς τὸ διεγεῖραι, καὶ φιλονεικοῦντας καὶ ἀντιλέγοντας ἐπισπάσασθαι, καὶ τοῦτο προσέθηκε. Ποῖον δὴ τοῦτο; Τὸ παρακνίσαι αὐτοὺς καὶ παραζηλῶσαι. Ἴστε γὰρ τοῦ πάθους τὴν τυραννίδα, καὶ ὅσην ἔχει τὴν ἰσχὺν τῆς ζηλοτυπίας ἡ φύσις πρὸς τὸ λῦσαι φιλονεικίαν ἅπασαν, καὶ τοὺς ἀναπεπτωκότας διαναστῆσαι. Καὶ τί δεῖ λέγειν ἐπ' ἀνθρώπων τοῦτο, ὅπου γε καὶ ἐπὶ ἀλόγων καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἀώρου τῶν παιδίων πολλὴν τὴν δύναμιν ἐπιδείκνυται; Καὶ γὰρ παιδίον πολλάκις παρακαλούμενον μὲν οὐκ εἶξε τῷ πατρί, ἀλλ' ἔμεινε φιλονεικοῦν· ἑτέρου δὲ θεραπευθέντος παιδίου, καὶ μὴ καλούμενον ἐπανῆλθε πρὸς τοὺς κόλπους τοὺς πατρικούς, καὶ ὅπερ οὐκ ἴσχυσεν ἡ παράκλησις, τοῦτο ἐποίησεν ἡ παραζήλωσις. Τοῦτο τοίνυν καὶ ὁ Θεὸς ἐποίησεν. Οὐ γὰρ παρεκάλεσε μόνον, καὶ τὰς χεῖρας ἐξαπέτασεν, ἀλλὰ καὶ τὸ τῆς ζηλοτυπίας ἐν αὐτοῖς διήγειρε πάθος, τοὺς πολλῷ καταδεεστέρους αὐτῶν, ὃ μάλιστα ποιεῖ παραζήλωσιν, εἰσάγων, οὐκ εἰς τὰ ἐκείνων ἀγαθά, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν καὶ τυραννικώτερον ποιεῖ τὸ πάθος, εἰς τὰ πολλῷ μείζονα ἐκείνων καὶ ἀναγκαιότερα, καὶ ἃ μηδὲ ὄναρ αὐτοί ποτε ἐφαντάσθησαν. Ἀλλ' οὐδὲ οὕτως εἶξαν. Τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι, μετὰ τοσαύτης ὑπερβολῆς τὴν φιλονεικίαν ἐπιδειξάμενοι; Οὐδεμιᾶς.

βρέθηκα. Λοιπόν δέν εἶχαν τίποτε ἐκεῖνοι, λέγει. Καθόλου, ἀλλά τό νά τόν δεχθοῦν ὅταν βρέθηκε καί τό νά τόν γνωρίσουν ὅταν φανερώθηκε, αὐτό τό πρόσφεραν ἀπό τόν ἑαυτό τους. Στή συνέχεια γιά νά μή λέγουν αὐτοί, γιατί λοιπόν δέ φανερώθηκες καί σ' ἐμᾶς; ἀνεφέρει τό περισσότερο ἀπ' αὐτό, ὅτι δέ φανερώθηκα μόνο, ἀλλά καί ἐξακολούθησα ν' ἁπλώνω τά χέρια καί νά παρακαλῶ, δείχνοντας τή φροντίδα φιλόστοργου πατέρα καί μητέρας πού ἀγαπάει τά παιδιά της. Πρόσεχε πῶς πρόσθεσε σαφέστατα τή λύση ὅλων τῶν προηγουμένων ἀποριῶν, ἀποδεικνύοντας ὅτι ἡ καταστροφή ἔγινε ἀπό τή δική τους διάθεση, καί ὅτι ἀπό παντοῦ εἶναι ἀνάξιοι γιά συγγνώμη, γιατί, ἄν καί ἄκουσαν καί κατανόησαν τά λεγόμενα, οὔτε ἔτσι θέλησαν νά προσέλθουν.

Καί τό πολύ περισσότερο, ὅτι ὄχι μόνο τούς ἔκαμε ν' ἀκούσουν αὐτά, οὔτε μόνο νά τά κατανοήσουν, ἀλλά καί ἐκεῖνο πού ἔχει μεγαλύτερη δύναμη νά τούς παρακινήσει καί νά τούς προσελκύσει, παρ' ὅλο πού φιλονεικοῦν καί ἀντιλέγουν, καί αὐτό τό πρόσθεσε. Ποιό λοιπόν εἶναι αὐτό; Τό νά τούς ἐρεθίσει καί νά τούς κινήσει σέ ζηλοτυπία. Γιατί γνωρίζετε τήν τυραννία τοῦ πάθους καί πόση δύναμη ἔχει ἡ φύση τῆς ζηλοτυπίας στό νά διαλύσει ὅλη τή φιλονεικία καί νά σηκώσει ἐκείνους πού ἔχουν πέσει. Καί τί χρειάζεται νά τό λέγω αὐτό γιά τούς ἀνθρώπους, τή στιγμή πού καί στά ζῶα καί στή μικρή ἡλικία τῶν παιδιῶν ἀποδεικνύει πολλή τή δύναμη της; Γιατί πραγματικά πολλές φορές παιδί πού παρακαλοῦνταν δέ ὑποχώρησε στόν πατέρα, ἀλλ' ἔμεινε στή φιλονεικία του, ὅταν ὅμως ἄλλο παιδί συμφιλιώθηκε καί, χωρίς νά καλεῖται, ἐπέστρεψε στίς πατρικές ἀγκάλες, ἐκεῖνο πού δέν τό κατόρθωσε ἡ παράκληση, αὐτό τό ἐπέτυχε ἡ ζηλοτυπία. Αὐτό λοιπόν καί ὁ Θεός ἔκανε. Γιατί δέν παρακάλεσε μόνο καί ἅπλωσε τά χέρια του, ἀλλά καί τό πάθος τῆς ζηλοτυπίας προκάλσεσε σ' αὐτούς, εἰσάγοντας τούς πολύ κατώτερούς τους, πράγμα πού κυρίως δημιουργεῖ ζηλοτυπία, ὄχι στά ἀγαθά ἐκείνων, ἀλλά, πράγμα πού ἦταν πολύ μεγαλύτερο καί κάνει τό πάθος περισσότερο τυραννικό, στά πολύ μεγαλύτερα ἐκείνων καί ἀναγκαιότερα καί πού οὔτε στό ὄνειρό τους τά φαντάσθηκαν αὐτοί ποτέ. 'Αλλ' οὔτε ἔτσι ὑπάκουσαν. Γιά ποιά συγγνώμη λοιπόν μπορεῖ νά εἶναι ἄξιοι, ἀφοῦ ἔδειξαν τόσο ὑπερβολική φιλονεικία; Γιά καμιά.

Ἀλλὰ τοῦτο αὐτὸς μὲν οὐ λέγει, καταλιμπάνει δὲ ἐκ τοῦ συμπεράσματος τῶν εἰρημένων τῷ συνειδότι τῶν ἀκουόντων αὐτὸ συλλογίσασθαι, καὶ πάλιν αὐτὸ διὰ τῶν ἑξῆς κατασκευάζει μετὰ τῆς εἰωθυίας αὐτῷ σοφίας. Ὅπερ γὰρ ἐν τοῖς ἔμπροσθεν ἐποίησεν, ἀντιθέσεις εἰσάγων καὶ ἐπὶ τοῦ νόμου καὶ ἐπὶ τοῦ λαοῦ, μείζονα κατηγορίαν ἐχούσας τῆς οὔσης, εἶτα ἐν τῇ λύσει τῇ ἀνατρεπούσῃ ταύτην τοσαῦτα συγχωρῶν, ὅσα ἐβούλετο, καὶ τὰ πράγματα ἐδίδου, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, οὕτω γράφων· «λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω; μὴ γένοιτο». Καὶ σχῆμα διαποροῦντος εἰσάγει, ὡς ἐκ τῶν εἰρημένων λαβὼν τὴν ἀρχήν, καὶ τὸ φοβερὸν τοῦτο θείς, τῇ ἀναιρέσει αὐτοῦ τὸ μετ' ἐκεῖνο λοιπὸν εὐπαράδεκτον ποιεῖ, ὃ διὰ τῶν ἔμπροσθεν ἁπάντων ἐσπούδασε δεῖξαι, τοῦτο καὶ ἐνταῦθα κατασκευάζων. Ποῖον δὴ τοῦτο; ὅτι κἂν ὀλίγοι ὦσιν οἱ διασεσωσμένοι, τὰ τῆς ἐπαγγελίας ἕστηκε. Διὰ τοῦτο οὐδὲ ἁπλῶς εἶπε, «τὸν λαόν», ἀλλὰ προσέθηκεν, «ὃν προέγνω».

Εἶτα ἐπάγων ἀπόδειξιν τοῦ μὴ ἀπῶσθαι τὸν λαόν, φησί· «καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν». Ἐγώ, φησίν, ὁ διδάσκαλος, ὁ κήρυξ. Ἐπεὶ οὖν ἐδόκει τοῦτο ἐναντίον εἶναι τοῖς ἔμπροσθεν εἰρημένοις τοῖς λέγουσι, «τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;» καί, «ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα»· καί, «παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει»· οὐκ ἠρκέσθη τῇ ἀπαγορεύσει, οὐδὲ τῷ εἰπεῖν, «μὴ γένοιτο», ἀλλὰ καὶ κατασκευάζει αὐτὸ πάλιν ἀναλαμβάνων καὶ λέγων, «οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ». Ἀλλὰ τοῦτο οὐκ ἔστι κατασκευή, φησίν, ἀλλ' ἀπόφασις. Ὅρα οὖν τὴν κατασκευὴν τήν τε προτέραν καὶ τὴν μετ' ἐκείνην. Προτέρα μὲν γάρ ἐστι τὸ δεῖξαι ὅτι αὐτὸς ἐκεῖθεν ἦν· οὐκ ἂν δέ, εἰ ἀπωθεῖσθαι αὐτοὺς ἔμελλεν, ᾧ τὸ κήρυγμα ἅπαν καὶ τὰ πράγματα τῆς οἰκουμένης ἐνεπίστευσε, καὶ τὰ μυστήρια πάντα, καὶ τὴν οἰκονομίαν ὅλην, τοῦτον ἐκεῖθεν ἂν ἐξελέξατο. Αὕτη μὲν οὖν μία κατασκευή· δευτέρα δὲ μετ' ἐκείνην, τὸ εἰπεῖν, «τὸν λαόν, ὃν προέγνω»· τουτέστιν, ὃν ᾔδει σαφῶς ἐπιτήδειον ὄντα καὶ τὴν πίστιν δεξόμενον· καὶ γὰρ τρισ-

Καί αὐτό βέβαια δέν τό λέγει αὐτός, ἀλλ' ἀφήνει στό συνετό ἀκροατή νά τό συλλογισθεῖ ἀπό τό συμπέρασμα αὐτῶν πού λέχθηκαν, καί πάλι μέ τά ἑπόμενα τό ἀποδεικνύει μέ τή συνηθισμένη σ' αὐτόν σοφία. Γιατί, ὅπως ἔκαμε στά προηγούμενα, παρουσιάζοντας ἀντιθέσεις καί γιά τό νόμο καί γιά τό λαό, πού εἶχαν μεγαλύτερη κατηγορία ἀπό τήν πραγματική, ἔπειτα στή λύση πού τήν ἀνέτρεπε συγχωρώντας τόσα, ὅσα ἤθελε, καί τά πράγματα παραχωροῦσε, ὥστε νά μήν κάνει ἐνοχλητικό τό λόγο, αὐτό καί ἐδῶ κάνει, γράφοντας αὐτά· «ἐρωτῶ λοιπόν· Μήπως ὁ Θεός ἔδιωξε μακριά του τό λαό του, πού προγνώρισε; Μακριά μιά τέτοια σκέψη». Καί παρουσιάζει ὕφος ἀνθρώπου πού ἔχει ἀπορία, παίρνοντας τήν ἀφορμή ἀπ' αὐτά πού λέχθηκαν, καί ἀφοῦ ἀνέφερε τό φοβερό αὐτό, τό κάνει κατά τήν ἀναίρεσή του στή συνέχεια εὐπρόσδεκτο, καί πράγμα πού προσπαθοῦσε νά δείξει μέ ὅλα τά προηγούμενα, αὐτό τό ἀποδεικνύει ἐδῶ. Ποιό λοιπόν εἶναι αὐτό; Ὅτι,καί ἄν ἀκόμη λίγοι εἶναι ἐκεῖνοι πού ἔχουν σωθεῖ, ἡ ὑπόσχεση ἔχει πραγματοποιηθεῖ. Γι' αὐτό δέν εἶπε ἁπλῶς, «τό λαό», ἀλλά πρόσθεσε, «πού προγνώρισε».

Ἔπειτα προσθέτοντας ἀπόδειξη γιά τό ὅτι δέν ἀπώθησε μακριά του τό λαό, λέγει· «γιατί καί ἐγώ εἶμαι Ἰσραηλίτης, ἀπό τούς ἀπογόνους τοῦ Ἀβραάμ, ἀπό τή φυλή τοῦ Βενιαμίν». Ἐγώ, λέγει, ὁ διδάσκαλος, ὁ κήρυκας. Ἐπειδή λοιπόν φαινόταν νά εἶναι ἀντίθετο αὐτό σ' ἐκεῖνα πού λέχθηκαν προηγουμένως σ' αὐτούς πού ἔλεγαν, «ποιός πίστεψε στό κήρυγμά μας;» καί «ὅλη τήν ἡμέρα ἅπλωσα τά χέρια μου σέ λαό, πού δέν ὑπακούει καί ἀντιλέγει», καί «θά κεντήσω τή ζηλοτυπία σας μέ ἔθνος πού δέν τό λογαριάζετε γιά ἔθνος», δέν ἀρκέσθηκε στήν ἀπαγόρευση, οὔτε στό νά πεῖ «μακριά μιά τέτοια σκέψη», ἀλλά καί τό ἀποδεικνύει ἐπαναλαμβάνοντας αὐτό πάλι καί λέγοντας, «δέν ἀπώθησε μακριά του ὁ Θεός τό λαό του». Ἀλλά αὐτό, λέγει, δέν εἶναι ἀπόδειξη, ἀλλ' ἀπάντηση. Πρόσεχε λοιπόν καί τήν προηγούμενη ἀπόδειξη καί τήν ἑπόμενη. Γιατί ἡ προηγούμενη εἶναι τό νά δείξει ὅτι αὐτός καταγόταν ἀπό ἐκεῖ. Δέ θά γινόταν ὅμως αὐτό, ἄν συνέβαινε νά τούς ἀπωθήσει μακριά, δέ θά διάλεγε δηλαδή ἀπό ἐκεῖ αὐτόν, στόν ὁποῖον ἐμπιστεύτηκε ὅλο τό κήρυγμα καί τά πράγματα τῆς οἰκουμένης καθώς καί ὅλα τά μυστήρια καί ὅλη τήν οἰκονομία. Αὐτή λοιπόν εἶναι ἡ πρώτη ἀπόδειξη, ἐνῶ ἡ δεύτερη ὕστερα ἀπ' αὐτήν, τό νά πεῖ, «τό λαό, πού προγνώρισε»,

χίλιοι καὶ πεντακισχίλιοι καὶ μυρίοι ἐξ ἐκείνων ἦσαν πιστεύσαντες.

Ἵνα γὰρ μὴ λέγῃ τις, σὺ οὖν ὁ λαὸς εἶ; καὶ ἐπειδὴ σὺ ἐκλήθης, τὸ ἔθνος ἐκλήθη; ἐπήγαγεν, «οὐκ ἀπώσατο τὸν λαόν, ὃν προέγνω». Ὡς ἂν εἰ ἔλεγεν, ἔχω μετ' ἐμοῦ τρισχιλίους, ἔχω πεντακισχιλίους, ἔχω μυρίους. Τί οὖν; οὗτος λαός; καὶ εἰς τρισχιλίους καὶ πεντακισχιλίους καὶ μυρίους περιέστη τὸ σπέρμα ἐκεῖνο τὸ μιμούμενον τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ τὴν ἄμμον τὴν θαλαττίαν; καὶ οὕτως ἡμᾶς ἀπατᾷς καὶ παραλογίζῃ, τὸν λαὸν ἅπαντα σαυτὸν τιθείς, καὶ τοὺς ὀλίγους τοὺς μετὰ σοῦ; καὶ κεναῖς ἡμᾶς ἐφύσησας ἐλπίσι, τὴν ἐπαγγελίαν πεπληρῶσθαι λέγων, πάντων ἀπολομένων, καὶ εἰς ὀλίγους τῆς σωτηρίας περιστάσης; Κόμπος ταῦτα καὶ τῦφος, καὶ οὐκ ἂν ἀνασχοίμεθα τῶν σοφισμάτων τούτων. Ἵν' οὖν μὴ ταῦτα λέγωσιν, ὅρα πῶς διὰ τῶν ἑξῆς τὴν λύσιν ἐπάγει, τὴν μὲν ἀντίθεσιν οὐ θείς, πρὸ δὲ τῆς ἀντιθέσεως τὴν λύσιν αὐτῆς ἀπὸ παλαιᾶς ἱστορίας κατασκευάζων.

5. Τίς οὖν ἡ λύσις; «Οὐκ οἴδατε ἐν Ἠλίᾳ», φησί, «τί λέγει ἡ Γραφή; ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ; Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαόν· εἰ γὰρ ἀπώσατο, οὐδένα ἂν ἐδέξατο· εἰ δὲ ἐδέξατό τινας, οὐκ ἀπώσατο. Καὶ μήν, φησίν, εἰ μὴ ἀπώσατο, πάντας ἂν ἐδέξατο. Οὐδαμῶς. Καὶ γὰρ ἐπὶ Ἠλία ἐν ἑπτακισχιλίοις περιέστη τὰ τῆς σωτηρίας· καὶ νῦν δὲ εἰκὸς πολλοὺς εἶναι τοὺς πεπιστευκότας. Εἰ δὲ ἀγνοεῖτε ὑμεῖς, θαυμαστὸν οὐδέν, ἐπεὶ καὶ ὁ

δηλαδή, πού γνώριζε καλά ὅτι εἶναι ἱκανός καί ὅτι θά δεχθεῖ τήν πίστη. Γιατί ἀπό ἐκείνους πίστεψαν καί τρεῖς χιλιάδες καί πέντε χιλιάδες καί ἀμέτρητες χιλιάδες.

Γιά νά μή λέγει κάποιος, ἐσύ λοιπόν εἶσαι ὁ λαός; καί ἐπειδή κλήθηκες ἐσύ, κλήθηκε τό ἔθνος; πρόσθεσε, «δέν ἀπώθησε μακριά του τό λαό, πού προγνώρισε». Σάν νά ἔλεγε, ἔχω μαζί μου τρεῖς χιλιάδες, ἔχω πέντε χιλιάδες, ἔχω δέκα χιλιάδες. Τί λοιπόν; αὐτός εἶναι ὁ λαός; καί σέ τρεῖς χιλιάδες καί πέντες χιλιάδες καί σέ δέκα χιλιάδες περιορίσθηκαν οἱ ἀπόγονοι ἐκεῖνοι, πού εἶναι ὅμοιοι στό πλῆθος μέ τά ἄστρα τοῦ οὐρανοῦ καί τήν ἄμμο τῆς θάλασσας; τόσο πολύ μᾶς παραπλανᾶς καί μᾶς ἐξαπατᾶς, κάνοντας ὁλόκληρο λαό τόν ἑαυτό σου καί τούς λίγους πού εἶναι μαζί σου; καί μᾶς γέμισες μέ κούφιες ἐλπίδες, λέγοντας ὅτι ἐκπληρώθηκε ἡ ὑπόσχεση, ἐνῶ ὅλοι χάθηκαν καί ἡ σωτηρία περιορίσθηκε σέ λίγους; Αὐτα εἶναι μεγάλη καύχηση καί ἀλαζονεία καί δέν μποροῦμε νά τ' ἀνεχθοῦμε τέτοια σοφίσματα. Γιά νά μή λέγουν λοιπόν αὐτά, πρόσεχε πῶς μέ τά ἑπόμενα προσθέτει τή λύση, χωρίς ν' ἀναφέρει τήν ἀντίθεση, ἀλλ' ἀποδεικνύοντας πρίν ἀπό τήν ἀντίθεση τή λύση της ἀπό κάποια παλιά ἱστορία.

5. Ποιά λοιπόν εἶναι ἡ λύση; «Δέν ξέρετε», λέγει, «τί λέγει ἡ Γραφή γιά τόν Ἠλία; πῶς προσεύχεται στό Θεό ἐναντίον τοῦ Ἰσραηλιτικοῦ λαοῦ; Κύριε, τούς προφῆτες σου θανάτωσαν, τά θυσιαστήριά σου κατέστρεψαν· καί ἐγώ ἔμεινα μόνος καί ζητοῦν τή ζωή μου». Ἀλλά τί τοῦ λέγει ἡ ἀπάντηση τοῦ Θεοῦ; «Ἄφησα γιά τον ἑαυτό μου ἑπτά χιλιάδες ἄνδρες, πού δέ γονάτισαν νά προσκυνήσουν τόν Βάαλ. Ἔτσι λοιπόν καί στή σημερινή ἐποχή ὑπάρχει ὑπόλοιπό πού διάλεξε ἡ χάρη τοῦ Θεοῦ». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· δέν ἀπώθησε μακριά του ὁ Θεός τό λαό· γιατί, ἄν τόν ἀπωθοῦσε, δέ θά δεχόταν κανέναν· ἀφοῦ ὅμως δέχθηκε μερικούς, δέν τόν ἀπώθησε μακριά. Καί ὅμως, λέγει, ἄν δέν τόν ἀπωθοῦσε μακριά του, θά τούς δεχόταν ὅλους. Καθόλου. Γιατί καί στήν ἐποχή τοῦ Ἠλία ἡ σωτηρία περιορίσθηκε σέ ἑπτά χιλιάδες ἄνδρες, καί σήμερα εἶναι φυσικό νά εἶναι πολλοί ἐκεῖνοι πού ἔχουν πιστέψει. Ἐάν ὅμως ἀγνοεῖτε ἐσεῖς, δέν εἶναι καθόλου παράδοξο, ἀφοῦ καί ὁ προφήτης ἐκεῖνος, αὐτός ὁ μεγάλος καί σπουδαῖος ἄνδρας, τό ἀγνοοῦσε. Ἀλλ'

προφήτης ἐκεῖνος, ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνήρ, ἠγνόει· ἀλλ' ὁ Θεὸς ᾠκονόμει τὰ ἑαυτοῦ, καὶ τοῦ προφήτου ἀγνοοῦντος.

Σκόπει δὲ αὐτοῦ σύνεσιν, πῶς ἐν τῷ κατασκευάζειν τὸ προκείμενον, λανθανόντως τὴν κατηγορίαν αὐτῶν αὔξει. Διὰ γὰρ τοῦτο καὶ πάσης ἐμνήσθη τῆς μαρτυρίας, ἵνα αὐτῶν ἐκπομπεύσῃ τὴν ἀγνωμοσύνην, καὶ δείξῃ τοιούτους ἄνωθεν ὄντας. Εἰ γὰρ μὴ τοῦτο ἤθελεν, ἀλλ' ἓν μόνον δεῖξαι ἐσπούδαζεν, ὅτι ἐν τοῖς ὀλίγοις ὁ λαός, εἶπεν ἄν, ὅτι καὶ ἐπὶ Ἠλία ἑπτακισχίλιοι ὑπελείφθησαν· νυνὶ δὲ ἄνωθεν ἀναγινώσκει τὴν μαρτυρίαν ἅπασαν. Πανταχοῦ γὰρ ἐσπούδακε δεῖξαι οὐδὲν ξένον ποιήσαντας ἐπὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων, ἀλλὰ τὰ συνήθη καὶ μεμελετημένα. Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι ὡς πλάνον ἀνείλομεν τὸν Χριστόν, καὶ ὡς ἀπατεῶνας διώκομεν τοὺς ἀποστόλους, παράγει τὴν μαρτυρίαν τὴν λέγουσαν· «Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν». Εἶτα, ὥστε μὴ ποιῆσαι τὸν λόγον ἐπαχθῆ, ἑτέραν τῇ τῆς μαρτυρίας παραγωγῇ περιτίθησιν αἰτίαν. Οὐ γὰρ ὡς προηγουμένως αὐτῶν κατηγορῆσαι βουλόμενος παράγει, ἀλλ' ὡς ἕτερά τινα ἀποδεῖξαι σπουδάζων· καὶ ἀποστερεῖ πάσης αὐτοὺς συγγνώμης καὶ ἀπὸ τῶν ἔμπροσθεν γεγενημένων.

Ὅρα γὰρ πῶς ἐπιτεταμένη ἡ κατηγορία καὶ ἀπὸ τοῦ προσώπου γίνεται. Οὐδὲ γὰρ Παῦλός ἐστιν ὁ κατηγορῶν, οὐδὲ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, ἀλλ' ὁ μάλιστα πάντων παρ' αὐτοῖς θαυμασθείς, τῶν προφητῶν τὸ κεφάλαιον, ὁ τῷ Θεῷ φίλος, ὁ ὑπὲρ αὐτῶν οὕτω ζηλώσας, ὡς καὶ λιμῷ παραδοθῆναι, ὁ μέχρι σήμερον μηδέπω τετελευτηκώς. Τί οὖν οὗτός φησι; «Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ ὑπελείφθην ἐγὼ μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου». Τί τῆς θηριωδίας ταύτης χεῖρον γένοιτ' ἄν; Δέον γὰρ παρακαλεῖν ὑπὲρ τῶν ἤδη πλημμεληθέντων, οἱ δὲ καὶ αὐτὸν ἐβούλοντο ἀνελεῖν. Ἅπερ ἅπαντα πάσης ἀπεστέρει συγγνώμης αὐτούς. Οὐδὲ γὰρ τοῦ λιμοῦ κρατοῦντος, ἀλλὰ τῆς εὐετηρίας γενομένης, καὶ τῆς αἰσχύνης λυθείσης, καὶ τῶν δαιμόνων καταισχυνθέντων, καὶ τῆς τοῦ Θεοῦ δειχθείσης δυνάμεως, καὶ τοῦ βασιλέως ὑποκύψαντος, ἐτόλμων ταῦτα ἐκεῖνοι,

ὁ Θεός οἰκονομοῦσε τά δικά του, παρ' ὅλο πού ὁ προφήτης τά ἀγνοοῦσε.

Πρόσεχε ὅμως τή σύνεσή του, πῶς, στήν προσπάθειά του ν' ἀποδείξει αὐτό, μεγαλώνει κρυφά τήν κατηγορία ἐναντίον τους. Γι' αὐτό βέβαια ἀνέφερε καί ὅλη τή μαρτυρία, γιά νά διαπομπεύσει τήν ἀχαριστία τους καί νά δείξει ὅτι ἀπό τήν ἀρχή ἦταν τέτοιοι. Γιατί, ἄν δέν ἤθελε αὐτό, ἀλλά προσπαθοῦσε νά δείξει ἕνα μόνο, ὅτι δηλαδή ὁ λαός εἶναι στούς λίγους, θά ἔλεγε, ὅτι καί στήν ἐποχή τοῦ Ἠλία ἀπέμειναν ἑπτά χιλιάδες, ἐνῶ τώρα ἀναγινώσκει ἀπό τήν ἀρχή ὁλόκληρη τή μαρτυρία. Γιατί παντοῦ προσπαθοῦσε νά δείξει ὅτι δέν ἔκαμαν τίποτε τό πρωτάκουστο στό Χριστό καί τούς ἀποστόλους, ἀλλά τά συνηθισμένα καί τά γνωστά. Γιά νά μή λέγουν λοιπόν, ὅτι σάν πλάνο θανατώσαμε τό Χριστό καί σάν ἀπατεῶνες καταδιώκουμε τούς ἀποστόλους, παρουσιάζει τή μαρτυρία πού λέγει· «Κύριε, τούς προφῆτες σου θανάτωσαν καί τά θυσιαστήριά σου κατέστρεψαν». Στή συνέχεια, γιά νά μήν κάνει τό λόγο ἐνοχλητικό, ἀναφέρει μαζί μέ τήν παρουσίαση τῆς μαρτυρίας καί ἄλλη αἰτία. Γιατί δέν τήν παρουσιάζει ἐπειδή ἤθελε ἀπό πρίν νά τούς κατηγορήσει, ἀλλ' ἐπειδή προσπαθοῦσε ν' ἀποδείξει κάποια ἄλλα. Καί τούς στερεῖ κάθε συγγνώμη καί ἀπό ἐκεῖνα πού εἶχαν γίνει προηγουμένως.

Πρόσεχε λοιπόν πῶς ἡ κατηγορία γίνεται πολύ μεγάλη καί ἀπό τό πρόσωπο. Γιατί οὔτε ὁ Παῦλος εἶναι ὁ κατήγορος, οὔτε ὁ Πέτρος καί ὁ Ἰάκωβος καί ὁ Ἰωάννης, ἀλλ' ἐκεῖνος πού πιό πολύ ἀπ' ὅλους θαυμάσθηκε ἀπ' αὐτούς, ἡ κορυφή τῶν προφητῶν, ὁ φίλος τοῦ Θεοῦ, αὐτός πού γιά τή σωτηρία τους ἀγωνίσθηκε ἔτσι, ὥστε καί στήν πείνα νά παραδοθεῖ, αὐτός πού μέχρι σήμερα δέν ἔχει πεθάνει ἀκόμη. Τί λοιπόν λέγει αὐτός; «Κύριε, τούς προφῆτες σου θανάτωσαν, τά θυσιαστήριά σου κατέστρεψαν, καί ἔμεινα ἐγώ μόνος καί ζητοῦν τή ζωή μου». Τί μπορεῖ νά ὑπάρξει χειρότερο ἀπό τή θηριωδία αὐτή; Γιατί, ἐνῶ ἔπρεπε νά παρακαλοῦν γιά τίς ἁμαρτίες πού ἤδη ἔκαναν, αὐτοί ὅμως ἤθελαν καί αὐτόν νά θανατώσουν. Αὐτά ἀκριβῶς ὅλα τούς στεροῦσαν ἀπό κάθε συγγνώμη. Γιατί ὄχι ὅταν ἐπικρατοῦσε ἡ πείνα, ἀλλ' ὅταν ἦρθε ἡ εὐημερία, καί διαλύθηκε ἡ ντροπή, καί καταντροπιάσθηκαν οἱ δαίμονες, καί ἀποδείχθηκε

ἀπὸ φόνων εἰς φόνους μεταβαίνοντες, καὶ τοὺς διδασκάλους καὶ διορθοῦντας αὐτῶν τὴν γνώμην ἀναιροῦντες. Τί γὰρ ἂν ἔχοιεν εἰπεῖν; μὴ καὶ ἐκεῖνοι πλάνοι; μὴ καὶ ἐκεῖνοι ἀπατεῶνες; μὴ καὶ ἐκείνους οὐκ ᾔδεσαν πόθεν ἦσαν; Ἀλλὰ ἐλύπουν ὑμᾶς; Ἀλλὰ καὶ χρηστὰ ἔλεγον. Τί δὲ τὰ θυσιαστήρια; μὴ καὶ τὰ θυσιαστήρια ἐλύπει; μὴ καὶ αὐτὰ παρώξυνεν;

Ὁρᾷς πόσης φιλονεικίας, πόσης ὕβρεως ἐξήνεγκαν ἀεὶ δείγματα; διὰ τοῦτο καὶ ἀλλαχοῦ φησιν ὁ Παῦλος, Θεσσαλονικεῦσι γράφων· «τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων». Ὅπερ οὖν καὶ ἐνταῦθά φησιν, ὅτι καὶ τὰ θυσιαστήρια κατέσκαψαν, καὶ τοὺς προφήτας ἀνεῖλον. «Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ». Τί οὖν ἐκεῖνα πρὸς τὰ παρόντα, φησί; Καὶ σφόδρα μὲν οὖν πρὸς τὰ παρόντα. Δείκνυται γὰρ ἐντεῦθεν, ὅτι τοὺς ἀξίους ὁ Θεὸς ἀεὶ σώζειν εἴωθε, κἂν πρὸς ἅπαν τὸ ἔθνος ἡ ἐπαγγελία κειμένη ᾖ. Καὶ τοῦτο ἔδειξεν ἄνωθεν δι' ὧν ἔλεγεν· «ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται»· καί, «εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν». Δείκνυσι δὲ καὶ ἐντεῦθεν· διὸ καὶ ἐπάγει λέγων· «οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν».

Ὅρα ἑκάστην λέξιν τὴν οἰκείαν εὐγένειαν διασώζουσαν, καὶ τὴν τοῦ Θεοῦ χάριν καὶ τὴν τῶν σωζομένων εὐγνωμοσύνην ἐμφαίνουσαν. Τῷ μὲν γὰρ εἰπεῖν, «ἐκλογήν», ἔδειξεν ἐκείνων τὴν δοκιμήν, τῷ δὲ εἰπεῖν, «χάριτος», ἔδειξε τοῦ Θεοῦ τὴν δωρεάν. «Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι ἐστὶ χάρις. Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον». Πάλιν ἐπιπηδᾷ τῇ φιλονεικίᾳ τῶν Ἰουδαίων, μετὰ τῶν εἰρημένων καὶ ἐντεῦθεν αὐτοὺς ἀποστερῶν συγγνώμης. Οὐδὲ γὰρ ἔχετε, φησίν, εἰ-

6. Α' Θεσ. 2, 14. 15. 7. Ρωμ. 9, 27. 29.

ἡ δύναμη τοῦ Θεοῦ, καί ὑπέκυψε ὁ βασιλιάς, τολμοῦσαν αὐτά ἐκεῖνοι, προχωρώντας ἀπό φόνους σέ φόνους καί θανατώνοντας τούς διδασκάλους καί ἐκείνους πού διόρθωναν τή γνώμη τους. Τί λοιπόν θά μποροῦσαν νά ποῦν; Μήπως καί ἐκεῖνοι ἦταν πλάνοι; μήπως καί ἐκεῖνοι ἦταν ἀπατεῶνες; μήπως δέν ἤξεραν ἀπό ποῦ κατάγονταν καί ἐκεῖνοι; μήπως σᾶς στενοχωροῦσαν; Ἀλλά καί καλά ἔλεγαν. Καί τά θυσιαστήρια γιατί; μήπως καί αὐτά σᾶς στενοχωροῦσαν;

Βλέπεις πόσο μεγάλης φιλονεικίας, πόσο μεγάλης ὕβρεως δείγματα φανέρωναν πάντοτε; Γι' αὐτό καί ἀλλοῦ λέγει ὁ Παῦλος, ὅταν ἔγραφε στούς Θεσσαλονικεῖς· «τά ἴδια πάθατε καί σεῖς ἀπό τούς ὁμοεθνεῖς σας, καθώς καί ἐκεῖνοι ἀπό τούς Ἰουδαίους, οἱ ὁποῖοι καί τόν Κύριο καί τούς προφῆτες τους θανάτωσαν, καί ἐμᾶς καταδίωξαν, καί στό Θεό δέν εἶναι ἀρεστοί καί εἶναι ἀντίθετοι σ' ὅλους τούς ἀνθρώπους»[6]. Αὐτό ἀκριβῶς καί ἐδῶ λέγει, ὅτι καί τά θυσιαστήρια κατέστρεψαν καί τούς προφῆτες θανάτωσαν. «Ἀλλά τί τοῦ λέγει ἡ ἀπάντηση τοῦ Θεοῦ; Ἄφησα γιά τόν ἑαυτό μου ἑπτά χιλιάδες ἄνδρες, οἱ ὁποῖοι δέ γονάτισαν νά προσκυνήσουν τόν Βάαλ». Ποιά σχέση, λέγει, ἔχουν ἐκεῖνα πρός τά παρόντα; Ἔχουν σχέση πρός τά παρόντα καί μάλιστα πολύ μεγάλη. Γιατί ἀποδεικνύεται ἀπό ἐδῶ, ὅτι ὁ Θεός συνηθίζει πάντοτε νά σώζει τούς ἄξιους, ἔστω καί ἄν ἡ ὑπόσχεση ὑπάρχει γιά ὅλο τό ἔθνος. Καί αὐτό τό ἔδειξε ἀπό τήν ἀρχή μέ ὅσα ἔλεγε· «ἐάν οἱ ἀπόγονοι τοῦ Ἰσραήλ εἶναι ἀναρίθμητοι σάν τήν ἄμμο τῆς θάλασσας, μόνο ἕνα ὑπόλοιπο θά σωθεῖ», καί «ἐάν ὁ Κύριος ὁ Σαβαώθ δέ μᾶς ἄφηνε ἀπογόνους, θά εἴχαμε γίνει σάν τά Σόδομα»[7]. Τό δείχνει ὅμως καί ἀπό ἐδῶ. Γι' αὐτό καί προσθέτει λέγοντας· «ἔτσι καί στή σημερινή ἐποχή ὑπάρχει ὑπόλοιπο πού διάλεξε ἡ χάρη τοῦ Θεοῦ».

Πρόσεχε τήν κάθε λέξη πού διασώζει τή δική της εὐγένεια καί φανερώνει τή χάρη τοῦ Θεοῦ καί τήν εὐγνωμοσύνη ἐκείνων πού σώζονται. Γιατί μέ τό νά πεῖ, «ἐκλογή», ἔδειξε τή δική τους δοκιμή, ἐνῶ μέ τό νά πεῖ, «χάριτος», ἔδειξε τή δωρεά τοῦ Θεοῦ. «Ἀλλ' ἐάν αὐτό ἔγινε κατά χάρη, τότε δέ βασίζεται σέ ἔργα, γιατί διαφορετικά ἡ χάρη δέν εἶναι πιά χάρη. Ἐάν ὅμως ἔγινε ἀπό τά ἔργα, δέν ὑπάρχει πιά χάρη, γιατί ἀλλιῶς τό ἔργο δέν εἶναι πιά ἔργο». Πάλι στρέφεται πρός τή φιλονεικία τῶν Ἰουδαίων, στερώντας αὐτούς μαζί μ'

πεῖν, ὅτι προφῆται μὲν ἐκάλουν, καὶ ὁ Θεὸς παρεκάλει, καὶ τὰ πράγματα ἐβόα, καὶ ἡ παραζήλωσις ἱκανὴ ἡμᾶς ἐπισπάσασθαι ἦν· φορτικὰ δὲ τὰ ἐπιταττόμενα, καὶ διὰ τοῦτο οὐκ ἠδυνήθημεν προσελθεῖν, ἐπειδὴ ἔργων ἐπίδειξιν ἀπητούμεθα καὶ κατορθώματα ἐπίπονα· οὐδὲ γὰρ τοῦτο ἔστιν εἰπεῖν. Πῶς γὰρ ἂν ταῦτα ἀπήτησεν ὁ Θεὸς παρ' ὑμῶν, ὁπότε καὶ τὴν χάριν αὐτοῦ τοῦτο ἐπισκιάζειν ἔμελλε;

Ταῦτα δὲ εἶπε, βουλόμενος ἐνδείξασθαι ὅτι σφόδρα ἐβούλετο αὐτοὺς σωθῆναι. Οὐδὲ γὰρ ἡ σωτηρία αὐτοῖς προεχώρει μόνον εὐκόλως, ἀλλὰ καὶ τῷ Θεῷ δόξα μεγίστη ἦν, τὸ τὴν φιλανθρωπίαν ἐπιδείξασθαι τὴν ἑαυτοῦ. Τί τοίνυν ἐφοβήθης προσελθεῖν, οὐκ ἀπαιτούμενος ἔργα; τί δὲ στασιάζεις καὶ φιλονεικεῖς, χάριτος προκειμένης, καὶ νόμον μοι προβάλλῃ εἰκῇ καὶ μάτην; Οὔτε γὰρ ἐκεῖθεν σωθήσῃ, καὶ ταύτην λυμαίνῃ τὴν δωρεάν. Εἰ γὰρ φιλονεικεῖς ἐκεῖθεν σώζεσθαι, ἀναιρεῖς τοῦ Θεοῦ τὴν χάριν ταύτην. Εἶτα, ἵνα μὴ νομίσωσι τοῦτο ξένον εἶναι, προλαβὼν καὶ τοὺς ἑπτακισχιλίους ἐκείνους ἀπὸ χάριτος ἔφη σεσῶσθαι. Ὅταν γὰρ εἴπῃ, ὅτι «οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονε», δείκνυσιν ὅτι καὶ ἐκεῖνοι χάριτι ἐσώθησαν. Καὶ οὐ τούτῳ μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν, «κατέλιπον ἐμαυτῷ»· τοῦτο γὰρ ἐμφαίνοντός ἐστιν, ὅτι τὸ πλέον αὐτὸς εἰσήνεγκε.

Καὶ εἰ χάριτι, φησίν, διὰ τί μὴ πάντες ἐσωζόμεθα; Ὅτι μὴ βούλεσθε. Ἡ γὰρ χάρις, κἂν χάρις ᾖ, τοὺς ἐθέλοντας σώζει, οὐ τοὺς μὴ βουλομένους καὶ ἀποστρεφομένους αὐτήν, καὶ πολεμοῦντας αὐτῇ διηνεκῶς καὶ ἐναντιουμένους. Εἶδες πῶς δι' ὅλου ἐκεῖνο κατασκευάζει, τό, «οὐχ οἷον δέ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ», δεικνὺς ὅτι εἰς τοὺς ἀξίους ἦλθεν ἡ ἐπαγγελία, καὶ ὅτι οὗτοι, εἰ καὶ ὀλίγοι εἰσί, δύνανται εἶναι λαὸς τοῦ Θεοῦ; Καίτοι γε ἐν προοιμίοις τῆς ἐπιστολῆς μετὰ πλείονος αὐτὸ ὑπερβολῆς τέθεικεν εἰπών, «τί γὰρ εἰ ἠπίστησάν τινες;», καὶ μηδὲ μέχρι τούτου στάς, ἀλλὰ ἐπαγαγών, γινέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος

8. Ρωμ. 9,

αὐτά πού λέχθηκαν καί ἀπό ἐδῶ τή συγγνώμη. Γιατί δέν μπορεῖτε, λέγει, νά πεῖτε, ὅτι οἱ προφῆτες βέβαια καλοῦσαν καί ὁ Θεός παρακαλοῦσε καί τά πράγματα φώναζαν καί ἡ παρακίνηση σέ ζηλοτυπία ἦταν ἀρκετή νά μᾶς προσελκύσει, οἱ ἐντολές ὅμως ἦταν ἐνοχλητικές, καί γι' αὐτό δέν μπορέσαμε νά προσέλθουμε, ἐπειδή μᾶς ζητοῦσαν ἐπίδειξη ἔργων καί κουραστικά κατορθώματα· οὔτε αὐτό λοιπόν μπορεῖτε νά πεῖτε. Γιατί πῶς θ' ἀπαιτοῦσε αὐτά ἀπό σᾶς ὁ Θεός, τή στιγμή πού αὐτό θά ἐπισκίαζε καί τή δική του χάρη;

Ἀλλ' αὐτά τά εἶπε, ἐπειδή ἤθελε νά φανερώσει, πώς ἤθελε πάρα πολύ νά σωθοῦν αὐτοί. Γιατί οὔτε ἡ σωτηρία σ' αὐτούς προχωροῦσε μόνο εὔκολα, ἀλλά καί στό Θεό μέγιστη δόξα ἦταν, τό νά φανερώσει τή δική του φιλανθρωπία. Γιατί λοιπόν φοβήθηκες νά προσέλθεις, ἀφοῦ δέν ἀπαιτοῦσε ἔργα ἀπό σένα; Καί γιατί ἐπαναστατεῖς καί φιλονεικεῖς, ὅταν ὑπάρχει ἡ χάρη, καί μοῦ προβάλλεις τό νόμο στά χαμένα καί χωρίς λόγο; Γιατί οὔτε θά σωθεῖς ἀπό ἐκεῖ, ἀλλά καί βλάπτεις αὐτή τή δωρεά. Ἐάν λοιπόν ἐπιμένεις ὅτι ἀπό ἐκεῖ σώζεσαι, καταστρέφεις αὐτή τή χάρη τοῦ Θεοῦ. Στή συνέχεια, γιά νά μή νομίσουν ὅτι αὐτό εἶναι παράξενο, προκαταβολικά εἶπε ὅτι καί οἱ ἑπτά χιλιάδες ἐκεῖνοι ἔχουν σωθεῖ ἀπό τή χάρη. Γιατί ὅταν λέγει, «ἔτσι καί στή σημερινή ἐποχή ὑπάρχει ὑπόλοιπο πού διάλεξε ἡ χάρη τοῦ Θεοῦ», δείχνει ὅτι καί ἐκεῖνοι σώθηκαν κατά χάρη. Καί ὄχι μόνο μ' αὐτό, ἀλλά καί μέ τό νά πεῖ, «ἄφησα γιά τόν ἑαυτό μου»· γιατί αὐτό φανερώνει, ὅτι δηλαδή τό περισσότερο αὐτός τό πρόσφερε.

Καί ἄν αὐτό ἔγινε κατά χάρη, λέγει, γιατί δέ σωζόμαστε ὅλοι; Ἐπειδή δέ θέλετε. Γιατί ἡ χάρη, παρ' ὅλο πού εἶναι χάρη, σώζει ἐκείνους πού θέλουν, ὄχι ἐκείνους πού δέ θέλουν καί τήν ἀποστρέφονται, καί πού τήν πολεμοῦν πάντοτε καί ἐναντιώνονται σ' αὐτήν. Εἶδες πῶς μέ ὅλα αὐτό ἀποδεικνύει τό, «αὐτό ὅμως δέ σημαίνει ὅτι ἀποδείχθηκε ψεύτικος ὁ λόγος τοῦ Θεοῦ»[8]; Γιά νά δείξει ὅτι στούς ἄξιους ἦρθε ἡ ὑπόσχεση καί ὅτι αὐτοί, ἄν καί εἶναι λίγοι, μπορεῖ νά εἶναι λαός τοῦ Θεοῦ. Ἄν καί βέβαια στήν ἀρχή τῆς ἐπιστολῆς τό ἀνέφερε αὐτό μέ περισσότερη ὑπερβολή λέγοντας, «γιατί τί σημασία ἔχει ἄν μερικοί δέν πίστεψαν;», χωρίς νά σταματήσει μέχρις ἐδῶ, ἀλλά προσθέτοντας, «ἄς γίνει ὅμως ὁ Θεός ἀληθινός, καί κάθε

ψεύστης». Καὶ νῦν δὲ πάλιν ἑτέρως αὐτὸ κατασκευάζει, καὶ τῆς χάριτος δείκνυσι τὴν ἰσχύν, καὶ ἀεὶ τοὺς μὲν σωζομένους, τοὺς δὲ ἀπολλυμένους.

6. *Εὐχαριστῶμεν τοίνυν, ὅτι τῶν σωζομένων γεγόναμεν, καὶ μὴ δυνηθέντες ἀπὸ τῶν ἔργων σωθῆναι, ἐσώθημεν ἀπὸ τῆς τοῦ Θεοῦ δωρεᾶς. Εὐχαριστοῦντες δέ, μὴ ῥήμασι τοῦτο ποιῶμεν μόνον, ἀλλὰ καὶ ἔργοις καὶ πράξεσιν. Αὕτη γὰρ ἡ εὐχαριστία ἡ ἀκριβής, ὅταν ταῦτα πράττωμεν, δι' ὧν ὁ Θεὸς δοξάζεσθαι μέλλει· ὅταν ἐκεῖνα φεύγωμεν, ὧν ἀπηλλάγημεν. Καὶ γὰρ εἰ βασιλέα ὑβρίσαντες, ἀντὶ τοῦ δοῦναι δίκην ἐτιμήθημεν, εἶτα πάλιν ὑβρίσαμεν, ἅτε ἐσχάτης ἀχαριστίας ἁλόντες, τὴν ἐσχάτην δικαίως ἂν ἔδομεν δίκην, καὶ πολλῷ μείζονα τῆς προτέρας. Οὐδὲ γὰρ οὕτως ἡμᾶς ἀχαρίστους ἡ προτέρα ὕβρις ἐδείκνυ, ὡς ἡ μετὰ τὴν τιμὴν καὶ τὴν πολλὴν θεραπείαν. Φεύγωμεν τοίνυν ἐκεῖνα, ὧν ἀπηλλάγημεν, καὶ μὴ τῷ στόματι μόνον εὐχαριστῶμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, «ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, τῇ δὲ καρδίᾳ πόρρω ἀπέχει ἀπ' ἐμοῦ». Πῶς γὰρ οὐκ ἄτοπον, ὅταν οἱ μὲν οὐρανοὶ διηγῶνται δόξαν Θεοῦ, σὺ δέ, δι' ὃν οἱ οὐρανοὶ οἱ δοξάζοντες ἐγένοντο, τοιαῦτα πράττῃς, ὡς βλασφημεῖσθαι διὰ σὲ τὸν ποιήσαντά σε Θεόν;*

Διά τοι τοῦτο οὐκ ἐκεῖνος μόνον ὁ βλασφημῶν, ἀλλὰ καὶ σὺ λοιπὸν ὑπεύθυνος ἔσῃ τῆς κολάσεως. Οὐδὲ γὰρ οἱ οὐρανοὶ φωνὴν ἀφιέντες δοξάζουσι τὸν Θεόν, ἀλλ' ἑτέρους διὰ τῆς ὄψεως εἰς τοῦτο παρασκευάζοντες, καὶ ὅμως αὐτοὶ λέγονται διηγεῖσθαι δόξαν Θεοῦ. Οὕτω καὶ οἱ παρεχόμενοι βίον θαυμαστόν, κἂν σιγῶσι, τὸν Θεὸν δοξάζουσιν, ἑτέρων δι' αὐτοὺς αὐτὸν δοξαζόντων. Οὐ γὰρ οὕτως ἀπὸ τοῦ οὐρανοῦ θαυμάζεται, ὡς ἀπὸ βίου καθαροῦ. Ὅταν γοῦν πρὸς Ἕλληνας διλεγώμεθα, οὐ τὸν οὐρανὸν εἰς μέσον παράγομεν, ἀλλὰ τοὺς ἀνθρώπους, οὓς θηρίων χεῖρον διακειμένους ἔπεισε γενέσθαι ἐφαμίλλους ἀγγέλοις. Καὶ ταύτην λέγοντες τὴν μεταβολήν, ἐμφράττομεν αὐτῶν τὰ στόματα. Καὶ γὰρ πολὺ βελτίων τοῦ οὐρανοῦ ἄνθρωπος, καὶ δύναται λαμπροτέραν τοῦ κάλλους αὐ-

9. Ρωμ. 3, 3. 4.

10. Ἡσ. 29, 13.

ἄνθρωπος ψεύτης»[9]. Ἀλλά καί τώρα πάλι αὐτό ἀποδεικνύει ἀλλιῶς, δείχνοντας καί τή δύναμη τῆς χάριτος, καί πάντοτε ἄλλους νά σώζονται καί ἄλλους νά καταστρέφονται.

6. Ἄς εὐχαριστοῦμε λοιπόν τό Θεό, γιατί εἴμαστε ἀπό κείνους πού σώζονται, καί μολονότι δέν μπορέσαμε νά σωθοῦμε ἀπό τά ἔργα, σωθήκαμε ἀπό τή δωρεά τοῦ Θεοῦ. Ὅταν εὐχαριστοῦμε ὅμως, ἄς μήν τό κάνουμε αὐτό μόνο μέ λόγια, ἀλλά καί μέ ἔργα καί πράξεις. Γιατί αὐτή εἶναι ἡ σωστή εὐχαριστία, ὅταν κάνουμε αὐτά, μέ τά ὁποῖα πρόκειται νά δοξάζεται ὁ Θεός· ὅταν ἀποφεύγουμε ἐκεῖνα, ἀπό τά ὁποῖα ἀπαλλαχθήκαμε. Γιατί ἄν, ὅταν περιφρονήσαμε τό βασιλιά, τιμηθήκαμε ἀντί νά τιμωρηθοῦμε, ἔπειτα ἄν πάλι τόν περιφρονήσαμε, ἐπειδή μᾶς κυρίεψε ἡ χειρότερη ἀχαριστία, δίκαια θά τιμωρούμαστε μέ τή χειρότερη τιμωρία, καί πολύ μεγαλύτερη ἀπό τήν προηγούμενη. Γιατί δέ μᾶς ἔδειχνε τόσο ἀχάριστους ἡ προηγούμενη ὕβρη μας, ὅσο ἐκείνη μετά τήν τιμή καί τή μεγάλη φροντίδα. Ἄς ἀποφεύγουμε λοιπόν ἐκεῖνα, ἀπό τά ὁποῖα ἀπαλλαχθήκαμε, καί ἄς μήν εὐχαριστοῦμε μόνο μέ τό στόμα, γιά νά μή λέγεται καί γιά μᾶς, «ὁ λαός αὐτός μέ τιμάει μέ τά χείλη του, ἀλλά μέ τήν καρδιά του ἀπέχει πολύ ἀπό μένα»[10]. Πῶς λοιπόν δέν εἶναι παράλογο, ὅταν οἱ οὐρανοί διηγοῦνται τή δόξα τοῦ Θεοῦ, ἐνῶ σύ, γιά τόν ὁποῖο ἔγιναν οἱ οὐρανοί πού τόν δοξάζουν, τέτοια κάνεις, ὥστε νά βλασφημεῖται γιά σένα ὁ Θεός πού σέ δημιούργησε;

Γι' αὐτό λοιπόν ὄχι ἐκεῖνος μόνο πού βλασφημεῖ, ἀλλά καί ἐσύ πλέον θά τιμωρηθεῖς. Γιατί οἱ οὐρανοί δέ δοξάζουν τό Θεό βγάζοντας φωνή, ἀλλ' ἑτοιμάζοντας μέ τή θέα τους ἄλλους γι' αὐτό, καί ὅμως αὐτοί λέγονται πώς διηγοῦνται τή δόξα τοῦ Θεοῦ. Ἔτσι καί ὅσοι παρουσιάζουν θαυμαστό τρόπο ζωῆς, καί ἄν ἀκόμη σιωποῦν, δοξάζουν τό Θεό, ἀφοῦ ἐξ αἰτίας τους τόν δοξάζουν ἄλλοι. Γιατί δέ θαυμάζεται τόσο ἀπό τόν οὐρανό, ὅσο ἀπό τόν καθαρό τρόπο ζωῆς. Ὅταν λοιπόν συζητοῦμε μέ Ἕλληνες, δέν παρουσιάζουμε στή μέση του οὐρανό, ἀλλά τούς ἀνθρώπους, πού, ἐνῶ συμπεριφέρονταν χειρότερα ἀπό τά θηρία, ἔπεισε νά γίνουν ἐφάμιλλοι μέ τούς ἀγγέλους. Καί ὅταν λέμε αὐτή τή μεταβολή, κλείνουμε τά στόματά τους. Γιατί ὁ ἄνθρωπος καί πολύ καλύτερος ἀπό τόν οὐρανό εἶναι, καί μπορεῖ ν' ἀποκτήσει ψυχή λαμπρότερη ἀπό τήν ὀμορφιά του. Γιατί

τοῦ κεκτῆσθαι ψυχήν. Οὗτος μὲν γὰρ ὁρώμενος ἐπὶ τοσοῦτον χρόνον, οὐ σφόδρα ἔπεισε, Παῦλος δὲ ὀλίγον κηρύξας χρόνον, τὴν οἰκουμένην ἐφειλκύσατο πᾶσαν.

Καὶ γὰρ ἐκέκτητο ψυχὴν τοῦ οὐρανοῦ οὐχ ἥττονα, πάντας ἐπισπάσασθαι δυναμένην. Ἡ μὲν γὰρ ἡμετέρα οὐδὲ τῆς γῆς ἐστιν ἀξία, ἡ δὲ ἐκείνου καὶ τῶν οὐρανῶν ἀνταξία. Οὗτος μὲν γὰρ ἔστηκε τὸν οἰκεῖον φυλάττων ὅρον καὶ τὸν κανόνα, τῆς δὲ ἐκείνου ψυχῆς τὸ ὕψος πάντας ὑπερέβη τοὺς οὐρανούς, καὶ αὐτῷ ὁμιλεῖ τῷ Χριστῷ. Καὶ τὸ κάλλος δὲ αὐτῆς τοιοῦτον ἦν, ὡς καὶ τὸν Θεὸν ἀνακηρύττειν αὐτόν. Τὰ μὲν γὰρ ἄστρα οἱ ἄγγελοι ἐθαύμασαν ὅτε ἐγένετο, τοῦτον δὲ αὐτὸς ἐθαύμασεν εἰπών, «σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος». Καὶ τοῦτον μὲν τὸν οὐρανὸν νεφέλη πολλάκις ἐκάλυψε, τὴν δὲ Παύλου ψυχὴν οὐδεὶς ἐκάλυψε πειρασμός, ἀλλ' ἐν τοῖς χειμῶσι λαμπρότερος ἐφαίνετο σταθερᾶς μεσημβρίας, καὶ ὁμοίως ἔλαμπεν, ὥσπερ οὖν καὶ πρὸ τῶν νεφῶν. Ὁ γὰρ ἐν αὐτῷ φαίνων ἥλιος οὐ τοιαύτας ἠφίει τὰς ἀκτῖνας, ὡς συσκιάζεσθαι τῇ τῶν πειρασμῶν συνδρομῇ, ἀλλὰ καὶ τότε μᾶλλον ἐξέλαμπε. Διὸ καὶ ἔλεγεν· «ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται».

• Ζηλώσωμεν τοίνυν αὐτόν, καὶ οὐδὲν ἔσται οὐδὲ πρὸς ἡμᾶς οὗτος ὁ οὐρανός, ἐὰν ἐθέλωμεν, οὔτε ὁ ἥλιος, οὔτε ὁ κόσμος ἅπας· ταῦτα γὰρ δι' ἡμᾶς, οὐχ ἡμεῖς δι' αὐτά. Δείξωμεν, ὅτι ἄξιοί ἐσμεν τοῦ γενέσθαι ταῦτα δι' ἡμᾶς. Ἂν γὰρ τούτων ἀνάξιοι φανῶμεν, πῶς βασιλείας ἐσόμεθα ἄξιοι; Καὶ γὰρ ἀνάξιοι πάντες τὸν ἥλιον ὁρᾶν, ὅσοι εἰς βλασφημίαν ζῶσι τοῦ Θεοῦ· ἀνάξιοι τῶν κτισμάτων ἀπολαύειν τῶν δοξαζόντων αὐτὸν οἱ βλασφημοῦντες αὐτόν· ἐπεὶ καὶ υἱὸς πατέρα ὑβρίζων, ἀνάξιος οἰκετῶν εὐδοκιμούντων ἀπολαύειν διακονίας. Διά τοι τοῦτο ταῦτα μὲν καὶ πολλῆς ἀπολαύσεται δόξης, ἡμεῖς δὲ κόλασιν ὑποστησόμεθα καὶ τιμωρίαν. Πόσης οὖν ἀθλιότητος ἂν εἴη, τὴν μὲν κτίσιν τὴν διὰ σὲ γεγενημένην εἰς ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ σχηματίζεσθαι, ἡμᾶς δὲ

11. Πράξ. 9, 15.

12. Β' Κορ. 12, 9.

αὐτός, ἄν καί βλέπεται τόσο πολύ χρόνο, δέν ἔπεισε πάρα πολύ, ἐνῶ ὁ Παῦλος, ἄν καί κήρυξε λίγο χρόνο, προσέλκυσε ὅλη τήν οἰκουμένη.

Πραγματικά λοιπόν εἶχε ψυχή ὄχι μικρότερη ἀπό τόν οὐρανό, πού μποροῦσε νά προσελκύσει ὅλους. Ἡ δική μας βέβαια δέν εἶναι ἰσάξια οὔτε μέ τή γῆ, ἐνῶ ἡ δική του ἦταν ἀντάξια τῶν οὐρανῶν. Γιατί ὁ οὐρανός ἐξακολουθεῖ νά φυλάσσει τό δικό του ὅριο καί κανόνα, ἐνῶ τό ὕψος τῆς ψυχῆς ἐκείνου ξεπέρασε ὅλους τούς οὐρανούς καί συναναστρέφεται τόν ἴδιο τό Χριστό. Ἀλλά καί ἡ ὀμορφιά της ἦταν τέτοια, ὥστε αὐτόν νά τόν ἀνακηρύττει καί ὁ Θεός. Γιατί οἱ ἄγγελοι θαύμασαν τά ἄστρα ὅταν δημιουργήθηκαν, ἐνῶ αὐτόν ὁ ἴδιος τόν θαύμασε λέγοντας, «αὐτός εἶναι ὄργανο ἐκλογῆς μου»[11]. Καί τόν οὐρανό αὐτόν πολλές φορές τόν κάλυψε ἕνα σύννεφο, τήν ψυχή ὅμως τοῦ Παύλου δέν τήν κάλυψε κανένας πειρασμός, ἀλλά στούς χειμῶνες φαινόταν λαμπρότερος ἀπό τό καταμεσήμερο, καί ἔλαμπε τό ἴδιο, ὅπως ἀκριβῶς καί πρίν ἀπό τά σύννεφα. Γιατί ὁ ἥλιος, πού φώτιζε σ' αὐτόν, δέν ἄφηνε τέτοιες ἀκτίνες, ὥστε νά σκεπάζονται ἀπό τή συσσώρευση τῶν πειρασμῶν, ἀλλά καί τότε περισσότερο ἔλαμπε. Γι' αὐτό καί ἔλεγε· «σοῦ εἶναι ἀρκετή ἡ χάρη μου, γιατί ἡ δύναμή μου φανερώνεται ἰσχυρή ἐκεῖ πού ὑπάρχει ἀδυναμία»[12].

Ἄς μιμηθοῦμε λοιπόν αὐτόν, καί δέ θά εἶναι τίποτε οὔτε πρός ἐμᾶς ὁ οὐρανός αὐτός, ἐάν θέλουμε, οὔτε ὁ ἥλιος, οὔτε ὁ κόσμος ὁλόκληρος, γιατί αὐτά ὑπάρχουν γιά μᾶς, ὄχι ἐμεῖς γι' αὐτά. Ἄς δείξουμε, πώς εἴμαστε ἄξιοι γιά τό ὅτι ἔγιναν αὐτά γιά μᾶς. Γιατί, ἄν φανοῦμε ἀνάξιοι αὐτῶν, πῶς θά γίνουμε ἄξιοι τῆς βασιλείας; Καθόσον εἶναι ἀνάξιοι νά βλέπουν τόν ἥλιο ὅλοι, ὅσοι ζοῦν γιά νά βλασφημεῖται ὁ Θεός· εἶναι ἀνάξιοι ἐκεῖνοι πού τόν βλασφημοῦν ν' ἀπολαμβάνουν τά κτίσματα, πού δοξάζουν τό Θεό, ἐπειδή καί ὁ υἱός, πού περιφρονεῖ τόν πατέρα του, εἶναι ἀνάξιος ν' ἀπολαμβάνει τήν ὑπηρεσία ὑπηρετῶν πού εὐδοκιμοῦν. Γι' αὐτό λοιπόν αὐτοί θ' ἀπολαύσουν καί πολλή δόξα, ἐμεῖς ὅμως θά ὑποστοῦμε κόλαση καί τιμωρία. Πόσης λοιπόν ἀθλιότητας δέν θά ἦταν ἡ κτίση πού δημιουργήθηκε γιά τήν ἐλευθερία τῆς δόξας τῶν παιδιῶν τοῦ Θεοῦ ν' ἀλλάζει σχῆμα, ἐνῶ ἐμεῖς πού ἔχουμε δημιουργηθεῖ παιδιά τοῦ

τοὺς τέκνα Θεοῦ γεγενημένους, διὰ τὴν πολλὴν ῥᾳθυμίαν εἰς ἀπώλειαν πέμπεσθαι καὶ γέενναν, δι' οὓς ἡ κτίσις τῆς μεγάλης ἀπολαύσεται εὐημερίας ἐκείνης;

Ἵν' οὖν μὴ τοῦτο γένηται, οἱ μὲν καθαρὰν κεκτημένοι ψυχήν, φυλάξωμεν αὐτὴν τοιαύτην, μᾶλλον δὲ καὶ ἐπιτείνωμεν αὐτῆς τὴν λαμπηδόνα, οἱ δὲ ῥυπῶσαν ἔχοντες, μὴ ἀπογνῶμεν. «Ἐὰν γὰρ ὦσι», φησίν, «αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ ἐὰν ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ». Ὅταν δὲ ὁ Θεὸς ἐπαγγέλληται, μὴ ἀμφίβαλλε, ἀλλ' ἐκεῖνα ποίει, δι' ὧν ἐπισπάσασθαι τὰς ἐπαγγελίας ταύτας δυνήσῃ. Μυρία σοι εἴργασται δεινὰ καὶ πεπλημμέληται; Καὶ τί τοῦτο; Οὐδέπω γὰρ εἰς τὸν ᾅδην ἀπῆλθες, ἔνθα οὐδεὶς ἐξομολογήσεται· οὐδέπω σου τὸ θέατρον λέλυται, ἀλλ' ἔσω τοῦ σκάμματος ἕστηκας, καὶ δύνασαι καὶ δι' ἐσχάτης πάλης πάσας ἀναπαλαῖσαι τὰς ἥττας. Οὔπω γέγονας, ἔνθα ὁ πλούσιος, ἵνα ἀκούσῃς, ὅτι «χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν»· οὔπω παρεγένετο ὁ νυμφίος, ἵνα φοβηθῇ τις μεταδοῦναι ἐλαίου· ἔτι δύνασαι ἀγοράσαι καὶ ἀποθέσθαι. Καὶ οὐκ ἔστιν οὐδέπω ὁ λέγων, «μήποτε οὐ μὴ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν»· ἀλλ' εἰσὶν οἱ πωλοῦντες πολλοί, οἱ γυμνοί, οἱ πεινῶντες, οἱ ἀρρωστοῦντες, οἱ δεσμωτήριον οἰκοῦντες. Θρέψον τούτους, ἔνδυσον ἐκείνους, ἐπίσκεψαι τοὺς κειμένους, καὶ ὑπὲρ τὰς πηγὰς ἥξει τὸ ἔλαιον.

Οὔπω τοῦ λογοθεσίου ἐφέστηκεν ἡ ἡμέρα. Χρῆσαι εἰς δέον τῷ καιρῷ, καὶ χρεῶν ἀποσκοπὰς ποίησον, καὶ τῷ ὀφείλοντι τοὺς ἑκατὸν βάδους τοῦ ἐλαίου εἰπέ, «δέξαι σου τὸ γραμματεῖον, καὶ ποίησον πεντήκοντα». Καὶ ἐπὶ χρημάτων καὶ ἐπὶ ῥημάτων καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὁμοίως ποίει, τὸν οἰκονόμον ἐκεῖνον μιμούμενος· καὶ ταῦτα καὶ σεαυτῷ καὶ τοῖς συγγενέσι παραίνει. Ἔτι γὰρ εἶ κύριος τοῦ ταῦτα λέγειν· οὐδέπω κατέστης εἰς ἀνάγκην τοῦ παρακαλεῖν ἕτερον ὑπὲρ τούτων, ἀλλ' ἐξουσίαν ἔχεις καὶ σεαυτῷ καὶ ἑτέροις συμβουλεύειν. Ὅταν δὲ ἀπέλθῃς ἐκεῖ, οὐδέτερον τούτων δυνήσῃ εἰς δέον ποιεῖν· εἰκότως. Ὁ γὰρ τοσαύτην λαβὼν προθεσμίαν, καὶ μήτε σαυτὸν μήτε ἕτερον ὠφελήσας, πῶς λοιπὸν ὑπὸ

13. Ἠσ. 1, 18. 15. Ματθ. 25, 9.
14. Λουκᾶ 16, 26. 16. Βάδος· μέτρο γιά ὑγρά. 17. Λουκᾶ 16, 6.

Θεοῦ, ἀπό τήν πολλή ἀδιαφορία νά ὁδηγούμαστε στήν καταστροφή καί τή γέεννα, ἐμεῖς πού ἐξ αἰτίας μας ἡ κτίση θ' ἀπολαύσει τή μεγάλη ἐκείνη εὐημερία;

Γιά νά μή γίνει λοιπόν αὐτό, ὅσοι ἔχουμε καθαρή ψυχή, ἄς τή φυλάξουμε τέτοια, ἤ καλύτερα ἄς αὐξήσουμε τή λάμψη της, ἐνῶ ὅσοι ἔχουμε ἀκάθαρτη, ἄς μήν ἀπελπισθοῦμε. «Γιατί ἄν οἱ ἁμαρτίες σας», λέγει, «εἶναι κόκκινες, θά τίς κάμω ἄσπρες σάν τό χιόνι. Καί ἄν εἶναι κατακόκκινες, θά τίς κάμω ἄσπρες σάν τό μαλλί»[13]. Ὅταν ὅμως ὁ Θεός ὑπόσχεται, νά μήν ἀμφιβάλλεις, ἀλλά νά κάνεις ἐκεῖνα, μέ τά ὁποῖα θά μπορέσεις ν' ἀποσπάσεις τίς ὑποσχέσεις αὐτές. Ἔχεις κάμει ἄπειρα κακά καί ἔχεις ἁμαρτήσει; Καί τί σημασία ἔχει αὐτό; Γιατί δέν πῆγες ἀκόμη στόν ἅδη, ὅπου κανείς δέ θά μπορέσει νά ἐξομολογηθεῖ· δέν ἔχει τελειώσει ἀκόμη ὁ ἀγώνας σου, ἀλλά στέκεσαι μέσα στό γυμναστήρι, καί μπορεῖς μέ τήν τελευταία πάλη νά κερδίσεις ὅλες τίς ἧττες. Δέ βρέθηκες ἀκόμη, ἐκεῖ πού εἶναι ὁ πλούσιος, γιά ν' ἀκούσεις, «μεγάλο χάσμα ὑπάρχει μεταξύ μας»[14]. Δέν ἔφθασε ἀκόμη ὁ νυμφίος, γιά νά φοβηθεῖ κάποιος νά σοῦ δώσει λάδι· ἀκόμη μπορεῖς ν' ἀγοράσεις καί ν' ἀποταμιεύσεις. Καί δέν ὑπάρχει ἀκόμη ἐκεῖνος πού λέγει, «ὑπάρχει φόβος μήπως δέ φθάσει τό λάδι γιά μᾶς καί γιά σᾶς»[15], ἀλλ' ὑπάρχουν πολλοί ἐκεῖνοι πού τό πουλοῦν, οἱ γυμνοί, οἱ πεινασμένοι, οἱ ἄρρωστοι, οἱ φυλακισμένοι. Δῶσε τροφή σ' αὐτούς, ντύσε ἐκείνους, ἐπισκέψου τούς ἀρρώστους, καί θά ἔρθει τό λάδι περισσότερο ἀπό τίς πηγές.

Δέν ἦρθε ἀκόμη ἡ ἡμέρα τῆς κρίσεως. Χρησιμοποίησε ὅπως πρέπει τόν καιρό, καί σβῆσε τά χρέη, καί σ' ἐκεῖνον πού ὀφείλει τούς ἑκατό βάδους[16] λάδι πές, «πάρε τό γραμμάτιό σου καί γράψε πενήντα»[17]. Καί στά χρήματα καί στά λόγια καί σέ ὅλα τά ἄλλα τό ἴδιο νά κάνεις, ἀκολουθώντας τό παράδειγμα τοῦ διαχειριστῆ ἐκείνου· καί αὐτά νά τά συμβουλεύεις καί στόν ἑαυτό σου καί στούς συγγενεῖς σου. Γιατί ἀκόμη εἶσαι κύριος νά λέγεις αὐτά, ἀκόμη δέ βρέθηκες στήν ἀνάγκη νά παρακαλεῖς ἄλλον γι' αὐτά, ἀλλά μπορεῖς καί τόν ἑαυτό σου καί τούς ἄλλους νά συμβουλεύεις. Ὅταν ὅμως μεταβεῖς ἐκεῖ, κανένα ἀπ' αὐτά δέ θά μπορέσεις νά κάνεις ὅπως πρέπει· καί εὔλογα. Γιατί ἐσύ πού ἔλαβες τόσο μεγάλη προθεσμία καί οὔτε τόν ἑαυτό σου οὔτε ἄλλον ὠφέλησες, πῶς τότε, ὅταν βρε-

ταῖς χερσὶ τοῦ δικαστοῦ γενόμενος, δυνήσῃ ταύτης ἐπιτυχεῖν τῆς χάριτος;

7. Ταῦτ' οὖν ἅπαντα συλλέγοντες, ἐχώμεθα σφοδρῶς τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μὴ προδῶμεν τὴν εὐκαιρίαν τοῦ παρόντος βίου. Ἔστι γάρ, ἔστι καὶ εἰς ἐσχάτας ἀναπνοὰς εὐαρεστῆσαι τῷ Θεῷ· ἔστι καὶ ἀπὸ διαθήκης εὐδοκιμῆσαι, οὐχ οὕτω μὲν ὡς ζῶντας, ἔστι δὲ ὅμως. Πῶς καὶ τίνι τρόπῳ; Ἂν ἐγγράψῃς αὐτὸν μετὰ τῶν σῶν κληρονόμων, καὶ μοῖραν καὶ αὐτῷ τοῦ παντὸς ἀπονείμῃς κλήρου. Οὐκ ἔθρεψας αὐτὸν ζῶν; Κἂν ἀπελθών, ὅτε οὐκέτι κύριος εἶ, μετάδος αὐτῷ τῶν σῶν. Φιλάνθρωπός ἐστιν, οὐκ ἀκριβολογεῖται πρὸς σέ. Μείζονος μὲν γὰρ πόθου καὶ πλείονος μισθοῦ, τὸ ζῶντά σε τρέφειν αὐτόν· εἰ δὲ τοῦτο αὐτῷ μὴ πεποίηκας, κἂν ἐπὶ τὸ δεύτερον ἐλθέ· συγκληρονόμον αὐτὸν ἄφες τοῖς παισὶ τοῖς σοῖς. Εἰ δὲ καὶ τοῦτο ὀκνεῖς, ἐννόησον ὅτι ὁ Πατὴρ αὐτοῦ συγκληρονόμον αὐτοῦ σε ἐποίησε, καὶ κατάλυσον τὴν ἀπανθρωπίαν. Τίνα γὰρ ἕξεις ἀπολογίαν, μηδὲ τῶν παίδων τῶν σῶν κοινωνὸν αὐτὸν ποιῶν, τὸν κοινωνόν σε ποιήσαντα τῶν οὐρανῶν καὶ σφαγέντα διά σέ; Καίτοιγε αὐτὸς πάντα ὅσα ἐποίησεν, οὐκ ὀφειλὴν ἀποδιδοὺς ἐποίησεν, ἀλλὰ χάριν ἐπιδεικνύμενος· σὺ δὲ μετὰ τοσαύτας εὐεργεσίας καὶ ὀφειλέτης κατέστης.

Ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, ὡς χάριν λαμβάνων, οὐχ ὡς ὀφειλὴν ἀπαιτῶν, οὕτω σε στεφανοῖ, καὶ ταῦτα, τὰ αὐτοῦ μέλλων λαμβάνειν. Δὸς τοίνυν αὐτῷ χρήματα τὰ σοὶ λοιπὸν ἄχρηστα, καὶ ὧν οὐκ εἶ κύριος, καὶ δώσει σοι βασιλείαν τὴν σοὶ χρησίμην διηνεκῶς, καὶ μετ' ἐκείνης καὶ τὰ ἐνταῦθα χαριεῖται. Ἂν γὰρ γένηται συγκληρονόμος τῶν παίδων, ἐπικουφίζει τὴν ὀρφανίαν αὐτοῖς, λύει τὰς ἐπιβουλάς, ἀποκρούεται τὰς ἐπηρείας, ἐμφράττει τὰ στόματα τῶν συκοφαντῶν· κἂν αὐτοὶ μὴ δύνωνται προστῆναι τῶν διαθηκῶν, αὐτὸς προστήσεται, καὶ οὐκ ἀφήσει διαρραγῆναι. Εἰ δὲ καὶ τοῦτο συγχωρήσειεν, ἀναπληροῖ παρ' ἑαυτοῦ τὰ ἐγγεγραμμένα πάντα μετὰ πλείονος τῆς φιλοτιμίας, ἐπειδὴ ἐτιμήθη τῷ ἐγγραφῆναι ἅπαξ. Ἄφες τοίνυν αὐτὸν κληρονόμον· πρὸς γὰρ αὐτὸν ἀπιέναι

θεῖς στά χέρια τοῦ δικαστῆ, θά μπορέσεις νά ἐπιτύχεις αὐτή τή χάρη;

7. Συγκεντρώνοντας λοιπόν ὅλα αὐτά, ἄς ἐπιδιώκουμε σφόδρα τή σωτηρία μας καί ἄς μήν ἀφήσουμε τήν εὐκαιρία τῆς παρούσας ζωῆς. Γιατί εἶναι δυνατό, εἶναι δυνατό καί στίς τελευταῖες στιγμές τῆς ζωῆς μας νά γίνουμε εὐάρεστοι στό Θεό. Εἶναι δυνατό καί ἀπό τή διαθήκη μας νά εὐδοκιμήσουμε, ὄχι βέβαια τόσο ὅσο ζούσαμε, ἀλλ' εἶναι δυνατό ὅμως. Πῶς καί μέ ποιό τρόπο; Ἄν τόν γράψεις αὐτόν μαζί μέ τούς δικούς σου κληρονόμους καί ἀφήσεις καί σ' αὐτόν μερίδιο ἀπ' ὅλη τήν κληρονομιά σου. Δέν τόν ἔθρεψες ὅταν ζοῦσες; Τουλάχιστον ἀφοῦ πεθαίνεις, ὅταν δέν εἶσαι πιά κύριος, δῶσε σ' αὐτόν ἀπό τά δικά σου. Φιλάνθρωπος εἶναι, δέν ζητεῖ ἀκριβολογία ἀπό σένα. Βέβαια εἶναι δεῖγμα σφοδρῆς ἐπιθυμίας καί περισσότερης ἀμοιβῆς, τό νά τόν τρέφεις ὅταν ζεῖς, ἐάν ὅμως δέν τό ἔκανες αὐτό, τουλάχιστο προχώρησε στό δεύτερο· ἄφησέ τον συγκληρονόμο μέ τά δικά σου παιδιά. Ἐάν ὅμως διστάζεις καί αὐτό νά τό κάνεις, σκέψου ὅτι ὁ Πατέρας του σέ ἔκαμε συγκληρονόμο του, καί θέσε τέρμα στήν ἀπανθρωπιά σου. Ποιά λοιπόν ἀπολογία θά ἔχεις, ὅταν δέν κάνεις αὐτόν συμμέτοχο οὔτε τῶν παιδιῶν σου, ἐκεῖνον πού σέ ἔκαμε μέτοχο τῶν οὐρανῶν καί θυσιάσθηκε γιά σένα; Ἄν καί βέβαια αὐτός ὅσα ἔκανε, τά ἔκανε ὄχι ἐπιστρέφοντας ὀφειλή, ἀλλά δείχνοντας χάρη, σύ ὅμως ὕστερα ἀπό τόσες εὐεργεσίες ἔγινες καί ὀφειλέτης.

Ἀλλ' ὅμως μολονότι αὐτά ἔχουν ἔτσι, σάν νά λαμβάνεις χάρη, ὄχι σάν νά ζητάει πίσω τήν ὀφειλή, ἔτσι σέ στεφανώνει, καί ὅλα αὐτά, ἐνῶ λαμβάνει τά δικά του. Δῶσε λοιπόν σ' αὐτόν χρήματα πού σοῦ εἶναι πλέον ἄχρηστα καί τῶν ὁποίων δέν εἶσαι κύριος, καί θά σοῦ δώσει τή βασιλεία πού θά σοῦ εἶναι πάντοτε χρήσιμη, καί μαζί μέ ἐκείνη θά σοῦ χαρίσει καί τά ἐδῶ. Γιατί, ἄν γίνει συγκληρονόμος τῶν παιδιῶν, ἀνακουφίζει τήν ὀρφάνια τους, διαλύει τίς ἐπιβουλές, ἀποκρούει τίς προσβολές, κλείνει τά στόματα τῶν συκοφαντῶν. Καί ἄν ἀκόμη αὐτά δέν μποροῦν νά φροντίσουν τίς διαθῆκες, αὐτός θά τίς φροντίσει καί δέ θ' ἀφήσει ν' ἀκυρωθοῦν. Ἐάν ὅμως τό ἐπέτρεπε καί αὐτό, ἀναπληρώνει ἀπό τά δικά του ὅλα τά γραμμένα μέ περισσότερη γενναιοδωρία, ἐπειδή τιμήθηκε μέ τό νά γραφεῖ μιά φορά.

μέλλεις· αὐτός σοι δικάσει τὴν δίκην τῶν ἐνταῦθα γεγενημένων ἁπάντων.

Ἀλλὰ γάρ εἰσί τινες οὕτως ἄθλιοι καὶ ταλαίπωροι, οἳ μηδὲ παῖδας ἔχοντες οὐκ ἀνέχονται τοῦτο ποιεῖν, ἀλλὰ παρασίτοις καὶ κόλαξι καὶ τῷ δεῖνι καὶ τῷ δεῖνι μᾶλλον τὰ αὐτῶν καταδέχονται διανέμειν, ἢ τῷ τοσαῦτα αὐτοὺς εὐεργετήσαντι Χριστῷ, ὧν τί γένοιτ' ἂν ἀλογώτερον; Τοὺς γὰρ τοιούτους, κἂν ὄνοις κἂν λίθοις τις παραβάλῃ, οὐδὲν οὐδέπω τῆς ἀνοίας αὐτῶν καὶ τῆς ἀναισθησίας ἄξιον ἐρεῖ· οὐδ' ἂν εὕροι τις εἰκόνα τὴν μανίαν αὐτῶν παραστῆσαι δυναμένην καὶ τὴν παραφροσύνην. Ποίας γὰρ τεύξονται συγγνώμης οὗτοι ὑπὲρ τοῦ μὴ θρέψαι αὐτὸν ζῶντες, ὅταν καὶ ἀπιέναι μέλλοντες πρὸς αὐτόν, μηδὲ ἀπὸ τῶν χρημάτων τούτων, ὧν οὐκ εἰσὶ κύριοι λοιπόν, βουληθῶσιν αὐτῷ μικρόν τι χαρίσασθαι, ἀλλ' οὕτως ἐχθρῶς διακέωνται καὶ πολεμίως, ὡς μηδὲ τῶν ἀχρήστων αὐτοῖς γενομένων αὐτῷ μεταδοῦναι; Οὐχ ὁρᾷς ὅσοι τῶν ἀνθρώπων οὐδὲ τούτου κατηξιώθησαν τοῦ τέλους, ἀλλ' ἁρπαγέντες ἀπῆλθον; Σὲ δὲ ὁ Θεὸς καὶ ἐπισκῆψαι τοῖς προσήκουσι, καὶ εἰπεῖν περὶ τῶν ὄντων, καὶ τὰ κατὰ τὴν οἰκίαν ἅπαντα διαθεῖναι ἐποίησε κύριον.

Ποίαν οὖν ἀπολογίαν ἕξεις, ὅταν καὶ ταύτην παρ' αὐτοῦ λαβὼν τὴν χάριν, προδῷς τὴν εὐεργεσίαν, καὶ ὥσπερ ἐκ διαμέτρου ἀπεναντίας στῇς τοῖς τῆς πίστεώς σου προγόνοις; Ἐκεῖνοι μὲν γὰρ καὶ ζῶντες ἐπώλουν ἅπαντα, καὶ ἔφερον παρὰ τοὺς πόδας τῶν ἀποστόλων· σὺ δὲ οὐδὲ τελευτῶν μοίρας τινὸς μεταδίδως τοῖς δεομένοις. Τὸ μὲν οὖν ἄμεινον καὶ πολλὴν παρρησίαν παρέχον, ζῶντα διορθοῦν πενίαν, εἰ δὲ ἐκεῖνο μὴ βουληθείης, κἂν τελευτῶν ποίησόν τι γενναῖον. Οὐ πολλῆς μὲν γάρ ἐστιν ἀγάπης τοῦτο τῆς περὶ τὸν Χριστόν· ἀγάπης δ' οὖν ὅμως. Εἰ γὰρ καὶ μὴ τὴν προεδρίαν ἕξεις τὴν μετὰ τῶν ἀρνῶν, ἀλλ' οὐ μικρὸν τὸ κἂν μετ' ἐκείνους γενέσθαι, καὶ μὴ στῆναι μετὰ τῶν ἐρίφων, μηδὲ ἐξ εὐωνύμων. Ἂν

18. Βλ. Πράξ. 4, 34.

῎Αφησε λοιπόν αὐτόν κληρονόμο, γιατί σ' αὐτόν πρόκειται νά μεταβεῖς. Αὐτός θ' ἀποδώσει δικαιοσύνη γιά ὅλα πού ἔκαμες ἐδῶ.

᾿Αλλ' ὅμως ὑπάρχουν μερικοί τόσο ἄθλιοι καί ταλαίπωροι, πού, ἄν καί δέν ἔχουν παιδιά, δέν ἀνέχονται νά κάνουν αὐτό, ἀλλά καταδέχονται νά διανέμουν τά δικά τους μᾶλλον σ' αὐτούς πού ζοῦν παρασιτικά, στούς κόλακες καί στόν τάδε καί στόν τάδε, παρά στό Χριστό πού τούς εὐεργέτησε τόσο πολύ. Τί θά μποροῦσε νά ὑπάρξει πιό παράλογο ἀπ' αὐτούς; Γιατί τέτοιους ἀνθρώπους εἴτε τούς συγκρίνει κανείς μέ ὄνους εἴτε μέ πέτρες, δέ θά πεῖ ποτέ τίποτε ἰσάξιο μέ τήν ἀνοησία καί τήν ἀναισθησία τους, οὔτε θά μπορέσει νά βρεῖ κανείς κάποια εἰκόνα πού μπορεῖ νά παραστήσει τήν τρέλλα καί τήν παραφροσύνη τους. Ποιά λοιπόν συγγνώμη θά ἐπιτύχουν αὐτοί γιά τό ὅτι δέν ἔθρεψαν αὐτόν ὅταν ζοῦσαν, ὅταν, καί ἐνῶ πρόκειται νά μεταβοῦν πρός αὐτόν, οὔτε ἀπό τά χρήματα αὐτά πού δέν ἐξουσιάζουν πλέον δέ θέλουν νά τοῦ χαρίσουν ἕνα ἐλάχιστο μέρος, ἀλλά συμπεριφέρονται μέ τόσο μίσος καί ἔχθρα, ὥστε νά μήν τοῦ δίνουν οὔτε ἀπό ἐκεῖνα πού ἔγιναν ἄχρηστα σ' αὐτούς; Δέ βλέπεις πόσοι ἀπό τούς ἀνθρώπους δέν καταξιώθηκαν οὔτε αὐτό τό τέλος, ἀλλά πέθαναν ξαφνικά; Ἐσένα ὅμως σοῦ ἔδωσε τή δυνατότητα ὁ Θεός καί ν' ἀφήσεις τίς κατάλληλες παραγγελίες καί νά μιλήσεις γιά τήν περιουσία σου καί νά διαθέσεις ὅλα τά πράγματα τοῦ σπιτιοῦ σου.

Ποιά λοιπόν δικαιολογία θά ἔχεις, ὅταν, παρ' ὅλο πού ἔλαβες ἀπ' αὐτόν καί τή χάρη αὐτή, προδώσεις τήν εὐεργεσία, καί σταθεῖς ἐκ διαμέτρου ἀντίθετα πρός τούς προγόνους τῆς πίστεώς σου; Γιατί ἐκεῖνοι βέβαια καί ὅταν ζοῦσαν ἀκόμη, τά πουλοῦσαν ὅλα καί τά ἔφερναν μπροστά στά πόδια τῶν ἀποστόλων[18], σύ ὅμως οὔτε ὅταν πεθαίνεις δέ δίνεις κάποιο μερίδιο σ' ἐκείνους πού ἔχουν ἀνάγκη. Τό καλύτερο βέβαια καί πού παρέχει πολλή παρρησία εἶναι τό νά διορθώνεις τή φτώχεια ὅταν ζεῖς, ἄν ὅμως δέν τό θελήσεις αὐτό, τουλάχιστον ὅταν πεθαίνεις κάμε κάτι γενναῖο. Αὐτό δέν εἶναι δεῖγμα πολλῆς ἀγάπης γιά τό Χριστό, ἀλλ' ὅμως εἶναι δεῖγμα ἀγάπης. Γιατί, καί ἄν ἀκόμα δέν ἀποκτήσεις τήν πρώτη θέση ἀνάμεσα τά πρόβατα, ἀλλά δέν εἶναι μικρό πράγμα τό νά βρεθεῖς τουλάχιστο μαζί μ' αὐτά, καί νά μή σταθεῖς μαζί μέ τά γίδια, οὔτε στά ἀριστερά. ῎Αν ὅμως οὔτε αὐτό κάνεις, ποιά δικαιολογία θά σέ σώσει, ὅταν δέ

δὲ μηδὲ τοῦτο ποιῇς, τίς σε ἐξαιρήσεται λόγος, ὅταν μήτε ὁ τοῦ θανάτου φόβος, μήτε τὸ ἄχρηστά σοι λοιπὸν γεγενῆσθαι τὰ χρήματα, μήτε τὸ ἀσφάλειαν καταλιμπάνειν τοῖς τέκνοις, μήτε τὸ πολλὴν σαυτῷ προαποτίθεσθαι ἐκεῖ συγγνώμην, ποιῇ σε φιλάνθρωπον;

Διὸ παρακαλῶ μάλιστα μὲν ζῶντας προΐεσθαι τοῖς δεομένοις ἐκ τῶν ὄντων τὴν πλείονα μοῖραν. Εἰ δέ τινες εἶεν οὕτω μικρόψυχοι, ὡς μὴ ἀνέχεσθαι τοῦτο, κἂν ὑπὸ τῆς ἀνάγκης γινέσθωσαν οὗτοι φιλάνθρωποι. Ὅταν μὲν γὰρ ἔζης, ὡς ἀθάνατος, οὕτως ἀντείχου τῶν ὄντων, νυνὶ δέ, ἐπειδὴ ἔμαθες, ὅτι θνητὸς γέγονας, κἂν νῦν τὸ δόγμα κατάλυσον, καὶ ὡς θνητὸς περὶ τῶν σαυτοῦ βούλευσαι· μᾶλλον δέ, ὡς ὀφείλων ἀθανάτου ζωῆς διηνεκῶς ἀπολαύειν. Εἰ γὰρ καὶ φορτικὸν τὸ μέλλον ρηθήσεσθαι καὶ φρίκης γέμον, ἀλλ' ὅμως ἀναγκαῖον εἰπεῖν· ἀρίθμησον μετὰ τῶν δούλων σου τὸν δεσπότην. Ἐλευθεροῖς τοὺς δούλους; Ἐλευθέρωσον τὸν Χριστὸν λιμοῦ καὶ ἀνάγκης καὶ δεσμωτηρίων καὶ γυμνότητος. Ἔφριξας ἀκούσας; Οὐκοῦν φρικωδέστερον, ὅταν μηδὲ αὐτὸ τοῦτο ποιῇς. Καὶ ἐνταῦθα μὲν τὸ ρῆμά σε ναρκᾶν ἐποίησεν, ὅταν δὲ ἀπέλθῃς ἐκεῖ, καὶ τὰ πολλῷ χαλεπώτερα τούτων ἀκούῃς, καὶ τὰ ἀνήκεστα βλέπῃς βασανιστήρια, τί ἐρεῖς; πρὸς τίνα καταφεύξῃ; τίνα καλέσεις σύμμαχον καὶ βοηθόν; Τὸν Ἀβραάμ; Ἀλλ' οὐκ ἀκούσεται. Ἀλλὰ τὰς παρθένους ἐκείνας; Ἀλλ' οὐδὲ αὗταί σοι μεταδώσουσι τοῦ ἐλαίου. Ἀλλὰ τὸν πατέρα, ἀλλὰ τὸν πάππον; Ἀλλ' οὐδὲ τούτων οὐδεὶς ἔσται κύριος, κἂν σφόδρα ἅγιος ᾖ, λῦσαι τὴν ψῆφον ἐκείνην.

Ταῦτ' οὖν ἅπαντα λογισάμενος, τὸν μόνον Κύριον ὄντα τὸ χειρόγραφον ἐξαλεῖψαι τὸ σόν, καὶ τὴν φλόγα ἐκείνην σβέσαι, τοῦτον ἱκέτευε καὶ παρακάλει καὶ ποίησον ἵλεων ἤδη, τρέφων, ἐνδύων διηνεκῶς· ἵνα καὶ ἐντεῦθεν μετὰ χρηστῆς ἀπέλθῃς ἐλπίδος, καὶ ἐκεῖ γενόμενος τῶν αἰωνίων ἀπολαύσῃς ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σέ κάνει φιλάνθρωπο οὔτε ὁ φόβος τοῦ θανάτου, οὔτε τό ὅτι τά χρήματα θά σοῦ γίνουν πλέον ἄχρηστα, οὔτε τό ὅτι ἀφήνεις ἀσφάλεια στά παιδιά σου, οὔτε τό ὅτι μαζεύεις ἀπό πρίν πολλή συγγνώμη γιά τόν ἑαυτό σου ἐκεῖ;

Γι' αὐτό παρακαλῶ, ν' ἀφήνετε πρό πάντων ὅταν ζεῖτε τό μεγαλύτερο μερίδιο ἀπό τήν περιουσία σας σ' ἐκείνους πού ἔχουν ἀνάγκη. Ἐάν ὅμως μερικοί εἶναι τόσο μικρόψυχοι, ὥστε νά μήν τό ἀνέχονται αὐτό, τουλάχιστο αὐτοί ἀπό τήν ἀνάγκη ἄς γίνονται φιλάνθρωποι. Γιατί, ὅταν βέβαια ζοῦσες, σάν νά ἦσουν ἀθάνατος, ἔτσι προσηλωνόσουν στά πράγματα, τώρα ὅμως, ἐπειδή ἔμαθες ὅτι ἔγινες θνητός, τουλάχιστο τώρα διάλυσε αὐτή τήν πίστη, καί σάν θνητός σκέψου γιά τά δικά σου, ἤ καλύτερα σάν κάποιος πού πρόκειται ν' ἀπολαμβάνεις παντοτινά τήν ἀθάνατη ζωή. Γιατί, ἄν καί εἶναι ἐνοχλητικό αὐτό πού πρόκειται νά λεχθεῖ καί εἶναι γεμάτο φρίκη, ἀλλ' ὅμως πρέπει νά λεχθεῖ· ἀρίθμησε μαζί μέ τούς δούλους σου τόν Κύριο. Ἐλευθερώνεις τούς δούλους; Ἐλευθέρωσε τό Χριστό ἀπό τήν πείνα, τήν ἀνάγκη, τίς φυλακές καί τή γύμνια. Ἔφριξες πού τά ἄκουσες; Λοιπόν εἶναι πιό φρικιαστικό ὅταν δέν τό κάνεις οὔτε αὐτό. Καί ἐδῶ βέβαια ὁ λόγος σ' ἔκαμε νά μουδιάσεις, ὅταν ὅμως μεταβεῖς ἐκεῖ καί θ' ἀκοῦς τά πολύ πιό φοβερα ἀπ' αὐτά καί θά βλέπεις τά ἀνυπόφορα βασανιστήρια, τί θά πεῖς; σέ ποιόν θά καταφύγεις; ποιόν θά καλέσεις σύμμαχο καί βοηθό; Τόν Ἀβραάμ; Ἀλλά δέ θ' ἀκούσει. Μήπως τίς παρθένες ἐκεῖνες; Ἀλλ' οὔτε αὐτές θά σοῦ δώσουν λάδι. Μήπως τόν πατέρα, μήπως τόν παπποῦ σου; Ἀλλ' οὔτε κανένας ἀπ' αὐτούς θά ἔχει τή δύναμη, καί ἄν ἀκόμη θά εἶναι ὑπερβολικά ἅγιος, ν' ἀκυρώσει τήν ἀπόφαση ἐκείνη.

Σκεπτόμενος λοιπόν ὅλα αὐτά, ἐκεῖνον πού ἔχει τή δύναμη μόνο νά σχίσει τό δικό σου γραμμάτιο καί νά σβήσει τή φλόγα ἐκείνη, αὐτόν ἱκέτευε καί παρακάλα καί κάνε τον ἀπό τώρα εὐνοϊκό ἀπέναντί σου, τρέφοντας καί ντύνοντάς τον πάντοτε, ὥστε καί ἀπό ἐδῶ νά φύγεις μέ ἀγαθές ἐλπίδες καί ἐκεῖ ὅταν φθάσεις ν' ἀπολαύσεις τά αἰώνια ἀγαθά, τά ὁποῖα εἴθε ὅλοι μας νά ἐπιτύχουμε, μέ τή χάρη καί φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Κ'

(Ρωμ. 11,7–34)

«Τί οὖν ὃ ἐπιζητεῖ Ἰσραήλ, τοῦτο οὐκ ἐπέτυχεν; ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν».

1. Εἶπεν, ὅτι οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ δεικνὺς πῶς οὐκ ἀπώσατο, πάλιν ἐπὶ τοὺς προφήτας κατέφυγε· καὶ δι' αὐτῶν δηλώσας, ὅτι τὸ πλέον μέρος τῶν Ἰουδαίων ἀπόλωλεν, ἵνα μὴ δόξῃ πάλιν οἴκοθεν ἐκφέρειν τὴν κατηγορίαν, καὶ ἐπαχθῆ τὸν λόγον ποιεῖν, καὶ ὡς ἐχθρὸς αὐτῶν καθάπτεσθαι, ἐπὶ τὸν Δαυῒδ καὶ τὸν Ἠσαΐαν καταφεύγει, λέγων· «καθὼς γέγραπται· ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως». Μᾶλλον δὲ ἄνωθεν ἡμῖν ἀρκτέον τοῦ λόγου. Καὶ γὰρ εἰπὼν τὰ κατὰ τὸν Ἠλίαν, καὶ δείξας τί ποτέ ἐστι χάρις, ἐπήγαγε· «τί οὖν ὃ ἐπιζητεῖ Ἰσραήλ, τοῦτο οὐκ ἐπέτυχε»; Τοῦτο δὲ οὐκ ἐρωτῶντος μᾶλλόν ἐστιν, ἢ ἐγκαλοῦντος. Ἑαυτῷ γὰρ μάχεται, φησίν, ὁ Ἰουδαῖος, ζητῶν δικαιοσύνην, ἣν οὐ βούλεται λαβεῖν. Εἶτα ἀποστερῶν αὐτοὺς πάλιν συγγνώμης, ἀπὸ τῶν εἰληφότων δείκνυσιν αὐτῶν τὴν ἀγνωμοσύνην, οὕτω λέγων· «ἡ γὰρ ἐκλογὴ ἐπέτυχε»· κἀκεῖνοι τούτους κατακρινοῦσιν. Ὅπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγεν· «εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; Διὰ τοῦτο κριταὶ ὑμῶν ἔσονται».

Ἵνα γὰρ μηδεὶς τῇ τοῦ πράγματος ἐγκαλῇ φύσει, ἀλλὰ τῇ

1. Λουκᾶ 11, 19.

ΟΜΙΛΙΑ Κ΄

(Ρωμ. 11,7 – 34)

«Τί λοιπόν; ἐκεῖνο πού ζητάει ὁ Ἰσραηλιτικός λαός δέν τό ἐπέτυχε; Τό ἐπέτυχαν ὅμως ἐκεῖνοι πού ἐκλέχθηκαν, ἐνῶ οἱ λοιποί ἔγιναν πωρωμένοι».

1. Εἶπε ὅτι δέν ἀπώθησε μακριά του ὁ Θεός τό λαό του, καί γιά νά δείξει πῶς δέν τόν ἀπώθησε, πάλι στούς προφῆτες κατέφυγε. Καί ἀφοῦ μ' αὐτούς δήλωσε, ὅτι τό περισσότερο μέρος τῶν Ἰουδαίων χάθηκε, γιά νά μή φανεῖ πάλι ὅτι ἀπό μόνος του ἐκφέρει τήν κατηγορία, καί ὅτι κάνει ἐνοχλητικό τό λόγο, καί ὅτι σάν ἐχθρός στρέφεται ἐναντίον τους, καταφεύγει στό Δαβίδ καί τόν Ἠσαΐα, λέγοντας· «καθώς εἶναι γραμμένο· Ὁ Θεός τούς ἔδωσε πνεῦμα κατανύξεως». Καλύτερα ὅμως ἄς ἀρχίσουμε τό λόγο ἀπό τήν ἀρχή. Γιατί, ἀφοῦ εἶπε τά σχετικά μέ τόν Ἠλία, καί ἀφοῦ ἔδειξε τί τέλος πάντων εἶναι ἡ χάρη, πρόσθεσε· «τί λοιπόν ἐκεῖνο πού ζητάει ὁ Ἰσραηλιτικός λαός δέν τό ἐπέτυχε;». Αὐτό ὅμως δέν δείχνει ἄνθρωπο πού ρωτάει, ἀλλά ἄνθρωπο πού κατηγορεῖ. Γιατί μέ τόν ἑαυτό του, λέγει, μάχεται ὁ Ἰουδαῖος, ζητώντας δικαίωση, τήν ὁποία δέ θέλει νά λάβει. Ἔπειτα στερώντας ἀπ' αὐτούς πάλι τή συγγνώμη, δείχνει τήν ἀχαριστία τους ἀπό ἐκείνους πού ἔχουν λάβει τή δικαίωση, λέγοντας αὐτά· «ἐκεῖνοι ὅμως πού ἐκλέχθηκαν τό ἐπέτυχαν». Καί ἐκεῖνοι αὐτούς κατακρίνουν. Αὐτό ἀκριβῶς καί ὁ Χριστός ἔλεγε· «ἐάν ὅμως ἐγώ βγάζω τά δαιμόνια μέ τή βοήθεια τοῦ Βεελζεβούλ, οἱ υἱοί σας μέ τή δύναμη τίνος τά βγάζουν; Γι' αὐτό θά γίνουν κριτές σας»[1].

Γιά νά μήν κατηγορεῖ λοιπόν κανείς τή φύση τοῦ πράγματος,

ἐκείνων γνώμη, δείκνυσι καὶ τοὺς ἐπιτυχόντας. Διὸ καὶ σφόδρα ἐμφαντικῶς τῇ λέξει κέχρηται, καὶ τὴν ἄνωθεν χάριν καὶ τὴν αὐτῶν σπουδὴν ἐνδεικνύμενος. Οὐδὲ γὰρ ἵνα ἀνέλῃ τὸ αὐτεξούσιον, φησὶν ὅτι ἐπέτυχον, ἀλλ' ἵνα δηλώσῃ τῶν ἀγαθῶν τὸ μέγεθος, καὶ ὅτι τὸ πλέον τῆς χάριτος ἦν, οὐ τὸ πᾶν. Καὶ γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα ἐπέτυχεν, ὁ δεῖνα εὗρεν, ὅταν πολὺ κέρδος ᾖ τὸ γινόμενον. Οὐ γὰρ ἀνθρωπίνοις πόνοις, ἀλλὰ θείᾳ δωρεᾷ τὸ πλέον γέγονεν. «Οἱ δὲ λοιποὶ ἐπωρώθησαν». Ὅρα πότε ἐθάρρησεν εἰπεῖν οἰκείᾳ φωνῇ τὴν τῶν λοιπῶν ἐκβολήν. Εἶπε μὲν γὰρ αὐτὴν καὶ ἤδη, ἀλλὰ τοὺς προφήτας εἰσάγων κατηγοροῦντας· ἐνταῦθα ἀρκεῖται τῇ οἰκείᾳ ἀποφάσει, ἀλλὰ πάλιν τὸν Ἠσαΐαν εἰσάγει τὸν προφήτην. Εἰπὼν γάρ, «ἐπωρώθησαν», ἐπήγαγε, «καθὼς γέγραπται· ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως».

Καὶ πόθεν ἡ πώρωσις αὕτη; Εἶπε μὲν καὶ ἔμπροσθεν τὰς αἰτίας, καὶ τὸ πᾶν εἰς τὴν αὐτῶν περιέτρεψε κεφαλήν, δεικνὺς ὅτι ἐξ ἀκαίρου φιλονεικίας τοῦτο ὑπέμειναν· λέγει καὶ νῦν. Ὅταν γὰρ εἴπῃ, «ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν», οὐδὲν ἕτερον ἢ τὴν γνώμην αὐτῶν τὴν φιλόνεικον διαβάλλει. Καὶ γὰρ ὀφθαλμοὺς ἔχοντες ὥστε ἰδεῖν τὰ θαύματα, καὶ ὦτα κεκτημένοι ὥστε ἀκοῦσαι τῆς θαυμαστῆς ἐκείνης διδασκαλίας, οὐδενὶ τούτων εἰς δέον ἐχρήσαντο. Τὸ δέ, «ἔδωκεν», ἐνταῦθα μὴ ἐνέργειαν νόμιζε εἶναι, ἀλλὰ συγχώρησιν. Κατάνυξιν δὲ ἐνταῦθα τὴν ἐπὶ τὸ χεῖρον ἕξιν τῆς ψυχῆς φησι, τὴν ἀνιάτως ἔχουσαν καὶ ἀμεταθέτως· ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ὁ Δαυΐδ, «ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ»· τουτέστιν, οὐ μὴ μεταστῶ, οὐ μὴ ματαβληθῶ. Ὥσπερ γὰρ ὁ ἐν εὐλαβείᾳ κατανενυγμένος οὐκ ἂν ῥᾳδίως μεταβάλοιτο. Κατανυγῆναι γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ ἐμπαγῆναί που καὶ προσηλῶσθαι. Τὸ τοίνυν ἀνίατον αὐτῶν καὶ δυσμετάθετον τῆς

2. Ψαλμ. 29, 13.

ἀλλά τή δική τους διάθεση, δείχνει καί ἐκείνους πού ἐπέτυχαν. Γι' αὐτό καί μέ ὑπερβολική ἔμφαση χρησιμοποιεῖ τή λέξη, γιά νά φανερώσει καί τή χάρη τοῦ Θεοῦ καί τή δική τους προσπάθεια. Οὔτε βέβαια γιά νά καταργήσει τό αὐτεξούσιο, λέγει ὅτι ἐπέτυχαν, ἀλλά γιά νά δηλώσει τό μέγεθος τῶν ἀγαθῶν, καί ὅτι τό περισσότερο μέρος ἀνῆκε στή χάρη, ὄχι ὅλα. Καθόσον καί ἐμεῖς συνηθίζουμε νά λέμε, ὁ τάδε ἐπέτυχε, ὁ τάδε βρῆκε, ὅταν εἶναι μεγάλο κέρδος αὐτό πού γίνεται. Γιατί τό περισσότερο δέν ἔγινε ἀπό τούς ἀνθρώπινους κόπους, ἀλλ' ἀπό τή θεία δωρεά. «Οἱ λοιποί ὅμως ἔγιναν πωρωμένοι». Πρόσεχε πότε πῆρε θάρρος νά πεῖ μέ δική του φωνή γιά τήν ἀπόρριψη τῶν λοιπῶν. Γιατί εἶπε γι' αὐτήν καί πιό πρίν, ἀλλά παρουσιάζοντας κατηγόρους τούς προφῆτες. Ἐδῶ ὅμως καί ὁ ἴδιος πλέον διατυπώνει τή γνώμη του. Ἀλλ' οὔτε ἐδῶ ἀρκεῖται στή δική του κρίση, ἀλλά πάλι παρουσιάζει τόν προφήτη Ἡσαΐα. Γιατί, ἀφοῦ εἶπε, «ἔγιναν πωρωμένοι», πρόσθεσε, «καθώς εἶναι γραμμένο· ὁ Θεός τούς ἔδωσε πνεῦμα κατανύξεως».

Καί ἀπό ποῦ προέρχεται ἡ πώρωση αὐτή; Ἀνέφερε βέβαια καί πιό μπροστά τίς αἰτίες, καί ὅλα τά ἔστρεψε ἐναντίον τους, δείχνοντας ὅτι τό δέχθηκαν αὐτό ἀπό ἄκαιρη φιλονεικία, τίς ἀναφέρει ὅμως καί τώρα. Γιατί ὅταν λέγει, «μάτια νά μή βλέπουν καί αὐτιά νά μήν ἀκοῦν», δέν κατηγορεῖ τίποτε ἄλλο παρά τή φιλόνεικη διάθεσή τους. Γιατί, παρ' ὅλο πού εἶχαν καί μάτια γιά νά δοῦν τά θαύματα καί αὐτιά γιά ν' ἀκούσουν τή θαυμαστή ἐκείνη διδασκαλία, τίποτε ἀπ' αὐτά δέ χρησιμοποίησαν ὅπως ἔπρεπε. Καί τό, «ἔδωσε», ἐδῶ νά θεωρεῖς πώς δέ σημαίνει ἐνέργεια, ἀλλά συγκατάθεση. Κατάνυξη πάλι ἐδῶ ἐννοεῖ τήν πρός τό χειρότερο ἕξη τῆς ψυχῆς, πού εἶναι ἀνίατη καί ἀμετάθετη· καθόσον καί ἀλλοῦ λέγει ὁ Δαβίδ, «γιά νά ψάλει σέ σένα ἡ δόξα μου καί νά μή κατανυγῶ»[2], δηλαδή, νά μή μετακινηθῶ, νά μή μεταβληθῶ. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος πού εἶναι ναρκωμένος στήν εὐλάβεια δέ μπορεῖ νά μετακινηθεῖ εὔκολα, ἔτσι πάλι καί αὐτός πού ναρκώθηκε στήν πονηριά δέ θά μεταβαλλόταν εὔκολα. Νάρκωση λοιπόν τίποτε ἄλλο δέν εἶναι παρά τό νά σταθεροποιηθεῖ κανείς κάπου καί νά παραμείνει ἀκίνητος. Γιά νά δηλώσει λοιπόν τό πόσο ἀθεράπευτη εἶναι ἡ διάθεσή τους καί πόσο

γνώμης δηλῶν, «πνεῦμα κατανύξεως», εἶπεν.

2. *Εἶτα δεικνύς, ὅτι τῆς ἀπιστίας ταύτης τὴν ἐσχάτην δώσουσι δίκην, πάλιν ἐπάγει τὸν προφήτην ταῦτα ἀπειλοῦντα, ἅπερ ἐξέβη καὶ τέλος ἔλαβε. «Γενηθήτω γάρ», φησίν, «ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν καὶ εἰς σκάνδαλον»· τουτέστιν, ἡ τρυφή· τὰ ἀγαθὰ πάντα μεταβαλλέσθω καὶ ἀπολλύσθω, καὶ γενέσθωσαν εὐχείρωτοι πᾶσι. Καὶ δηλῶν, ὅτι ἁμαρτημάτων τίνουσι δίκην ταῦτα πάσχοντες, ἐπήγαγε· «καὶ εἰς ἀνταπόδομα αὐτοῖς». «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον». Ταῦτ' οὖν ἔτι ἑρμηνείας δεῖταί τινος; οὐχὶ καὶ τοῖς σφόδρα ἀνοήτοις δῆλα; Καὶ πρὸ τῶν ἡμετέρων ῥημάτων αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις προλαβοῦσα μαρτυρεῖ τοῖς εἰρημένοις. Πότε γὰρ οὕτως εὐχείρωτοι γεγόνασι; πότε εὐάλωτοι; πότε οὕτω τὸν νῶτον αὐτῶν συνέκαμψε; πότε τοιαύτην δουλείαν ὑπέστησαν; Καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ λύσις ἔσται τῶν δεινῶν τούτων ὃ καὶ αὐτὸς ὁ προφήτης ᾐνίξατο. Οὐδὲ γὰρ ἁπλῶς εἶπε, «τὸν νῶτον αὐτῶν σύγκαμψον», ἀλλὰ «διαπαντός».*

Εἰ δὲ φιλονεικεῖς, ὦ Ἰουδαῖε, περὶ τοῦ τέλους, ἀπὸ τῶν φθασάντων μάνθανε καὶ τὰ παρόντα. Κατέβης εἰς Αἴγυπτον· ἀλλ' ἐγένετο διακόσια ἔτη, καὶ ταχέως σε τῆς δουλείας ἐκείνης ἀπήλλαξεν ὁ Θεός, καὶ ταῦτα ἀσεβοῦντα καὶ πορνεύοντα πορνείαν τὴν χαλεπωτάτην. Ἀπηλλάγης Αἰγύπτου, καὶ προσεκύνησας μόσχον, ἔθυσας τοὺς υἱούς σου τῷ Βεελφεγώρ, τὸν ναὸν ἐμόλυνας, πᾶν εἶδος ἐπῆλθες κακίας, τὴν φύσιν αὐτὴν ἠγνόησας, τὰ ὄρη, τὰς νάπας, τοὺς βουνούς, τὰς πηγάς, τοὺς ποταμούς, τοὺς κήπους τῶν θυσιῶν ἐνέπλησας τῶν ἐναγῶν, προφήτας ἔσφαξας, θυσιαστήρια κατέστρεψας, πᾶσαν ὑπερβολὴν ἐπεδείξω πονηρίας καὶ ἀσεβείας. Ἀλλ' ὅμως ἑβδομήκοντά σε ἔτη παραδοὺς Βαβυλωνίοις, πάλιν ἐπὶ τὴν προτέραν ἐπανήγαγεν ἐλευθερίαν, καὶ τὸν ναὸν καὶ τὴν πατρίδα ἀπέδωκε, καὶ τὸ παλαιὸν τῆς πολειτείας σχῆμα, καὶ προφῆται πάλιν καὶ Πνεύματος χάρις· μᾶλλον δὲ οὐδὲ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας ἐγκατελείφθης, ἀλλὰ καὶ ἐκεῖ Δανιὴλ καὶ Ἰεζεκιήλ, καὶ ἐν

δύσκολα ἀλλάζει, εἶπε «πνεῦμα κατανύξεως».

2. Στή συνέχεια γιά νά δείξει, ὅτι θά τιμωρηθοῦν μέ τή χειρότερη τιμωρία γιά τήν ἀπιστία αὐτή, πάλι παρουσιάζει τόν προφήτη πού ἀπειλεῖ αὐτά, πού πραγματοποιήθηκαν καί ἐκπληρώθηκαν. «Ἄς γίνει», λέγει, «τό τραπέζι τους παγίδα, ἐνέδρα καί πρόσκομμα», δηλαδή, οἱ ἀπολαύσεις· τά ἀγαθά ὅλα ἄς μεταβάλλονται καί ἄς καταστρέφονται, καί ἄς νικηθοῦν εὔκολα ἀπ' ὅλους. Καί γιά νά δηλώσει, ὅτι καταδικάζονται γιά τά ἁμαρτήματα ὅταν παθαίνουν αὐτά, πρόσθεσε· «καί δίκαιη τιμωρία τους». «Τά μάτια τους ἄς σκοτεινιάσουν γιά νά μή βλέπουν, καί κύρτωσε τή ράχη τους γιά πάντα». Αὐτά λοιπόν χρειάζονται ἀκόμα κάποια ἑρμηνεία; δέν εἶναι φανερά καί στούς ὑπερβολικά ἀνόητους; Καί πρίν ἀπό τά δικά μας λόγια ἡ ἴδια ἡ ἔκβαση τῶν πραγμάτων προλαβαίνει καί βεβαιώνει αὐτά πού λέχθηκαν. Πότε λοιπόν ἔγιναν τόσο εὐκολονίκητοι; πότε ἔγιναν εὐάλωτοι; πότε κύρτωσε τόσο ἡ ράχη τους; πότε ὑπέστησαν τέτοια δουλεία; Καί τό ἀκόμη μεγαλύτερο, ὅτι δέ θά ὑπάρχει ἀπαλλαγή ἀπό τά δεινά αὐτά, πράγμα πού καί ὁ ἴδιος ὁ προφήτης ὑπαινίχθηκε. Γιατί δέν εἶπε ἁπλῶς, «κύρτωσε τή ράχη τους», ἀλλά, «γιά πάντα».

Ἐάν ὅμως φιλινεικεῖς, Ἰουδαῖε, γιά τό τέλος, ἀπό τά προηγούμενα μάθαινε καί τά παρόντα. Κατέβηκες στήν Αἴγυπτο. Πέρασαν ὅμως διακόσια χρόνια, καί ὁ Θεός γρήγορα σέ ἀπάλλαξε ἀπό τή δουλεία ἐκείνη, καί αὐτά ἔγιναν παρ' ὅλο πού ἀσεβοῦσες καί διέπραττες τήν πιό φοβερή πορνεία. Ἐλευθερώθηκες ἀπό τήν Αἴγυπτο, καί προσκύνησες τό μασχάρι, θυσίασες τά παιδιά σου στό Βεελφεγώρ, μόλυνες τό ναό, ἔκαμες κάθε εἶδος κακίας, ἀγνόησες τή φύση, τά ὄρη, τά φαράγγια, τά βουνά, τίς πηγές, τούς ποταμούς, γέμισες τούς κήπους ἀπό τί μολυσμένες θυσίες, ἔσφαξες προφῆτες, κατέστρεψες θυσιαστήρια, ἔδειξες κάθε ὑπερβολική πονηρία καί ἀσέβεια. Ἀλλ' ὅμως, ἀφοῦ σέ παρέδωσε γιά ἑβδομήντα χρόνια στούς Βαβυλώνιους, πάλι σέ ἐπανέφερε στήν προηγούμενη ἐλευθερία, σοῦ ἔδωσε πίσω καί τό ναό καί τήν πατρίδα καί τήν παλιά μορφή τοῦ πολιτεύματος, καί προφῆτες πάλι ἦταν καθώς καί ἡ χάρη τοῦ Πνεύματος. Μᾶλλον ὅμως οὔτε στόν καιρό τῆς αἰχμαλωσίας ἐγκαταλείφθηκες, ἀλλά καί ἐκεῖ ἦταν ὁ Δανιήλ καί ὁ Ἰεζεκιήλ, καί στήν Αἴ-

Αἰγύπτῳ Ἱερεμίας, καὶ ἐν ἐρήμῳ Μωϋσῆς. Μετ' ἐκεῖνα πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες κακίαν, καὶ ἐξεβακχεύθης, καὶ πρὸς τὴν ἑλληνικὴν μετετάξω πολιτείαν ἐπὶ Ἀντιόχου τοῦ ἀσεβοῦς· ἀλλὰ καὶ τότε ἔτη τρία μόνον καὶ μικρόν τι πρός, Ἀντιόχῳ παραδοθέντες, διὰ τῶν Μακκαβαίων τὰ λαμπρὰ πάλιν ἐστήσατε τρόπαια.

Ἀλλὰ νῦν τοιοῦτον οὐδέν, ἀλλὰ τοὐναντίον ἅπαν γέγονεν· ὃ καὶ μάλιστά ἐστι θαυμάσαι, ὅτι τὰ μὲν τῆς κακίας ἔληξε, τὰ δὲ τῆς τιμωρίας ἐπιτέταται, καὶ οὐδὲ ἐλπίδα τινὰ ἔχει μεταβολῆς. Οὐδὲ γὰρ ἑβδομήκοντα ἔτη παρῆλθε μόνον, οὐδὲ ἑκατόν, οὐδὲ δὶς τοσαῦτα, ἀλλὰ καὶ τριακόσια καὶ πολλῷ πλείω, καὶ οὔτε σκιὰν ἐλπίδος τοιαύτης ἔστιν εὑρεῖν· καὶ ταῦτα οὔτε εἰδωλολατρούντων ὑμῶν, οὔτε τὰ ἄλλὰ ποιούντων, ἅπερ ἔμπροσθεν ἐτολμᾶτε. Τί ποτ' οὖν ἐστι τὸ αἴτιον; Διεδέξατο τὸν τύπον ἡ ἀλήθεια, καὶ τὸν νόμον ἐξέκλεισεν ἡ χάρις. Ἅπερ οὖν ἄνωθεν προαναφωνῶν ὁ προφήτης ἔλεγε· «καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον». Εἶδες προφητείας ἀκρίβειαν, πῶς καὶ τὴν ἀπιστίαν προανεφώνησε, καὶ τὴν φιλονεικίαν ἔδειξε, καὶ τὴν ἑψομένην δίκην ἐδήλωσε, καὶ τὸ ἀπέραντον τῆς κολάσεως ἐνεδείξατο; Ἐπειδὴ γὰρ πολλοὶ τῶν παχυτέρων τοῖς μέλλουσι διαπιστοῦντες, ἀπὸ τῶν παρόντων τὰ μέλλοντα ἐβούλοντο ἰδεῖν, ἐντεῦθεν ἤδη ἐφ' ἑκάτερα τῆς ἑαυτοῦ δυνάμεως τὴν ἀπόδειξιν παρέσχετο ὁ Θεός, τοὺς μὲν ἐξ ἐθνῶν πιστεύσαντας ἐπάρας ὑπὲρ τὸν οὐρανόν, τοὺς δὲ ἐξ Ἰουδαίων ἀπιστήσαντας εἰς ἔσχατον ἐρημίας κατενεγκών, καὶ ἀλύτοις κακοῖς παραδούς.

3. Καθαψάμενος τοίνυν αὐτῶν σφοδρῶς, καὶ ἀφ' ὧν ἠπίστησαν, καὶ ἀφ' ὧν ἔπαθόν τε καὶ ἔμελλον πείσεσθαι, πάλιν παραμυθεῖται τὰ εἰρημένα, γράφων οὕτω· «λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; Μὴ γένοιτο». Ὅτε ἔδειξε μυρίων κακῶν ὄντας ὑπευθύνους, τότε παραμυθίαν ἐπινοεῖ. Καὶ σκόπει τὴν σύνεσιν τὴν Παύλου. Τὴν μὲν κατηγορίαν ἀπὸ τῶν προφητῶν εἰσήγαγε, τὴν δὲ παραμυθίαν παρ' ἑαυτοῦ τίθησιν. Ὅτι μὲν γὰρ αὐτοῖς ἡμάρτηται μεγάλα, φησίν,

γυπτο ὁ Ἱερεμίας, καί στήν ἔρημο ὁ Μωϋσῆς. Ὕστερα ἀπό ἐκεῖνα πάλι ἐπανῆλθες στήν προηγούμενη κακία, ἔγινες μανιακός, καί μεταπήδησες στόν Ἑλληνικό τρόπο ζωῆς τήν ἐποχή τοῦ Ἀντιόχου τοῦ ἀσεβῆ. Ἀλλά καί τότε τρία χρόνια μόνο καί λίγο παραπάνω, ἀφοῦ παραδοθήκατε στόν Ἀντίοχο, μέ τούς Μακκαβαίους στήσατε πάλι τά λαμπρά τρόπαια.

Τώρα ὅμως δέ συμβαίνει τίποτε τέτοιο, ἀλλά συνέβηκε ἐντελῶς τό ἀντίθετο, πράγμα πού μπορεῖ κανείς νά θαυμάσει καί πάρα πολύ, διότι ἡ κακία ἔληξε, ἐνῶ ἡ τιμωρία αὐξήθηκε, καί οὔτε ὑπάρχει κάποια ἐλπίδα μεταβολῆς. Γιατί δέν πέρασαν ἑβδομήντα χρόνια μόνο, οὔτε ἑκατό, οὔτε διακόσια, ἀλλά καί τριακόσια καί πολύ περισσότερα, καί δέν εἶναι δυνατό νά βρεῖ κανείς οὔτε σκιά τέτοιας ἐλπίδας. Καί αὐτά ἔγιναν χωρίς νά εἶστε εἰδωλολάτρες, οὔτε νά κάνετε τά ἄλλα, πού τολμούσατε προηγουμένως. Ποιά λοιπόν εἶναι ἡ αἰτία; Διαδέχθηκε τόν τύπο ἡ ἀλήθεια, καί τό νόμο ἀπέκλεισε ἡ χάρη. Αὐτά ἀκριβῶς προαναγγέλλοντας ἀπό τήν ἀρχή ὁ προφήτης ἔλεγε· «καί κύρτωσε τή ράχη τους γιά πάντα». Εἶδες τήν ἀκρίβεια τῆς προφητείας, πῶς καί τήν ἀπιστία προεῖπε, καί τή φιλονεικία ἔδειξε, καί τήν τιμωρία πού θ' ἀκολουθήσει δήλωσε καί τήν ἀτελείωτη κόλαση φανέρωσε; Ἐπειδή λοιπόν πολλοί ἀπό τούς πιό ἀνόητους δυσπιστοῦσαν γιά τά μελλοντικά καί ἤθελαν ἀπό τά παρόντα νά δοῦν τά μελλοντικά, ἀπό ἐδῶ ἤδη καί γιά τά δύο ὁ Θεός ἔδωσε τήν ἀπόδειξη τῆς δυνάμεώς του, ὑψώνοντας ἐκείνους πού πίστεψαν ἀπό τούς ἐθνικούς ψηλότερα ἀπό τόν οὐρανό, κατεβάζοντας ὅμως ἐκείνους πού δέν πίστεψαν ἀπό τούς Ἰουδαίους στήν τελευταία ἔρημο καί παραδίνοντάς τους σέ ἄλυτα κακά.

3. Ἀφοῦ τούς ἔλεγξε μέ μεγάλη σφοδρότητα, καί ἀπό ἐκεῖνα πού δέν πίστεψαν, καί ἀπό ἐκεῖνα πού ἔπαθαν καί ἐπρόκειτο νά πάθουν, πάλι τούς παρηγορεῖ γιά τά προηγούμενα, γράφοντας τά ἑξῆς· «Ἐρωτῶ λοιπόν, μήπως σκόνταψαν γιά νά εἶναι ἡ πτώση τους ὁλοκληρωτική; Μακριά μιά τέτοια σκέψη». Ὅταν ἔδειξε πώς εἶναι ὑπεύθυνοι γιά πάρα πολλά κακά, τότε ἐπινοεῖ τήν παρηγοριά. Καί πρόσεχε τή σύνεση τοῦ Παύλου. Τήν κατηγορία τήν παρουσίασε ἀπό τούς προφῆτες, ἐνῶ τήν παρηγοριά τήν παρουσιάζει ἀπό τόν ἑαυτό του. Τό ὅτι λοιπόν, λέγει, διέπραξαν αὐτοί μεγάλα ἁμαρτήμα-

οὐδεὶς ἀντερεῖ· ἴδωμεν δέ, εἰ τοιοῦτον τὸ πτῶμα, ὡς καὶ ἀνίατον εἶναι καὶ μηδεμίαν ἔχειν διόρθωσιν. Ἀλλ' οὐκ ἔστι τοιοῦτον. Εἶδες πῶς αὐτῶν πάλιν καθάπτεται καὶ ἐν προσδοκίᾳ παραμυθίας ὑπευθύνους ποιεῖ ἁμαρτημάτων ὡμολογημένων; Ἴδωμεν δὲ τίνα αὐτοῖς καὶ παραμυθίαν ἐπινοεῖ. Τίς οὖν ἡ παραμυθία; «Ὅταν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ», φησί, «τότε πᾶς Ἰσραὴλ σωθήσεται», κατὰ τὸν καιρὸν τῆς παρουσίας τῆς δευτέρας καὶ τῆς συντελείας.

Ἀλλ' εὐθέως μὲν τοῦτο οὐ λέγει· ἐπειδὴ δὲ σφοδρῶς αὐτῶν κατέδραμε καὶ κατηγορίαις συνῆψε κατηγορίας, προφήτας ἐπὶ προφήταις εἰσάγων καταβοῶντας αὐτῶν, τὸν Ἠσαΐαν, τὸν Ἠλίαν, τὸν Δαυΐδ, τὸν Μωϋσέα, τὸν Ὠσηέ, καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις· ἵνα μὴ ταύτῃ καὶ τούτους εἰς ἀπόγνωσιν ἐμβαλών, ἀποτειχίσῃ τὴν πρὸς τὴν πίστιν ἐπάνοδον, καὶ τοὺς ἐξ ἐθνῶν πάλιν πιστεύσαντας εἰς ἀπόνοιαν ἐπάρῃ καὶ φυσηθέντες καὶ αὐτοὶ βλαβῶσιν εἰς τὸν τῆς πίστεως λόγον, παραμυθεῖται πάλιν αὐτούς, λέγων· «ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία ἐν τοῖς ἔθνεσι». Δεῖ δὲ ἡμᾶς οὐχ ἁπλῶς ἀκούειν τῶν λεγομένων, ἀλλὰ τὴν γνώμην εἰδέναι καὶ τὸν σκοπὸν τοῦ λέγοντος, καὶ τί κατορθῶσαι ἐσπούδακεν· ὅπερ ἀεὶ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην. Ἂν γὰρ μετὰ τῆς διανοίας ταύτης δεξώμεθα τὰ εἰρημένα, ἐν οὐδενὶ τούτων ὀψόμεθα δυσκολίαν οὖσαν. Τὸ γὰρ σπουδαζόμενον αὐτῷ νῦν, τὴν ἐκ τῶν εἰρημένων ἐγγινομένην ἀπόνοιαν τοῖς ἐξ ἐθνῶν καθελεῖν· οὕτω γὰρ καὶ οὗτοι ἀσφαλέστερον μένειν ἔμελλον ἐν τῇ πίστει, μετριάζειν μαθόντες, καὶ οἱ ἐξ Ἰουδαίων τῆς ἀπογνώσεως ἀπαλλαγέντες, τῇ χάριτι προθυμότερον προσιέναι.

Πρὸς τοῦτον τοίνυν τὸν σκοπὸν ὁρῶντες, πάντων ἀκούωμεν τῶν ἐν τῷ χωρίῳ τούτῳ λεγομένων. Τί οὖν φησι; καὶ πόθεν δείκνυσιν, ὅτι οὐκ ἀνίατα ἔπεσον, οὐδὲ εἰς τέλος ἐξεβλήθησαν; Ἀπὸ

τα, κανείς δέν ἀντιλέγει, ἄς δοῦμε ὅμως, ἄν ἡ πτώση τους εἶναι τέτοια, ὥστε καί ἀνεπανόρθωτη νά εἶναι καί νά μήν ἔχει καμιά διόρθωση. Ἀλλά δέν εἶναι τέτοια. Εἶδες πῶς τούς ἐλέγχει πάλι, καί πῶς μέ τήν προσδοκία τῆς παρηγοριᾶς τούς κάνει ὑπεύθυνους γι' ἁμαρτήματα πού παραδέχθηκαν; Ἄς δοῦμε ὅμως καί ποιά παρηγοριά ἐπινοεῖ γι' αὐτούς. Ποιά λοιπόν εἶναι ἡ παρηγοριά; «Ὅταν μπεῖ στή βασιλεία τοῦ Χριστοῦ τό σύνολο τῶν ἐθνικῶν», λέγει, «τότε θά σωθεῖ ὁλόκληρος ὁ Ἰσραηλιτικός λαός», δηλαδή κατά τόν καιρό τῆς δευτέρας παρουσίας καί τῆς συντέλειας.

Καί ἀμέσως βέβαια δέν τό λέγει αὐτό, ἐπειδή ὅμως τούς κατηγόρησε μέ σφοδρότητα, προσθέτοντας κατηγορίες στίς κατηγορίες, καί παρουσιάζοντας προφῆτες μετά ἀπό προφῆτες νά φωνάζουν ἐναντίον τους, τόν Ἠσαΐα, τόν Ἠλία, τό Δαβίδ, τό Μωυσῆ, τόν Ὠσηέ, καί μιά φορά, καί δύο, καί πολλές φορές, γιά νά μή τούς ἀποκλείσει ἔτσι, ὁδηγώντας τους σέ ἀπόγνωση, τήν ἐπάνοδο στήν πίστη, καί γιά νά μήν ὁδηγήσει σέ ἀλαζονεία πάλι ἐκείνους ἀπό τούς ἐθνικούς πού πίστεψαν, καί ἀφοῦ ὑπερηφανευθοῦν καί αὐτοί νά ζημιωθοῦν στό ζήτημα τῆς πίστεως, τούς παρηγορεῖ πάλι, λέγοντας· «ἀλλά μέ τό ἁμάρτημά τους ἦρθε ἡ σωτηρία στούς ἐθνικούς». Πρέπει ὅμως ἐμεῖς νά μή ἀκοῦμε ἁπλῶς τά λόγια αὐτά, ἀλλά νά γνωρίζουμε τή διάθεση καί τό σκοπό ἐκείνου πού τά ἔλεγε καί τί προσπάθησε νά ἐπιτύχει, πράγμα πού πάντοτε παρακαλῶ τήν ἀγάπη σας. Γιατί, ἄν μέ τήν σκέψη αὐτή δεχθοῦμε τά προηγούμενα, σέ κανένα ἀπ' αὐτά δέ θά δοῦμε ὅτι ὑπάρχει δυσκολία. Γιατί ἐκεῖνο πού προσπαθοῦσε τότε, ἦταν ν' ἀπομακρύνει τήν ἀλαζονεία πού μποροῦσε νά δημιουργηθεῖ στούς πιστούς πού προέρχονταν ἀπό τούς ἐθνικούς· γιατί ἔτσι καί αὐτοί ἐπρόκειτο νά παραμένουν μέ περισσότερη σταθερότητα στήν πίστη, ἀφοῦ μάθαιναν νά εἶναι μετριόφρονες, καί ἐκεῖνοι πού προέρχονται ἀπό τούς Ἰουδαίους, ἀφοῦ ἀπαλλαγοῦν ἀπό τήν ἀπόγνωση, νά προσέλθουν μέ περισσότερη προθυμία στή χάρη.

Προσέχοντας λοιπόν πρός αὐτόν τό σκοπό, ἄς ἀκοῦμε ὅλα ὅσα λέγονται στό χωρίο αὐτό. Τί λοιπόν λέγει; καί ἀπό ποῦ φαίνεται, ὅτι δέν ἔπεσαν ἀνεπανόρθωτα καί ὅτι δέν ἀπορρίφθηκαν στό

τῶν ἐθνῶν, οὕτω λέγων· «τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς». Οὗτος δὲ οὐκ αὐτοῦ μόνον ὁ λόγος, ἀλλὰ καὶ ἐν τοῖς εὐαγγελίοις τοῦτο βούλονται αἱ παραβολαί. Καὶ γὰρ ὁ τοὺς γάμους ποιήσας τῷ υἱῷ, ἐπειδὴ οἱ κεκλημένοι οὐκ ἠθέλησαν ἐλθεῖν, τότε τοὺς ἐν ταῖς τριόδοις ἐκάλεσε. Καὶ ὁ τὸν ἀμπελῶνα δὲ καταφυτεύσας, ἐπειδὴ ἔσφαξαν οἱ γεωργοὶ τὸν κληρονόμον, τότε ἐξέδωκεν ἑτέροις τὸν ἀμπελῶνα. Καὶ χωρὶς δὲ παραβολῆς αὐτοῖς ἔλεγεν· «οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ». Καὶ τῇ Συροφοινικίσσῃ δὲ ἐπιμενούσῃ πλέον τι πάλιν ἔλεγεν· «οὐ γάρ ἐστι καλόν», φησί, «λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις».

Καὶ ὁ Παῦλος δὲ πρὸς τοὺς στασιάζοντας τῶν Ἰουδαίων, «ὑμῖν πρῶτον», φησίν, «ἀναγκαῖον ἦν λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀναξίους ἐκρίνατε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη». Καὶ διὰ πάντων δηλοῦται, ὅτι ἡ μὲν ἀκολουθία τῶν πραγμάτων αὕτη ἦν, ἐκείνους προσελθεῖν πρώτους, καὶ τότε τοὺς ἐξ ἐθνῶν, ἐπειδὴ δὲ ἠπίστησαν, ἀντεστράφη ἡ τάξις, καὶ ἡ ἀπιστία αὐτῶν καὶ τὸ παράπτωμα τούτους ἐποίησεν εἰσενεχθῆναι προτέρους. Διό φησι, «τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία ἐν τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς». Εἰ δὲ τὸ ἐξ ἀκολουθίας ἐκβὰν ὡς προηγουμένως γεγενημένον λέγει, μὴ θαυμάσῃς· βούλεται γὰρ αὐτῶν παραμυθήσασθαι πεπληγυίας τὰς ψυχάς. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἦλθε πρὸς αὐτοὺς Ἰησοῦς· οὐκ ἐδέξαντο αὐτὸν μυρία θαυματουργοῦντα, ἀλλ' ἐσταύρωσαν· ἐπεσπάσατο λοιπὸν τὰ ἔθνη, ἵνα ἡ ἐκείνων τιμὴ δάκνουσα αὐτῶν τὴν ἀναισθησίαν, κἂν ἐκ τῆς πρὸς ἑτέρους φιλονεικίας αὐτοὺς πείσῃ προσελθεῖν. Ἔδει μὲν γὰρ δεχθῆναι πρῶτον ἐκείνους, καὶ τότε ἡμᾶς· διὸ καὶ ἔλεγε· «δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι»· ἐπειδὴ δὲ ἀπεσκίρτησαν, οἱ δεύτεροι πρῶτοι γεγόναμεν.

3. Βλ. Ματθ. 22, 1–14.
4. Βλ. Ματθ. 21, 33–36.
5. Ματθ. 15, 24. 26.
6. Πράξ. 13, 46.
7. Ρωμ. 1, 16.

τέλος; Ἀπό τούς ἐθνικούς, λέγοντας τά ἑξῆς· «μέ τό παράπτωμά τους ἦρθε ἡ σωτηρία στούς ἐθνικούς, γιά νά κινήσει τή ζηλοτυπία τῶν Ἰσραηλιτῶν». Καί αὐτός ὁ λόγος δέν εἶναι μόνο δικός του, ἀλλά καί στά εὐαγγέλια τό ἴδιο θέλουν νά ποῦν οἱ παραβολές. Γιατί καί ἐκεῖνος πού ἔκανε τούς γάμους τοῦ υἱοῦ του, ὅταν οἱ καλεσμένοι δέ θέλησαν νά ἔρθουν, τότε κάλεσε ὅσους βρίσκονταν στά σταυροδρόμια[3]. Καί ἐκεῖνος πάλι πού φύτεψε τό ἀμπέλι, ὅταν οἱ γεωργοί ἔσφαξαν τόν κληρονόμο, τότε παρέδωσε σέ ἄλλους τό ἀμπέλι[4]. Καί χωρίς παραβολή ἐξάλλου ἔλεγε σ' αὐτούς· «Δέν εἶμαι σταλμένος, παρά στά πρόβατα τά χαμένα τοῦ Ἰσραηλιτικοῦ γένους». Καί στή Συροφοίνισσα πού ἐπέμενε, κάτι παραπάνω πάλι ἔλεγε· «Δέν εἶναι σωστό», λέγει, νά πάρει κανείς τό ψωμί τῶν παιδιῶν καί νά τό δώσει στά σκυλάκια»[5].

Ἀλλά καί ὁ Παῦλος πρός τούς Ἰουδαίους πού στασίασαν ἐναντίον του λέγει· «ἦταν ἀναγκαῖο νά κηρυχθεῖ ὁ λόγος τοῦ Θεοῦ πρῶτα σ' ἐσᾶς. Ἐπειδή ὅμως κρίνατε τούς ἑαυτούς σας ἀνάξιους, στρεφόμαστε τώρα στά ἔθνη»[6]. Καί μέ ὅλα φαίνεται, ὅτι ἡ σειρά τῶν πραγμάτων αὐτή ἦταν, πρῶτα νά προσέλθουν αὐτοί στήν πίστη καί ὕστερα οἱ προερχόμενοι ἀπό τούς ἐθνικούς· ἐπειδή ὅμως δέν πίστεψαν, ἀντιστράφηκε ἡ τάξη, καί ἡ ἀπιστία καί τό ἁμάρτημά τους ἔγινε αἰτία νά εἰσέλθουν πρῶτοι αὐτοί. Γι' αὐτό λέγει, «μέ τό ἁμάρτημά τους ἦρθε ἡ σωτηρία στούς ἐθνικούς, γιά νά κινήσει σέ ζηλοτυπία τούς Ἰσραηλίτες». Ἐάν ὅμως τό γεγονός πού θά συνέβαινε τό ἀναφέρει σάν νά συνέβηκε προηγουμένως, μήν ἀπορήσεις, γιατί θέλει νά παρηγορήσει τίς πληγωμένες ψυχές τους. Καί αὐτό πού λέγει σημαίνει τό ἑξῆς· ἦρθε σ' αὐτούς ὁ Ἰησοῦς· δέν τόν δέχθηκαν, παρ' ὅλο πού ἔκανε ἄπειρα θαύματα, ἀλλά τόν σταύρωσαν· προσέλκυσε στή συνέχεια τούς ἐθνικούς, ὥστε ἡ τιμή σ' ἐκείνους, ἐρεθίζοντας τήν ἀναισθησία τους, νά τούς πείσει νά προσέλθουν στήν πίστη τουλάχιστο ἀπό ζηλοτυπία πρός ἄλλους. Γιατί ἔπρεπε βέβαια νά τόν δεχθοῦν πρῶτα ἐκεῖνοι, καί ὕστερα ἐμεῖς· γι' αὐτό καί ἔλεγε· «γιατί τό εὐαγγέλιο τοῦ Χριστοῦ εἶναι δύναμη τοῦ Θεοῦ γιά τή σωτηρία κάθε ἀνθρώπου πού πιστεύει, τοῦ Ἰουδαίου πρῶτα καί μετά τοῦ Ἕλληνα»[7], ἀλλ' ἐπειδή αὐτοί ἀποσκίρτησαν, οἱ δεύτεροι ἔγιναν πρῶτοι.

Εἶδες τοίνυν πόσην αὐτοῖς κἀντεῦθεν συνάγει τιμήν; μίαν μέν, ὅτι τότε φησὶν ἡμᾶς κληθῆναι, ὅτε αὐτοὶ οὐκ ἠθέλησαν· δευτέραν δέ, ὅτι διὰ τοῦτό φησι κληθῆναι, οὐχ ἵνα ἡμεῖς σωθῶμεν μόνον, ἀλλ' ἵνα καὶ ἐκεῖνοι διὰ τῆς ἡμετέρας σωτηρίας ζηλώσαντες, βελτίους γένωνται. Τί οὖν, φησίν; εἰ μὴ διὰ τοὺς Ἰουδαίους, οὐκ ἂν ἐκλήθημεν καὶ ἐσώθημεν; Οὐκ ἂν πρὸ ἐκείνων, ἀλλ' ἐν τῇ προσηκούσῃ τάξει. Διὸ καὶ ὅτε τοῖς μαθηταῖς ἔλεγεν, οὐκ εἶπεν ἁπλῶς, πορεύεσθε πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ, ἀλλά, «πορεύεσθε μᾶλλον πρὸς τὰ πρόβατα»· δεικνὺς ὅτι καὶ πρὸς ἐκεῖνα δεῖ μετὰ ταῦτα ἀπελθεῖν. Καὶ Παῦλος πάλιν οὐκ εἶπεν, ὑμῖν ἀναγκαῖον ἦν λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ, ἀλλ', «ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον», δεικνὺς ὅτι καὶ ἐκ δευτέρου καὶ ἡμῖν. Ταῦτα δὲ καὶ ἐγίνετο καὶ ἐλέγετο, ἵνα μηδὲ ἀναίσχυντον ἔχωσιν ἐκεῖνοι πρόφασιν ὡς παροφθέντες, καὶ διὰ τοῦτο μὴ πιστεύσαντες. Διὰ δὴ τοῦτο καὶ πάντα προειδὼς ὁ Χριστός, ὅμως πρὸς αὐτοὺς παρεγένετο πρώτους.

4. «Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν»; Ἐνταῦθα πρὸς χάριν αὐτοῖς διαλέγεται. Καὶ γὰρ εἰ μυριάκις παρέπεσον οὗτοι, οὐκ ἂν ἐσώθη τὰ ἔθνη, εἰ μὴ πίστιν ἐπεδείξαντο· ὥσπερ οὖν οὐδ' ἂν Ἰουδαῖοι ἀπώλοντο, εἰ μὴ ἠπίστησαν καὶ ἐφιλονείκησαν. Ἀλλ', ὅπερ ἔφην, παραμυθεῖται αὐτοὺς κειμένους, ἐκ περιουσίας παρασκευάζων θαρρεῖν ὑπὲρ τῆς σωτηρίας αὐτῶν, εἰ μετάθοιντο. Εἰ γὰρ ὅτε, φησί, προσέκρουσαν, τοσοῦτοι σωτηρίας ἀπήλαυσαν, καὶ ἐν τῷ ἐκβληθῆναι ἐκείνους τοσοῦτοι ἐκλήθησαν, ἐννόησον τί ἔσται, ὅταν ἐπιστρέψωσιν. Ἀλλ' οὐκ εἶπεν οὕτως, ὅταν ἐπιστρέψωσιν. Οὐ γὰρ εἶπε, πόσῳ μᾶλλον ἡ ἐπιστροφὴ αὐτῶν, οὐδὲ ἡ μεταβολὴ αὐτῶν, οὐδὲ τὸ κατόρθωμα αὐτῶν, ἀλλά, «πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν», τουτέστιν, ὅταν πάντες εἰσιέναι μέλλωσι. Τοῦτο δὲ εἶπε, δεικνὺς καὶ τότε τὸ πλέον τῆς χάριτος ἐσόμενον, καὶ τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ σχεδὸν τὸ πᾶν.

«Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ' ὅσον μὲν εἰμὶ ἐγὼ ἐθνῶν

---

8. Ματθ. 10, 6.

Εἶδες λοιπόν πόση τιμή ἀποδίδει σ' αὐτούς καί ἀπό ἐδῶ; Μία, τό ὅτι λέγει ὅτι τότε κληθήκαμε ἐμεῖς, ὅταν αὐτοί δέ θέλησαν· καί δεύτερη, ὅτι γι' αὐτό λέγει κληθήκαμε, ὄχι γιά νά σωθοῦμε μόνο ἐμεῖς, ἀλλά γιά νά γίνουν καί ἐκεῖνοι καλύτεροι, ἀφοῦ ζηλέψουν μέ τή δική μας σωτηρία. Τί λοιπόν, λέγει; ἐάν δέν ἦταν αἴτιοι οἱ Ἰουδαῖοι δέ θά καλούμασταν καί δέ θά σωνόμασταν; Δέ θά μᾶς καλοῦσε πρίν ἀπ' αὐτούς, ἀλλά μέ τή σειρά πού ἔπρεπε. Γι' αὐτό καί ὅταν μιλοῦσε στούς μαθητές του, δέν εἶπε ἁπλῶς, 'πηγαίνετε στά πρόβατα τά χαμένα τοῦ οἴκου Ἰσραήλ', ἀλλά, «πηγαίνετε πιό πολύ στά πρόβατα»[8], γιά νά δείξει ὅτι καί σ' ἐκεῖνα πρέπει νά μεταβοῦν ὕστερα ἀπ' αὐτά. Καί ὁ Παῦλος πάλι δέν εἶπε, 'ἦταν ἀναγκαῖο νά κηρυχθεῖ ὁ λόγος τοῦ Θεοῦ σ' ἐσᾶς', ἀλλά, «σ' ἐσᾶς ἦταν ἀναγκαῖο νά κηρυχθεῖ πρῶτα ὁ λόγος τοῦ Θεοῦ», γιά νά δείξει ὅτι μετά ἀπό ἐκείνους ἔπρεπε νά κηρυχθεῖ καί σ' ἐμᾶς. Αὐτά ὅμως καί γίνονταν καί λέγονταν, γιά νά μήν ἔχουν ἐκεῖνοι τήν ἀναίσχυντη πρόφαση ὅτι τάχα τούς παρέβλεψε, καί γι' αὐτό δέν πίστεψαν. Γι' αὐτό λοιπόν, ἄν καί τά προγνώριζε ὅλα ὁ Χριστός, ὅμως σ' αὐτούς ἦρθε πρῶτα.

4. «Ἐάν ὅμως τό παράπτωμά τους ἔφερε πλοῦτο στόν κόσμο καί ἡ ἀποτυχία τους ἔγινε αἰτία πλούτου στούς ἐθνικούς, πόσο περισσότερο θά συνέβαινε αὐτό ἄν προσήρχονταν ὅλοι σ' αὐτόν; Ἐδῶ ὁμιλεῖ κολακευτικά γι' αὐτούς. Γιατί, καί ἄν ἀκόμη χίλιες φορές ἁμάρταναν αὐτοί, δέ θά σώζονταν οἱ ἐθνικοί, ἄν δέν ἔδειχναν πίστη, ὅπως βέβαια πάλι οὔτε οἱ Ἰουδαῖοι θά χάνονταν, ἄν δέν ἀπιστοῦσαν καί δέ φιλονεικοῦσαν. Ἀλλά, ὅπως προανέφερα, τούς παρηγορεῖ ἐνῶ εἶναι πεσμένοι, προετοιμάζοντας σέ μεγάλο βαθμό νά μή φοβοῦνται γιά τή σωτηρία τους, ἄν ἄλλαζαν γνώμη. Ἐάν λοιπόν, λέγει, ὅταν ἀπορρίφθηκαν ἐκεῖνοι, τόσοι πολλοί κλήθηκαν, σκέψου τί θά συμβεῖ, ὅταν ἐπιστρέψουν. Ἀλλά δέν τό εἶπε αὐτό, δηλαδή ὅταν ἐπιστρέψουν. Γιατί δέν εἶπε, 'πόσο μᾶλλον ἡ ἐπιστροφή τους, οὔτε ἡ μεταβολή τους, οὔτε τό κατόρθωμά τους', ἀλλά, «πόσο μᾶλλον τό πλήρωμα αὐτῶν», δηλαδή, ὅταν θά συμβεῖ νά ἔρθουν ὅλοι. Καί αὐτό τό εἶπε, γιά νά δείξει ὅτι καί τότε τό περισσότερο θ' ἀνήκει στή χάρη καί στή δωρεά τοῦ Θεοῦ, καί σχεδόν ὅλο.

«Σ' ἐσᾶς ὅμως τούς ἐθνικούς λέγω, ἐφόσον εἶμαι ἀπόστολος

ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, εἴ πως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν». Πάλιν ὑποψίας πονηρᾶς ἑαυτὸν ἀπαλλάξαι ἐσπούδακε. Καὶ δοκεῖ μὲν ἐπιπλήττειν τοῖς ἐξ ἐθνῶν καὶ ταπεινοῦν αὐτῶν τὰ φρονήματα, ἠρέμα δὲ παρακνίζει τὸν Ἰουδαῖον. Καὶ περιέρχεται μὲν ζητῶν περιστεῖλαι καὶ παραμυθήσασθαι τὴν τοσαύτην αὐτῶν ἀπώλειαν, οὐδὲ δὲ εὑρίσκει διὰ τὴν τῶν πραγμάτων φύσιν. Καὶ γὰρ ἐξ ὧν εἴρηκε, μείζονος ἦσαν κατηγορίας ἄξιοι, ὅταν τὰ αὐτοῖς εὐτρεπισμένα ἕτεροι σφόδρα αὐτῶν ἀποδέοντες εἰληφότες ὦσι. Διὰ δὴ τοῦτο ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τοὺς ἐξ ἐθνῶν μεταβαίνει, καὶ μέσον παρεντίθησι τὸν περὶ τούτων λόγον, ἐνδείξασθαι βουλόμενος, ὅτι πάντα ταῦτα λέγει, ἵνα αὐτοὺς μετριάζειν παιδεύσῃ. Ἐπαινῶ γὰρ ὑμᾶς, φησί, διὰ δύο ταῦτα· δι' ἓν μέν, ὅτι ἀνάγκην ἔχω τὴν διακονίαν ὑμῶν ἐγκεχειρισμένος· δι' ἕτερον δέ, ἵνα δι' ὑμῶν ἑτέρους σώσω. Καὶ οὐ λέγει, τοὺς ἀδελφούς μου, τοὺς συγγενεῖς μου, ἀλλά, «τὴν σάρκα».

Εἶτα τὴν φιλονεικίαν αὐτῶν ἐνδεικνύμενος, οὐ λέγει, εἴ πως πείσω, ἀλλά, «παραζηλώσω καὶ σώσω», καὶ οὐδὲ ἐνταῦθα ἅπαντας, ἀλλά, «τινὰς ἐξ αὐτῶν»· οὕτως ἦσαν σκληροί. Καὶ ἐν αὐτῇ τῇ ἐπιτιμήσει δὲ λαμπρὰ δείκνυσι πάλιν τὰ τῶν ἐθνῶν· εἴγε καὶ αἴτιοι γίνονται σωτηρίας αὐτοῖς, καὶ οὐ διὰ τῶν αὐτῶν· ἐκεῖνοι μὲν γὰρ τούτοις ἐξ ἀπιστίας, οὗτοι δὲ ἐκείνοις ἀπὸ πίστεως πρόξενοι γίνονται τῶν ἀγαθῶν. Ὅθεν δοκεῖ καὶ ἰσάζειν καὶ πλεονεκτεῖν τὰ τῶν ἐθνῶν. Τί γὰρ ἂν εἴποις, ὦ Ἰουδαῖε; εἰ μὴ ἐξεβλήθημεν ἡμεῖς, οὐκ ἂν ἐκλήθητε εὐθέως ὑμεῖς; Τὸ αὐτὸ λέγει καὶ ὁ ἐξ ἐθνῶν· εἰ μὴ ἐσώθην ἐγώ, οὐκ ἂν ἐζήλωσας σύ. Εἰ δὲ καὶ ᾧ πλεονεκτοῦμεν βούλει μαθεῖν, ἐγὼ μὲν ἐκ τοῦ πιστεῦσαι, σὲ σώζω, σὺ δὲ προσκεκρουκώς, πάροδον ἡμῖν δέδωκας σοῦ προτέραν.

5. Εἶτα πάλιν αἰσθόμενος ὅτι καθήψατο αὐτῶν, τὸ πρότερον ἀναλαμβάνει, καί φησιν· «εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;». Ἀλλὰ καὶ τοῦτο

τῶν ἐθνῶν, τιμῶ τήν ὑπηρεσία μου, μήπως κεντήσω τή ζήλεια τῶν ὁμοεθνῶν μου καί σώσω μερικούς ἀπ' αὐτούς». Πάλι προσπάθησε ν' ἀπαλλάξει τόν ἑαυτό του ἀπό πονηρή ὑποψία. Καί φαίνεται βέβαια ὅτι ἐπιτιμᾶ τούς Χριστιανούς πού προέρχονται ἀπό τούς ἐθνικούς καί ταπεινώνει τά φρονήματά τους, ἀλλά σιγά-σιγά ἐρεθίζει τόν Ἰουδαῖο. Καί προσπαθεῖ νά βρεῖ ὥστε νά περιορίσει καί νά μειώσει τήν τόσο μεγάλη τους καταστροφή, τίποτε ὅμως δέ βρίσκει ἐξ αἰτίας τῆς φύσεως τῶν πραγμάτων. Γιατί καί ἀπ' αὐτά πού εἶπε, ἄξιζαν μεγαλύτερη κατηγορία, ἀφοῦ, ἐκεῖνα πού ἑτοιμάστηκαν γι' αὐτούς, τά ἔλαβαν ἄλλοι, ἄν καί ἦταν πάρα πολύ κατώτεροι ἀπ' αὐτούς. Γι' αὐτό λοιπόν ἀπό τούς Ἰουδαίους πηγαίνει στούς Χριστιανούς πού προέρχονται ἀπό τούς ἐθνικούς, καί παρεμβάλλει τό λόγο γι' αὐτούς, ἐπειδή θέλει ν' ἀποδείξει, ὅτι ὅλα αὐτά τά λέγει, γιά νά τούς διδάξει νά εἶναι μετριόφρονες. Γιατί, λέγει, σᾶς ἐπαινῶ γι' αὐτά τά δύο· τό πρῶτο, γιατί πρέπει, ἀφοῦ ἔχω ἀναλάβει τή διακονία σας, καί τό δεύτερο, γιά νά σώσω μέ σᾶς ἄλλους. Καί δέ λέγει, 'τούς ἀδελφούς μου, τούς συγγενεῖς μου', ἀλλά «τή σάρκα».

Ἔπειτα, γιά νά δείξει τή φιλονεικία τους, δέ λέγει, 'μήπως πείσω', ἀλλά «κεντήσω τή ζήλεια καί σώσω», καί οὔτε ἐδῶ ὅλους, ἀλλά «μερικούς ἀπ' αὐτούς». Τόσο σκληροί ἦταν. Καί μ' αὐτή τήν ἐπιτίμηση ὅμως δείχνει πάλι λαμπρά τά πράγματα τῶν ἐθνικῶν, ἐφόσον δηλαδή γίνονται καί αἴτιοι τῆς σωτηρίας αὐτῶν, ἀλλ' ὄχι γιά τόν ἴδιο λόγο. Ἐκεῖνοι δηλαδή γίνονται πρόξενοι ἀγαθῶν γι' αὐτούς ἀπό τήν ἀπιστία τους, ἐνῶ αὐτοί γιά ἐκείνους ἀπό τήν πίστη τους. Ἑπομένως φαίνονται οἱ ἐθνικοί πώς εἶναι καί ἰσάξιοι καί ἀνώτεροι. Τί λοιπόν θά μποροῦσες νά πεῖς, Ἰουδαῖε; Ἄν δέν ἀπορριπτόμασταν ἐμεῖς, δέ θά εἴχατε κληθεῖ ἐσεῖς; Τό ἴδιο λέγει καί ὁ ἐξ ἐθνικῶν Χριστιανός· ἄν δέ σωζόμουν ἐγώ, δέ θά ζήλευες ἐσύ. Ἐάν ὅμως θέλεις νά μάθεις καί αὐτό γιά τό ὁποῖο εἴμαστε ἀνώτεροι, ἐγώ ἐπειδή πίστεψα, σέ σώζω, ἐνῶ σύ, ἐπειδή πολέμησες τήν πίστη, μᾶς παραχώρησες τό πέρασμα πρίν ἀπό σένα.

5. Ἔπειτα πάλι, ἐπειδή ἀντιλήφθηκε ὅτι τούς πρόσβαλε, ἐπαναλαμβάνει τό προηγούμενο, καί λέγει· «Γιατί, ἄν ἡ ἀπόρριψή τους ἔφερε τή συμφιλίωση τοῦ κόσμου, τί ἄλλο θά εἶναι ἡ ἀποδοχή τους

αὐτοὺς καταδικάζει πάλιν, εἴγε ἄλλοι μὲν ἐκ τῶν ἁμαρτημάτων αὐτῶν ἐκέρδανον, οὗτοι δὲ οὐδὲ ἐκ τῶν κατορθωμάτων ἑτέρων ὠφελήθησαν. Εἰ δὲ τὸ ἐξ ἀνάγκης συμβάν, τοῦτο ἐκείνων εἶναί φησι, μὴ θαυμάσῃς· ἵνα γὰρ καὶ τούτους, ὃ πολλάκις εἶπον, καταστείλῃ, κἀκείνους προτρέψῃ, οὕτω σχηματίζει τὸν λόγον. Ὅπερ γὰρ ἔφθην εἰπών, εἰ καὶ μυριάκις ἀπεβλήθησαν Ἰουδαῖοι, πίστιν δὲ μὴ ἐπεδείξαντο τὰ ἔθνη, οὐκ ἂν ἐσώθησάν ποτε. Ἀλλὰ τῷ ἠσθενηκότι παρίσταται μέρει, καὶ βοηθεῖ τῷ πεπονηκότι. Ὅρα δὲ καὶ ἐν οἷς χαρίζεται, διὰ ῥημάτων αὐτοὺς παραμυθούμενον μόνον. «Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν», φησί, «καταλλαγὴ κόσμου». Καὶ τί τοῦτο πρὸς Ἰουδαίους; «Τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;». Ἀλλ' οὐδὲ τοῦτό τι πρὸς ἐκείνους, εἰ μὴ προσελήφθησαν.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ ὀργιζόμενος αὐτοῖς, τοσαῦτα ἐχαρίσατο ἑτέροις, ὅταν αὐτοῖς καταλλαγῇ, τί οὐ χαριεῖται; Ἀλλ' ὥσπερ ἡ ἀνάστασις τῶν νεκρῶν οὐ διὰ τὴν πρόσληψιν αὐτῶν, οὕτως οὐδὲ ἡ σωτηρία νῦν ἡ ἡμετέρα δι' αὐτούς· ἀλλ' ἐξεβλήθησαν μὲν ἐκ τῆς ἀνοίας αὐτῶν, ἐσώθημεν δὲ ἀπὸ τῆς πίστεως ἡμεῖς, καὶ τῆς ἄνωθεν χάριτος. Τούτων δὲ οὐδὲν ἐκείνους ὠφελῆσαι δυνήσεται, εἰ μὴ τὴν προσήκουσαν ἐπιδείξαιντο πίστιν. Πλὴν ἀλλὰ τὰ αὐτῷ συνήθη ποιῶν, προάγει τὸν λόγον εἰς ἕτερον ἐγκώμιον, οὐκ ὂν ἐγκώμιον, ἀλλὰ δοκοῦν εἶναι μόνον, τοὺς ἀρίστους τῶν ἰατρῶν μιμούμενος, οἳ τοσαῦτα παραμυθοῦνται τοὺς κάμνοντας, ὅσα ἡ τῆς ἀρρωστίας ἐνδίδωσι φύσις. Τί γάρ φησιν; «Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι»· ἀπαρχὴν ἐνταῦθα καὶ ῥίζαν καλῶν τοὺς περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοὺς προφήτας, τοὺς πατριάρχας, τοὺς ἐπὶ τῆς παλαιᾶς εὐδοκιμηκότας ἅπαντας· κλάδους δὲ τοὺς ἐξ αὐτῶν πιστεύσαντας.

Εἶτα ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολλοὺς ἠπιστηκέναι, ὅρα πῶς πάλιν αὐτὸ ὑποτέμνεται, καί φησιν· «εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν». Καὶ μὴν ἄνω ἔλεγες, ὅτι οἱ πλείους ἀπώλοντο, καὶ

παρά ζωή ἐκ νεκρῶν;». Ἀλλά καί αὐτό τούς καταδικάζει πάλι, ἐφόσον ἄλλοι κέρδισαν ἀπό τά ἁμαρτήματά τους, ἐνῶ αὐτοί δέν ὠφελήθηκαν οὔτε ἀπό τά κατορθώματα ἄλλων. Ἐάν ὅμως ἐκεῖνο πού συνέβηκε ἀπό ἀνάγκη αὐτό λέγει ὅτι ἀνήκει σ' ἐκείνους, μήν ἀπορήσεις· γιατί συνθέτει τό λόγο ἔτσι, ὥστε, πράγμα πού εἶπα πολλές φορές, καί αὐτούς νά συγκρατήσει καί ἐκείνους νά προτρέψει. Γιατί, ὅπως προανέφερα, καί ἄν ἀκόμη ἄπειρες φορές ἀπορρίπτονταν οἱ Ἰουδαῖοι, δέν ἔδειχναν ὅμως πίστη οἱ ἐθνικοί, δέ θά σώζονταν ποτέ. Ἀλλά δείχνει συμπαράσταση πρός τό ἀδύνατο μέρος καί βοηθάει αὐτό πού πονάει. Πρόσεχε ὅμως καί πῶς τούς χαρίζεται, παρηγορώντας αὐτούς μόνο μέ λόγια. «Γιατί, ἄν ἡ ἀπόρριψή τους», λέγει, «ἔφερε τή συμφιλίωση τοῦ κόσμου». Καί τί σχέση ἔχει αὐτό πρός τούς Ἰουδαίους; «Τί θά εἶναι ἡ ἀποδοχή τους παρά ζωή ἐκ νεκρῶν;». Ἀλλ' οὔτε αὐτό θά ὠφελοῦσε σέ τίποτα ἐκείνους, ἄν δέ γίνονταν δεκτοί.

Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· ἄν, ἐνῶ ὀργίζεται πρός αὐτούς, χάρισε τόσα πολλά σέ ἄλλους, ὅταν συμφιλιωθεῖ μ' αὐτούς, τί δέ θά χαρίσει; Ἀλλ' ὅπως ἀκριβῶς ἡ ἀνάσταση τῶν νεκρῶν δέ γίνεται ἐξ αἰτίας τῆς προσλήψεως αὐτῶν, ἔτσι οὔτε ἡ σωτηρία μας τώρα γίνεται ἐξ αἰτίας τους· αὐτοί ἀπορρίφθηκαν δηλαδή ἀπό τήν ἀνοησία τους, ἐνῶ ἐμεῖς σωθήκαμε ἀπό τήν πίστη μας καί τή χάρη τοῦ Θεοῦ. Τίποτε ὅμως ἀπ' αὐτά δέ θά μπορέσει νά ὠφελήσει ἐκείνους, ἄν δέ δείξουν τήν πρέπουσα πίστη. Πλήν ὅμως ἐνεργῶντας κατά τό σύνηθες σ' αὐτόν, φέρνει τό λόγο σ' ἄλλο ἐγκώμιο, πού δέν εἶναι ἐγκώμιο, ἀλλά φαίνεται μόνο πῶς εἶναι, καί μιμεῖται τούς ἄριστους ἀπό τούς ἰατρούς, πού παρηγοροῦν τόσο τούς ἀρρώστους, ὅσο ἐπιτρέπει ἡ φύση τῆς ἀρρώστιας. Τί λοιπόν λέγει; «Ἐάν ὅμως εἶναι ἅγια ἡ ἀπαρχή, θά εἶναι καί τό φύραμα, καί ἐάν εἶναι ἅγια ἡ ρίζα, θά εἶναι καί τά κλαδιά», ὀνομάζοντας ἐδῶ ἀπαρχή καί ρίζα ἐκείνους πού ἦταν γύρω ἀπό τόν Ἀβραάμ, τόν Ἰσαάκ καί τόν Ἰακώβ, τούς προφῆτες, τούς πατριάρχες, ὅλους ἐκείνους πού εὐδοκίμησαν στήν Παλαιά Διαθήκη, ἐνῶ κλαδιά τούς ἀπογόνους τους πού πίστεψαν.

Στή συνέχεια, ἐπειδή ἦταν ἀντίθετο σ' αὐτό τό ὅτι δέν εἶχαν πιστέψει πολλοί, πρόσεχε πῶς πάλι τό περιορίζει αὐτό, καί λέγει· «ἀλλά, ἄν μερικά ἀπό τά κλαδιά ἀποκόπηκαν». Καί ὅμως παραπά-

ὀλίγοι διεσώθησαν, πῶς οὖν ἐνταῦθα ἐπὶ τῶν ἀπολλυμένων τό, «τινές», τέθεικας, ὅπερ ὀλιγότητός ἐστιν ἐμφαντικόν; Οὐκ ἐμαυτῷ, φησί, περιπίπτων, ἀλλὰ θεραπεῦσαι σπεύδων καὶ ἀνακτήσασθαι τοὺς πεπονηκότας. Εἶδες πῶς διὰ παντὸς τοῦ χωρίου τοῦτο δείκνυται κατασκευάζων, τὸ βούλεσθαι παραμυθήσασθαι αὐτούς; κἂν ἀνέλῃς αὐτό, πολλὰ ἕψεται τὰ ἐναντιώματα. Σὺ δέ μοι σκόπει αὐτοῦ τὴν σοφίαν, πῶς δοκῶν ὑπὲρ αὐτῶν λέγειν, καὶ παραμυθίας αὐτοῖς ἐπινοεῖν, καὶ πλήττει λανθανόντως, καὶ πάσης ἀπολογίας δείκνυσιν ἐστερημένους, ἀπὸ τῆς ῥίζης, ἀπὸ τῆς ἀπαρχῆς. Ἐννόησον γὰρ πονηρίαν τῶν κλάδων, ὅταν μηδὲ ῥίζαν ἔχοντες γλυκεῖαν, μιμῶνται αὐτήν· καὶ τὴν κακίαν τοῦ φυράματος, ὅταν μηδὲ ἀπὸ τῆς ἀπαρχῆς μεταβάλληται.

«Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν». Καὶ μὴν τὸ πλέον ἐξεκλάσθη· ἀλλ', ὅπερ ἔφην, βούλεται αὐτοὺς παραμυθεῖσθαι. Διὰ τοῦτο οὐδὲ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' ἐκείνων εἰσάγει τὸν λόγον, καὶ ἐν τούτῳ λανθανόντως αὐτῶν καθικνούμενος, καὶ δεικνὺς τῆς τοῦ Ἀβραὰμ συγγενείας ἐκπεπτωκότας. Τοῦτο γὰρ ἦν, ὃ ἔσπευδεν εἰπεῖν, ὅτι οὐδὲν κοινὸν πρὸς ἐκείνους ἔχουσιν. Εἰ γὰρ ἁγία ἡ ῥίζα, οὗτοι δὲ οὐχ ἅγιοι, ἄρα πόρρω τῆς ῥίζης οὗτοι. Εἶτα δοκῶν παραμυθεῖσθαι τὸν Ἰουδαῖον, πάλιν πλήττει διὰ τῆς κατηγορίας τοὺς ἐξ ἐθνῶν. Εἰπὼν γάρ, «εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν», ἐπήγαγε· «σὺ δὲ ἀγριέλαιος ὤν, ἐνεκεντρίσθης». Ὅσῳ γὰρ ἂν εὐτελὴς ᾖ ὁ ἐξ ἐθνῶν, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἀλγεῖ, τοῖς αὐτοῦ τοῦτον ἐντρυφῶντα ὁρῶν. Κἀκείνῳ δὲ οὐ τοσαύτη ἀπὸ τῆς εὐτελείας ἡ αἰσχύνη, ὅση ἀπὸ τῆς μεταβολῆς ἡ τιμή. Καὶ σκόπει σοφίαν. Οὐκ εἶπεν, ἐνεφυτεύθης, ἀλλ', «ἐνεκεντρίσθης», ἐν τούτῳ πάλιν δάκνων τὸν Ἰουδαῖον, καὶ δεικνὺς ἐν τῷ δένδρῳ τῷ αὐτοῦ τὸν ἐξ ἐθνῶν ἑστηκότα, καὶ τοῦτον κείμενον χαμαί. Διόπερ οὐδὲ μέχρι τούτου ἔστη, οὐδὲ εἰπών, «ἐνεκεντρίσθης», ἀπηλλάγη, καίτοι τὸ πᾶν ἐδή-

νω ἔλεγες, ὅτι οἱ περισσότεροι χάθηκαν καί λίγοι σώθηκαν· πῶς λοιπόν ἐδῶ ἀνέφερες γιά ἐκείνους πού χάνονται τό «μερικά», πράγμα πού δηλώνει μικρό ἀριθμό; Ὄχι συγκρουόμενος μέ τόν ἑαυτό μου, λέγει, ἀλλά τό λέγω προσπαθῶντας νά θεραπεύσω καί νά δυναμώσω τούς ἀρρώστους. Εἶδες πῶς μέ ὅλο τό χωρίο φαίνεται ὅτι ἐπιδιώκει αὐτό, τό ὅτι δηλαδή θέλει νά παρηγορήσει αὐτούς; καί ἄν τό ἀπορρίψεις αὐτό, θ' ἀκολουθήσουν πολλές ἀντιφάσεις. Σύ ὅμως, παρακαλῶ, πρόσεχε τή σοφία του, πῶς, ἐνῶ φαίνεται ὅτι τούς ἐπαινεῖ καί ἐπινοεῖ παρηγορία γι' αὐτούς, καί τούς πλήττει μέ τρόπο μή ἀντιληπτό, καί δείχνει ὅτι ἔχουν στερηθεῖ κάθε ἀπολογία, ἀπό τή ρίζα, ἀπό τήν ἀπαρχή. Σκέψου δηλαδή τήν πονηρία τῶν κλάδων, ὅταν, χωρίς νά ἔχουν γλυκιά ρίζα, μιμοῦνται αὐτήν, καθώς καί τήν κακία τοῦ φυράματος, ὅταν δέν ἀλλάζει οὔτε ἀπό τήν ἀπαρχή.

«Ἀλλ' ἄν μερικά ἀπό τά κλαδιά ἀποκόπηκαν». Καί ὅμως τό περισσότερο μέρος ἀποκόπηκε· ἀλλά, πράγμα πού εἶπα, θέλει νά τούς παρηγορήσει. Γι' αὐτό δέν παρουσιάζει τό λόγο ἀπό τόν ἑαυτό του, ἀλλ' ἀπό ἐκείνους, ὥστε ἔτσι καί νά πλησιάσει αὐτούς κατά τρόπο μή ἀντιληπτό καί νά δείξει ὅτι ἔχουν χάσει τή συγγένεια τοῦ Ἀβραάμ. Γιατί αὐτό εἶναι ἐκεῖνο πού ἔσπευδε νά πεῖ, ὅτι δέν ἔχουν κανένα κοινό μ' ἐκείνους. Γιατί, ἄν ἡ ρζα εἶναι ἅγια, αὐτοί ὅμως δέν εἶναι ἅγιοι, ἄρα αὐτοί εἶναι μακριά ἀπό τή ρίζα. Στή συνέχεια, ἐνῶ φαίνεται ὅτι παρηγορεῖ τόν Ἰουδαῖο, πάλι πλήττει μέ τήν κατηγορία τούς προερχόμενους ἀπό τούς ἐθνικούς. Γιατί, ἀφοῦ εἶπε, «ἀλλ' ἄν μερικά ἀπό τά κλαδιά ἀποκόπηκαν», πρόσθεσε· «σύ ὅμως, ἐνῶ ἦσουν ἀγριελιά, μπολιάσθηκες». Γιατί ὅσο πιό ἀσήμαντος εἶναι ὁ προερχόμενος ἀπό τούς ἐθνικούς, τόσο περισσότερο λυπᾶται ὁ Ἰουδαῖος, βλέποντας ἐκεῖνον ν' ἀπολαμβάνει τά δικά του. Καί σ' ἐκεῖνον ὅμως δέν εἶναι τόσο μεγάλη ἡ ντροπή ἀπό τήν εὐτέλειά του, ὅσο ἡ τιμή ἀπό τή μεταβολή του. Καί πρόσεχε σοφία. Δέν εἶπε, 'φυτεύθηκες', ἀλλά, «μπολιάσθηκες», πληγῶνοντας πάλι μ' αὐτό τόν Ἰουδαῖο, καί δείχνοντας ὅτι ὁ προερχόμενος ἀπό τούς ἐθνικούς βρίσκεται ἐπάνω στό δικό του δένδρο, ἐνῶ αὐτός βρίσκεται καταγῆς. Γι' αὐτό ἀκριβῶς δέ στάθηκε οὔτε μέχρι τό σημεῖο αὐτό, οὔτε, ἀφοῦ εἶπε, «μπολιάσθηκες», σταμάτησε, παρ' ὅλο πού ὅλα τά δήλωσε μ'

λωσε τούτῳ· ἀλλ' ὅμως ἐνδιατρίβει τῇ εὐημερίᾳ τούτου, καὶ εὐρύνει τὴν εὐδοκίμησιν, λέγων· «καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου». Καὶ δοκεῖ μὲν αὐτὸν ἐν τάξει προσθήκης τεθεικέναι· δείκνυσι δὲ οὐδὲν αὐτὸν ταύτῃ παραβλαπτόμενον, ἀλλὰ τὸ πᾶν ἔχοντα, ὅσο εἶχεν ὁ κλάδος ὁ ἐκ τῆς ῥίζης ἀναβάς.

Ἵνα γὰρ μὴ ἀκούσας, «σὺ δὲ ἐνεκεντρίσθης», ἠλαττῶσθαι αὐτὸν νομίσῃς, πρὸς τὸν ἔμφυτον κλάδον συγκρίνων, ὅρα πῶς αὐτὸν ἐξισοῖ λέγων· «συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου»· τουτέστιν, εἰς τὴν αὐτὴν κατέστης εὐγένειαν, εἰς τὴν αὐτὴν φύσιν. Εἶτα ἐπιπλήξας, καὶ εἰπών, «μὴ κατακαυχῶ τῶν κλάδων», δοκεῖ μὲν παραμυθεῖσθαι τὸν Ἰουδαῖον, δείκνυσι δὲ αὐτοῦ τὸ εὐτελὲς καὶ τὴν πολλὴν ἀτιμίαν. Διὰ τοῦτο οὐδὲ εἶπε, μὴ καυχῶ, ἀλλά, «μὴ κατακαυχῶ», μὴ κατ' ἐκείνων καυχῶ, ὥστε αὐτοὺς ἀπορρῆξαι· καὶ γὰρ εἰς τὰ ἐκείνων ἕστηκας, τῶν ἐκείνων ἀπολαύεις. Ὁρᾷς πῶς δοκεῖ μὲν ἐπιπλήττειν τούτοις, δάκνει δὲ ἐκείνους; «Εἰ δὲ κατακαυχᾶσαι», φησίν, «οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ». Τί οὖν πρὸς τοὺς κλάδους τοῦτο τοὺς ἐκκοπέντας; Οὐδέν. Ὅπερ γὰρ ἔφθην εἰπών, σκιάν τινα παραμυθίας ἀσθενῆ δοκῶν ἐπινοεῖν, καὶ ἐν αὐτῷ τῷ πρὸς τὸν ἐξ ἐθνῶν ἀποτείνεσθαι, καιρίαν αὐτοῖς δίδωσι πληγήν. Εἰπὼν γάρ, «μὴ κατακαυχῶ», καὶ ὅτι «εἰ καυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις», ἔδειξε τῷ Ἰουδαίῳ, ὅτι καυχήσεως ἄξια τὰ γεγενημένα, εἰ καὶ μὴ κατακαυχᾶσθαι δεῖ· καὶ διεγείρων αὐτὸν καὶ παροξύνων εἰς πίστιν, καὶ ἐν τάξει συνηγόρου βάλλων, καὶ δεικνὺς αὐτῷ τὴν ζημίαν, ἣν ὑπέμεινε, καὶ ὅτι τὰ ἐκείνων κατέχουσιν ἕτεροι.

6. *«Ἐρεῖς οὖν», φησίν, «ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ». Πάλιν ἐν τάξει ἀντιθέσεως τὸ ἐναντίον τῷ προτέρῳ κατασκευάζει, δεικνὺς ὅτι καὶ τὰ μικρῷ πρόσθεν εἰρημένα οὐχὶ προηγουμένως ἔλεγεν, ἀλλ' ἐφελκόμενος αὐτούς. Οὐκέτι γὰρ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, οὐδὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, οὐδὲ διὰ τοῦτο ἐσώθημεν ἐπειδὴ ἔπεσον, ἀλλὰ*

αὐτό, ἀλλ' ὅμως ἐπιμένει στήν εὐτυχία αὐτοῦ καί αὐξάνει τήν προκοπή του, λέγοντας· «καί ἔγινες μέτοχος τῆς ρίζας καί τοῦ λιπαροῦ χυμοῦ τῆς ἐλιᾶς». Καί φαίνεται βέβαια ὅτι τόν τοποθέτησε σάν προσθήκη, δείχνει ὅμως ὅτι μ' αὐτό δέν βλάπτεται καθόλου, ἀλλ' ὅτι ἔχει ὅλα, ὅσα εἶχε τό κλαδί πού βλάστησε ἀπό τή ρίζα.

Γιά νά μή νομίσεις λοιπόν, ἀκούοντας, «σύ ὅμως μπολιάσθηκες», ὅτι μειώνεται αὐτός, συγκρίνοντάς τον μέ τό ἔμφυτο κλαδί, πρόσεχε πῶς τόν ἐξισώνει λέγοντας· «ἔγινες κοινωνός τῆς ρίζας καί τοῦ λιπαροῦ χυμοῦ τῆς ἐλιᾶς», δηλαδή, ἔφθασες στήν ἴδια εὐγενική καταγωγή, στήν ἴδια φύση. Στή συνέχεια ἐπιτιμώντας τον καί λέγοντας, «μή καυχιέσαι ἀπέναντι στά κλαδιά», φαίνεται βέβαια ὅτι παρηγορεῖ τόν Ἰουδαῖο, δείχνει ὅμως τήν ἀσήμαντη ἀξία του καί τή μεγάλη του καταισχύνη. Γι' αὐτό δέν εἶπε, 'μή καυχιέσαι', ἀλλά, «μή κατακαυχιέσαι»· μή καυχιέσαι ἀπέναντι σ' ἐκείνους, γιά νά μή σέ ἀπορρίψουν· καθόσον βρίσκεσαι ἐπάνω στά δικά τους καί ἀπολαμβάνεις τά δικά τους. Βλέπεις πῶς φαίνεται βέβαια ὅτι ἐπιτιμᾶ αὐτούς, ἀλλά πληγώνει ἐκείνους; «Ἐάν ὅμως κατακαυχιέσαι», λέγει, «μάθε ὅτι δέ βαστάζεις ἐσύ τή ρίζα, ἀλλά ἡ ρίζα βαστάζει ἐσένα». Ποιά λοιπόν σχέση ἔχει αὐτό πρός τά κλαδιά πού ἀποκόπηκαν; Καμιά. Γιατί, ὅπως προανέφερα, φαίνεται ὅτι ἐπινοεῖ κάποια ἀδύνατη σκιά παρηγοριᾶς καί, ἀπευθυνόμενος πρός ἐκεῖνον πού προέρχεται ἀπό τούς ἐθνικούς, δίνει σ' αὐτούς καίριο κτύπημα. Γιατί, ἀφοῦ εἶπε, «μή κατακαυχιέσαι», καί ὅτι «ἄν καυχιέσαι, μάθε ὅτι δέ βαστάζεις ἐσύ τή ρίζα», ἔδειξε στόν Ἰουδαῖο, ὅτι αὐτά πού ἔγιναν εἶναι ἄξια γιά καύχηση, ἄν καί δέν πρέπει νά καυχιένται, καί παράλληλα παρακινεῖ καί παροτρύνει αὐτόν πρός τήν πίστη, βάζοντάς τον στή θέση τοῦ συνηγόρου, ἀλλά καί δείχνοντας σ' αὐτόν τή ζημία πού δέχθηκε, καί ὅτι τά δικά τους τά κατέχουν ἄλλοι.

6. «Θά πεῖς λοιπόν», λέγει, «κόπηκαν τά κλαδιά, γιά νά ἐμβολιασθῶ ἐγώ». Πάλι μέ μορφή ἀντιθέσεως ἀποδεικνύει τό ἀντίθετο στό προηγούμενο, γιά νά δείξει ὅτι καί ὅσα λέχθηκαν λίγο πιό μπροστά δέν τά ἔλεγε χωρίς σκοπό, ἀλλά γιά νά τούς τραβήξει πρός τό μέρος του. Οὔτε λοιπόν μέ τό παράπτωμα αὐτῶν ἦρθε ἡ σωτηρία στούς ἐθνικούς, οὔτε τό παράπτωμά τους ἔφερε τόν πλοῦτο τοῦ κόσμου,

τοὐναντίον. Καὶ δείκνυσι προηγουμένην καὶ τὴν εἰς τὰ ἔθνη πρόνοιαν, εἰ καὶ δοκεῖ ἑτέρως σχηματίζειν τὰ εἰρημένα· καὶ ὅλον τὸ χωρίον δι' ἀντιθέσεως ὑφαίνει, ἑαυτὸν ἀπαλλάττων τῆς κατὰ τὴν ἀπέχθειαν ὑπονοίας, καὶ εὐπαράδεκτον ποιῶν τὸν λόγον. «Καλῶς». Ἐπήνεσε τὸ εἰρημένον· εἶτα καὶ φοβεῖ πάλιν λέγων· «τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἐνεκεντρίσθης». Ἰδοὺ πάλιν ἕτερον ἐγκώμιον, καὶ ἐκείνων κατηγορία. Ἀλλὰ πάλιν αὐτῶν καταστέλλει τὸ φύσημα, ἐπάγων καὶ λέγων· «μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ». Οὐ γὰρ φύσεως τὸ πρᾶγμά ἐστιν, ἀλλὰ πίστεως καὶ ἀπιστίας. Καὶ δοκεῖ μὲν πάλιν ἐπιστομίζειν τὸν ἐξ ἐθνῶν, διδάσκει δὲ τὸν Ἰουδαῖον, ὅτι οὐ δεῖ τῇ τῆς φύσεως συγγενείᾳ προσέχειν. Διὸ καὶ ἐπάγει, «μὴ ὑψηλοφρόνει»· καὶ οὐκ εἶπε, ταπεινοῦ, ἀλλά, «φοβοῦ»· ἡ γὰρ ἀπόνοια καταφρόνησιν ἐμποιεῖ καὶ ρᾳθυμίαν.

Εἶτα μέλλων ἐκτραγῳδεῖν αὐτῶν τὴν συμφοράν, ὥστε ἀνεπαχθέστερον ποιῆσαι τὸν λόγον, ἐν τάξει τῆς πρὸς ἐκεῖνον ἐπιτιμήσεως αὐτὸ τίθησιν οὕτω λέγων· «εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο», καὶ οὐκ εἶπεν, οὐδὲ σοῦ φείσεται, ἀλλά, «μή πως οὐδὲ σοῦ φείσηται»· ὑποτεμνόμενος τοῦ λόγου τὸ φορτικόν, καὶ ποιῶν ἐναγώνιον εἶναι τὸν πιστόν, κἀκείνους ἐφελκόμενος, καὶ τούτους καταστέλλων. «Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν, ἐπὶ δὲ σέ, χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ». Οὐκ εἶπεν, ἴδε οὖν κατόρθωμα σόν, ἴδε οὖν πόνους σούς, ἀλλὰ Θεοῦ φιλανθρωπίαν, δεικνὺς ὅτι τὸ πᾶν τῆς χάριτος τῆς ἄνωθεν γέγονε, καὶ παρασκευάζων τρέμειν. Ἡ γὰρ ὑπόθεσις τῆς καυχήσεως, αὕτη σε ποιείτω δεδοικέναι. Ἐπειδὴ γὰρ χρηστὸς περὶ σὲ γέγονεν ὁ δεσπότης, διὰ τοῦτο φοβοῦ· οὐ γὰρ ἀκίνητά σοι μένει τὰ ἀγαθά, ἐὰν ρᾳθυμῇς· ὥσπερ οὖν οὐδὲ ἐκείνοις τὰ κακά, ἐὰν μεταβάλωνται.

οὔτε γι' αὐτό σωθήκαμε, ἐπειδή δηλαδή ἔπεσαν, ἀλλά τό ἀντίθετο ἔγινε. Καί δείχνει ὅτι ἡ πρόνοια τοῦ Θεοῦ ἐκδηλωνόταν καί ἀπό πρίν στούς ἐθνικούς, ἄν καί φαίνεται μέ διαφορετική ἔννοια νά παρουσιάζει τά λεγόμενα, καί ὁλόκληρο τό χωρίο τό συνθέτει μέ ἀντίθεση, ἀπαλλάσσοντας τόν ἑαυτό του ἀπό τήν ὑπόνοια τῆς ἀπέχθειας καί κάνοντας τό λόγο εὔκολα ἀποδεκτό. «Πολύ καλα». Ἐπαίνεσε τό λεχθέν. Ἔπειτα φοβίζει πάλι λέγοντας· «μέ τήν ἀπιστία τους ἀποκόπηκαν ἐκεῖνοι, ἐνῶ σύ μέ τήν πίστη σου ἐμβολιάσθηκες». Νά πάλι ἄλλος ἔπαινος καί κατηγορία ἐναντίον ἐκείνων. Ἀλλά πάλι συγκρατεῖ τήν ἀλαζονεία τους, προσθέτοντας καί λέγοντας· «μήν ὑπερηφανεύεσαι, ἀλλά νά φοβᾶσαι». Γιατί τό πράγμα δέν εἶναι φυσικό ἀποτέλεσμα, ἀλλ' ἐξαρτᾶται ἀπό τήν πίστη καί τήν ἀπιστία. Καί φαίνεται βέβαια πάλι ὅτι ἀποστομώνει τόν προερχόμενο ἀπό τούς ἐθνικούς, ἀλλά διδάσκει τόν Ἰουδαῖο, ὅτι δέν πρέπει νά προσέχει στή συγγένεια τῆς φύσεως. Γι' αὐτό καί προσθέτει, «μήν ὑπερηφανεύεσαι»· καί δέν εἶπε, 'δεῖχνε ταπείνωση', ἀλλά «νά φοβᾶσαι»· γιατί ἡ ἀλαζονεία προκαλεῖ περιφρόνηση καί ἀδιαφορία.

Ἔπειτα, θέλοντας νά διεκτραγωδήσει τή συμφορά τους, ὥστε νά κάμει λιγότερο ἐνοχλητικό τό λόγο, λέγει ὑπό μορφή ἐπιτιμήσεως πρός ἐκεῖνον αὐτό· «γιατί, ἄν ὁ Θεός δέ λυπήθηκε τά φυσικά κλαδιά»· καί δέν εἶπε, 'οὔτε ἐσένα θά λυπηθεῖ', ἀλλά, «μήπως οὔτε ἐσένα λυπηθεῖ», μειώνοντας ἔτσι τό φορτικό τοῦ λόγου, καί βάζοντας τόν πιστό σέ ἀγωνία, καί ἀκόμα γιά νά προσελκύσει, καί νά συγκρατήσει αὐτούς. «Πρόσεξε λοιπόν τήν ἀγαθότητα καί τήν αὐστηρότητα τοῦ Θεοῦ· σ' ἐκείνους πού ἔπεσαν δείχνει αὐστηρότητα, ἐνῶ πρός ἐσένα δείχνει ἀγαθότητα, ἄν παραμείνεις στήν ἀγαθότητα, γιατί διαφορετικά καί σύ θ' ἀποκοπεῖς». Δέν εἶπε, 'βλέπε λοιπόν τό κατόρθωμά σου', 'βλέπε λοιπόν τούς κόπους σου', ἀλλά «τή φιλανθρωπία τοῦ Θεοῦ», δείχνοντας ὅτι τό πᾶν ὀφείλεται στή χάρη τοῦ Θεοῦ καί προετοιμάζοντάς τον νά τρέμει. Αὐτή ἀκριβῶς ἡ αἰτία τῆς καυχήσεως νά σέ κάνει νά φοβᾶσαι. Ἐπειδή δηλαδή ὁ Κύριος ἔδειξε ἀγαθότητα πρός ἐσένα, γι' αὐτό νά φοβᾶσαι. Γιατί δέν παραμένουν σταθερά σέ σένα τά ἀγαθά, ἄν ἀδιαφορεῖς, ὅπως ἀκριβῶς βέβαια σ' ἐκείνους τά κακά, ἄν ἀλλάξουν διάθεση. Καθόσον καί σύ,

Καὶ γὰρ σύ, φησίν, ἐὰν μὴ ἐπιμείνῃς τῇ πίστει ἐκκοπήσῃ· «καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται».

Οὐ γὰρ ὁ Θεὸς αὐτοὺς ἐξέκοψεν, ἀλλ' αὐτοὶ ἐξεκλάσθησαν καὶ κατέπεσον. Καὶ καλῶς εἶπεν, «ἐξεκλάσθησαν»· οὐδέποτε γὰρ οὕτως αὐτοὺς ἐξέβαλε, καίτοι πολλὰ πολλάκις ἡμαρτηκότας. Εἶδες ὅσον τῆς προαιρέσεως τὸ κῦρος; πόση τῆς γνώμης ἡ ἐξουσία; Οὐδὲν γὰρ τούτων ἀκίνητον, οὔτε τὸ σὸν καλόν, οὔτε τὸ ἐκείνου κακόν. Εἶδες πῶς καὶ ἐκεῖνον ἀπογινώσκοντα ἀνέστησε, καὶ τοῦτον θαρροῦντα κατέστειλε; Μήτε γὰρ σὺ ἀποτομίαν ἀκούων, ἀπαγορεύσῃς· μήτε σὺ χρηστότητα, θαρρήσῃς. Διὰ τοῦτο σὲ ἀποτόμως ἐξέκοψεν, ἵνα ποθήσῃς ἐπανελθεῖν· διὰ τοῦτο περὶ σὲ χρηστότητα ἐπεδείξατο, ἵνα ἐπιμείνῃς. Καὶ οὐκ εἶπε, 'τῇ πίστει', ἀλλά, «τῇ χρηστότητι», τουτέστιν, ἐὰν ἄξια τῆς τοῦ Θεοῦ φιλανθρωπίας πράττῃς· οὐ γὰρ πίστεως δεῖ μόνον.

Ὁρᾷς πῶς οὔτε ἐκείνους ἀφῆκε κεῖσθαι, οὔτε τούτους μέγα φρονεῖν, ἀλλὰ καὶ παρεζήλωσε τούτους πάλιν δι' ἐκείνων, δοὺς τῷ Ἰουδαίῳ στῆναι εἰς τὸν τούτου τόπον, καθάπερ ἐκεῖνος προκατέλαβε τὸ τούτου χωρίον; Καὶ τὸν μὲν ἐξ ἐθνῶν ἀπὸ τῶν Ἰουδαίων φοβεῖ καὶ τῶν ἐκείνοις συμβεβηκότων, ἵνα μὴ ἐπαίρωνται κατ' αὐτοῦ, τὸν δὲ Ἰουδαῖον ἀπὸ τῶν τῷ Ἕλληνι παρασχεθέντων θαρρεῖν παρασκευάζει. Καὶ γὰρ καὶ σὺ ἐκκοπήσῃ, φησίν, ἐὰν ῥᾳθυμῇς· καὶ γὰρ ὁ Ἰουδαῖος ἐξεκόπη· καὶ ἐκεῖνος ἐγκεντρισθήσεται, ἐὰν σπουδάζῃ· καὶ γὰρ καὶ σὺ ἐνεκεντρίσθης. Πάνυ δὲ συνετῶς ὅλον τὸν λόγον πρὸς τὸν ἐξ ἐθνῶν τρέπει, ὅπερ ἀεὶ ποιεῖν εἴωθεν, ἐν τῇ τῶν ἰσχυροτέρων ἐπιπλήξει τοὺς ἀσθενεῖς διορθούμενος. Τοῦτο καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς ἐργάζεται, περὶ τῆς τῶν σιτίων διαλεγόμενος παρατηρήσεως.

7. Εἶτα καὶ ἐκ τῶν παρελθόντων αὐτὸ κατασκευάζει, οὐκ ἀπὸ τῶν μελλόντων μόνον· ὅπερ μᾶλλον ἔπειθε τὸν ἀκροατήν. Καὶ μέλλων λογισμῶν ἀκολουθίαν κινεῖν ἀναντίρρητον, πρότερον ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως τὴν ἀπόδειξιν τίθησιν. Εἰ γὰρ καὶ ἀπεκό-

λέγει, ἄν δέν παραμείνεις στήν πίστη, θ' ἀποκοπεῖς. «Καί ἐκεῖνοι, ἄν δέν ἐπιμείνουν στήν ἀπιστία, θά ἐμβολιασθοῦν».

Γιατί δέν ἀπέκοψε αὐτούς ὁ Θεός, ἀλλά μόνοι τους ἀποκόπηκαν καί ἔπεσαν. Καί σωστά εἶπε, «ἀποκόπηκαν»· γιατί ποτέ δέν τούς ἀπομάκρυνε ἔτσι, ἄν καί πολλές φορές διέπραξαν πολλές ἁμαρτίες. Εἶδες πόση εἶναι ἡ δύναμη τῆς προαιρέσεως; πόση εἶναι ἡ ἐξουσία τῆς διαθέσεως; Γιατί τίποτε ἀπ' αὐτά δέν εἶναι σταθερό, οὔτε τό δικό σου καλό, οὔτε τό δικό του κακό. Εἶδες πῶς καί ἐκεῖνον πού ἦταν ἀπελπισμένος τόν σήκωσε, καί αὐτόν πού εἶχε θάρρος τόν συγκράτησε; Οὔτε λοιπόν καί σύ, ἀκούοντας αὐστηρότητα, ν' ἀπελπισθεῖς, οὔτε καί σύ, ἀκούοντας ἀγαθότητα, νά πάρεις θάρρος. Γι' αὐτό σέ ἀπέκοψε ἀπότομα, γιά νά ποθήσεις νά ἐπανέρθεις· γι' αὐτό ἔδειξε ἀγαθότητα πρός σένα, γιά νά παραμείνεις σταθερός. Καί δέν εἶπε, 'στήν πίστη', ἀλλά, «στήν ἀγαθότητα», δηλαδή, ἄν πράττεις ἄξια τῆς φιλανθρωπίας τοῦ Θεοῦ· γιατί χρειάζεται ὄχι μόνο πίστη.

Βλέπεις πῶς δέν ἄφησε οὔτε ἐκείνους νά εἶναι πεσμένοι, οὔτε αὐτούς νά ὑπερηφανεύονται, ἀλλά καί κέντησε τή ζήλεια αὐτῶν πάλι μ' ἐκείνους, δίνοντας στόν Ἰουδαῖο τή δυνατότητα νά σταθεῖ στή θέση ἐκείνου, ὅπως ἀκριβῶς ἐκεῖνος πῆρε πιό μπροστά τή θέση του; Καί τόν προερχόμενο ἀπό τούς ἐθνικούς τόν φοβίζει ἀπό τούς Ἰουδαίους καί ἀπ' ὅσα ἔχουν συμβεῖ σ' ἐκείνους, γιά νά μήν ὑπερηφανεύονται ἐναντίον του, ἐνῶ τόν Ἰουδαῖο τόν προετοιμάζει νά ἔχει θάρρος ἀπ' ὅσα δόθηκαν στόν Ἕλληνα. Γιατί πραγματικά καί σύ θ' ἀποκοπεῖς, λέγει, ἐάν εἶσαι ἀδιάφορος, καθόσον καί ὁ Ἰουδαῖος ἀποκόπηκε· καί ἐκεῖνος θά ἐμβολιασθεῖ, ἄν προσπαθεῖ, καθόσον καί σύ ἐμβολιάσθηκες. Μέ πολλή σύνεση στρέφει ὅλο τό λόγο πρός τόν προερχόμενο ἀπό τούς ἐθνικούς, πράγμα πού συνηθίζει πάντοτε νά κάνει, διορθώνοντας μέ τήν ἐπιτίμηση τῶν ἰσχυροτέρων τούς ἀδυνάτους. Αὐτό κάνει καί στό τέλος τῆς ἐπιστολῆς, μιλώντας γιά τή διάκριση τῶν φαγητῶν.

7. Στή συνέχεια καί ἀπό τά περασμένα τό ἀποδεικνύει αὐτό καί ὄχι μόνο ἀπό τά μελλοντικά, πράγμα πού περισσότερο ἔπειθε τόν ἀκροατή. Καί θέλοντας νά ἐκθέσει μία ἀναντίρρητη σειρά σκέψεων, πρῶτα ἀναφέρει τήν ἀπόδειξη ἀπό τή δύναμη τοῦ Θεοῦ. Γιατί,

πησαν καὶ ἀπερρίφησαν, καὶ ἄλλοι τὰ αὐτῶν προκατέλαβον, μηδὲ οὕτως ἀπογνῷς· «δυνατὸς γάρ ἐστι», φησί, «πάλιν ὁ Θεὸς ἐγκεντρίσαι αὐτούς», ὁ καὶ τὰ ὑπὲρ ἐλπίδα ποιῶν. Εἰ δὲ καὶ πραγμάτων τάξιν ζητεῖς, καὶ λογισμῶν ἀκολουθίαν, ἔχεις οἴκοθεν τὸ ὑπόδειγμα μετὰ πλείονος τῆς περιουσίας. «Εἰ γὰρ σύ», φησίν, «ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;». Εἰ γὰρ τὸ παρὰ φύσιν ἴσχυσεν ἡ πίστις, πολλῷ μᾶλλον τὸ κατὰ φύσιν. Εἰ γὰρ οὗτος τῶν κατὰ φύσιν αὐτοῦ πατέρων ἐκκοπείς, ἦλθε παρὰ φύσιν πρὸς Ἀβραάμ, πολλῷ μᾶλλον σὺ τὸ οἰκεῖον ἀπολαβεῖν δυνήσῃ. Τοῦ μὲν γὰρ ἐθνικοῦ τὸ κακὸν κατὰ φύσιν (ἀγριέλαιος γὰρ κατὰ φύσιν ἦν), τὸ δὲ καλόν, παρὰ φύσιν (παρὰ φύσιν γὰρ ἐνεκεντρίσθη τῷ Ἀβραάμ), σοῦ δὲ τοὐναντίον τὸ καλὸν κατὰ φύσιν· οὐ γὰρ ἐν ἀλλοτρίᾳ ῥίζῃ, ὥσπερ ὁ ἐθνικός, ἀλλ' ἐν οἰκείᾳ παγήσῃ, ἐὰν βουληθῇς ἐπανελθεῖν. Τίνος οὖν ἂν εἴης ἄξιος, ὅταν τοῦ ἐθνικοῦ τὸ παρὰ φύσιν δυνηθέντος, σὺ τὸ κατὰ φύσιν μὴ ἰσχύσῃς, ἀλλὰ καὶ τοῦτο προδῷς;

Εἶτα, ἐπειδὴ εἶπε, «παρὰ φύσιν», καί, «ἐνεκεντρίσθης», ἵνα μὴ πλέον τι τὸν Ἰουδαῖον ἔχειν νομίζῃς, πάλιν αὐτὸ διορθοῦται, λέγων καὶ αὐτὸν ἐγκεντρίζεσθαι. «Πόσῳ μᾶλλον οὗτοι», φησίν, «οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;». Καὶ πάλιν, «δυνατὸς ὁ Θεὸς ἐγκεντρίσαι αὐτούς». Καὶ πρὸ τούτου δέ φησιν, ὅτι ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. Παρὰ φύσιν δὲ καὶ κατὰ φύσιν ὅταν ἀκούσῃς αὐτοῦ συνεχῶς λέγοντος, μὴ τὴν ἀκίνητον ταύτην φύσιν νόμιζε λέγειν αὐτόν, ἀλλὰ τὸ εἰκὸς καὶ τὸ ἀκόλουθον, καὶ τὸ ἀπεικὸς πάλιν τούτοις δηλοῦν τοῖς ὀνόμασιν. Οὐ γὰρ φυσικὰ τὰ καλὰ καὶ τὰ μὴ τοιαῦτα, ἀλλὰ γνώμης καὶ προαιρέσεως μόνης. Σκόπει δὲ αὐτοῦ καὶ τὸ ἀνεπαχθές. Εἰπὼν γάρ, ὅτι

ἄν καί ἀποκόπηκαν καί ἀπορρίφθηκαν, καί ἄλλοι πῆραν ἀπό πρίν τά δικά τους, οὔτε ἔτσι ν' ἀπελπίζεσαι. «Γιατί ὁ Θεός», λέγει, «ἔχει τή δύναμη νά τούς ἐμβολιάσει πάλι», αὐτός πού κάνει καί ἐκεῖνα πού εἶναι πάνω ἀπό τήν ἐλπίδα. Ἐάν ὅμως ζητᾶς τή σειρά τῶν πραγμάτων καί τήν ἀλληλουχία τῶν σκέψεων, ἔχεις ἀπό τή φύση τό παράδειγμα μέ ἀφθονία. «Γιατί, ἄν ἐσύ», λέγει, «κόπηκες ὁριστικά ἀπό τή φυσική ἀγριελιά καί ἀντίθετα πρός τή φύση σου ἐμβολιάσθηκες σέ ἥμερη ἐλιά, πόσο περισσότερο αὐτοί, πού ἀπό τή φύση τους εἶναι κλαδιά τῆς ἐλιᾶς, θά ἐμβολιασθοῦν στό δικό τους δένδρο;». Γιατί ἄν ἡ πίστη νίκησε τό ἀντίθετο ἀπό τή φύση, πολύ περισσότερο θά νικήσει τό σύμφωνο μέ τή φύση. Ἐάν λοιπόν αὐτός, ἀφοῦ ἀποκόπηκε ἀπό τούς φυσικούς του πατέρες, ἦρθε ἀντίθετα πρός τή φύση πρός τόν Ἀβραάμ, πολύ περισσότερο θά μπορέσεις ἐσύ νά ξαναλάβεις τό δικό σου. Γιατί τό κακό τοῦ ἐθνικοῦ ἦταν φυσικό, γιατί ἀπό τή φύση του ἦταν ἀγριελιά, ἐνῶ τό καλό ἦταν ἀντίθετο πρός τή φύση του, γιατί ἀντίθετα πρός τή φύση του ἐμβολιάσθηκε στόν Ἀβραάμ· ἀντίθετα ὅμως τό δικό σου καλό εἶναι σύμφωνο μέ τή φύση σου, γιατί δέ θά ἐμβολιασθεῖς σέ ξένη ρίζα, ὅπως ὁ ἐθνικός, ἀλλά σέ δική σου, ἄν θελήσεις νά ἐπανέλθεις. Γιατί λοιπόν θά ἤσουν ἄξιος, ὅταν, ἐνῶ ὁ ἐθνικός κατόρθωσε τό ἀντίθετο ἀπό τή φύση, ἐσύ δέν μπορέσεις νά ἐπιτύχεις τό σύμφωνο μέ τή φύση σου, ἀλλά τό προδώσεις καί αὐτό;

Ἔπειτα, ἐπειδή εἶπε, «ἀντίθετο ἀπό τή φύση σου» καί «ἐμβολιάσθηκες», γιά νά μή νομίζεις ὅτι ὁ Ἰουδαῖος ἔχει κάτι περισσότερο, πάλι τό διορθώνει αὐτό, λέγοντας ὅτι καί αὐτός ἐμβολιάζεται. «Πόσο περισσότερο», λέγει, «θά ἐμβολιασθοῦν στή δική τους ἐλιά αὐτοί πού ἀπό τή φύση τους εἶναι κλαδιά τῆς ἐλιᾶς;». Καί πάλι, «ὁ Θεός ἔχει τή δύναμη νά τούς ἐμβολιάσει». Ἀλλά καί πρίν ἀπ' αὐτό λέγει, ὅτι ἄν δέν ἐπιμείνουν στήν ἀπιστία, θά ἐμβολιαστοῦν. Ἀκούοντας ὅμως αὐτόν νά λέγει συνέχεια ἀντίθετα ἀπό τή φύση σου καί σύμφωνα μέ τή φύση σου, μή νομίζεις ὅτι ἐννοεῖ τή σταθερή αὐτή φύση, ἀλλά μέ τά ὀνόματα αὐτά δηλώνει τό φυσικό καί τό ἐπακόλουθο καθώς καί τό μή φυσικό πάλι. Γιατί τά καλά καί τά κακά δέν εἶναι φυσικά, ἀλλ' ἐξαρτῶνται ἀπό τή διάθεση καί τήν προαίρεση

καὶ σὺ ἐκκοπήσῃ, ἐὰν μὴ ἐπιμείνῃς τῇ πίστει, καὶ οὗτοι ἐγκεντρισθήσονται, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, τὸ σκυθρωπότερον ἀφείς, τὸ χρηστότερον κατασκευάζει, καὶ εἰς αὐτὸ τελευτᾷ, μεγάλας τοῖς Ἰουδαίοις ὑποφαίνων ἐλπίδας, εἰ βουληθεῖεν.

Διὸ καὶ ἐπάγει λέγων· «οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι»· μυστήριον ἐνταῦθα τὸ ἀγνοούμενον καὶ ἀπόρρητον λέγων, καὶ πολὺ μὲν τὸ θαῦμα, πολὺ δὲ τὸ παράδοξον ἔχον· ὥσπερ καὶ ἀλλαχοῦ φησιν· «ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα». Τί οὖν ἐστι τὸ μυστήριον; «Ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν». Ἐνταῦθα πάλιν πλήττει τὸν Ἰουδαῖον, δοκῶν καταστέλλειν τὸν ἐξ ἐθνῶν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅπερ καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι οὐκ ἐξ ὁλοκλήρου ἡ ἀπιστία, ἀλλ' ἐκ μέρους, ὥσπερ ὅταν λέγῃ· «εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους». Οὕτω δὴ καὶ ἐνταῦθα τοῦτό φησιν, ὅπερ ἀνωτέρω ἔλεγεν· «οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω»· καὶ πάλιν· «τί οὖν; ἔπταισαν ἵνα πέσωσι; Μὴ γένοιτο». Τοῦτο δὴ καὶ ἐνταῦθα λέγει· ὅτι οὐχ ὁλόκληρον ἀνασπᾶται τὸ ἔθνος, ἀλλὰ καὶ ἤδη πολλοὶ ἐπίστευσαν, καὶ μέλλουσι πάλιν πιστεύειν.

8. *Εἶτα, ἐπειδὴ μέγα ἐπηγγείλατο, φέρει μάρτυρα τὸν προφήτην οὕτω λέγοντα. Ὅτι μὲν γὰρ πώρωσις γέγονεν, οὐ παράγει μαρτυρίαν (καὶ γὰρ δῆλον ἅπασιν ἦν), ὅτι δὲ πιστεύσουσι καὶ σωθήσονται, τὸν Ἡσαΐαν πάλιν εἰσάγει βοῶντα καὶ λέγοντα, ὅτι «ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ». Εἶτα τὸ παράσημον τῆς σωτηρίας τιθείς, ἵνα μή τις εἰς τοὺς ἔμπροσθεν αὐτὸ χρόνους ἑλκύσῃ καὶ συζεύξῃ, φησί· «καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν»· οὐχ ὅταν πε-*

9. Α' Κορ. 15, 51.
10. Β' Κορ. 2, 5.

μόνο. Πρόσεχε ὅμως καί τό μή ἐνοχλητικό αὐτοῦ. Γιατί, ἀφοῦ εἶπε, ὅτι καί σύ θ' ἀποκοπεῖς, ἄν δέν ἐπιμείνεις στήν πίστη, καί αὐτοί θά ἐμβολιασθοῦν, ἄν δέν ἐπιμείνουν στήν ἀπιστία, παραλείποντας τό πιό δυσάρεστο, παρουσιάζει τό πιό ἀγαθό καί σ' αὐτό τελειώνει, δίνοντας μεγάλες ἐλπίδες στούς Ἰουδαίους, ἄν θά ἤθελαν.

Γι' αὐτό προσθέτει καί λέγει· «γιατί δέ θέλω νά ἀγνοεῖτε, ἀδελφοί, τό μυστήριο αὐτό, γιά νά μή θεωρεῖτε τούς ἑαυτούς σας σοφούς», ἐννοώντας μυστήριο ἐδῶ τό ἄγνωστο καί ἀπόρρητο, πού καί πολύ θαυμαστό εἶναι, ἀλλά καί πολύ παράξενο, ὅπως ἀκριβῶς καί ἀλλοῦ λέγει· «νά, σᾶς ἀναφέρω ἕνα μυστήριο· δέ θά πεθάνουμε βέβαια ὅλοι, ὅμως θά μεταβληθοῦμε ὅλοι»[9]. Ποιό λοιπόν εἶναι τό μυστήριο; «Ὅτι δηλαδή δείχθηκε ἀναισθησία ἀπό μέρος τοῦ Ἰσραηλιτικοῦ λαοῦ». Ἐδῶ πάλι πλήττει τόν Ἰουδαῖο, δίνοντας τήν ἐντύπωση ὅτι συγκρατεῖ τόν προερχόμενο ἀπό τούς ἐθνικούς. Αὐτό πού λέγει σημαίνει ἀκριβῶς ἐκεῖνο πού ἔλεγε καί πιό μπροστά, ὅτι δέν ἔγινε ἡ ἀπιστία ἀπ' ὅλους, ἀλλ' ἀπό ἕνα μέρος, ὅπως ὅταν λέγει· «ἐάν ὅμως κανείς προξένησε λύπη, δέ λύπησε μόνο ἐμένα, ἀλλά καί πρός ἕνα μέρος ὅλους σας»[10]. Ἔτσι λοιπόν καί ἐδῶ τό ἴδιο λέγει, πού ἔλεγε παραπάνω· «δέν ἀπώθησε ὁ Θεός τό λαό του, πού τόν προγνώρισε»· καί πάλι· «τί λοιπόν; σκόνταψαν γιά νά πέσουν καί νά εἶναι ἡ πτώση τους ὁλοκληρωτική; Μακριά μιά τέτοια σκέψη». Αὐτό λοιπόν καί ἐδῶ λέγει· ὅτι δηλαδή δέν ξερριζώνεται ὁλόκληρο τό ἔθνος, ἀλλά καί ὅτι πολλοί πίστεψαν ἤδη, καί πρόκειται πάλι νά πιστέψουν.

8. Στή συνέχεια, ἐπειδή ὑποσχέθηκε κάτι μεγάλο, φέρνει μάρτυρα τόν προφήτη πού λέγει τά ἑξῆς. Γιά τό ὅτι βέβαια δείχθηκε ἀναισθησία, δέν παρουσιάζει μαρτυρία, γιατί πραγματικά ἦταν φανερό σέ ὅλους, γιά τό ὅτι ὅμως θά πιστέψουν καί θά σωθοῦν, παρουσιάζει πάλι τόν Ἠσαΐα πού φωνάζει καί λέγει, ὅτι «θά ἔρθει ἀπό τή Σιών ὁ Λυτρωτής καί θά ἐξαλείψει τίς ἀσέβειες ἀπό τούς ἀπογόνους τοῦ Ἰακώβ». Ἔπειτα, ἀφοῦ ἀνέφερε τό διακριτικό σύμβολο τῆς σωτηρίας, γιά νά μή τό φέρει κανείς καί τό συνδέσει μέ τούς προηγούμενους χρόνους, λέγει· «καί αὐτή θά εἶναι ἡ διαθήκη μου σ' αὐτούς, ὅταν ἀφαιρέσω τίς ἁμαρτίες τους»· ὄχι ὅταν περιτμηθοῦν,

ριτμηθῶσιν, οὐχ ὅταν θύσωσιν, οὐχ ὅταν τὰ ἄλλα νόμιμα ποιῶσιν, ἀλλ' ὅταν ἁμαρτημάτων ἀφέσεως τύχωσιν. Εἰ τοίνυν τοῦτο ἐπήγγελται, γέγονε δὲ ἐπ' αὐτῶν οὐδέπω, οὐδὲ ἀπήλαυσαν τῆς διὰ τοῦ βαπτίσματος ἀφέσεως, πάντως ἔσται· διὸ καὶ ἐπήγαγεν· «ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ». Καὶ οὐδὲ τούτῳ μόνον αὐτοὺς παραμυθεῖται, ἀλλὰ καὶ τῷ ἤδη συμβεβηκότι· καὶ ὅπερ ἐξ ἀκολουθίας συνέβη, τοῦτο ὡς προηγούμενον τίθησιν, οὕτω λέγων· «κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ὑμᾶς, κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας».

Ἵνα γὰρ μὴ φυσᾶται ὁ ἐξ ἐθνῶν, λέγων, ἐγὼ ἕστηκα· μή μοι λέγε, τί ἂν ἐγένετο, ἀλλὰ τί γέγονε· καὶ ἐντεῦθεν αὐτὸν καταστέλλει λέγων, «κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ὑμᾶς». Ἐπειδὴ γὰρ ὑμεῖς ἐκλήθητε, φιλονεικότεροι γεγόνασιν ἐκεῖνοι. Ἀλλ' ὅμως ὁ Θεὸς οὐδὲ οὕτως ἀνέκοψεν ὑμῶν τὴν κλῆσιν, ἀλλ' ἀναμένει πάντας τοὺς ἐξ ἐθνῶν μέλλοντας πιστεύειν εἰσελθεῖν, καὶ τότε κἀκεῖνοι ἥξουσιν. Εἶτα χαρίζεταί τινα αὐτοῖς καὶ ἑτέραν χάριν λέγων· «κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας». Καὶ τί τοῦτο; Ἔνθα μὲν γὰρ ἐχθροί, ἡ κόλασις αὐτῶν, ἔνθα δὲ ἀγαπητοί, οὐδὲν πρὸς αὐτοὺς ἡ τῶν προγόνων ἀρετή, ἐὰν μὴ πιστεύσωσιν. Ἀλλ' ὅμως, ὅπερ ἔφην, οὐ παύεται ῥήμασιν αὐτοὺς παραμυθούμενος, ἵνα ἐφελκύσηται. Διὸ καὶ ἑτέρωθεν κατασκευάζων τὸ ἔμπροσθεν εἰρημένον, φησίν· «ὥσπερ γὰρ ὑμεῖς ποτε ἠπειθήσατε τῷ Θεῷ, νυνὶ δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι. Συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ».

Δείκνυσιν ἐνταῦθα τοὺς ἐξ ἐθνῶν πρότερον κεκλημένους, εἶτα ἐπειδὴ οὐκ ἠθέλησαν, τοὺς Ἰουδαίους ἐκλεγέντας, καὶ τὸ αὐτὸ πάλιν συμβὰν μετὰ ταῦτα· ἐπειδὴ γὰρ οὐκ ἠθέλησαν οἱ Ἰουδαῖοι πιστεῦσαι, πάλιν προσήχθη τὰ ἔθνη. Ἀλλ' οὐ μέχρι τούτου ἵσταται,

ὄχι ὅταν θυσιάσουν, ὄχι ὅταν ἐκτελοῦν τίς ἄλλες ἐντολές τοῦ νόμου, ἀλλ' ὅταν ἐπιτύχουν τήν ἄφεση τῶν ἁμαρτημάτων τους. Ἐάν λοιπόν ἔχει ὑποσχεθεῖ αὐτό, ἀλλά δέ συνέβηκε ἀκόμη μέχρι τώρα σ' αὐτούς, οὔτε ἀπόλαυσαν τήν ἄφεση πού δίνεται μέ τό βάπτισμα, ὁπωσδήποτε ὅμως θά γίνει. Γι' αὐτό καί πρόσθεσε· «γιατί τά χαρίσματα καί ἡ κλήση τοῦ Θεοῦ εἶναι πράγματα πού δέν ἀνακαλοῦνται». Καί δέν τούς παρηγορεῖ μόνο μ' αὐτό, ἀλλά καί μ' ἐκεῖνο πού ἤδη συνέβηκε, καί αὐτό πού συνέβηκε σάν ἐπακόλουθο τό ἀναφέρει σάν πρῶτο, λέγοντας τά ἑξῆς· «σέ σχέση πρός τό εὐαγγέλιο εἶναι ἐχθροί τοῦ Θεοῦ ἐξ αἰτίας σας, ὅμως σχετικά μέ τήν ἐκλογή τους εἶναι ἀγαπητοί σ' αὐτόν ἐξ αἰτίας τῶν πατέρων τους».

Γιά νά μήν καυχιέται λοιπόν ὁ προερχόμενος ἀπό τούς ἐθνικούς, λέγοντας, ἐγώ εἶμαι ἑδραιωμένος· μή μοῦ λέγεις τί θά γινόταν, ἀλλά τί ἔγινε· καί ἀπό ἐδῶ συγκρατεῖ αὐτόν λέγοντας· «Σέ σχέση πρός τό εὐαγγέλιο εἶναι ἐχθροί τοῦ Θεοῦ ἐξ αἰτίας σας». Ἐπειδή λοιπόν κληθήκατε ἐσεῖς, ἔγιναν περισσότερο ἐχθροί ἐκεῖνοι. Ἀλλ' ὅμως ὁ Θεός οὔτε ἔτσι σταμάτησε τήν κλήση σας, ἀλλά περιμένει νά ἔρθουν ὅλοι ἐκεῖνοι πού πρόκειται νά πιστέψουν ἀπό τούς ἐθνικούς, καί τότε θά ἔρθουν καί ἐκεῖνοι. Ἔπειτα κάνει σ' αὐτούς καί κάποια ἄλλη χάρη λέγοντας· «σχετικά μέ τήν ἐκλογή τους ὅμως εἶναι ἀγαπητοί σ' αὐτόν ἐξ αἰτίας τῶν πατέρων τους». Καί τί σημαίνει αὐτό; Γιά τό ὅτι δηλαδή εἶναι ἐχθροί, ὑπάρχει ἡ τιμωρία τους, γιά τό ὅτι ὅμως εἶναι ἀγαπητοί δέν ἔχει καμιά σχέση πρός αὐτούς ἡ ἀρετή τῶν προγόνων τους, ἄν δέν πιστέψουν. Ἀλλ' ὅμως, ὅπως προανέφερα, δέ σταματάει νά τούς παρηγορεῖ μέ λόγια, γιά νά τούς προσελκύσει. Γι' αὐτό καί ἀπό ἀλλοῦ ἀποδεικνύοντας τό προηγούμενο, λέγει· «γιατί ὅπως καί σεῖς κάποτε ἀπειθήσατε στό Θεό, ἀλλά τώρα ἐλεηθήκατε ἐξ αἰτίας τῆς παρακοῆς αὐτῶν, ἔτσι καί αὐτοί τώρα ἀπείθησαν γιά νά ἐλεηθοῦν καί αὐτοί, παρακινούμενοι ἀπό τό δικό σας ἔλεος. Γιατί ὁ Θεός συμπεριέλαβε ὅλους στήν ἀπείθεια, γιά νά τούς ἐλεήσει ὅλους».

Ἐδῶ δείχνει ὅτι πρῶτα κλήθηκαν οἱ ἐθνικοί, ἔπειτα, ἐπειδή δέ θέλησαν αὐτοί, ἐξελέγησαν οἱ Ἰουδαῖοι, καί τό ἴδιο πάλι συνέβηκε ὕστερα· ἐπειδή δηλαδή οἱ Ἰουδαῖοι δέ θέλησαν νά πιστέψουν, πάλι ὁδηγήθηκαν οἱ ἐθνικοί. Ὅμως δέ σταματάει μέχρι τό σημεῖο αὐτό,

οὐδὲ εἰς τὴν ἐκβολὴν αὐτῶν καταστρέφει τὸ πᾶν, ἀλλ᾿ εἰς τὸ καὶ αὐτοὺς ἐλεηθῆναι πάλιν. Ὅρα πόσον δίδωσι τοῖς ἐξ ἐθνῶν· ὅσον ἔμπροσθεν Ἰουδαίοις. Ἐπειδὴ γὰρ ὑμεῖς ἠπειθήσατε, φησίν, οἱ ἐξ ἐθνῶν ποτε, προσῆλθον οἱ Ἰουδαῖοι· πάλιν ἐπειδὴ οὗτοι ἠπείθησαν, προσήλθετε ὑμεῖς. Οὐ μὴν εἰς τέλος ἀπολοῦνται· «συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν»· τουτέστιν, ἤλεγξεν, ἀπέδειξεν ἀπειθοῦντας· οὐχ ἵνα μείνωσιν ἀπειθοῦντες, ἀλλ᾿ ἵνα τοὺς ἑτέρους διὰ τῆς ἑτέρων σώσῃ φιλονεικίας, τούτους δι᾿ ἐκείνων, καὶ ἐκείνους διὰ τούτων. Σκόπει δέ. Ἠπειθήσατε ὑμεῖς, καὶ οὗτοι ἐσώθησαν· πάλιν οὗτοι ἠπείθησαν, καὶ ὑμεῖς ἐσώθητε· οὐ μὴν οὕτως ἐσώθητε, ὡς πάλιν ἐξελθεῖν, καθάπερ οἱ Ἰουδαῖοι, ἀλλ᾿ ὥστε αὐτοὺς ἐπισπάσασθαι τῷ ζήλῳ μένοντες.

9. «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ». Ἐνταῦθα ἐπὶ τοὺς προτέρους χρόνους ἐπανελθών, καὶ τὴν ἄνωθεν τοῦ Θεοῦ καταμαθὼν οἰκονομίαν τὴν ἐξ οὗπερ ὁ κόσμος ἐγένετο μέχρι τοῦ παρόντος, καὶ λογισάμενος πῶς ποικίλως ἅπαντα ᾠκονόμησεν, ἐξεπλάγη καὶ ἀνεβόησε, πιστούμενος τοὺς ἀκούοντας, ὅτι ἔσται πάντως ἅπερ εἶπεν. Οὐ γὰρ ἂν ἀνεβόησε καὶ ἐξεπλάγη, εἰ μὴ πάντως ἔμελλεν ἔσεσθαι τοῦτο. Καὶ ὅτι μὲν βάθος ἐστίν, οἶδε, πόσον δέ, οὐκ οἶδε· θαυμάζοντος γάρ ἐστιν ἡ ῥῆσις, οὐκ εἰδότος τὸ πᾶν. Θαυμάσας δὲ καὶ ἐκπλαγεὶς τὴν χρηστότητα, κατὰ τὸ ἐγχωροῦν αὐτῷ διὰ δύο τῶν ἐπιτατικῶν ὀνομάτων αὐτὴν ἀνεκήρυξε, τοῦ πλούτου καὶ τοῦ βάθους· καὶ ἐξεπλάγη, ὅτι καὶ ἠθέλησε καὶ ἴσχυσε ταῦτα, καὶ διὰ τῶν ἐναντίων τὰ ἐναντία κατεσκεύασεν. «Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ». Οὐ γὰρ μόνον καταληφθῆναι αὐτὰ ἀδύνατον, ἀλλ᾿ οὐδὲ ἐρευνηθῆναι.

«Καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». Τουτέστιν, αἱ οἰκονομίαι· καὶ γὰρ καὶ αὗται οὐ μόνον γνωσθῆναι, ἀλλ᾿ οὐδὲ ζητηθῆναι δύνανται. Οὐδὲ γὰρ ἐγώ, φησίν, εὗρον ἅπαντα, ἀλλὰ μέρος μικρόν, οὐ τὸ πᾶν· μόνος γὰρ αὐτὸς οἶδε τὰ αὐτοῦ σαφῶς. Διὸ καὶ ἐπήγαγε· «τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέ-

οὔτε στήν ἀπόρριψή τους τελειώνει τά πάντα, ἀλλά στό ὅτι θά ἐλεηθοῦν καί αὐτοί πάλι. Πρόσεχε πόσο δίνει στούς ἐθνικούς, ὅσο προηγουμένως ἔδινε στούς Ἰουδαίους. Γιατί, λέγει, ἐπειδή σεῖς οἱ ἐθνικοί ἀπειθήσατε κάποτε, προσῆλθαν οἱ Ἰουδαῖοι· ἐπειδή πάλι ἀπείθησαν αὐτοί, προσήλθατε ἐσεῖς. Δέ θά καταστραφοῦν βέβαια στό τέλος. «Γιατί ὁ Θεός συμπεριέλαβε ὅλους στήν ἀπείθεια». Δηλαδή, τούς ἔλεγξε, ἀπέδειξε ὅτι ἀπειθοῦσαν, ὄχι γιά νά παραμείνουν στήν ἀπείθεια, ἀλλά γιά νά σώσει τούς ἄλλους μέ τήν ἔχθρα τῶν ἄλλων, αὐτούς μ' ἐκείνους καί ἐκείνους μ' αὐτούς. Καί πρόσεχε. Ἀπειθήσατε ἐσεῖς, καί αὐτοί σώθηκαν· πάλι αὐτοί ἀπείθησαν, καί σεῖς σωθήκατε. Ἀλλ' ὅμως δέ σωθήκατε ἔτσι, ὥστε ν' ἀπομακρυνθεῖτε πάλι, ὅπως ἀκριβῶς οἱ Ἰουδαῖοι, ἀλλά γιά νά προσελκύσετε αὐτούς παραμένοντας σταθεροί στό ζῆλο σας.

9. «Πώ πώ βάθος πλούτου καί σοφίας καί γνώσεως Θεοῦ! πόσο ἀνεξερεύνητες εἶναι οἱ κρίσεις του!». Ἐδῶ, ἀφοῦ μεταφέρθηκε στούς προηγούμενους χρόνους καί κατενόησε τήν ἀπό τήν ἀρχή οἰκονομία τοῦ Θεοῦ, ἀπό τότε πού ἔγινε ὁ κόσμος μέχρι σήμερα, καί ἀφοῦ σκέφτηκε πῶς μέ ποικίλο τρόπο τά οἰκονόμησε ὅλα, ἔμεινε κατάπληκτος καί φώναξε δυνατά, βεβαιώνοντας τούς ἀκροατές, ὅτι θά συμβοῦν ὁπωσδήποτε ὅσα εἶπε. Γιατί δέ θά φώναζε καί δέ θά ἔνιωθε ἔκπληξη ἄν αὐτό δέν ἐπρόκειτο νά συμβεῖ. Καί ὅτι βέβαια ὑπάρχει βάθος, τό γνωρίζει, πόσο ὅμως, δέν τό ξέρει. Γιατί ἡ ἔκφραση αὐτή εἶναι ἔκφραση ἀνθρώπου πού θαυμάζει, ἀλλά δέν ξέρει τά πάντα. Καί ἀφοῦ θαύμασε καί ἀπόρησε γιά τήν ἀγαθότητά του, ὅσο μποροῦσε τή διαλάλησε μέ δύο λέξεις γαμάτες ἔμφαση, μέ τόν πλοῦτο δηλαδή καί τό βάθος. Καί ἔνιωσε ἔκπληξη, γιατί καί θέλησε καί μπόρεσε αὐτά, καί μέ τά ἀντίθετα κατόρθωσε τά ἀντίθετα. «Πόσο ἀνεξερεύνητες εἶναι οἱ κρίσεις του». Γιατί ὄχι μόνο εἶναι ἀδύνατο νά κατανοηθοῦν αὐτές, ἀλλ' οὔτε καί νά ἐρευνηθοῦν.

«Καί πόσο ἀνεξιχνίαστοι εἶναι οἱ δρόμοι του». Δηλαδή, οἱ οἰκονομίες του· καθόσον καί αὐτές ὄχι μόνο δέν μποροῦν νά γίνουν γνωστές, ἀλλ' οὔτε καί νά ἐρευνηθοῦν. Γιατί οὔτε ἐγώ, λέγει, τά βρῆκα ὅλα, ἀλλ' ἕνα μικρό μέρος, ὄχι τά πάντα· γιατί μόνο αὐτός ξέρει τά δικά του μέ σαφήνεια. Γι' αὐτό καί πρόσθεσε· «γιατί ποιός

δωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ»; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι οὕτω σοφὸς ὤν, οὐδὲ παρ' ἑτέρου σοφός ἐστιν, ἀλλ' αὐτός ἐστιν ἡ πηγὴ τῶν ἀγαθῶν· καὶ τοσαῦτα ἐργασάμενος καὶ χαρισάμενος ἡμῖν, οὐ παρ' ἑτέρου δανεισάμενος ταῦτα ἔδωκεν, ἀλλ' οἴκοθεν ἀναβλύσας, οὐδὲ ἀμοιβὴν ὀφείλων τινί, ὡς εἰληφὼς τι παρ' αὐτοῦ, ἀλλ' αὐτὸς κατάρχων ἀεὶ τῶν εὐεργεσιῶν. Τοῦτο γὰρ μάλιστά ἐστι πλούτου, τὸ καὶ ὑπερχεῖσθαι καὶ μὴ δεῖσθαι ἑτέρου. Διὸ καὶ ἐπήγαγεν· «ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα». Αὐτὸς εὗρεν, αὐτὸς ἐποίησεν, αὐτὸς συγκροτεῖ. Καὶ γὰρ καὶ πλούσιός ἐστι, καὶ οὐ δεῖται παρ' ἑτέρου λαβεῖν· καὶ σοφός ἐστι, καὶ οὐ δεῖται συμβούλου.

Τί λέγω συμβούλου; Οὐδὲ εἰδέναι τις δύναται τὰ αὐτοῦ, ἀλλ' ἢ μόνος αὐτὸς ὁ πλούσιος καὶ σοφός. Καὶ γὰρ πολλοῦ πλούτου, τὸ τοὺς ἐξ ἐθνῶν εὐπόρους οὕτω ποιῆσαι· καὶ πολλῆς σοφίας, τὸ τοὺς Ἰουδαίων καταδεεστέρους Ἰουδαίων κατασκευάσαι διδασκάλους. Εἶτα, ἐπειδὴ ἐξεπλάγη, καὶ εὐχαριστίαν ἀναφέρει λέγων· «αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν». Ὅταν γάρ τι τοιοῦτον λέγῃ μέγα καὶ ἄπορον, θαυμάζων εἰς δόξαν καταλήγει. Τοῦτο καὶ ἐπὶ τοῦ Υἱοῦ ποιεῖ. Καὶ γὰρ καὶ ἐκεῖ θαυμάσας, αὐτὸ δὴ τοῦτο ὅπερ καὶ ἐνταῦθα ἐπήγαγεν· «ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν».

10. *Τοῦτον δὴ καὶ ἡμεῖς μιμώμεθα, καὶ πανταχοῦ τὸν Θεὸν δοξάζωμεν διὰ τῆς κατὰ τὸν βίον ἐπιμελείας, μηδὲ προγόνων ἀρεταῖς θαρρῶμεν, τὸ κατὰ τοὺς Ἰουδαίους εἰδότες παράδειγμα. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν αὕτη παρὰ Χριστιανοῖς ἡ συγγένεια, ἀλλ' ἡ κατὰ Πνεῦμα ἀγχιστεία. Οὕτω καὶ ὁ Σκύθης τοῦ Ἀβραὰμ γίνεται παῖς, καὶ ὁ ἐκείνου παῖς τοῦ Σκύθου πάλιν ἀλλοτριώτερος καθίσταται.*

11. Ρωμ. 9, 5.

γνώρισε τή σκέψη τοῦ Κυρίου; ἤ ποιός ἔγινε σύμβουλός του; ἤ ποιός τοῦ ἔδωσε κάτι πρῶτος γιά νά τοῦ τό ἀνταποδώσει;». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· ὅτι δηλαδή τόσο πολύ σοφός εἶναι, καί δέν εἶναι σοφός ἀπό κάποιον ἄλλον, ἀλλ' αὐτός εἶναι ἡ πηγή τῶν ἀγαθῶν· καί ὅτι, ἄν καί τόσα πολλά ἔκανε καί μᾶς χάρισε, δέ μᾶς τά ἔδωσε δανειζόμενος ἀπό ἄλλον, ἀλλά τά ἀνέβλυσε ἀπό τόν ἑαυτό του, χωρίς νά ὀφείλει ἀμοιβή σέ κάποιον, σάν νά ἔλαβε κάτι ἀπ' αὐτόν, ἀλλά αὐτός πάντοτε κάνει ἀρχή τῶν εὐεργεσιῶν. Γιατί αὐτό πρό πάντων εἶναι γνώρισμα πλούτου, καί τό νά σκορπίζεται μέ ἀφθονία καί νά μήν ἔχει ἀνάγκη νά συμπληρωθεῖ ἀπό ἄλλον. Γι' αὐτό καί πρόσθεσε· «Γιατί ἀπ' αὐτόν προέρχονται τά πάντα καί μέσω αὐτοῦ καί σ' αὐτόν ἀνήκουν τά πάντα». Αὐτός τά βρῆκε ὅλα, αὐτός τά δημιούργησε καί αὐτός τά συγκροτεῖ. Καθόσον καί πλούσιος εἶναι καί δέν ἔχει ἀνάγκη νά λάβει ἀπό ἄλλον· καί σοφός εἶναι, καί δέν ἔχει ἀνάγκη ἀπό σύμβουλο.

Γιατί λέγω ἀπό σύμβουλο; Οὔτε μπορεῖ κανείς νά γνωρίζει τά δικά του, παρά μόνος αὐτός ὁ πλούσιος καί σοφός. Καθόσον εἶναι ἀπόδειξη μεγάλου πλούτου τό νά κάνει τόσο πλούσιους τούς προερχόμενους ἀπό τούς ἐθνικούς, καί δεῖγμα μεγάλης σοφίας τό νά κάνει τούς κατώτερους ἀπ' τούς Ἰουδαίους διδασκάλους τῶν Ἰουδαίων. Ἔπειτα, ἐπειδή θαύμασε πάρα πολύ, ἀναφέρει καί εὐχαριστία λέγοντας· «σ' αὐτόν ἀνήκει ἡ δόξα στούς αἰῶνες. Ἀμήν». Γιατί· ὅταν λέγει κάτι τέτοιο μεγάλο καί ἀνεξήγητο, μέ θαυμασμό καταλήγει σέ δοξολογία. Τό ἴδιο κάνει καί στήν περίπτωση τοῦ Υἱοῦ. Καθόσον καί ἐκεῖ ἀφοῦ θαύμασε, πρόσθεσε αὐτό ἀκριβῶς πού εἶπε καί ἐδῶ· «ἀπό τούς ὁποίους κατάγεται ὁ Χριστός κατά τήν ἀνθρώπινη φύση του, ὁ ὁποῖος εἶναι Θεός ἐξουσιαστής ὅλων, ἄξιος νά ὑμνεῖται στούς αἰῶνες. Ἀμήν»[11].

10. Αὐτόν λοιπόν ἄς μιμούμαστε καί ἐμεῖς, καί παντοῦ ἄς δοξάζουμε τό Θεό, φροντίζοντας τόν τρόπο τῆς ζωῆς μας, καί ἄς μή στηριζόμαστε στίς ἀρετές τῶν προγόνων μας, γνωρίζοντας τό παράδειγμα σχετικά μέ τούς Ἰουδαίους. Γιατί δέν ἰσχύει, δέν ἰσχύει αὐτή ἡ συγγένεια στούς Χριστιανούς, ἀλλ' ἡ πνευματική μόνο ἀγχιστεία. Ἔτσι καί ὁ Σκύθης γίνεται παιδί τοῦ Ἀβραάμ, καί τό δικό του παιδί γίνεται πάλι περισσότερο ξένο ἀπό τόν Σκύθη. Ἄς μή στηριζόμα-

Μὴ τοίνυν πατέρων κατορθώμασι θαρρῶμεν, ἀλλά, κἂν θαυμαστὸν ἔχῃς τὸν γεγεννηκότα, μὴ νομίσῃς ἀρκεῖν σοι τοῦτο εἰς σωτηρίαν, ἢ εἰς τιμὴν καὶ δόξαν, ἐὰν μὴ συγγενὴς αὐτῷ γίνῃ κατὰ τοὺς τρόπους· ὥσπερ οὖν κἂν φαῦλον ἔχῃς, μὴ νόμιζε καταδικάζεσθαι ἐντεῦθεν καὶ αἰσχύνεσθαι, εἴγε τὰ κατὰ σαυτὸν διαθείης καλῶς. Τί γὰρ τῶν ἐθνῶν ἀτιμότερον; ἀλλ' ὅμως τῇ πίστει ταχέως τῶν ἁγίων γεγόνασι. Τί δὲ Ἰουδαίων οἰκειότερον; ἀλλ' ὅμως διὰ τὴν ἀπιστίαν ἠλλοτριώθησαν. Ἐκείνη μὲν γὰρ ἡ συγγένεια φύσεώς ἐστι καὶ ἀνάγκης, καθ' ἣν πάντες ἐσμὲν συγγενεῖς· ἀπὸ γὰρ τοῦ Ἀδὰμ πάντες γεγόναμεν, καὶ οὐκ ἂν εἴη μᾶλλον ἕτερος ἑτέρου συγγενής, καὶ κατὰ τὸν τοῦ Ἀδὰμ καὶ κατὰ τὸν τοῦ Νῶε λόγον, καὶ κατὰ τὸν τῆς γῆς τῆς κοινῆς ἁπάντων μητέρος· ἡ δὲ τῶν στεφάνων ἀξία συγγένεια, ἡ διαιροῦσα ἡμᾶς ἀπὸ τῶν φαύλων ἐστίν.

Οὐ γὰρ ἔστι πάντας εἶναι συγγενεῖς ἐνταῦθα, ἀλλὰ τοὺς ὁμοτρόπους· οὐδὲ ἀδελφοὺς καλοῦμεν τοὺς τὰς αὐτὰς λύσαντας ὠδῖνας ἡμῖν, ἀλλὰ τοὺς τὸν αὐτὸν ζῆλον ἐπιδεικνυμένους. Οὕτω καὶ τέκνα Θεοῦ καλεῖ ὁ Χριστός, οὕτω καὶ υἱοὺς διαβόλου πάλιν ἐξ ἐναντίας· οὕτω καὶ ἀπειθείας, οὕτω καὶ γεέννης, οὕτω καὶ ἀπωλείας. Οὕτω καὶ Παύλου Τιμόθεος ἐξ ἀρετῆς τέκνον ἐκαλεῖτο, τοῦ δὲ υἱοῦ της ἀδελφῆς αὐτοῦ οὐδὲ ὄνομα ἴσμεν. Καίτοι γε ὁ μὲν κατὰ φύσιν ἦν αὐτῷ προσήκων, ἀλλ' οὐδὲν ὄφελος, ὁ δὲ καὶ φύσει καὶ τόπῳ διεστηκώς (καὶ γὰρ Λύστρων πολίτης ἦν), ἀλλ' ὅμως πάντων ἐγγύτερος γέγονε. Γενώμεθα τοίνυν καὶ ἡμεῖς τῶν ἁγίων παῖδες, μᾶλλον δὲ γενώμεθα τοῦ Θεοῦ παῖδες. Ὅτι γὰρ ἔστι καὶ τοῦ Θεοῦ γενέσθαι παῖδας, ἄκουσον τί φησι· «γίνεσθε οὖν τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς». Διὰ τοῦτο καὶ Πατέρα καλοῦμεν εὐχόμενοι, οὐχὶ τῆς χάριτος μόνον ἀναμιμνήσκοντες ἑαυτούς, ἀλλὰ καὶ τῆς ἀρετῆς, ἵνα μηδὲν ἀνάξιον τῆς τοιαύτης συγγενείας ποιῶμεν.

---

12. Βλ. Α' Τιμ. 1, 2.
13. Ματθ. 5, 48.

στε λοιπόν στά κατορθώματα τῶν πατέρων μας, ἀλλά, καί ἄν ἀκόμη ἔχεις ἀξιοθαύμαστο πατέρα, μή τό νομίσεις αὐτό ἀρκετό γιά τή σωτηρία σου ἤ γιά τιμή καί δόξα σου, ἄν δέ γίνεις συγγενής αὐτοῦ ὡς πρός τούς τρόπους· ὅπως ἀκριβῶς πάλι, καί ἄν ἀκόμη ἔχεις κακό πατέρα, νά μή νομίζεις πώς αὐτό εἶναι αἰτία καταδίκης καί ντροπῆς, ἐφόσον ἐσύ συμπεριφέρεσαι σωστά. Γιατί τί ὑπῆρχε ἀτιμότερο ἀπό τούς ἐθνικούς; ἀλλ' ὅμως μέ τήν πίστη ἔγιναν γρήγορα συγγενεῖς τῶν ἁγίων. Τί ἦταν πάλι οἰκειότερο ἀπό τούς Ἰουδαίους; ἀλλ' ὅμως ἐξ αἰτίας τῆς ἀπιστίας ἔγιναν ξένοι. Γιατί ἐκείνη ἡ συγγένεια εἶναι φυσική καί ὑποχρεωτική, σύμφωνα μέ τήν ὁποία εἴμαστε ὅλοι συγγενεῖς, ἀφοῦ ἀπό τόν Ἀδάμ ὅλοι γεννηθήκαμε, καί δέ θά μποροῦσε ὁ ἕνας νά εἶναι περισσότερο συγγενής ἀπό τόν ἄλλο, καί ἐξ αἰτίας τοῦ Ἀδάμ καί ἐξ αἰτίας τοῦ Νῶε καί ἐξ αἰτίας τῆς γῆς τῆς κοινῆς μητέρας ὅλων μας, ἐνῶ ἡ ἄξια γιά βραβεῖα συγγένεια, εἶναι ἐκείνη πού μᾶς ξεχωρίζει ἀπό τούς κακούς.

Γιατί δέν εἶναι δυνατό νά εἶναι ὅλοι συγγενεῖς ἐδῶ, ἀλλ' ὅσοι μόνο ἔχουν τούς ἴδιους τρόπους ζωῆς· οὔτε ὀνομάζουμε ἀδελφούς ὅσους γεννήθηκαν ἀπό τήν ἴδια κοιλιά μ' ἐμᾶς, ἀλλ' ὅσους παρουσιάζουν τόν ἴδιο ζῆλο. Μ' αὐτήν τήν ἔννοια καί ὁ Χριστός ὁμιλεῖ γιά τέκνα τοῦ Θεοῦ, μ' αὐτήν πάλι γιά τέκνα τοῦ διαβόλου ἀπό τήν ἀντίθετη ἄποψη, μ' αὐτήν γιά τέκνα τῆς παρακοῆς, μ' αὐτήν γιά τέκνα τῆς κολάσεως, μ' αὐτήν γιά τέκνα τῆς ἀπώλειας. Ἔτσι καί ὁ Τιμόθεος ἀπό τήν ἀρετή ὀνομαζόταν τέκνο τοῦ Παύλου[12], ἐνῶ δέν ξέρουμε οὔτε τό ὄνομα τοῦ υἱοῦ τῆς ἀδελφῆς του, ἄν καί βέβαια ὁ ἕνας ἦταν φυσικός συγγενής του, ἀλλά δέν εἶχε κανένα ὄφελος, ἐνῶ ὁ ἄλλος βρισκόταν μακριά του καί κατά τή φύση καί κατά τόν τόπο, καθόσον κατοικοῦσε στά Λύστρα, ἀλλ' ὅμως βρέθηκε πιό κοντά ἀπ' ὅλους. Ἄς γίνουμε λοιπόν καί μεῖς παιδιά τῶν ἁγίων, ἤ καλύτερα, ἄς γίνουμε παιδιά τοῦ Θεοῦ. Ὅτι βέβαια εἶναι δυνατό νά γίνουμε καί παιδιά τοῦ Θεοῦ, ἄκουσε τί λέγει· «γίνεστε λοιπόν τέλειοι, ὅπως ἀκριβῶς εἶναι τέλειος ὁ πατέρας σας ὁ οὐράνιος»[13]. Γι' αὐτό καί Πατέρα τόν ὀνομάζουμε στίς προσευχές μας, ὑπενθυμίζοντας στούς ἑαυτούς μας ὄχι μόνο τή χάρη, ἀλλά καί τήν ἀρετή, γιά νά μήν κάνουμε τίποτε τό ἀνάξιο μιᾶς τέτοιας συγγένειας.

Καὶ πῶς ἔστι, φησίν, Υἱὸν εἶναι Θεοῦ; Πάντων ἀπηλλαγμένον τῶν παθῶν, ἐπιείκειαν ἐπιδεικνύμενον περὶ τοὺς ὑβρίζοντας καὶ ἀδικοῦντας· καὶ γὰρ ὁ Πατὴρ ὁ σὸς τοιοῦτος περὶ τοὺς βλασφημοῦντάς ἐστι. Διὰ τοῦτο πολλὰ πολλάκις εἰπών, οὐδαμοῦ φησιν, «ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν»· ἀλλ' ὅτε εἶπεν, «εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς», τότε ἐπήγαγε τοῦτο τὸ ἔπαθλον. Οὐδὲν γὰρ οὕτως ἡμᾶς προσάγει Θεῷ καὶ ὁμοίους ποιεῖ, ὡς τοῦτο τὸ κατόρθωμα. Διὰ τοῦτο καὶ Παῦλος ὅταν λέγῃ, «γίνεσθε μιμηταὶ τοῦ Θεοῦ», κατὰ τοῦτο γίνεσθαι λέγει. Πάντων μὲν γὰρ χρείαν ἔχομεν τῶν κατορθωμάτων, μάλιστα δὲ φιλανθρωπίας καὶ ἡμερότητος, ἐπεὶ καὶ αὐτοὶ πολλῆς δεόμεθα φιλανθρωπίας. Καὶ γὰρ πολλὰ καθ' ἑκάστην πλημμελοῦμεν τὴν ἡμέραν· διὸ καὶ πολλοῦ ἡμῖν δεῖ τοῦ ἐλέου. Τὸ δὲ πολὺ καὶ ἔλαττον οὐ τῷ μέτρῳ τῶν διδομένων κρίνεται, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τῶν παρεχόντων. Μὴ τοίνυν μήτε ὁ πλουτῶν μέγα φρονείτω, μήτε ὁ πένης καταπιπτέτω ὡς ὀλίγα παρέχων· πολλάκις γὰρ οὗτος ἐκείνου πλείονα δέδωκεν.

Οὐδὲ ταλανίζειν ἑαυτοὺς χρὴ δια τὴν πενίαν· καὶ γὰρ εὐκολωτέραν ἡμῖν ποιεῖ τὴν ἐλεημοσύνην. Ὁ μὲν γὰρ πολλὰ κεκτημένος, καὶ ἀπονοίᾳ καὶ ἐπιθυμίᾳ πλείονι κατέχεται τῶν ὄντων, ὁ δὲ ὀλίγα ἔχων, ἑκατέρας ταύτης ἀπήλλακται τῆς τυραννίδος· διὸ καὶ πλείονας ἀφορμὰς εὑρίσκει τοῦ ποιεῖν εὖ. Καὶ γὰρ εἰς δεσμωτήριον οὗτος βαδιεῖται εὐκόλως, καὶ ἀρρωστοῦντας ἐπισκέψεται, καὶ ποτήριον ψυχροῦ δώσει· ἐκεῖνος δὲ οὐδὲν τούτων καταδέξεται, ἅτε ὑπὸ τοῦ πλούτου φλεγμαίνων. Μὴ οὖν ἀθύμει διὰ τὴν πενίαν· καὶ γὰρ καὶ τὴν ἐμπορίαν σοι τῶν οὐρανῶν εὐκολωτέραν ἡ πενία ποιεῖ. Κἂν μηδὲν ἔχῃς, συναλγοῦσαν δὲ ἔχῃς ψυχήν, καὶ τούτου σοι μισθὸς ἀποκείσεται. Διὰ τοῦτο καὶ Παῦλος ἐπέτασσε κλαίειν μετὰ κλαιόντων, καὶ τοῖς δεσμίοις ὡς συνδεδεμένους εἶναι ἐκέλευσεν. Οὐ γὰρ τοῖς κλαίουσι μόνον φέρει τινὰ παραμυθίαν τὸ πολλοὺς εἶ-

---

14. Ματθ. 5, 44.
15. Ἐφ. 5, 1.

Καί πῶς εἶναι δυνατό, λέγει, νά γίνω υἱός τοῦ Θεοῦ; Ἐάν εἶσαι ἀπαλλαγμένος ἀπ' ὅλα τά πάθη, ἐάν δείχνεις ἐπιείκεια γι' αὐτούς πού βρίζουν καί ἀδικοῦν, γιατί καί ὁ Πατέρας σου ἔτσι συμπεριφέρεται σ' αὐτούς πού βλασφημοῦν. Γι' αὐτό, ἄν καί εἶπε πολλά πολλές φορές, πουθενά δέ λέγει, «γιά νά γίνετε ὅμοιοι μέ τόν Πατέρα σας», ἀλλ' ὅταν εἶπε, «νά προσεύχεσθε γιά ἐκείνους πού σᾶς κακομεταχειρίζονται, νά εὐεργετεῖτε ἐκείνους πού σᾶς μισοῦν»[14], τότε πρόσθεσε αὐτό τό ἔπαθλο. Γιατί τίποτε δέ μᾶς ὁδηγεῖ τόσο πολύ στό Θεό καί δέ μᾶς κάνει ὅμοιους μ' αὐτόν, ὅσο τό κατόρθωμα αὐτό. Γι' αὐτό καί ὁ Παῦλος ὅταν λέγει, «γίνεστε μιμητές τοῦ Θεοῦ»[15], λέγει νά γίνεστε μιμητές σ' αὐτό. Βέβαια ἔχουμε ἀνάγκη ἀπ' ὅλα τά κατορθώματα, ἰδιαίτερα ὅμως ἀπό τή φιλανθρωπία καί τήν πραότητα, ἐπειδή καί οἱ ἴδιοι χρειαζόμαστε μεγάλη φιλανθρωπία. Καθόσον κάνουμε πολλά ἁμαρτήματα καθημερινά, γι' αὐτό καί μᾶς χειάζεται πολλή εὐσπλαχνία. Τό πολύ ὅμως καί τό λιγότερο δέν κρίνεται μέ τό μέτρο ἐκείνων πού δίνονται, ἀλλά μέ τό μέγεθος τῆς περιουσίας ἐκείνων πού δίνουν. Λοιπόν οὔτε ὁ πλούσιος νά ὑπερηφανεύεται, οὔτε ὁ φτωχός νά αἰσθάνεται μειονεκτικά ἐπειδή τάχα δίνει λίγα, γιατί πολλές φορές αὐτός ἔδωσε περισσότερα ἀπό ἐκεῖνον.

Καί δέν πρέπει νά ταλανίζουμε τούς ἑαυτούς μας ἐξ αἰτίας τῆς φτώχειας, γιατί κάνει πιό εὔκολη σ' ἐμᾶς τήν ἐλεημοσύνη. Γιατί ἐκεῖνος πού ἔχει πολλά, κατέχεται καί ἀπό ἀλαζονεία καί ἀπό ἐπιθυμία περισσότερη γιά τά ὑπάρχοντα, ἐνῶ ἐκεῖνος πού ἔχει λίγα, εἶναι ἀπαλλαγμένος καί ἀπό τίς δύο αὐτές τυραννίες· γι' αὐτό καί βρίσκει περισσότερες ἀφορμές γιά νά εὐεργετεῖ. Γιατί καί σέ φυλακή αὐτός θά πάει εὔκολα, καί ἀρρώστους θά ἐπισκεφθεῖ, καί κρύο νερό θά προσφέρει, ἐκεῖνος ὅμως δέ θά καταδεχθεῖ νά κάμει τίποτε ἀπ' αὐτά, ἐπειδή φλέγεται ἀπό τόν πλοῦτο. Νά μή στενοχωριέσαι λοιπόν γιά τή φτώχεια, καθόσον καί τήν ἀγορά τῶν οὐρανῶν σοῦ τήν κάνει πιό εὔκολη. Καί ἄν ἀκόμη δέν ἔχεις τίποτε, ἀλλ' ἔχεις ψυχή πού συμπονάει, θά σοῦ ἐπιφυλαχθεῖ ἀμοιβή καί γι' αὐτό. Γι' αὐτό καί ὁ Παῦλος ἔδωσε ἐντολή νά κλαῖμε μ' ἐκείνους πού κλαῖνε, καί μέ τούς φυλακισμένους πρόσταξε νά εἴμαστε σάν φυλακισμένοι μαζί τους. Γιατί ὄχι μόνο σέ ὅσους κλαῖνε φέρνει κάποια παρηγοριά

ναι τοὺς συναλγοῦντας, ἀλλὰ καὶ τοῖς ἐν ἄλλαις περιστάσεσιν οὖσι. Καὶ γὰρ ἔστιν ὅπου χρημάτων οὐ ἔλαττον λόγος ἀνακτήσασθαι δύναται τὸν πεπονηκότα.

Διὰ γὰρ τοῦτο καὶ χρήματα ἐκέλευσε διδόναι ὁ Θεὸς τοῖς δεομένοις, οὐχ ἵνα τὴν ἐκείνων πενίαν διορθώσῃ μόνον, ἀλλ' ἵνα καὶ ἡμᾶς διδάξῃ συναλγεῖν τοῖς τοῦ πλησίον κακοῖς. Διὰ τοῦτο καὶ ὁ φιλάργυρος μισητός, οὐχ ὅτι περιορᾷ τοὺς ἐν πτωχείᾳ μόνον, ἀλλ' ὅτι καὶ αὐτὸς εἰς ὠμότητα ἀλείφεται καὶ ἀπανθρωπίαν πολλήν· ὥσπερ οὖν καὶ ὁ χρημάτων ὑπερορῶν δι' ἐκείνους, καὶ διὰ τοῦτο ποθητός, ὅτι ἐλεήμων γίνεται καὶ φιλάνθρωπος. Καὶ ὁ Χριστὸς δὲ ὅταν μακαρίζῃ τοὺς ἐλεήμονας, οὐ τοὺς διὰ χρημάτων ἐλεοῦντας μόνον, ἀλλὰ καὶ τοὺς διὰ προαιρέσεως τοῦτο ποιοῦντας μακαρίζει καὶ ἐπαινεῖ. Ταύτην τοίνυν παρέχωμεν ἐπιτεδείαν πρὸς ἔλεον, καὶ πάντα ἕψεται τὰ ἀγαθά. Ὁ γὰρ γνώμην φιλάνθρωπον ἔχων καὶ ἐλεήμονα, κἂν χρήματα ἔχῃ, προήσεται, κἂν ἐν συμφοραῖς ἴδῃ τινά, κλαύσεται καὶ θρηνήσει, κἂν ἀδικουμένῳ περιτύχῃ, προστήσεται, κἂν ἐπηρεαζόμενον θεάσηται, χεῖρα ὀρέξει. Τὸν γὰρ θησαυρὸν ἔχων τῶν ἀγαθῶν, τὴν φιλάνθρωπον καὶ ἐλεήμονα ψυχήν, πάντα ἐκεῖθεν ἀναβλύσει τὰ ὑπὲρ τῶν ἀδελφῶν, καὶ πάντων ἀπολαύσεται τῶν παρὰ τῷ Θεῷ κειμένων μισθῶν.

Ἵν' οὖν καὶ ἡμεῖς τούτων ἐπιτύχωμεν, πρὸ πάντων τὴν ψυχὴν ἥμερον κατασκευάσωμεν. Οὕτω γὰρ καὶ ἐνταῦθα ὄντες μυρία ἐργασόμεθα ἀγαθά, καὶ τῶν μελλόντων ἀπολαυσόμεθα στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τό νά ὑπάρχουν πολλοί πού συμπονοῦν, ἀλλά καί σ' ἐκείνους πού βρίσκονται σέ ἄλλες δύσκολες περιστάσεις. Γιατί πραγματικά σέ μερικές περιπτώσεις μπορεῖ ὁ λόγος νά ἐνισχύσει τόν λυπημένο ὄχι λιγότερο ἀπό τά χρήματα.

Γι' αὐτό λοιπόν ὁ Θεός διέταξε νά δίνουμε καί χρήματα σ' ἐκείνους πού ἔχουν ἀνάγκη, ὄχι γιά νά διορθώσει τή δική τους φτώχεια μόνο, ἀλλά γιά νά διδάξει καί μᾶς νά συμπονοῦμε στά κακά τοῦ πλησίον. Γι' αὐτό καί ὁ φιλάργυρος εἶναι μισητός, ὄχι γιατί περιφρονεῖ τούς φτωχούς μόνο, ἀλλά γιατί καί αὐτός παρακινεῖται σέ σκληρότητα καί ἀπανθρωπιά πολλή· ὅπως ἀκριβῶς πάλι καί αὐτός πού περιφρονεῖ τά χρήματα ἐξ αἰτίας ἐκείνων, καί γι' αὐτό εἶναι ποθητός, γιατί γίνεται ἐλεήμονας καί φιλάνθρωπος. Ἀλλά καί ὁ Χριστός, ὅταν μακαρίζει τούς ἐλεήμονες, μακαρίζει καί ἐπαινεῖ ὄχι μόνο ὅσους ἐλεοῦν μέ χρήματα, ἀλλά καί ὅσους κάνουν αὐτό μέ τήν προαίρεσή τους. Αὐτή λοιπόν ἄς τήν παρέχουμε κατάλληλη γιά ἐλεημοσύνη, καί τότε ὅλα τά ἀγαθά θ' ἀκολουθήσουν. Γιατί ὅποιος ἔχει διάθεση φιλάνθρωπη καί συμπονετική, καί ἄν ἔχει χρήματα, θά δώσει ἄφθονα, καί ἄν δεῖ κάποιο σέ συμφορές, θά κλάψει καί θά θρηνήσει, καί ἄν συναντήσει κάποιον ἀδικημένο, θά τόν προστατέψει, καί ἄν δεῖ κάποιον πού τόν κακομεταχειρίζονται, θ' ἁπλώσει τό χέρι του γιά βοήθεια. Γιατί ἔχοντας τό θησαυρό τῶν ἀγαθῶν, δηλαδή τή φιλάνθρωπη καί συμπονετική ψυχή, θ' ἀναβλύσει ἀπό τήν πηγή αὐτή ὅλα ἐκεῖνα γιά χάρη τῶν ἀδελφῶν του καί θ' ἀπολαύσει ὅλους τούς μισθούς πού βρίσκονται κοντά στό Θεό.

Γιά νά ἐπιτύχουμε λοιπόν καί μεῖς αὐτά, πρίν ἀπ' ὅλα ἄς κάμουμε τήν ψυχή μας συμπονετική. Γιατί ἔτσι καί ἐδῶ πού βρισκόμαστε θά κάμουμε ἄπειρα ἀγαθά καί θ' ἀπολαύσουμε τά μελλοντικά βραβεῖα, τά ὁποῖα εἴθε νά τά ἐπιτύχουμε ὅλοι μας, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΑ'

(Ρωμ. 12,1 – 3)

«Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματι ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν».

1. Πολλὰ περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας διαλεχθείς, καὶ δείξας αὐτοῦ τὴν ἄφατον κηδεμονίαν, καὶ τὴν ἀπόρρητον ἀγαθότητα καὶ οὐδὲ ἐρευνηθῆναι δυναμένην, αὐτὴν λοιπὸν ταύτην προβάλλεται, εἰς τὸ πεῖσαι τοὺς εὐεργετηθέντας ἀξίαν τῆς δωρεᾶς ἐπιδείξασθαι τὴν πολιτείαν. Καὶ τοσοῦτος ὢν καὶ τηλικοῦτος, οὐ παραιτεῖται παρακαλεῖν· καὶ ταῦτα οὐχ ὑπὲρ ὧν ἔμελλεν αὐτὸς ἀπολαύειν, ἀλλ' ὑπὲρ ὧν ἐκεῖνοι κερδαίνειν εἶχον. Καὶ τί θαυμάζεις, εἰ αὐτὸς οὐ παραιτεῖται παρακαλεῖν, ὅπου γε καὶ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ προβάλλεται; Ἐπειδὴ γὰρ τὰ μυρία ὑμῖν ἐντεῦθεν, φησίν, ἀγαθά, ἀπὸ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, αὐτοὺς αἰδέσθητε, αὐτοὺς δυσωπήθητε. Καὶ γὰρ αὐτοὶ τὴν ἱκετηρίαν τιθέασιν, ἵνα μηδὲν ἀνάξιον αὐτῶν ἐπιδείξησθε. Δι' αὐτῶν οὖν τούτων, φησί, παρακαλῶ, δι' ὧν ἐσώθητε· ὥσπερ ἂν εἴ τις τὸν μεγάλα εὐεργετηθέντα ἐντρέψαι βουλόμενος, αὐτὸν τὸν εὐεργετήσαντα ἱκέτην ἀγάγοι. Καὶ τί παρακαλεῖς, εἰπέ μοι; «Παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν».

ΟΜΙΛΙΑ ΚΑ'

(Ρωμ. 12,1-3)

«Σᾶς παρακαλῶ λοιπόν, ἀδελφοί, ἐξ ὀνόματος τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, νά προσφέρετε τά σώματά σας θυσία ζωντανή, ἅγια, εὐάρεστη στό Θεό, τή λογική λατρεία σας».

1. Ἀφοῦ εἶπε πολλά γιά τή φιλανθρωπία τοῦ Θεοῦ καί ἔδειξε τήν ἀνέκφραστη φροντίδα του καί τήν ἀπερίγραπτη ἀγαθότητά του πού δέν μπορεῖ καί νά ἐρευνηθεῖ, αὐτήν τήν ἴδια προβάλλει πλέον, γιά νά πείσει ἐκείνους πού εὐεργετήθηκαν νά δείξουν συμπεριφορά ἄξια μέ τή δωρεά αὐτή. Καί ἄν καί εἶναι τόσο μεγάλος καί τόσο σπουδαῖος, δέ σταματάει νά παρακαλεῖ. Καί ὅλα αὐτά ὄχι γιά ὅσα ἐπρόκειτο ν' ἀπολαύσει αὐτός, ἀλλά γιά ὅσα μποροῦσαν νά κερδίσουν ἐκεῖνοι. Καί τί θαυμάζεις, ἄν αὐτός δέ σταματάει νά παρακαλεῖ, τή στιγμή βέβαια πού προβάλλει καί τούς οἰκτιρμούς τοῦ Θεοῦ; Ἐπειδή λοιπόν, λέγει, ἀπό ἐδῶ προέρχονται τά ἄπειρα ἀγαθά γιά σᾶς, δηλαδή ἀπό τούς οἰκτιρμούς τοῦ Θεοῦ, αὐτούς σεβασθεῖτε, αὐτούς ντραπεῖτε. Καθόσον καί αὐτοί ἀναφέρουν τήν ἱκεσία, γιά νά μή δείξετε τίποτε ἀνάξιο αὐτῶν. Σᾶς παρακαλῶ λοιπόν, λέγει, στό ὄνομα τῆς εὐσπλαχνίας, μέ τήν ὁποία σωθήκατε· σάν νά παρουσίαζε κάποιος ἱκέτη τόν ἴδιο τόν εὐεργέτη, ἐπειδή ἤθελε νά ἐλέγξει ἐκεῖνον πού εὐεργετήθηκε πάρα πολύ. Καί πές μου, τί παρακαλεῖς; «Νά προσφέρετε τά σώματά σας θυσία ζωντανή, ἅγια, εὐάρεστη στό Θεό, τή λογική λατρεία σας».

Ἐπειδὴ γὰρ εἶπε, «θυσίαν», ἵνα μή τις νομίσῃ, ὅτι κατασφάξαι κελεύει τὰ σώματα, ταχέως ἐπήγαγε, «ζῶσαν». Εἶτα διαιρῶν αὐτὴν ἀπὸ τῆς Ἰουδαϊκῆς, φησίν, «ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν». Ἐκείνη γὰρ σωματική, καὶ οὐ σφόδρα εὐάρεστος. «Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;», φησί. Καὶ πολλαχοῦ ἀλλαχοῦ φαίνεται διακρουόμενος αὐτάς. Ἀλλ' οὐχὶ ταύτην, ἀλλὰ καὶ ἐκείνης διδομένης ταύτην ἐζήτει. Διὸ καὶ ἔλεγε, «θυσία αἰνέσεως δοξάσει με»· καὶ πάλιν, «αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς». Καὶ ἀλλαχοῦ ἐκβάλλων αὐτήν, καὶ λέγων, «μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;» ἐπήγαγε, «θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου». Οὕτω καὶ Παῦλος ἐνταῦθα κελεύει παραστῆσαι τὰ σώματα θυσίαν ζῶσαν. Καὶ πῶς ἂν γένοιτο τὸ σῶμα, φησί, θυσία; Μηδὲν ὁ ὀφθαλμὸς βλεπέτω πονηρόν, καὶ γέγονε θυσία· μηδὲν ἡ γλῶττα λαλείτω αἰσχρόν, καὶ γέγονε προσφορά· μηδὲν ἡ χεὶρ πραττέτω παράνομον, καὶ γέγονεν ὁλοκαύτωμα.

Μᾶλλον δὲ οὐκ ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ τῆς τῶν ἀγαθῶν ἡμῖν ἐργασίας δεῖ, ἵνα ἡ μὲν χεὶρ ἐλεημοσύνην ποιῇ, τὸ δὲ στόμα εὐλογῇ τοὺς ἐπηρεάζοντας, ἡ δὲ ἀκοὴ θείαις σχολάζῃ διηνεκῶς ἀκροάσεσιν. Ἡ γὰρ θυσία οὐδὲν ἔχει ἀκάθαρτον, ἡ θυσία ἀπαρχὴ τῶν ἄλλων ἐστί. Καὶ ἡμεῖς τοίνυν καὶ χειρῶν καὶ ποδῶν καὶ στόματος καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχώμεθα τῷ Θεῷ. Ἡ τοιαύτη θυσία εὐάρεστος, ὡς ἥ γε τῶν Ἰουδαίων καὶ ἀκάθαρτος ἦν. «Αἱ θυσίαι γὰρ αὐτῶν», φησίν, «ἄρτος πένθους αὐτοῖς». Ἀλλ' οὐχὶ ἡ ἡμετέρα. Ἐκείνη τὸ τεθυμένον νεκρὸν ἀπέφηνεν, αὕτη τὸ τεθυμένον ζῶν ἐργάζεται. Ὅταν γὰρ νεκρώσωμεν ἡμῶν τὰ μέλη, τότε δυνησόμεθα ζῆν. Καινὸς γὰρ οὗτος τῆς θυσίας ὁ νόμος· διὸ καὶ παράδοξος τοῦ

---

1. Ἡσ. 1, 12.
2. Ψαλμ. 49, 23.
3. Ψαλμ. 68, 31. 32.
4. Ψαλμ. 49, 13. 14.
5. Ὠσηέ 9, 4.

Ἐπειδή δηλαδή εἶπε, «θυσία», γιά νά μή νομίσει κανείς, ὅτι διατάσσει νά θυσιάσουν τά σώματά τους, ἀμέσως πρόσθεσε, «ζωντανή». Ἔπειτα, ξεχωρίζοντας τή θυσία αὐτή ἀπό τήν Ἰουδαϊκή, λέγει, «ἅγια, εὐάρεστη στό Θεό, τή λογική λατρεία σας». Καθόσον ἐκείνη εἶναι σωματική καί ὄχι πάρα πολύ εὐάρεστη. Γιατί λέγει· «ποιός ζήτησε αὐτά ἀπό τά χέρια σας;»[1]. Καί σέ πολλά ἄλλα σημεῖα φαίνεται ν' ἀποκρούει αὐτές τίς θυσίες. Δέν ἀπέκρουε ὅμως αὐτήν, ἀλλά, ἄν καί προσφερόταν καί ἐκείνη, ζητοῦσε αὐτήν. Γι' αὐτό καί ἔλεγε, «θυσία δοξολογίας θά μέ δοξάσει»[2]. Καί πάλι, «θά ὑμνήσω τό ὄνομα τοῦ Θεοῦ μου μέ ᾠδή, καί θ' ἀρέσει στό Θεό περισσότερο ἀπό θυσία νέου μοσχαριοῦ, πού ἀρχίζει νά βγάζει κέρατα καί ὁπλές στά πόδια του»[3]. Καί ἀλλοῦ ἀπορρίπτοντας αὐτήν καί λέγοντας, «μήπως ἔχω ἀνάγκη νά φάω κρέατα ταύρων καί νά πιῶ αἷμα τράγων;», πρόσθεσε, «πρόσφερε στό Θεό σάν θυσία τή δοξολογία καί ἐκπλήρωσε πρός τόν Ὕψιστο τά τάματά σου»[4]. Ἔτσι καί ὁ Παῦλος ἐδῶ δίνει ἐντολή νά προσφέρουν τά σώματά τους θυσία ζωντανή. Καί πῶς, λέγει, μπορεῖ τό σῶμα νά γίνει θυσία; Ἄς μή βλέπει τό μάτι τίποτε τό πονηρό, καί ἔγινε θυσία· ἄς μή λέγει ἡ γλώσσα τίποτε τό αἰσχρό, καί ἔγινε προσφορά· ἄς μήν κάνει τό χέρι τίποτε τό παράνομο, καί ἔγινε ὁλοκαύτωμα.

Ἤ καλύτερα δέ φθάνουν αὐτά, ἀλλά μᾶς εἶναι ἀπαραίτητη καί ἡ ἀγαθοεργία, ὥστε τό χέρι νά κάνει τήν ἐλεημοσύνη, τό στόμα νά εὐλογεῖ ἐκείνους πού μᾶς κακομεταχειρίζονται, καί τό αὐτί ν' ἀσχολεῖται διαρκῶς μέ τήν ἀκρόαση τῶν λόγων τοῦ Θεοῦ. Γιατί ἡ θυσία δέν περιέχει τίποτε τό ἀκάθαρτο, ἡ θυσία εἶναι ἡ ἀπαρχή τῶν ἄλλων. Καί μεῖς λοιπόν ἄς προσφέρουμε στό Θεό τίς ἀπαρχές τῶν χεριῶν καί τῶν ποδιῶν καί τοῦ στόματος καί ὅλων τῶν ἄλλων μελῶν τοῦ σώματός μας. Ἡ θυσία αὐτή εἶναι εὐάρεστη, ἐνῶ ἡ θυσία τῶν Ἰουδαίων ἦταν ἀκάθαρτη. «Γιατί οἱ θυσίες τους», λέγει, «εἶναι σάν ἄρτος πένθους γι' αὐτούς»[5]. Ἀλλά δέν εἶναι τέτοια καί ἡ δική μας θυσία. Ἐκείνη τό προσφερόμενο θυσία τό παρουσίαζε νεκρό, ἐνῶ αὐτή ἐκεῖνο πού θυσιάζεται τό κάνει ζωντανό. Ὅταν λοιπόν νεκρώσουμε τά μέλη μας, τότε θά μπορέσουμε νά ζήσουμε. Γιατί εἶναι

πυρὸς ὁ τρόπος. Οὐδὲ γὰρ ξύλων δεῖται καὶ ὕλης ὑποκειμένης, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ ζῇ τὸ πῦρ τὸ ἡμέτερον· καὶ οὐδὲ κατακαίει τὸ ἱερεῖον, ἀλλὰ μᾶλλον αὐτὸ ζωογονεῖ. Ταύτην ἄνωθεν τὴν θυσίαν ὁ Θεὸς ἐζήτει· διὸ καὶ ἔλεγεν ὁ προφήτης, «θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον». Καὶ οἱ παῖδες δὲ οἱ τρεῖς ταύτην προσῆγον λέγοντες· «οὐκ ἔστιν ἄρχων οὐδὲ προφήτης, οὐ τόπος τοῦ καρπῶσαι καὶ εὑρεῖν ἔλεος, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν».

2. *Σκόπει δὲ πῶς καὶ ἑκάστῃ λέξει μετὰ πολλῆς κέχρηται τῆς ἀκριβείας. Οὐ γὰρ εἶπε, 'ποιήσατε τὰ σώματα ὑμῶν θυσίαν', ἀλλά, «παραστήσατε»· ὡς ἂν εἰ ἔλεγε, μηδὲν κοινὸν ἔχετε λοιπὸν πρὸς αὐτά· ἑτέρῳ αὐτὰ ἐξεδώκατε. Καὶ γὰρ οἱ τοὺς ἵππους τοὺς πολεμιστηρίους παριστῶντες, οὐδὲν λοιπὸν κοινὸν πρὸς αὐτοὺς ἔχουσι. Καὶ σὺ τοίνυν παρέστησας τῷ πολέμῳ τῷ κατὰ τοῦ διαβόλου τὰ μέλη, καὶ τῇ παρατάξει τῇ φοβερᾷ· μὴ κάθελκε αὐτὰ πρὸς ἰδιωτικὰς διακονίας. Καὶ ἕτερον δὲ ἐκ τούτου δείκνυσιν, ὅτι καὶ δόκιμα αὐτὰ δεῖ ποιεῖν, εἴγε παριστᾶν μέλλομεν. Οὐ γάρ τινι τῶν ἐπιγείων ἀνθρώπων, ἀλλ' αὐτῷ παριστῶμεν αὐτὰ τῷ βασιλεῖ τῶν ὅλων Θεῷ, οὐχ ἵνα πολεμῇ μόνον, ἀλλ' ἵνα καὶ αὐτὸν ἐπικαθήμενον ἔχῃ τὸν βασιλέα. Οὐδὲ γὰρ παραιτεῖται ἐπικαθῆσθαι τοῖς μέλεσιν ἡμῶν, ἀλλὰ καὶ σφόδρα τοῦτο βούλεται· καὶ ὅπερ βασιλεὺς οὐκ ἂν ἕλοιτο ὁμόδουλος ἡμῖν, τοῦτο ὁ τῶν ἀγγέλων δεσπότης αἱρεῖται.*

Ἐπεὶ οὖν καὶ παρίστασθαι μέλλει, καὶ θυσία ἐστί, πάντα μῶμον περίελε· ὡς ἐὰν ἔχῃ μῶμον, οὐκέτ' ἂν εἴη θυσία. Οὐδὲ γὰρ ὀφθαλμὸς δύναται τυθῆναι πορνικὰ βλέπων, οὐ χεὶρ παραστῆναι ἁρπάζουσα καὶ πλεονεκτοῦσα, οὐ πόδες χωλὰ βαδίζοντες καὶ ἐπὶ θέατρα ἀναβαίνοντες, οὐ γαστὴρ τρυφῇ δουλεύουσα καὶ τῶν ἡδονῶν ἀνάπτουσα τὰς ἐπιθυμίας, οὐ καρδία θυμὸν ἔχουσα καὶ ἔρωτα πορνικόν, οὐ γλῶττα αἰσχρὰ φθεγγομένη. Διὸ χρὴ πανταχόθεν

---

6. Ψαλμ. 50, 19.

7. Δαν. 3, 38. 39.

καινούριος αὐτός ὁ νόμος τῆς θυσίας· γι' αὐτό καί ὁ τρόπος τῆς φωτιᾶς εἶναι παράξενος. Γιατί δέ χριεάζεται νά ὑπάρχουν ξύλα καί ὑλικά, ἀλλ' ἡ δική μας αὐτή φωτιά ἀπό μόνη της ζεῖ· καί οὔτε κατακαίει τό σφάγιο, ἀλλά τό ζωογονεῖ περισσότερο. Τή θυσία αὐτή ζητοῦσε ἀπό τήν ἀρχή ὁ Θεός. Γι' αὐτό καί ἔλεγε ὁ προφήτης· «θυσία γιά τό Θεό εἶναι ἡ συντριμμένη ψυχή»[6]. Καί οἱ τρεῖς νέοι αὐτή τή θυσία πρόσφεραν λέγοντας· «Δέν ὑπάρχει γιά μᾶς οὔτε βασιλιάς οὔτε προφήτης, οὔτε τόπος νά προσφέρουμε τίς θυσίες μας καί νά βροῦμε ἔλεος, ἀλλά μέ ψυχή συντριμμένη καί πνεῦμα ταπεινωμένο ἄς γίνουμε δεκτοί ἀπό σένα»[7].

2. Πρόσεχε ὅμως πῶς χρησιμοποιεῖ καί κάθε λέξη μέ πολλή ἀκρίβεια. Γιατί δέν εἶπε, κάνετε τά σώματά σας θυσία, ἀλλά «προσφέρετε»· σάν νά ἔλεγε, μήν ἔχετε πλέον κανένα κοινό μ' αὐτά, σ' ἄλλον τά παραδώσατε. Καθόσον καί ἐκεῖνοι πού προσφέρουν τά πολεμικά ἄλογα, δέν ἔχουν μετά κανένα κοινό μ' αὐτά. Καί σύ λοιπόν πρόσφερες τά μέλη σου στόν πόλεμο ἐναντίον τοῦ διαβόλου καί στή μάχη τή φοβερή· μή σύρεις αὐτά στίς ἰδιωτικές σου ὑπηρεσίες. Καί ἄλλο ὅμως μ' αὐτό δείχνει, ὅτι πρέπει νά τά κάμνουμε καί δόκιμα, ἐφόσον δηλαδή πρόκειται νά τά προσφέρουμε. Γιατί δέν τά προσφέρουμε σέ κάποιον ἀπό τούς ἐπιγείους ἀνθρώπους, ἀλλά τά προσφέρουμε στόν ἴδιο τό βασιλιά τῶν ὅλων Θεό, ὄχι γιά νά πολεμοῦν μόνο, ἀλλά καί νά ἔχουν τόν ἴδιο τό βασιλιά νά κάθεται ἐπάνω τους. Γιατί δέν ἀποφεύγει νά κάθεται πάνω στά μέλη μας, ἀλλά καί πάρα πολύ τό θέλει αὐτό· καί ἐκεῖνο πού δέ θά προτιμοῦσε ὁ βασιλιάς πού εἶναι συνάνθρωπός μας, αὐτό τό προτιμάει ὁ Κύριος τῶν ἀγγέλων.

Ἀφοῦ λοιπόν πρόκειται νά προσφερθοῦν καί εἶναι θυσία, ἀπομάκρυνε κάθε ἐλάττωμα· καθόσον ἄν ἔχουν ἐλάττωμα, δέ θά μποροῦσαν νά προσφερθοῦν θυσία. Οὔτε τό μάτι βέβαια μπορεῖ νά θυσιασθεῖ ὅταν βλέπει πορνικά πράγματα, οὔτε τό χέρι νά προσφερθεῖ ὅταν ἁρπάζει καί εἶναι ἄπληστο, οὔτε τά πόδια ὅταν βαδίζουν κουτσαίνοντας καί ἀνεβαίνουν στά θέατρα, οὔτε ἡ κοιλιά ὅταν εἶναι δούλη στίς ἀπολαύσεις καί ἀνάβει τίς ἐπιθυμίες τῶν ἡδονῶν, οὔτε ἡ καρδιά ὅταν ἔχει θυμό καί ἔρωτα γιά πορνεία, οὔτε ἡ γλῶσσα ὅταν μιλάει αἰσχρά λόγια. Γι' αὐτό πρέπει ἀπό παντοῦ νά ἐξετάζεται τό

μωμοσκοπεῖσθαι τὸ σῶμα τὸ ἡμέτερον. Εἰ γὰρ οἱ τὰς παλαιὰς ἀναφέροντες θυσίας ἐκελεύοντο πάντα περισκοπεῖν, καὶ οὔτε ὠτότμητον, οὔτε κολοβόκερκον, οὔτε ψωραγριῶντα, οὔτε λειχῆνα ἔχοντα ἐπετρέποντο ἀναφέρειν, πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐ πρόβατα ἄλογα, ἀλλ' ἑαυτοὺς ἀναφέροντας, πλείονα ἀκρίβειαν ἐπιδείκνυσθαι χρή, καὶ πάντοθεν εἶναι καθαρούς, ἵνα δυνηθῶμεν καὶ ἡμεῖς κατὰ Παῦλον λέγειν· «ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε». Καὶ γὰρ θυσίας ἁπάσης καθαρώτερος ἦν· διὸ καὶ σπονδὴν ἑαυτὸν ἐκάλει. Ἔσται δὲ τοῦτο, ἐὰν ἀνέλωμεν τὸν παλαιὸν ἄνθρωπον, ἐὰν νεκρώσωμεν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, ἐὰν σταυρώσωμεν τὸν κόσμον ἑαυτοῖς.

Οὕτως οὐδὲ μαχαίρας δεησόμεθα λοιπόν, οὐδὲ θυσιαστηρίου, οὐδὲ πυρός· μᾶλλον δέ, τούτων ἁπάντων δεησόμεθα, πλὴν οὐ χειροποιήτων, ἀλλ' ἄνωθεν ἡμῖν ἅπαντα ἥξει, καὶ τὸ πῦρ ἄνωθεν καὶ ἡ μάχαιρα, καὶ τὸ θυσιαστήριον δὲ ἡμῖν ἔσται τοῦ οὐρανοῦ τὸ πλάτος. Εἰ γάρ, τοῦ Ἠλία θυσίαν ἀναφέροντος αἰσθητήν, λαμπὰς ἄνωθεν κατενεχθεῖσα πάντα ἀνάλωσε, καὶ τὸ ὕδωρ καὶ τὰ ξύλα καὶ τοὺς λίθους, πολλῷ μᾶλλον ἐπὶ σοῦ τοῦτο ἔσται· κἂν ἔχῃς τι διαρρέον καὶ βιωτικόν, προσάγῃς δὲ θυσίαν μετὰ γνώμης ὀρθῆς, κατελθὸν τοῦ Πνεύματος τὸ πῦρ, καὶ τὸ βιωτικὸν ἐκεῖνο δαπανήσει, καὶ τὴν προσφορὰν ἀνύσει πᾶσαν. Τί δέ ἐστι λογικὴ λατρεία; Ἡ πνευματικὴ διακονία, ἡ πολιτεία ἡ κατὰ Χριστόν. Καθάπερ οὖν ὁ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ διακονούμενος καὶ ἱερωμένος, οἷος ἂν ᾖ, συστέλλεται τότε, καὶ σεμνότερος γίνεται, οὕτω καὶ ἡμᾶς τὸν ἅπαντα βίον διακεῖσθαι χρή, ὡς λατρεύοντας καὶ ἱερωμένους. Ἔσται δὲ τοῦτο, ἐὰν καθ' ἑκάστην ἡμέραν προσφέρῃς αὐτῷ θύματα, καὶ ἱερεὺς τοῦ οἰκείου σώματος γίνῃ, καὶ τῆς κατὰ ψυχὴν ἀρετῆς· οἷον, ὅταν σωφροσύνην προσενέγκῃς, ὅταν ἐλεημοσύνην, ὅταν ἐπιεί-

8. Γιά τά ζῶα πού ἔπρεπε νά θυσιάζουν οἱ Ἰσραηλίτες βλ. Λευϊτ. 22, 17–33.
9. Β' Τιμ. 4, 6.
10. Βλ. Γ' Βασ. 18, 20–40.

σῶμα μας ὥστε νά μήν ἔχει ἐλαττώματα. Ἀφοῦ λοιπόν ἐκεῖνοι πού πρόσφερναν τίς παλιές θυσίες εἶχαν τήν ἐντολή νά τά ἐξετάζουν ὅλα καί δέν τούς ἐπέτρεπαν νά προσφέρουν ζῶο μέ κομμένα τ' αὐτιά του, οὔτε ζῶο μέ κολοβή τήν οὐρά του, οὔτε ζῶα πού ἔπασχαν ἀπό ψώρα, οὔτε ζῶα πού εἶχαν λειχῆνες[8], πολύ περισσότερο πρέπει ἐμεῖς, πού δέν προσφέρουμε ἄλογα πρόβατα ἀλλά τούς ἑαυτούς μας, νά δείχνουμε περισσότερη προσοχή καί νά εἴμαστε ἀπό παντοῦ καθαροί, γιά νά μπορέσουμε καί μεῖς σύμφωνα μέ τόν Παῦλο νά λέμε· «ἐγώ εἶμαι ἕτοιμος νά χύσω τό αἷμα μου σάν σπουδή καί ὁ καιρός τῆς ἀναχωρήσεώς μου ἔφθασε»[9]. Πραγματικά ἦταν πιό καθαρός ἀπό κάθε θυσία, καί γι' αὐτό ὀνόμαζε σπουδή τόν ἑαυτό του. Αὐτό θά συμβεῖ, ἄν θανατώσουμε τόν παλιό μας ἑαυτό, ἄν νεκρώσουμε τά μέλη μας τά γήινα, ἄν σταυρώσουμε τόν κόσμο γιά τόν ἑαυτό μας.

Ἔτσι δέ θά χρειασθοῦμε πλέον οὔτε μαχαίρι οὔτε θυσιαστήριο οὔτε φωτιά. Ἤ καλύτερα, θά τά χρειασθοῦμε ὅλα αὐτά, ὄχι ὅμως χειροποίητα, ἀλλά θά μᾶς ἔρθουν ὅλα ἀπό τόν οὐρανό, καί ἡ φωτιά καί τό μαχαίρι θά μᾶς δοθοῦν ἀπό τόν οὐρανό, καί τό θυσιαστήριο θά εἶναι γιά μᾶς τό πλάτος τοῦ οὐρανοῦ. Ἐάν λοιπόν προσφέροντας ὁ Ἠλίας θυσία ὑλική[10], κατέβηκε ἀπό τόν οὐρανό ἀστραπή καί κατέφαγε τά πάντα, καί τό νερό καί τά ξύλα καί τίς πέτρες, πολύ περισσότερο θά συμβεῖ αὐτό σέ σένα. Καί ἄν ἀκόμη ἔχεις κάτι τό χαῦνο καί βιωτικό, ἀλλά προσφέρεις θυσία μέ ὀρθή διάθεση, ἀφοῦ κατεβεῖ ἡ φωτιά τοῦ Πνεύματος, καί τό βιωτικό ἐκεῖνο θά καταφάγει, καί ὅλη τήν προσφορά θά φέρει σέ τέλος. Ἀλλά τί εἶναι λογική λατρεία; Ἡ πνευματική διακονία, ἡ ζωή πού εἶναι σύμφωνη μέ τή διδασκαλία τοῦ Χριστοῦ. Ὅπως ἀκριβῶς λοιπόν ἐκεῖνος πού εἶναι διάκονος καί ἱερωμένος στόν οἶκο τοῦ Θεοῦ, ὁποιος κι ἄν εἶναι, συμμαζεύεται τότε καί γίνεται πιό σεμνός, ἔτσι καί μεῖς πρέπει νά συμπεριφερόμαστε σ' ὅλη μας τή ζωή, σάν νά προσφέρουμε λατρεία καί νά εἴμαστε ἱερωμένοι. Καί θά γίνει αὐτό, ἄν καθημερινά προσφέρεις σ' αὐτόν θυσίες καί γίνεις ἱερέας τοῦ δικοῦ σου σώματος καί τῆς ἀρετῆς τῆς ψυχῆς σου· ὅπως δηλαδή ὅταν προσφέρεις

κειαν καὶ ἀνεξικακίαν. Ταῦτα γὰρ ποιῶν, ἀναφέρεις λογικὴν λατρείαν, τουτέστιν, οὐδὲν ἔχουσαν σωματικόν, οὐδὲν παχύ, οὐδὲν αἰσθητόν.

3. Ἐπάρας τοίνυν διὰ τῶν ὀνομάτων τὸν ἀκροατήν, καὶ ἕκαστον ἱερέα τῆς ἑαυτοῦ σαρκὸς διὰ τῆς πολιτείας ἀποφήνας, λέγει καὶ τὸν τρόπον, δι' οὗ δυνατὸν ταῦτα κατορθοῦν. Τίς οὖν ὁ τρόπος; «Μὴ συσχηματίζεσθε», φησί, «τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν». Καὶ γὰρ χαμαίζηλον τὸ σχῆμα τοῦ αἰῶνος τούτου, καὶ εὐτελὲς καὶ πρόσκαιρον, οὐδὲν ἔχον ὑψηλόν, οὐδὲ διηνεκές, οὐδὲ εὐθές, ἀλλὰ πάντα διεστραμμένα. Εἰ τοίνυν ὀρθὰ βούλει βαδίζειν, μὴ τυπώσῃς ἑαυτὸν κατὰ τὸ σχῆμα τοῦ παρόντος βίου· οὐδὲν γὰρ τῶν ἐν αὐτῷ μένον καὶ βεβηκός ἐστι. Διὸ καὶ σχῆμα ἐκάλεσεν αὐτό· καὶ ἀλλαχοῦ πάλιν, «παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου». Οὐδὲν γὰρ διαρκὲς οὐδὲ πεπηγὸς ἔχει, ἀλλὰ πάντα πρόσκαιρα. Διὸ καί, «τῷ αἰῶνι τούτῳ», εἶπε· διὰ τούτου μὲν τὸ ἐπίκηρον δηλῶν, διὰ δὲ τοῦ σχήματος τὸ ἀνυπόστατον. Κἂν γὰρ πλοῦτον εἴπῃς, κἂν δόξαν εἴπῃς, κἂν σώματος ὥραν, κἂν τρυφήν, κἂν ἄλλ' ὁτιοῦν τῶν δοκούντων εἶναι μεγάλων, σχῆμα μόνον ἐστίν, οὐ πράγματος ἀλήθεια, ἐπίδειξις καὶ προσωπεῖον, οὐχ ὑπόστασις μένουσα.

Ἀλλὰ σὺ μὴ συσχηματίζου τούτῳ, ἀλλὰ «μεταμορφοῦ», φησί, «τῇ ἀνακαινώσει τοῦ νοός». Οὐκ εἶπε, μετασχηματίζου, ἀλλά, «μεταμορφοῦ», δεικνὺς ὅτι τὸ μὲν τοῦ κόσμου, σχῆμα, τὸ δὲ τῆς ἀρετῆς, οὐ σχῆμα, ἀλλὰ μορφή τις ἀληθὴς φυσικὸν ἔχουσα κάλλος, οὐ δεόμενον τῶν ἔξωθεν ἐπιτριμμάτων τε καὶ σχημάτων, τῶν ὁμοῦ τε φαινομένων καὶ ἀπολλυμένων. Καὶ γὰρ ἅπαντα ταῦτα, πρὶν ἢ φανῆναι, διαλύεται. Ἂν τοίνυν τὸ σχῆμα ῥίψῃς, ταχέως ἐπὶ τὴν μορφὴν ἥξεις. Οὐδὲν γὰρ τῆς κακίας ἀσθενέστερον, οὐδὲν οὕτω παλαιοῦται ῥᾳδίως. Εἶτα ἐπειδὴ ἀνθρώπους ὄντας εἰκὸς

11. Α΄ Κορ. 7,31.

σωφροσύνη, ἐλεημοσύνη, ἐπιείκεια καί ἀνεξικακία. Ὅταν λοιπόν κάνεις αὐτά, προσφέρεις τή λογική λατρεία, δηλαδή, τή λατρεία πού δέν ἔχει τίποτε σωματικό, τίποτε λιπαρό, τίποτε ὑλικό.

3. Ἀφοῦ λοιπόν ἐξύψωσε μέ τά ὀνόματα τόν ἀκροατή, καί ἀπέδειξε τόν καθένα ἱερέα τοῦ δικοῦ του σώματος μέ τή ζωή του, λέγει καί τόν τρόπο, μέ τόν ὁποῖο εἶναι δυνατό νά κατορθώσουν αὐτά. Ποιός λοιπόν εἶναι ὁ τρόπος; «Μήν ἐξομοιώνεστε», λέγει, «μέ τό σχῆμα τοῦ κόσμου αὐτοῦ, ἀλλά νά μεταμορφώνεσθε μέ τήν ἀνακαίνιση τοῦ πνεύματός σας». Καθόσον τό σχῆμα τοῦ κόσμου αὐτοῦ εἶναι μηδαμινό καί τιποτένιο καί προσωρινό, χωρίς νά ἔχει τίποτε τό ὑψηλό, οὔτε τό παντοτινό καί εὐθές, ἀλλ' ὅλα εἶναι διεστραμμένα. Ἐάν λοιπόν θέλεις νά βαδίζεις μέ σωστό τρόπο, νά μήν ἐξομοιώνεσαι μέ τό σχῆμα τῆς παρούσας ζωῆς, γιατί τίποτε ἀπ' αὐτά πού βρίσκονται σ' αὐτή δέν εἶναι ἀκίνητο καί σταθερό. Γι' αὐτό καί τό ὀνόμασε αὐτό σχῆμα. Καί ἀλλοῦ πάλι λέγει, «παρέρχεται τό σχῆμα τοῦ κόσμου αὐτοῦ»[11]. Γιατί δέν ἔχει τίποτε τό μόνιμο οὔτε τό σταθερό, ἀλλ' ὅλα προσωρινά. Γι' αὐτό καί «τῷ αἰῶνι τούτῳ» εἶπε, γιά νά δηλώσει μ' αὐτό τό ὅτι εἶναι φθαρτό, ἐνῶ μέ τό σχῆμα τό ὅτι δέν ἔχει ὑπόσταση. Γιατί εἴτε πεῖς τόν πλοῦτο, εἴτε πεῖς τή δόξα, εἴτε τήν ὀμορφιά τοῦ σώματος, εἴτε τίς ἀπολαύσεις, εἴτε ὁτιδήποτε ἄλλο ἀπό ἐκεῖνα πού θεωροῦνται μεγάλα, σχῆμα εἶναι μόνο, ὄχι ἀλήθεια πράγματος, ἐπίδειξη καί προσωπεῖο, ὄχι ὑπόσταση πού μένει γιά πάντα.

Ἐσύ ὅμως νά μήν ἐξομοιώνεσαι μ' αὐτόν, ἀλλά «νά μεταμορφώνεσαι», λέγει, «μέ τήν ἀνακαίνιση τοῦ πνεύματός σου». Δέν εἶπε, 'νά μετασχηματίζεσαι', ἀλλά, «νά μεταμορφώνεσαι», γιά νά δείξει ὅτι τό σχῆμα εἶναι τοῦ κόσμου, ἐνῶ τῆς ἀρετῆς δέν εἶναι τό σχῆμα, ἀλλά κάποια ἀληθινή μορφή πού ἔχει φυσική ὀμορφιά, χωρίς νά χρειάζεται τά ἐξωτερικά καλλυντικά καί σχήματα, τά ὁποῖα συγχρόνως καί φαίνονται καί καταστρέφονται. Καί πραγματικά ὅλα αὐτά, προτοῦ νά φανοῦν, διαλύονται. Ἄν λοιπόν πετάξεις τό σχῆμα, γρήγορα θά φθάσεις στή μορφή. Γιατί τίποτε δέν εἶναι πιό ἀνίσχυρο ἀπό τήν κακία, τίποτε δέν παλιώνει τόσο εὔκολα. Ἔπειτα, ἐπειδή εἶναι ἄνθρωποι καί εἶναι φυσικό ν' ἁμαρτάνουν καθημερινά, πα-

καθ' ἑκάστην ἁμαρτάνειν τὴν ἡμέραν, παραμυθεῖται τὸν ἀκροατὴν λέγων, ὅτι καθ' ἑκάστην ἀνακαίνου σαυτόν. Ὅπερ ἐπὶ τῶν οἰκιῶν ποιοῦμεν, παλαιουμένας αὐτὰς ἀεὶ διορθοῦντες, τοῦτο καὶ ἐπὶ σαυτοῦ ποίει. Ἥμαρτες σήμερον; ἐπαλαίωσάς σου τὴν ψυχήν; Μὴ ἀπογνῷς μηδὲ ἀναπέσῃς, ἀλλ' ἀνακαίνισον αὐτὴν μετανοίᾳ καὶ δάκρυσι καὶ ἐξομολογήσει, καὶ τῇ τῶν ἀγαθῶν ἐργασίᾳ· καὶ μηδέποτε τοῦτο διαλίπῃς ποιῶν.

Καὶ πῶς δυνησόμεθα τοῦτο ποιεῖν; «Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, καὶ γινώσκειν τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον». Ἢ τοῦτό φησιν, ἀνανεώθητε, ἵνα μάθητε τὰ συμφέροντα καὶ τὸ θέλημα τοῦ Θεοῦ· ἢ ὅτι οὕτω δύνασθε ἀνανεωθῆναι, ἐὰν μάθητε τὰ συμφέροντα, καὶ τί ποτε βούλεται ὁ Θεός. Ἂν γὰρ εἰδῇς τοῦτο, καὶ τῶν πραγμάτων μάθῃς διαγινώσκειν τὰς φύσεις, ἐπελάβου τῆς ὁδοῦ τῆς κατὰ τὴν ἀρετὴν ἁπάσης. Καὶ τίς ἀγνοεῖ τὰ συμφέροντα, φησί, καὶ τί τὸ θέλημα τοῦ Θεοῦ; Οἱ πρὸς τὰ παρόντα ἐπτοημένοι πράγματα, οἱ πλοῦτον ζηλωτὸν εἶναι νομίζοντες, καὶ πενίαν ἐξευτελίζοντες, οἱ δυναστείαν διώκοντες, οἱ πρὸς τὴν δόξαν τὴν ἔξωθεν κεχηνότες, οἱ μεγάλους ἑαυτοὺς εἶναι νομίζοντες, ὅταν οἰκίας λαμπρὰς ἐγείρωσι, καὶ τάφους πολυτελεῖς πρίωνται, καὶ ἀνδραπόδων ἀγέλας ἔχωσι, καὶ πολὺ εὐνούχων περιφέρωσιν ἑσμόν. Οὗτοι καὶ τὰ συμφέροντα αὐτοῖς καὶ τὰ θελήματα τοῦ Θεοῦ ἀγνοοῦσι. Καὶ γὰρ ἀμφότερα ταῦτα ἕν τι ἐστί. Τά τε γὰρ συμφέροντα ἡμῖν ὁ Θεὸς βούλεται· καὶ ἃ βούλεται ὁ Θεός, ταῦτα καὶ τὰ συμφέροντα ἡμῖν ἐστι.

Τίνα οὖν ἐστιν, ἅπερ ὁ Θεὸς βούλεται; Ἐν πενίᾳ ζῆν, ἐν ταπεινοφροσύνῃ, ἐν ὑπεροψίᾳ δόξης, ἐν ἐγκρατείᾳ, οὐκ ἐν τρυφῇ, ἐν θλίψει, οὐκ ἐν ἀνέσει, ἐν τῷ πενθεῖν, οὐκ ἐν τῷ διαχεῖσθαι καὶ γελᾶν, ἐν τοῖς ἄλλοις οἷς ἐνομοθέτησεν ἅπασιν. Ἀλλ' οἱ πολλοὶ ταῦτα καὶ οἰωνίζονται· τοσοῦτον ἀπέχουσι νομίζειν εἶναι τὰ συμφέροντα, καὶ Θεοῦ θελήματα. Διά τοι τοῦτο οὐδὲ ἐγγύς ποτε τῶν ὑπὲρ τῆς ἀρετῆς ἐλθεῖν δυνήσονται πόνων. Οἱ γὰρ μηδὲ αὐτὸ τοῦτο, ὅ τι ποτέ ἐστιν ἀρετὴ εἰδότες, ἀλλὰ τὴν κακίαν ἀντὶ ταύτης θαυμάζον-

ρηγορεῖ τόν ἀκροατή λέγοντας, καθημερινά ἀνακαίνιζε τόν ἑαυτό σου. Αὐτό ἀκριβῶς πού κάνουμε στά σπίτια, πού πάντοτε τά διορθώνουμε ὅταν παλιώνουν, αὐτό κάμνε καί στόν ἑαυτό σου. Ἁμάρτησες σήμερα; πάλιωσες τήν ψυχή σου; Μήν ἀπελπίζεσαι, οὔτε νά χάσεις τό θάρρος σου, ἀλλ' ἀνακαίνισέ την μέ τή μετάνοια, τά δάκρυα, τήν ἐξομολόγηση καί τήν ἀγαθοεργία· καί μή σταματήσεις ποτέ νά τό κάμνεις αὐτό.

Καί πῶς θά μπορέσουμε νά τό κάμνουμε αὐτό; «διακρίνοντας τά συμφέροντά σας καί γνωρίζοντας ποιό εἶναι τό θέλημα τοῦ Θεοῦ καί τί εἶναι καλό καί εὐάρεστο καί τέλειο». Ἤ ἐννοεῖ αὐτό, ἀνανεωθεῖτε, γιά νά μάθετε τά συμφέροντά σας καί τό θέλημα τοῦ Θεοῦ, ἤ ὅτι ἔτσι μπορεῖτε ν' ἀνανεωθεῖτε, ἄν μάθετε τά συμφέροντά σας καί τί πλέον θέλει ὁ Θεός. Γιατί ἄν ξέρεις αὐτό καί μάθεις νά ξεχωρίζεις τίς φύσεις τῶν πραγμάτων, ἔφθασες στό δρόμο πού ὁδηγεῖ σέ κάθε ἀρετή. Καί ποιός, λέγει, δέν ξέρει τά συμφέροντά του καί ποιό εἶναι τό θέλημα τοῦ Θεοῦ; Ἐκεῖνοι πού συγκινοῦνται ἀπό τά παρόντα πράγματα, ἐκεῖνοι πού νομίζουν ὅτι ὁ πλοῦτος εἶναι ζηλευτός καί ἐξευτελίζουν τή φτώχεια, ἐκεῖνοι πού ἐπιδιώκουν τήν ἐξουσία, ἐκεῖνοι πού παραδίνονται στή κοσμική δόξα, ἐκεῖνοι πού πιστεύουν ὅτι εἶναι μεγάλοι, κτίζοντας λαμπρά σπίτια, ἀγοράζοντας πολυτελεῖς τάφους, ἔχοντας πάρα πολλούς δούλους καί περιφέρουν μαζί τους μεγάλο πλῆθος εὐνούχων. Αὐτοί ἀγνοοῦν καί τά συμφέροντα σ' αὐτούς καί τά θελήματα τοῦ Θεοῦ. Καθόσον αὐτά τά δύο εἶναι ἕνα. Γιατί ὁ Θεός θέλει ἐκεῖνα πού συμφέρουν σ' ἐμᾶς, καί ἐκεῖνα πού θέλει ὁ Θεός, αὐτά εἶναι καί ἐκεῖνα πού μᾶς συμφέρουν.

Ποιά λοιπόν εἶναι ἐκεῖνα πού θέλει ὁ Θεός; Νά ζοῦμε μέ φτώχεια, μέ ταπεινοφροσύνη, μέ περιφρόνηση τῆς δόξας, μέ ἐγκράτεια, ὄχι μέ ἀπολαύσεις, μέ θλίψη, ὄχι μέ ἄνεση, μέ πένθος, ὄχι μέ διαχύσεις καί γέλια, καί μέ ὅλα τά ἄλλα πού νομοθέτησε. Ἀλλ' οἱ πολλοί αὐτά τά θεωροῦν μαντεύματα· τόσο πολύ ἀπέχουν ἀπό τό νά γνωρίζουν τά συμφέροντα καί τά θελήματα τοῦ Θεοῦ. Ἐκεῖνοι λοιπόν πού δέ γνωρίζουν οὔτε αὐτό, τί δηλαδή εἶναι ἡ ἀρετή, ἀλλά

τες, καὶ τὴν πόρνην ἀντὶ τῆς σώφρονος γυναικὸς ἑαυτοῖς συγκατακλίνοντες, πότε δυνήσονται ἀποστῆναι τοῦ παρόντος αἰῶνος; Διὸ χρὴ πρὸ τῶν ἄλλων ἁπάντων τὴν κρίσιν ἡμῖν εἶναι τῶν πραγμάτων διηρθρωμένην· κἂν μὴ μετίωμεν ἀρετήν, ἐπαινεῖν ἀρετήν· κἂν μὴ φεύγωμεν κακίαν, κακίζειν πονηρίαν, ἵνα τέως τὰς ψήφους ἀδικάστους ἔχωμεν. Οὕτω γὰρ ὁδῷ προβαίνοντες, καὶ τῶν ἔργων ἐπιλαβέσθαι δυνησόμεθα. Διά τοι τοῦτο καὶ αὐτὸς κελεύει ἀνανεοῦσθαι, «εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ». Ἐνταῦθα δέ μοι καὶ Ἰουδαίων καθάπτεσθαι δοκεῖ, τῶν ἐχομένων τοῦ νόμου. Θέλημα μὲν γὰρ ἦν τοῦ Θεοῦ καὶ ἡ παλαιὰ πολιτεία· ἀλλ' οὐ προηγούμενον, ἀλλὰ διὰ τὴν ἐκείνων ἀσθένειαν συγχωρηθέν· τὸ δὲ τέλειον καὶ εὐάρεστον, ἡ καινὴ πολιτεία. Καὶ γὰρ λογικὴν ὅτε ἐκάλεσε λατρείαν, πρὸς ἐκείνην ἀντιδιαστέλλων αὐτὴν οὕτως ὠνόμασε.

4. *«Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως». Ἀνωτέρω εἰπών, «διὰ τῶν οἰκτιρμῶν παρακαλῶ ὑμᾶς», ἐνταῦθα πάλιν λέγει, «διὰ τῆς χάριτος». Ὅρα διδασκάλου ταπεινοφροσύνην, ὅρα γνώμην κατεσταλμένην. Οὐδαμοῦ ἑαυτὸν ἀξιόπιστον εἶναί φησι πρὸς τὴν τοιαύτην παραίνεσιν καὶ συμβουλήν· ἀλλὰ ποτὲ μὲν τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ παραλαμβάνει μεθ' ἑαυτοῦ, ποτὲ δὲ τὴν χάριν. Οὐ γὰρ ἐμὸν λόγον λέγω, φησίν, ἀλλὰ τὸν ἀπὸ τοῦ Θεοῦ. Καὶ οὐκ εἶπε, λέγω γὰρ ὑμῖν διὰ τῆς σοφίας τοῦ Θεοῦ, λέγω γὰρ ὑμῖν διὰ τῆς νομοθεσίας τοῦ Θεοῦ, ἀλλά, «διὰ τῆς χάριτος», συνεχῶς τῶν εὐεργεσιῶν ἀναμιμνήσκων, ὥστε εὐγνωμονεστέρους ποιῆσαι, καὶ δεῖξαι καὶ ταύτῃ ὑπευθύνους ὄντας τῇ τῶν λεγομένων ὑπακοῇ.*

«Παντὶ τῷ ὄντι ἐν ὑμῖν». Οὐχὶ τῷ δεῖνι καὶ τῷ δεῖνι μόνον, ἀλλὰ καὶ ἄρχοντι καὶ ἀρχομένῳ, καὶ δούλῳ καὶ ἐλευθέρῳ, καὶ ἰδιώτῃ καὶ σοφῷ, καὶ γυναικὶ καὶ ἀνδρί, καὶ νέῳ καὶ γέροντι. Κοινὸς γὰρ οὗτος ὁ νόμος, ἐπειδὴ καὶ δεσποτικός. Οὕτω καὶ ἀνεπαχθῆ

θαυμάζουν ἀντί γι' αὐτήν τήν κακία καί βάζουν στό κρεβάτι τους τήν πόρνη ἀντί τῆς συνετῆς γυναίκας, πότε θά μπορέσουν ν' ἀπομακρυνθοῦν ἀπό τόν παρόντα αἰώνα; Γι' αὐτό πρέπει πρίν ἀπ' ὅλα τά ἄλλα ἡ κρίση μας γιά τά πράγματα νά εἶναι καθαρή. Καί ἄν ἀκόμη δέ ἀσκοῦμε τήν ἀρετή, νά ἐπαινοῦμε τήν ἀρετή· καί ἄν δέν ἀποφεύγουμε τήν κακία, νά κακίζουμε τήν πονηρία, γιά νά ἔχουμε πρῶτα ἀπ' ὅλα ἀδέκαστες ἀποφάσεις. Γιατί προχωρώντας ἔτσι σιγά σιγά, θά μπορέσουμε νά φθάσουμε καί στά ἔργα. Γι' αὐτό ἀκριβῶς καί αὐτός δίνει ἐντολή ν' ἀνανεωνόμαστε, «ὥστε νά ξεχωρίζουμε ποιό εἶναι τό θέλημα τοῦ Θεοῦ». Ἐδῶ ὅμως μοῦ φαίνεται πώς κατηγορεῖ τούς Ἰουδαίους, πού τηροῦσαν τό νόμο. Γιατί θέλημα τοῦ Θεοῦ βέβαια ἦταν καί ἡ παλιά ζωή, ὄχι ὅμως πρῶτο, ἀλλά παραχωρήθηκε ἐξ αἰτίας τῆς ἀδυναμίας τους, τό τέλειο ὅμως καί εὐάρεστο σ' αὐτόν εἶναι ἡ νέα ζωή. Καθόσον ὅταν τήν ὀνόμασε λογική λατρεία, τήν ὀνόμασε ἔτσι γιά νά τήν ξεχωρίσει ἀπό ἐκείνην.

4. «Μέ τή χάρη λοιπόν πού μοῦ δόθηκε, λέγω στόν κάθε πιστό πού βρίσκεται μεταξύ σας, νά μήν ἔχει γιά τόν ἑαυτό του μεγαλύτερη ἰδέα ἀπό ἐκείνη πού πρέπει νά ἔχει, ἀλλά νά σκέπτεται μέ σύνεση, ἀνάλογα μέ τό μέτρο πίστεως πού ὁ Θεός μοίρασέ στόν καθένα». Ἀφοῦ εἶπε παραπάνω, «στό ὄνομα τῆς εὐσπλαχνίας τοῦ Θεοῦ σᾶς παρακαλῶ», ἐδῶ πάλι λέγει, «μέ τή χάρη». Πρόσεχε ταπεινοφροσύνη διδασκάλου, πρόσεχε διάθεση συνεσταλμένη. Πουθενά δέ λέγει ὅτι ὁ ἴδιος εἶναι ἀξιόπιστος γιά μιά τέτοια παραίνεση καί συμβουλή, ἀλλά πότε παίρνει μαζί του τήν εὐσπλαχνία τοῦ Θεοῦ καί πότε τή χάρη. Γιατί δέ λέγω δικό μου λόγο, λέγει, ἀλλά τό λόγο τοῦ Θεοῦ. Καί δέν εἶπε, 'σᾶς ὁμιλῶ λοιπόν ἐξ ὀνόματος τῆ σοφίας τοῦ Θεοῦ', 'σᾶς ὁμιλῶ ἐξ ὀνόματος τῆς νομοθεσίας τοῦ Θεοῦ', ἀλλά «με τή χάρη», γιά νά θυμίζει συνέχεια τίς εὐεργεσίες τοῦ Θεοῦ, ὥστε νά τούς κάμει περισσότερο εὐγνώμονες καί νά δείξει καί ἔτσι πώς εἶναι ὑπεύθυνοι γιά τήν ὑπακοή ὅσων λέγονται.

«Στόν κάθε πιστό πού βρίσκεται μεταξύ σας». Ὄχι στόν τάδε καί στόν τάδε μόνο, ἀλλά καί στόν ἄρχοντα καί στόν πολίτη, καί στό δοῦλο καί στόν ἐλεύθερο, καί στόν ἁπλοϊκό καί στό σοφό, καί στή γυναίκα καί στόν ἄνδρα, καί στό νέο καί στό γέρο. Γιατί εἶναι

τὸν λόγον ποιεῖ, πᾶσι προτιθεὶς τὰ διδάγματα, καὶ τοῖς οὐκ οὖσιν ὑπευθύνοις, ἵνα οἱ ὑπεύθυνοι τὴν τοιαύτην ἐπιτίμησιν καὶ διόρθωσιν εὐκολώτερον δέξωνται. Καὶ τί λέγεις, εἰπέ μοι; «Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν». Τὴν μητέρα ἐνταῦθα εἰσάγει τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην, τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος. Καθάπερ γὰρ ἐκεῖνος εἰς τὸ ὄρος ἀναβάς, καὶ τὸν ἠθικὸν μέλλων ὑφαίνειν λόγον, ἐντεῦθεν ἤρξατο πρῶτον, καὶ ταῦτα κατέβαλε τὰ θεμέλια, οὕτω λέγων, «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι», οὕτω καὶ αὐτὸς ἀπὸ τῶν δογματικῶν ἐπὶ τὰ ἠθικώτερα νῦν ἐκβάς, ἐδίδαξε μὲν καθόλου τὴν ἀρετήν, τὴν θαυμαστὴν θυσίαν παρ' ἡμῶν ἀπαιτήσας· μέλλων δὲ καὶ κατὰ μέρος αὐτὴν ὑπογράφειν, ὥσπερ ἀπὸ κεφαλῆς τῆς ταπεινοφροσύνης ἄρχεται, καί φησί, «μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν»· τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ· «ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν».

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐλάβομεν φρόνησιν, οὐχ ἵνα εἰς ἀπόνοιαν αὐτῇ χρησώμεθα, ἀλλ' ἵνα εἰς σωφροσύνην. Καὶ οὐκ εἶπεν, εἰς τὸ ταπεινοφρονεῖν, ἀλλ', «εἰς τὸ σωφρονεῖν»· σωφροσύνην ἐνταῦθα λέγων, οὐ τὴν ἀντιδιαστελλομένην τῇ ἀσελγείᾳ ἀρετήν, οὐδὲ τὸ ἀπηλλάχθαι ἀκολασίας, ἀλλὰ τὸ νήφειν καὶ ὑγιαίνειν κατὰ διάνοιαν. Καὶ γὰρ καὶ τοῦτο σωφροσύνη λέγεται, ἀπὸ τοῦ σώας ἔχειν τὰς φρένας. Δεικνὺς τοίνυν, ὅτι τὸν μὴ μετριάζοντα οὐδὲ σωφρονεῖν ἔνι, τουτέστι, καθεστηκέναι καὶ ὑγιαίνειν, ἀλλὰ παραπαίει καὶ ἐξέστηκεν ὁ τοιοῦτος, καὶ παραπλῆγος παντός ἐστι μανικώτερος, σωφροσύνην ἐκάλεσε τὴν ταπεινοφροσύνην. «Ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως». Ἐπειδὴ γὰρ τῶν χαρισμάτων ἡ δόσις πολλοὺς εἰς ἀπόνοιαν ἐπῆρε καὶ παρὰ τούτοις καὶ παρὰ Κορινθίοις, ὅρα πῶς καὶ τὴν αἰτίαν τοῦ νοσήματος δήλην ποιεῖ, καὶ κατὰ μικρὸν ὑποσύρει. Εἰπὼν γὰρ ὅτι δεῖ φρονεῖν εἰς τὸ σωφρο-

---

12. Ματθ. 5, 3.

κοινός αὐτός ὁ νόμος, ἐπειδή εἶναι τοῦ Κυρίου. Ἔτσι καί τό λόγο δέν τόν κάνει ἐνοχλητικό, ἀφοῦ σ' ὅλους παρουσιάζει τά διδάγματα, καί σ' ἐκείνους πού δέν εἶναι ὑπεύθυνοι, γιά νά δεχθοῦν οἱ ὑπεύθυνοι πιό εὔκολα αὐτήν τήν ἐπιτίμηση καί διόρθωση. Πές μου, τί λέγεις; «Νά μήν ἔχει γιά τόν ἑαυτό του μεγαλύτερη ἰδέα ἀπό ἐκείνη πού πρέπει νά ἔχει». Ἐδῶ παρουσιάζει τή μητέρα τῶν ἀγαθῶν, τήν ταπεινοφροσύνη, μιμούμενος τό διδάσκαλο του. Γιατί ὅπως ἀκριβῶς ἐκεῖνος, ὅταν ἀνέβηκε στό ὄρος καί ἐπρόκειτο νά ἐκφωνήσει τόν ἠθικό λόγο, ἀπό ἐδῶ ἄρχισε πρῶτα καί αὐτά τά θεμέλια ἔβαλε, λέγοντας αὐτά, «μακάριοι εἶναι οἱ ταπεινόφρονες»[12], ἔτσι καί αὐτός, ἀφοῦ προχώρησε ἀπό τά δογματικά στά πιό ἠθικά θέματα, δίδαξε βέβαια γενικά τήν ἀρετή, μέ τό ν' ἀπαιτήσει ἀπό μᾶς τή θαυμαστή θυσία, θέλοντας ὅμως νά τήν περιγράψει καί ξεχωριστά, ἀρχίζει ἀπό τήν ταπεινοφροσύνη, σάν νά ἄρχιζε ἀπό τή σπουδαιότερη, καί λέγει, «νά μήν ἔχει μεγαλύτερη ἰδέα γιά τόν ἑαυτό του κανείς ἀπό ἐκείνη πού πρέπει νά ἔχει», γιατί αὐτό εἶναι τό θέλημα τοῦ Θεοῦ, «ἀλλά νά σκέπτεται μέ σωφροσύνη».

Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· λάβαμε φρόνηση, ὄχι γιά νά τή χρησιμοποιήσουμε μέ ἀλαζονεία, ἀλλά μέ σύνεση. Καί δέν εἶπε, 'μέ ταπεινοφροσύνη', ἀλλά «μέ σωφροσύνη», ἐννοώντας ἐδῶ σωφροσύνη, ὄχι τήν ἀρετή πού εἶναι ἀντίθετη ἀπό τήν ἀσέλγεια, οὔτε τήν ἀπαλλαγή ἀπό τήν ἀκολασία, ἀλλά τή νηφαλιότητα, τήν ὑγεία τοῦ νοῦ. Καθόσον καί αὐτό λέγεται σωφροσύνη, ἀπό τό ὅτι ἔχει σῶο τό λογικό. Γιά νά δείξει λοιπόν, ὅτι ἐκεῖνος πού δέν ἔχει μετριοφροσύνη, δέν μπορεῖ νά ἔχει οὔτε σωφροσύνη, δηλαδή, δέν μπορεῖ νά σταθεῖ καλά καί νά κρίνει σωστά, ἀλλά παραπαίει καί ἔχει παραφρονήσει ἕνας τέτοιος ἄνθρωπος καί εἶναι πιό μανιακός ἀπό κάθε παράφρονα, ὀνόμασε σωφροσύνη τήν ταπεινοφροσύνη. «Ἀνάλογα μέ τό μέτρο πίστεως πού ὁ Θεός μοίρασε στόν καθένα». Ἐπειδή λοιπόν ἡ χορήγηση τῶν χαρισμάτων ξεσήκωσε πολλούς σέ ἀλαζονεία καί σ' αὐτούς καί στούς Κορινθίους, πρόσεχε μέ ποιό τρόπο τήν αἰτία τῆς ἀσθένειας τήν κάνει φανερή καί τήν ὑπονομεύει σιγά-σιγά. Γιατί, ἀφοῦ εἶπε ὅτι πρέπει νά σκέπτεται μέ σωφροσύνη,

νεῖν, ἐπήγαγεν, «ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως», πίστιν ἐνταῦθα τὸ χάρισμα καλῶν. Εἰπὼν δὲ ὅτι ἐμέρισε, καὶ τὸν ἔλαττον εἰληφότα παρεμυθήσατο, καὶ τὸν μείζονος ἀπολαύσαντα κατέστειλεν.

Εἰ γὰρ ὁ Θεὸς ἐμέρισε, καὶ μὴ σὸν τὸ κατόρθωμα, τί μέγα φρονεῖς; Εἰ δέ τις τὴν πίστιν ἐνταῦθα μὴ τὸ χάρισμα λέγοι καλεῖσθαι, καὶ τοῦτο πάλιν μειζόνως δείκνυσιν αὐτὸν ταπεινοῦντα τοὺς ἀλαζόντας. Εἰ γὰρ δ τοῦ χαρίσματος αἴτιόν ἐστιν, ἡ πίστις καθ' ἣν τὰ θαύματα γίνεται, καὶ τοῦτο παρὰ τοῦ Θεοῦ, πόθεν μέγα φρονεῖς; Καὶ γὰρ εἰ μὴ παρεγένετο, μηδὲ ἐσαρκώθη, οὐδ' ἂν τὰ τῆς πίστεως προεχώρησεν. Ὥστε πάντα ἐκεῖθεν τὴν ἀρχὴν ἔχει τὰ ἀγαθά. Εἰ δὲ αὐτὸς δίδωσιν, οἶδε πῶς μερίζει. Πάντας γὰρ αὐτὸς ἐποίησε, καὶ πάντων ὁμοίως κήδεται. Καὶ ὥσπερ τὸ δοῦναι ἀπὸ φιλανθρωπίας γέγονεν, οὕτω καὶ τὸ πόσον δοῦναι. Οὐ γὰρ δὴ περὶ τὸ κεφάλαιον ἐπιδειξάμενος τὴν ἀγαθότητα, ὅπερ ἐστὶ τὸ δοῦναι τὰ χαρίσματα, ἐν τῷ μέτρῳ σε προδοῦναι ἔμελλεν. Εἰ μὲν γὰρ ἀτιμάσαι ἐβούλετο, οὐδ' ἂν ἔδωκε τὴν ἀρχήν· εἰ δὲ σῶσαι καὶ τιμῆσαι ἐσπούδακε· διὰ γὰρ τοῦτο καὶ παρεγένετο, καὶ τοσαῦτα διένειμεν ἀγαθά· τί θορυβῇ καὶ ταράττῃ, καὶ εἰς μωρίαν ἀποκέχρησαι τῇ φρονήσει, μειζόνως τοῦ φύσει τοιούτου καταισχύνων σαυτόν; Τὸ μὲν γὰρ ἀπὸ φύσεως γενέσθαι μωρόν, οὐκ ἔγκλημα, τὸ δὲ διὰ φρονήσεως γενέσθαι μωρόν, καὶ συγγνώμης ἐστέρηται, καὶ μείζονα φέρει τὴν κόλασιν.

5. *Τοιοῦτοι οἱ ἐπὶ σοφίᾳ μέγα φρονοῦντές εἰσι, καὶ εἰς ἀπόνοιαν ἐκπίπτοντες τὴν ἐσχάτην. Οὐδὲν γὰρ οὕτω μωρὸν ὡς ἀπόνοια ποιεῖ. Διὸ καὶ ὁ προφήτης οὕτως ἐκάλει τὸν βάρβαρον λέγων, «ὁ δὲ μωρὸς μωρὰ λαλήσει». Ἵνα δὲ καὶ ἀπὸ τῶν ῥημάτων αὐτῶν μάθῃς αὐτοῦ τὴν μωρίαν, ἄκουσον τί φησιν· «ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. Καταλήψομαι τῇ χειρί μου τὴν οἰκουμένην ὡς νοσσιάν, καὶ ὡς κα-*

13. Ἠσ. 32, 6.
14. Ἠσ. 14, 13. 14· 10, 14.

πρόσθεσε, «ἀνάλογα μέ τό μέτρο πίστεως πού ὁ Θεός μοίρασε στόν καθένα», ὀνομάζοντας πίστη ἐδῶ τό χάρισμα. Μέ τό νά πεῖ ὅμως ὅτι μοίρασε, καί ἐκεῖνον πού ἔχει λάβει τό μικρότερο παρηγόρησε, καί ἐκεῖνον πού ἀπόλαυσε τό μεγαλύτερο συγκράτησε.

Ἐάν λοιπόν ὁ Θεός μοίρασε καί δέν εἶναι δικό σου τό κατόρθωμα, γιατί ὑπερηφανεύεσαι; Ἐάν ὅμως κάποιος ἔλεγε ὅτι πίστη ἐδῶ δέν ὀνομάζεται τό χάρισμα, καί αὐτό πάλι σέ μεγαλύτερο βαθμό δείχνει πώς ταπεινώνει τούς ἀλαζόνες. Ἐάν λοιπόν ἐκεῖνο πού εἶναι αἰτία τοῦ χαρίσματος, ἡ πίστη δηλαδή σύμφωνα μέ τήν ὁποία γίνονται τά θαύματα, προέρχεται καί αὐτό ἀπό τό Θεό, ἀπό ποῦ ὑπερηφανεύεσαι; Βέβαια ἄν δέν ἐρχόταν καί δέ γινόταν ἄνθρωπος, οὔτε καί τά πράγματα τῆς πίστεως θά προχωροῦσαν. Ἑπομένως ὅλα τά ἀγαθά ἀπό ἐκεῖ ἔχουν τήν ἀρχή τους. Ἐάν ὅμως αὐτός δίνει, γνωρίζει πῶς μοιράζει. Γιατί ὅλους αὐτός τούς δημιούργησε, καί γιά ὅλους φροντίζει τό ἴδιο. Καί ὅπως ἀκριβῶς τό νά δώσει ἔγινε ἀπό τή φιλανθρωπία του, ἔτσι καί τό πόσο νά δώσει. Γιατί δέν ἦταν δυνατό νά σέ προδώσει στό μέτρο, ἀφοῦ ἔδειξε τήν ἀγαθότητά του γιά τό σπουδαιότερο, πού εἶναι τό νά δώσει τά χαρίσματα. Γιατί, ἄν βέβαια ἤθελε νά σέ ἀτιμάσει, δέ θά ἔδινε τήν ἀρχή· ἄν ὅμως φρόντισε νά σέ σώσει καί νά σέ τιμήσει, καθόσον γι' αὐτό καί ἦρθε καί τόσα πολλά ἀγαθά μοίρασε, γιατί ἀνησυχεῖς καί ταράζεσαι, καί χρησιμοποιεῖς τή φρόνηση γιά ἀνοησία, ἀτιμάζοντας τόν ἑαυτό σου περισσότερο ἀπ' αὐτόν πού ἀπό τή φύση του εἶναι ἀνόητος; Γιατί τό νά γίνει κανείς ἀπό τή φύση ἀνόητος, δέν εἶναι κατηγορία, τό νά γίνει ὅμως μέ τή φρόνηση ἀνόητος, καί τή συγγνώμη ἔχει στερηθεῖ καί μεγαλύτερη τιμωρία φέρνει.

5. Τέτοιοι εἶναι ἐκεῖνοι πού ὑπερηφανεύονται γιά σοφία καί πέφτουν στή χειρότερη ἀλαζονεία. Γι' αὐτό καί ὁ προφήτης ἔτσι ὀνόμαζε τό βάρβαρο λέγοντας, «καί ὁ ἀνόητος θά λέγει ἀνοησίες»[13]. Γιά νά μάθεις ὅμως καί ἀπό τά δικά του λόγια τήν ἀνοησία του, ἄκουσε τί λέγει· «ἐπάνω στά ἀστέρια τοῦ οὐρανοῦ θά στήσω τό θρόνο μου καί θά γίνω ὅμοιος μέ τόν Ὕψιστο. Θά καταλάβω μέ τό χέρι μου ὁλόκληρη τήν οἰκουμένη σάν φωλιά πουλιῶν, καί θά πάρω τά αὐγά πού ἔχουν ἐγκαταλειφθεῖ σ' αὐτή»[14]. Τί θά μποροῦσε λοι-

ταλελειμμένα ὠὰ ἀρῶ». Τούτων οὖν τί μωρότερον γένοιτ' ἂν τῶν ῥημάτων; Καὶ ἑκάστη δὲ μεγαληγορία τοῦτο εὐθέως ἐπισπᾶται τὸ ὄνειδος. Κἂν ἕκαστον ῥῆμα τῶν ἀπονενοημένων εἰς μέσον ἀγάγω, οὐ δυνήσῃ διαγνῶναι πότερον ἀπονενοημένου ἢ μωροῦ τὰ ῥήματα· οὕτως ἕν ἐστι τουτὶ τὸ ἐλάττωμα. Καὶ γὰρ ἕτερός τις βάρβαρος πάλιν φησί, «Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος»· καὶ ἄλλος πάλιν, «μὴ δυνήσεται ὁ Θεὸς σῶσαι ὑμᾶς, ἢ ἐξελέσθαι ἐκ τῶν χειρῶν μου;»· καὶ ὁ Αἰγύπτιος δέ, «οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ». Καὶ ὁ παρὰ τῷ προφήτῃ ἄφρων τοιοῦτός τις ἐστί, λέγων ἐν τῇ καρδίᾳ, «οὐκ ἔστι Θεός»· καὶ ὁ Κάιν δέ, «μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου;».

Ἄρα μὴ δύνασαι διαγνῶναι πότερον ἀπονενοημένων ἢ μωρῶν τὰ ῥήματα; Ἡ γὰρ ἀπόνοια τῆς συμμετρίας ἐκπίπτουσα καὶ ἀπὸ τοῦ νοῦ γινομένη· διὸ καὶ ἀπόνοια λέγεται, καὶ μωροὺς καὶ ἀλαζόνας ἐργάζεται. Καὶ γὰρ «ἀρχὴ σοφίας φόβος Κυρίου»· οὐκοῦν ἀρχὴ μωρίας τὸ μὴ εἰδέναι τὸν Κύριον. Εἰ τοίνυν τὸ εἰδέναι σοφία, τὸ μὴ εἰδέναι μωρία, τοῦτο δὲ τὸ μὴ εἰδέναι ἐξ ὑπερηφανίας γίνεται· ἀρχὴ γὰρ ὑπερηφανίας τὸ μὴ εἰδέναι τὸν Κύριον· ἄρα ἡ ὑπερηφανία μωρία ἐσχάτη. Τοιοῦτος ἦν καὶ ὁ Ναβάλ, εἰ καὶ μὴ πρὸς Θεόν, ἀλλὰ πρὸς ἄνθρωπον, ἐξ ἀπονοίας ἀνόητος γεγονώς· ἀλλ' ὕστερον ἀπέθανε τῷ δέει. Ὅταν γάρ τις ἐκπέσῃ τοῦ μέτρου τῆς φρονήσεως, καὶ δειλὸς ὁμοῦ καὶ θρασὺς γίνεται, τῆς ψυχῆς ἀσθενοῦς γινομένης. Καθάπερ γὰρ τὸ σῶμα, ὅταν τὴν σύμμετρον ἀπολέσῃ κρᾶσιν, γενόμενον δύσκρατον, πᾶσιν ἁλίσκεται τοῖς πάθεσιν, οὕτω καὶ ἡ ψυχή, ἐπειδὰν τὸ μεγαλοφυὲς ἀπολέσῃ καὶ τὸ ταπεινοφρονεῖν, ἕξιν δεξαμένη τινὰ ἀσθενῆ, καὶ δειλὴ καὶ θρασεῖα καὶ ἀνόητος γίνεται, καὶ ἑαυτὴν ἀγνοεῖ λοιπόν.

Ὁ δὲ ἑαυτὸν ἀγνοῶν, πῶς τὰ ὑπὲρ αὐτὸν εἴσεται; Καθάπερ γὰρ ὁ φρενίτιδι κατεχόμενος, ὅταν ἑαυτὸν ἀγνοήσῃ, οὐδὲ τὰ πρὸ τῶν ποδῶν οἶδε· καὶ ὀφθαλμός, ὅταν αὐτὸς πηρωθῇ, πάντα σκοτοῖ

15. Ἰεζ. 28, 2.
16. Δαν. 3, 15.
17. Ἐξ. 5, 2.
18. Ψαλμ. 13, 1.
19. Γεν. 4, 9.
20. Γιά τό Νάβαλ, πού τό ὄνομά του σημαίνει ἀνόητος, βλ. Α' Βασ. 25, 2–38.

πόν νά ὑπάρξει πιό ἀνόητο ἀπό τά λόγια αὐτά; Καί κάθε καυχησιολογία ἀποσπᾶ ἀμέσως αὐτή τήν κατηγορία. Καί ἄν ἀκόμη ἀναφέρω κάθε λόγο πού λέγουν οἱ ἀλαζόνες, δέ θά μπορέσεις νά ξεχωρίσεις ποιό ἀπό τά δύο, τά λόγια ἀνήκουν σέ ἀλαζόνα ἤ σέ ἀνόητο· ἔτσι ἕνα εἶναι αὐτό ἐδῶ τό ἐλάττωμα. Καθόσον ἕνας ἄλλος βάρβαρος πάλι λέγει· «ἐγώ εἶμαι Θεός καί ὄχι ἄνθρωπος»[15]. Καί ἄλλος πάλι λέγει· «μήπως θά μπορέσει ὁ Θεός νά σᾶς σώσει ἤ νά σᾶς γλυτώσει ἀπό τά χέρια μου;»[16]. Καί ὁ Αἰγύπτιος ἐξάλλου λέγει· «δέ γνωρίζω τόν Κύριο καί δέ θ' ἀφήσω τούς Ἰσραηλίτες νά φύγουν»[17]. Καί ὁ ἀνόητος πού ἀναφέρει ὁ προφήτης τέτοιος εἶναι, ὅταν λέγει ἀπό μέσα του, «δέν ὑπάρχει Θεός»[18]· καί ὁ Κάιν ἐπίσης, λέγοντας, «μήπως ἐγώ εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου;»[9].

Μήπως ἄραγε μπορεῖς νά ξεχωρίσεις ποιό ἀπό τά δύο συμβαίνει, τά λόγια δηλαδή εἶναι τῶν ἀλαζόνων ἤ τῶν ἀνοήτων; Γιατί ἡ ἀπόνοια, χάνοντας τό κοινό μέτρο καί πού προέρχεται ἀπό τό νοῦ (γι' αὐτό λέγεται καί ἀπόνοια), κάνει καί ἀνόητους καί ἀλαζόνες. Καθόσον ἀρχή τῆς σοφίας εἶναι ὁ φόβος τοῦ Κυρίου· ἑπομένως ἀρχή τῆς μωρίας εἶναι ἡ ἄγνοια τοῦ Κυρίου. Ἐάν λοιπόν ἡ γνώση εἶναι σοφία, ἡ ἄγνοια εἶναι μωρία, καί αὐτή ἡ ἄγνοια προέρχεται ἀπό τήν ὑπερηφάνεια. Γιατί ἡ ἀρχή τῆς ὑπερηφάνειας εἶναι ἡ ἄγνοια τοῦ Κυρίου. Ἄρα ἡ ὑπερηφάνεια εἶναι ἡ χειρότερη μωρία. Τέτοιος ἦταν καί ὁ Ναβάλ[20], ἄν καί ὄχι ἐνώπιον τοῦ Θεοῦ, ἀλλ' ἐνώπιον ἀνθρώπου, ἀφοῦ ἔγινε ἀνόητος ἀπό τήν ἀλαζονεία του· τελικά ὅμως πέθανε ὅπως τοῦ ἄξιζε. Γιατί, ὅταν κάποιος χάσει τό μέτρο τῆς φρονήσεως, γίνεται συγχρόνως καί δειλός καί θρασύς, ἀφοῦ ἡ ψυχή του ἀρρωσταίνει. Γιατί ὅπως ἀκριβῶς τό σῶμα, ὅταν χάσει τήν καλή κράση του καί γίνει καχεκτικό, κυριεύεται ἀπ' ὅλα τά πάθη, ἔτσι καί ἡ ψυχή, ὅταν χάσει τή μεγαλοφροσύνη καί τήν ταπεινοφροσύνη καί δεχθεῖ κάποια συνήθεια ἄρρωστη, γίνεται καί δειλή καί ἀναίσχυντη καί ἀνόητη, καί ἀγνοεῖ πλέον τόν ἑαυτό της.

Ἐκεῖνος ὅμως πού ἀγνοεῖ τόν ἑαυτό του, πῶς θά γνωρίσει τά ἀνώτερα ἀπ' αὐτόν; Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος πού εἶναι κυριευμένος ἀπό φρενίτιδα, ὅταν ἀγνοήσει τόν ἑαυτό του, δέ γνωρίζει

τὰ λοιπὰ μέλη, οὕτω καὶ ἐπὶ τῆς ἀπονοίας συμβαίνει. Διὸ καὶ τῶν μαινομένων εἰσὶν ἀθλιώτεροι οὗτοι, καὶ τῶν φύσει μωρῶν. Καὶ γὰρ ὁμοίως τούτοις γέλωτα κινοῦσι, καὶ ὁμοίως ἐκείνοις εἰσὶν ἀηδεῖς· καὶ ἐξεστήκασι μὲν ὥσπερ ἐκεῖνοι, ἀλλ' οὐκ ἐλεοῦνται ὥσπερ ἐκεῖνοι· παραφρονοῦσι δὲ ὥσπερ οὗτοι, ἀλλ' οὐ συγγινώσκονται ὥσπερ οὗτοι, ἀλλὰ μισοῦται μόνον· καὶ τὰ ἐλαττώματα ἑκατέρων ἔχοντες, τῆς συγγνώμης ἑκατέρων εἰσὶν ἐστερημένοι, οὐκ ἀπὸ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν σχημάτων ὄντες καταγέλαστοι.

Τί γάρ, εἰπέ μοι, τὸν αὐχένα ἀνατείνεις; τί δὲ βαδίζεις ἐπ' ἄκρων ὀνύχων; τί τὰς ὀφρῦς ἀνασπᾷς; τί τὸ στῆθος φυσᾷς; Τρίχα οὐ δύνασαι ποιῆσαι λευκὴν ἢ μέλαιναν, καὶ ὡς πάντων κρατῶν, οὕτως ἀεροβατεῖς. Τάχα ἐβούλου σοι καὶ πτερὰ φῦναι, ἵνα μὴ βαδίζῃς ἐπὶ τῆς γῆς· τάχα καὶ τέρας εἶναι ἐπιθυμεῖς. Νῦν γὰρ οὐχὶ τέρας σαυτὸν πεποίηκας, ἄνθρωπος μὲν ὤν, πέτεσθαι δὲ ἐπιχειρῶν; μᾶλλον δὲ πετόμενος ἔνδοθεν, καὶ φλεγμαίνων πάντοθεν; Τί σε καλέσω, καὶ καθελῶ σου τὴν ἀπόνοιαν; Εἴπω σε τέφραν καὶ κόνιν καὶ καπνὸν καὶ κονιορτόν; Εἶπον μὲν τὴν εὐτέλειαν, οὐδέπω δὲ ἀκριβῶς τῆς εἰκόνος ἐπελαβόμην ἧς ἐβουλόμην· καὶ γὰρ καὶ τὴν φλεγμονὴν καὶ τὸ διάκενον αὐτῶν ἅπαν παραστῆσαι βούλομαι. Ποίαν οὖν ἂν εὕροιμεν τούτοις εἰκόνα ἁρμόζουσαν; Ἐμοὶ δοκοῦσι στυπείῳ καταφλεγέντι προσεοικέναι. Καὶ γὰρ ἐκεῖνο δοκοῦν οἰδεῖν μετὰ τὸν ἐμπρησμόν, καὶ διανεστηκέναι, μικρὰν χειρὸς ἀφὴν ἂν ὑπομείνῃ, κατηνέχθη τε ἅπαν, καὶ τέφρας ἁπάσης εὐτελέστερον ἐφάνη.

Τοιαῦται καὶ τούτων αἱ ψυχαί· τὸ γὰρ φύσημα αὐτῶν τὸ διάκενον καὶ ἡ τυχοῦσα προσβολὴ δυνήσεται ταπεινῶσαι καὶ καθελεῖν. Τὸν γὰρ ἀπονενοημένον ἀνάγκη πάντως καὶ ἀσθενῆ τινα εἶ-

οὔτε αὐτά πού εἶναι μπροστά στά πόδια του, καί τό μάτι πάλι, ὅταν τυφλωθεῖ τό ἴδιο, ρίχνει στό σκοτάδι ὅλα τά ὑπόλοιπα μέλη τοῦ σώματος, ἔτσι συμβαίνει καί μέ τήν ἀλαζονεία. Γι' αὐτό εἶναι πιό δυστυχισμένοι καί ἀπό τούς τρελλούς καί ἀπό τούς ἀνόητους, πού ἀπό τή φύση τους εἶναι τέτοιοι. Καθόσον ὅμοια μ' αὐτούς προκαλοῦν γέλια, καί ὅμοια μ' ἐκείνους εἶναι ἐνοχλητικοί. Καί εἶναι βέβια τρελλοί ὅπως ἀκριβῶς ἐκεῖνοι, ἀλλά δέν τούς εὐσπλαχνίζονται ὅπως ἐκείνους· εἶναι παράφρονες ὅπως ἀκριβῶς αὐτοί, δέν συγχωροῦνται ὅμως ὅπως αὐτοί, ἀλλά μισοῦνται μόνο· καί ἐνῶ ἔχουν τά ἐλαττώματα καί τῶν δύο, ὅμως στεροῦνται τή συγγνώμη καί τῶν δύο, καί εἶναι καταγέλαστοι ὄχι μόνο ἀπό τά λόγια τους, ἀλλά καί ἀπό τήν ὅλη παρουσία τους.

Γιατί λοιπόν, πές μου, τεντώνεις τό λαιμό σου; γιατί βαδίζεις πατώντας στίς ἄκρες τῶν νυχιῶν σου; γιατί σηκώνεις τά φρύδια σου; Γιατί φουσκώνεις τό στῆθος σου; Μία τρίχα δέν μπορεῖς νά τήν κάνεις ἄσπρη ἤ μαύρη, καί ἀεροβατεῖς ἔτσι, σάν νά ἐξουσιάζεις τά πάντα. Ἴσως ἤθελες νά φυτρώσουν καί φτερά σέ σένα, γιά νά μή βαδίζεις ἐπάνω στή γῆ· ἴσως ἐπιθυμεῖς νά εἶσαι τέρας. Μά μήπως τώρα δέν ἔκανες τόν ἑαυτό σου τέρας, ἀφοῦ, ἐνῶ εἶσαι ἄνθρωπος, προσπαθεῖς νά πετᾶς; ἤ καλύτερα, ἀφοῦ πετᾶς ἀπό μέσα σου καί φλογίζεσαι ἀπό παντοῦ; Τί νά σέ ὀνομάσω καί νά σοῦ ἀφαιρέσω τήν ἀλαζονεία; Νά σέ ὀνομάσω στάχτη καί σκόνη καί καπνό καί κονιορτό; Ὀνόμασα τήν εὐτέλειά σου, δέ συνέλαβα ὅμως ἀκριβῶς τήν εἰκόνα πού ἤθελα· καθόσον θέλω νά παρουσιάσω καί τή φλόγωσή τους καί ὅλη τους τή ματαιοδοξία. Ποιά λοιπόν εἰκόνα θά μπορούσαμε νά βροῦμε πού νά ταιριάζει σ' αὐτούς; Μοῦ φαίνονται πώς μοιάζουν μέ στουπί κατακαμμένο. Καθόσον καί ἐκεῖνο, ἐνῶ φαίνεται φουσκωμένο μετά τόν ἐμπρησμό του καί πώς στέκεται ὄρθιο, ἄν ὅμως δεχθεῖ μικρό ἄγγιγμα χεριοῦ, πέφτει ὅλο κάτω καί φαίνεται εὐτελέστερο ἀπό κάθε στάχτη.

Τέτοιες εἶναι καί οἱ ψυχές αὐτῶν· γιατί τό ματαιόδοξο φούσκωμά τους θά μπορέσει καί τό παραμικρό κτύπημα νά τό ταπεινώσει καί νά τό διαλύσει. Γιατί ὁ ἀλαζόνας εἶναι ἀνάγκη νά εἶναι

ΟΜΙΛΙΑ ΚΒ'

(Ρωμ. 12,4–13)

«Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη».

1. Πάλιν τῷ αὐτῷ ὑποδείγματι κέχρηται, ᾧ καὶ πρὸς Κορινθίους ἐχρήσατο, τὸ αὐτὸ τοῦτο καταστέλλων πάθος. Καὶ γὰρ μεγάλη τοῦ φαρμάκου ἡ δύναμις, καὶ τοῦ παραδείγματος τούτου ἡ ἰσχύς, εἰς τὸ διορθῶσαι τὸ τῆς ἀπονοίας νόσημα. Τίνος γὰρ ἕνεκεν σὺ μέγα φρονεῖς, φησίν; ἢ διὰ τί πάλιν ἕτερος ἑαυτὸν ἐξευτελίζει; οὐχὶ σῶμά ἐσμεν ἅπαντες ἕν, καὶ μεγάλοι καὶ μικροί; Ὅταν οὖν κατὰ τὸ κεφάλαιον ἓν ὦμεν, καὶ ἀλλήλων μέλη, τί τῇ ἀπονοίᾳ σχίζεις σαυτόν; τί ἐπαισχύνῃ τὸν ἀδελφόν; Ὥσπερ γὰρ ἐκεῖνός σου μέλος, οὕτω κἀκείνου σύ· καὶ πολλὴ καὶ κατὰ τοῦτο ἡ ὁμοτιμία. Δύο γὰρ ἱκανὰ καθελεῖν αὐτῶν τὴν ἀπόνοιαν τέθεικε· καὶ ὅτι ἀλλήλων ἐσμὲν μέλη, οὐχ ὁ μικρὸς τοῦ μεγάλου μόνον, ἀλλὰ καὶ ὁ μέγας τοῦ ἐλάττονος, καὶ ὅτι ἓν ἐσμεν ἅπαντες σῶμα· μᾶλλον δὲ καὶ τρία· καὶ γὰρ καὶ χάρισμα ἔδειξεν ὃν τὸ δοθέν. Μὴ τοίνυν μέγα φρόνει· ἐδόθη γάρ σοι παρὰ τοῦ Θεοῦ, οὐ σὺ ἔλαβες, οὐδὲ εὗρες.

ΟΜΙΛΙΑ ΚΒ'

(Ρωμ. 12,4-13)

«Γιατί, ὅπως ἀκριβῶς σ' ἕνα σῶμα ἔχουμε πολλά μέλη, ἀλλ' ὅλα τά μέλη δέν ἔχουν τό ἴδιο ἔργο, ἔτσι καί ἐμεῖς οἱ πολλοί εἴμαστε ἕνα σῶμα ἐξ αἰτίας τῆς ἑνώσεώς μας μέ τό Χριστό καί ὁ καθένας εἴμαστε μέλη ὁ ἕνας τοῦ ἄλλου».

1. Πάλι χρησιμοποιεῖ τό ἴδιο παράδειγμα, πού χρησιμοποίησε καί στούς Κορινθίους, γιά νά καταπολεμήσει τό ἴδιο ἀκριβῶς πάθος. Καθόσον εἶναι μεγάλη ἡ δύναμη τοῦ φάρμακου καί ἡ ἐπίδραση τοῦ παραδείγματος αὐτοῦ πρός διόρθωση τῆς ἀρρώστιας τῆς ἀλαζονείας. Γιά ποιό λόγο λοιπόν, λέγει, ὑπερηφανεύεσαι ἐσύ; ἤ γιατί πάλι ἄλλος ἐξευτελίζει τόν ἑαυτό του; δέν εἴμαστε ἕνα σῶμα ὅλοι, καί μεγάλοι καί μικροί; Ὅταν λοιπόν κατά τό σπουδαιότερο εἴμαστε ἕνα καί μέλη ὁ ἕνας τοῦ ἄλλου, γιατί μέ τήν ἀλαζονεία ξεχωρίζεις τόν ἑαυτό σου; γιατί περιφρονεῖς τόν ἀδελφό σου; Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος εἶναι μέλος σου, ἔτσι καί σύ εἶσαι μέλος ἐκείνου· καί εἶναι μεγάλη καί ὡς πρός αὐτό ἡ ἰσοτιμία σας. Ἀνέφερε λοιπόν δύο πράγματα πού εἶναι ἱκανά νά καταστρέψουν τήν ἀλαζονεία τους· καί ὅτι εἴμαστε μέλη ὁ ἕνας τοῦ ἄλλου, ὄχι ὁ μικρός τοῦ μεγάλου μόνο, ἀλλά καί ὁ μεγάλος τοῦ μικρότερου, καί ὅτι ὅλοι ἀποτελοῦμε ἕνα σῶμα· ἤ καλύτερα καί τρία· καθόσον ἔδειξε πώς εἶναι χάρισμα αὐτό πού μᾶς δόθηκε. Μήν ὑπερηφανεύεσαι λοιπόν· γιατί τό χάρισμα σοῦ δόθηκε ἀπό τό Θεό, δέν τό ἔλαβες ἐσύ, οὔτε τό βρῆκες. Γι' αὐτό καί μιλώντας γιά τά χαρίσματα, δέν εἶπε, 'ὅτι ὁ

Διὰ τοῦτο καὶ τῶν χαρισμάτων ἁπτόμενος, οὐκ εἶπεν, ὅτι ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον ἔλαβεν, ἀλλά τί; Διάφορον. «Ἔχοντες γάρ», φησί, «χαρίσματα», οὐ μείζονα καὶ ἐλάττονα, ἀλλά, «διάφορα».

Τί γάρ, εἰ καὶ μὴ τὰ αὐτὰ ἐπετάγης; ἀλλὰ τὸ σῶμα τὸ αὐτό ἐστι. Καὶ ἀρξάμενος ἀπὸ χαρίσματος, εἰς κατόρθωμα λήγει. Εἰπὼν γὰρ προφητείαν καὶ διακονίαν καὶ ὅσα τοιαῦτα, κατέληξεν εἰς ἐλεημοσύνην καὶ σπουδὴν καὶ ἀντίληψιν. Ἐπειδὴ γὰρ εἰκὸς ἦν τινας ἐναρέτους μὲν εἶναι, μὴ ἔχειν δὲ προφητείαν, δείκνυσιν ὅτι καὶ τοῦτο χάρισμα, καὶ πολλῷ μεῖζον ἐκείνου, ὥσπερ ἔδειξεν ἐν τῇ πρὸς Κορινθίους· καὶ τοσούτῳ μεῖζον, ὅσῳ τὸ μὲν ἔχει μισθόν, τὸ δὲ ἐστέρηται ἀμοιβῆς· ὅλον γὰρ δωρεὰ καὶ χάρις ἐστί. Διὰ τοῦτό φησιν· «ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως». Ἐπειδὴ γὰρ ἱκανῶς αὐτοὺς παρεμυθήσατο, βούλεται καὶ ἐναγωνίους ποιῆσαι, καὶ σπουδαιοτέρους ἐργάσασθαι, δεικνὺς ὅτι αὐτοὶ τὰς ἀφορμὰς παρέχουσι τοῦ μεῖζον ἢ ἔλαττον λαβεῖν. Λέγει μὲν γὰρ αὐτὸ καὶ παρὰ τοῦ Θεοῦ δεδόσθαι· ὡς ὅταν λέγῃ, «ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως»· καὶ πάλιν, «κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν ἵνα καταστείλῃ τοὺς ὑπερηφάνους· λέγει δὲ καὶ παρ' αὐτῶν τὰς ἀρχὰς γεγενῆσθαι, ἵνα διεγείρῃ τοὺς ῥᾳθύμους· ὃ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ, ἀμφότερα ταῦτα κινῶν.

Ὅταν μὲν γὰρ λέγῃ, «ζηλοῦτε τὰ χαρίσματα», δείκνυσι καὶ αὐτοὺς ὄντας αἰτίους τῆς διαφορᾶς τῶν διδομένων· ὅταν δὲ λέγῃ, «πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ καθὼς βούλεται», ἐκεῖνο κατασκευάζει, τὸ μὴ δεῖν ἐπαίρεσθαι τοὺς εἰληφότας, πάντοθεν παραμυθούμενος αὐτῶν τὸ πάθος· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. Καὶ πάλιν τοὺς ἀναπεπτωκότας διεγείρων φησίν, «εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως». Εἰ γὰρ καὶ χάρις ἐστίν, ἀλλ' οὐχ ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν

1. Ρωμ. 12,3. 2. Α' Κορ. 12,31. 3. Α' Κορ. 12,11.

ἕνας ἔλαβε μεγαλύτερο καί ὁ ἄλλος μικρότερο', ἀλλά τί; Διαφορετικό. «Ἔχοντας λοιπόν», λέγει, «χαρίσματα», ὄχι μεγαλύτερα καί μικρότερα, ἀλλά, «διαφορετικά».

Τί σημασία ἔχει, ἄν δέ σοῦ διέταξε τά ἴδια; ἀλλά τό σῶμα εἶναι τό ἴδιο. Καί ἀρχίζοντας ἀπό χάρισμα, καταλήγει σέ κατόρθωμα. Γιατί, ἀφοῦ ἀνέφερε τήν προφητεία καί τή διακονία καί ὅλα τά παρόμοια, κατέληξε στήν ἐλεημοσύνη, στήν προθυμία καί στή βοήθεια. Ἐπειδή λοιπόν ἦταν φυσικό μερικοί νά εἶναι ἐνάρετοι, ἀλλά νά μήν ἔχουν προφητεία, δείχνει ὅτι καί αὐτό εἶναι χάρισμα, καί μάλιστα πολύ μεγαλύτερο ἀπό ἐκεῖνο, ὅπως ἀκριβῶς ἔδειξε στήν πρός Κορινθίους ἐπιστολή, καί τόσο μεγαλύτερο, ὅσο ὅτι τό ἕνα ἔχει μισθό, ἐνῶ τό ἄλλο στερεῖται κάθε ἀμοιβῆς, καθόσον ὅλο εἶναι δωρεά καί χάρη. Γι' αὐτό λέγει· «ἔχοντας ὅμως χαρίσματα διαφορετικά, σύμφωνα μέ τή χάρη τοῦ Θεοῦ πού μᾶς δόθηκε, ἄς τά χρησιμοποιήσουμε ἀνάλογα μέ τήν πίστη μας, εἴτε εἶναι προφητεία». Ἀφοῦ λοιπόν τούς παρηγόρησε ἀρκετά, θέλει νά τούς βάλει καί σέ ἀγωνία, καί νά τούς κάμει πιό πρόθυμους, ἀποδεικνύοντας ὅτι αὐτοί οἱ ἴδιοι δίνουν τίς ἀφορμές γιά νά λάβουν μεγαλύτερο ἤ μικρότερο χάρισμα. Βέβαια λέγει ὅτι αὐτό δόθηκε καί ἀπό τό Θεό, ὅπως ὅταν λέγει, «ἀνάλογα μέ τό μέτρο πίστεως πού ὁ Θεός μοίρασε στόν καθένα»[1] καί πάλι, «σύμφωνα μέ τή χάρη πού μᾶς δόθηκε», γιά νά συγκρατήσει τούς ὑπερήφανους, λέγει ὅμως ὅτι καί ἀπ' αὐτούς ἔγινε ἡ ἀρχή, γιά νά παρακινήσει τούς ἀδιάφορους, πράγμα πού κάνει καί στήν πρός Κορινθίους ἐπιστολή, μιλώντας καί γιά τά δύο αὐτά.

Ὅταν δηλαδή λέγει, «νά ἔχετε ζῆλο γιά τά χαρίσματα»[2], δείχνει πώς καί αὐτοί εἶναι αἴτιοι γιά τά διαφορετικά χαρίσματα πού δίνονται, ἀλλ' ὅταν λέγει, «ὅλα αὐτά τά ἐνεργεῖ τό ἕνα καί τό αὐτό Πνεῦμα, πού μοιράζει στόν καθένα ὅπως αὐτό θέλει»[3], ἀποδεικνύει ἐκεῖνο, τό ὅτι δηλαδή δέν πρέπει νά ὑπερηφανεύονται ἐκεῖνοι πού ἔχουν λάβει, μετριάζοντας ἀπό παντοῦ τό πάθος τους, πράγμα ἀκριβῶς πού κάνει καί ἐδῶ. Καί πάλι γιά νά ἐνισχύσει τούς ἀπελπισμένους λέγει, «ἐάν ἔχουμε προφητεία, ἄς τή χρησιμοποιήσουμε ἀνάλογα μέ τήν πίστη μας. Γιατί, ἄν καί εἶναι χάρη, ὅμως δέν δίδεται τυχαῖα, ἀλλά λαμβάνοντας τά μέτρα ἀπό ἐκείνους πού τή δέχονται,

ναι. Οὐ γάρ ἔστι τὸ ὕψος ὑγιές, ἀλλ' ὥσπερ αἱ πομφόλυγες εὐκόλως ρήγνυνται, οὕτω καὶ οὗτοι ραδίως ἀπόλλυνται. Εἰ δὲ ἀπιστεῖς, δός μοι θρασὺν καὶ ἀπονενοημένον, καὶ πτωκὸς δειλότερον ὄψει γινόμενον καὶ ἀπὸ τῆς τυχούσης περιστάσεως. Ὥσπερ γὰρ ἡ μὲν ἀπὸ φρυγάνων αἰρομένη φλὸξ ὁμοῦ τε ἀνήφθη, καὶ κόνις ἐγένετο, ἡ δὲ τῶν στερρῶν ξύλων φύσις οὔτε ἐξάπτεται ῥᾳδίως, καὶ ἐπὶ πολὺ διατηρεῖ καιομένην τὴν φλόγα, οὕτω καὶ αἱ ψυχαὶ αἱ μὲν στερραὶ καὶ βεβηκυῖαι, οὐκ εὐκόλως οὔτε ἐκκαίονται οὔτε σβέννυνται, οὗτοι δὲ ἀμφότερα ταῦτα ἐν μιᾷ καιροῦ ροπῇ πάσχουσι.

Ταῦτ' οὖν εἰδότες, τὴν ταπεινοφροσύνην ἀσκῶμεν. Οὐδὲν γὰρ αὐτῆς δυνατώτερον, ἀλλὰ καὶ πέτρας ἰσχυροτέρα, καὶ ἀδάμαντος στερροτέρα, καὶ πύργων καὶ πόλεων καὶ τείχους ἐν μείζονι καθίστησιν ἡμᾶς ἀσφαλείᾳ, πάντων ὑψηλοτέρα γινομένη τῶν τοῦ διαβόλου μηχανημάτων· ὥσπερ οὖν ἡ ἀπόνοια καὶ τοῖς τυχοῦσιν εὐχειρώτους ποιεῖ, πομφόλυγος, ὥσπερ ἔφην, εὐκολώτερον ρηγνυμένη, καὶ ἀράχνης ταχύτερον σχιζομένη, καὶ καπνοῦ θᾶττον διαλυομένη. Ἵν' οὖν ἐπὶ τῆς στερρᾶς πέτρας ὦμεν βεβηκότες, ἐκείνην ἀφέντες, ταύτην ἑλώμεθα. Οὕτω γὰρ καὶ ἐν τῷ παρόντι βίῳ ἀνάπαυσιν εὑρήσομεν, καὶ κατὰ τὸν μέλλοντα αἰῶνα πάντων ἀπολαύσομεν τῶν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὁπωσδήποτε καί ἄρρωστος. Γιατί δέν εἶναι τό ὕψος ὑγιές, ἀλλ' ὅπως ἀκριβῶς οἱ σαπουνόφουσκες σπάζουν εὔκολα, ἔτσι καί αὐτοί καταστρέφονται εὔκολα. Ἐάν ὅμως δέν πιστεύεις, δός μου ἕναν θρασύ καί ἀλαζόνα, καί θά τόν δεῖς νά γίνεται πιό δειλός καί ἀπό τό λαγό ἀπό τήν παραμικρή δυσκολία. Γιατί, ὅπως ἡ φλόγα πού σηκώνεται ἀπό τά φρύγανα συγχρόνως καί ἄναψε καί σκόνη ἔγινε, ἐνῶ ἡ φύση τῶν σκληρῶν ξύλων οὔτε φουντώνει εὔκολα ἀλλά καί κρατάει γιά πολύ ἀναμμένη τή φλόγα, ἔτσι καί οἱ ψυχές οἱ ἰσχυρές βέβαια καί σταθερές, οὔτε καίονται οὔτε σβήνουν εὔκολα, αὐτοί ὅμως καί τά δύο αὐτά παθαίνουν σέ μιά ἐλάχιστη στιγμή.

Γνωρίζοντας λοιπόν αὐτά, ἄς ἀσκοῦμε τήν ταπεινοφροσύνη. Γιατί τίποτε δέν εἶναι πιό δυνατό ἀπ' αὐτήν, ἀλλ' εἶναι πιό ἰσχυρή καί ἀπό τήν πέτρα, καί πιό σκληρή ἀπό τό διαμάντι, καί μᾶς ἀσφαλίζει περισσότερο καί ἀπό τούς πύργους καί ἀπό τίς πόλεις καί ἀπό τό τεῖχος, ἀφοῦ γίνεται πιό ὑψηλή ἀπ' ὅλες τίς πολεμικές μηχανές τοῦ διαβόλου· ὅπως λοιπόν ἡ ἀλαζονεία μᾶς κάνει εὐκολονίκητους καί στούς τυχαίους, ἀφοῦ σπάζει, ὅπως εἶπα, πιό εὔκολα ἀπό τή σαπουνόφουσκα καί σχίζεται πιό γρήγορα ἀπό τήν ἀράχνη καί διαλύεται πιό γρήγορα ἀπό τόν καπνό. Γιά νά εἴμαστε λοιπόν στηριγμένοι πάνω στή σταθερή πέτρα, ἐγκαταλείποντας τήν ἀλαζονεία, ἄς προτιμήσουμε τήν ταπεινοφροσύνη. Γιατί ἔτσι καί στήν παρούσα ζωή θά βροῦμε ἀνάπαυση, καί στή μελλοντική ζωή θ' ἀπολαύσουμε ὅλα τά ἀγαθά, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΒ'

(Ρωμ. 12,4–13)

«Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη».

1. Πάλιν τῷ αὐτῷ ὑποδείγματι κέχρηται, ᾧ καὶ πρὸς Κορινθίους ἐχρήσατο, τὸ αὐτὸ τοῦτο καταστέλλων πάθος. Καὶ γὰρ μεγάλη τοῦ φαρμάκου ἡ δύναμις, καὶ τοῦ παραδείγματος τούτου ἡ ἰσχύς, εἰς τὸ διορθῶσαι τὸ τῆς ἀπονοίας νόσημα. Τίνος γὰρ ἕνεκεν σὺ μέγα φρονεῖς, φησίν; ἢ διὰ τί πάλιν ἕτερος ἑαυτὸν ἐξευτελίζει; οὐχὶ σῶμά ἐσμεν ἅπαντες ἕν, καὶ μεγάλοι καὶ μικροί; Ὅταν οὖν κατὰ τὸ κεφάλαιον ἓν ὦμεν, καὶ ἀλλήλων μέλη, τί τῇ ἀπονοίᾳ σχίζεις σαυτόν; τί ἐπαισχύνῃ τὸν ἀδελφόν; Ὥσπερ γὰρ ἐκεῖνός σου μέλος, οὕτω κἀκείνου σύ· καὶ πολλὴ καὶ κατὰ τοῦτο ἡ ὁμοτιμία. Δύο γὰρ ἱκανὰ καθελεῖν αὐτῶν τὴν ἀπόνοιαν τέθεικε· καὶ ὅτι ἀλλήλων ἐσμὲν μέλη, οὐχ ὁ μικρὸς τοῦ μεγάλου μόνον, ἀλλὰ καὶ ὁ μέγας τοῦ ἐλάττονος, καὶ ὅτι ἓν ἐσμεν ἅπαντες σῶμα· μᾶλλον δὲ καὶ τρία· καὶ γὰρ καὶ χάρισμα ἔδειξεν ὂν τὸ δοθέν. Μὴ τοίνυν μέγα φρόνει· ἐδόθη γάρ σοι παρὰ τοῦ Θεοῦ, οὐ σὺ ἔλαβες, οὐδὲ εὗρες.

ΟΜΙΛΙΑ ΚΒ'

(Ρωμ. 12,4-13)

«Γιατί, ὅπως ἀκριβῶς σ' ἕνα σῶμα ἔχουμε πολλά μέλη, ἀλλ' ὅλα τά μέλη δέν ἔχουν τό ἴδιο ἔργο, ἔτσι καί ἐμεῖς οἱ πολλοί εἴμαστε ἕνα σῶμα ἐξ αἰτίας τῆς ἑνώσεώς μας μέ τό Χριστό καί ὁ καθένας εἴμαστε μέλη ὁ ἕνας τοῦ ἄλλου».

1. Πάλι χρησιμοποιεῖ τό ἴδιο παράδειγμα, πού χρησιμοποίησε καί στούς Κορινθίους, γιά νά καταπολεμήσει τό ἴδιο ἀκριβῶς πάθος. Καθόσον εἶναι μεγάλη ἡ δύναμη τοῦ φάρμακου καί ἡ ἐπίδραση τοῦ παραδείγματος αὐτοῦ πρός διόρθωση τῆς ἀρρώστιας τῆς ἀλαζονείας. Γιά ποιό λόγο λοιπόν, λέγει, ὑπερηφανεύεσαι ἐσύ; ἤ γιατί πάλι ἄλλος ἐξευτελίζει τόν ἑαυτό του; δέν εἴμαστε ἕνα σῶμα ὅλοι, καί μεγάλοι καί μικροί; Ὅταν λοιπόν κατά τό σπουδαιότερο εἴμαστε ἕνα καί μέλη ὁ ἕνας τοῦ ἄλλου, γιατί μέ τήν ἀλαζονεία ξεχωρίζεις τόν ἑαυτό σου; γιατί περιφρονεῖς τόν ἀδελφό σου; Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος εἶναι μέλος σου, ἔτσι καί σύ εἶσαι μέλος ἐκείνου· καί εἶναι μεγάλη καί ὡς πρός αὐτό ἡ ἰσοτιμία σας. Ἀνέφερε λοιπόν δύο πράγματα πού εἶναι ἱκανά νά καταστρέψουν τήν ἀλαζονεία τους· καί ὅτι εἴμαστε μέλη ὁ ἕνας τοῦ ἄλλου, ὄχι ὁ μικρός τοῦ μεγάλου μόνο, ἀλλά καί ὁ μεγάλος τοῦ μικρότερου, καί ὅτι ὅλοι ἀποτελοῦμε ἕνα σῶμα· ἤ καλύτερα καί τρία· καθόσον ἔδειξε πώς εἶναι χάρισμα αὐτό πού μᾶς δόθηκε. Μήν ὑπερηφανεύεσαι λοιπόν· γιατί τό χάρισμα σοῦ δόθηκε ἀπό τό Θεό, δέν τό ἔλαβες ἐσύ, οὔτε τό βρῆκες. Γι' αὐτό καί μιλώντας γιά τά χαρίσματα, δέν εἶπε, ὅτι ὁ

Διὰ τοῦτο καὶ τῶν χαρισμάτων ἁπτόμενος, οὐκ εἶπεν, ὅτι ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον ἔλαβεν, ἀλλά τί; Διάφορον. «Ἔχοντες γάρ», φησί, «χαρίσματα», οὐ μείζονα καὶ ἐλάττονα, ἀλλά, «διάφορα».

Τί γάρ, εἰ καὶ μὴ τὰ αὐτὰ ἐπετάγης; ἀλλὰ τὸ σῶμα τὸ αὐτό ἐστι. Καὶ ἀρξάμενος ἀπὸ χαρίσματος, εἰς κατόρθωμα λήγει. Εἰπὼν γὰρ προφητείαν καὶ διακονίαν καὶ ὅσα τοιαῦτα, κατέληξεν εἰς ἐλεημοσύνην καὶ σπουδὴν καὶ ἀντίληψιν. Ἐπειδὴ γὰρ εἰκὸς ἦν τινας ἐναρέτους μὲν εἶναι, μὴ ἔχειν δὲ προφητείαν, δείκνυσιν ὅτι καὶ τοῦτο χάρισμα, καὶ πολλῷ μεῖζον ἐκείνου, ὥσπερ ἔδειξεν ἐν τῇ πρὸς Κορινθίους· καὶ τοσούτῳ μεῖζον, ὅσῳ τὸ μὲν ἔχει μισθόν, τὸ δὲ ἐστέρηται ἀμοιβῆς· ὅλον γὰρ δωρεὰ καὶ χάρις ἐστί. Διὰ τοῦτό φησιν· «ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως». Ἐπειδὴ γὰρ ἱκανῶς αὐτοὺς παρεμυθήσατο, βούλεται καὶ ἐναγωνίους ποιῆσαι, καὶ σπουδαιοτέρους ἐργάσασθαι, δεικνὺς ὅτι αὐτοὶ τὰς ἀφορμὰς παρέχουσι τοῦ μεῖζον ἢ ἔλαττον λαβεῖν. Λέγει μὲν γὰρ αὐτὸ καὶ παρὰ τοῦ Θεοῦ δεδόσθαι· ὡς ὅταν λέγῃ, «ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως»· καὶ πάλιν, «κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν ἵνα καταστείλῃ τοὺς ὑπερηφάνους· λέγει δὲ καὶ παρ' αὐτῶν τὰς ἀρχὰς γεγενῆσθαι, ἵνα διεγείρῃ τοὺς ῥᾳθύμους· ὃ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ, ἀμφότερα ταῦτα κινῶν.

Ὅταν μὲν γὰρ λέγῃ, «ζηλοῦτε τὰ χαρίσματα», δείκνυσι καὶ αὐτοὺς ὄντας αἰτίους τῆς διαφορᾶς τῶν διδομένων· ὅταν δὲ λέγῃ, «πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ καθὼς βούλεται», ἐκεῖνο κατασκευάζει, τὸ μὴ δεῖν ἐπαίρεσθαι τοὺς εἰληφότας, πάντοθεν παραμυθούμενος αὐτῶν τὸ πάθος· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. Καὶ πάλιν τοὺς ἀναπεπτωκότας διεγείρων φησίν, «εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως». Εἰ γὰρ καὶ χάρις ἐστίν, ἀλλ' οὐχ ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν

1. Ρωμ. 12,3. 2. Α' Κορ. 12,31. 3. Α' Κορ. 12,11.

ἕνας ἔλαβε μεγαλύτερο καί ὁ ἄλλος μικρότερο', ἀλλά τί; Διαφορετικό. «Ἔχοντας λοιπόν», λέγει, «χαρίσματα», ὄχι μεγαλύτερα καί μικρότερα, ἀλλά, «διαφορετικά».

Τί σημασία ἔχει, ἄν δέ σοῦ διέταξε τά ἴδια; ἀλλά τό σῶμα εἶναι τό ἴδιο. Καί ἀρχίζοντας ἀπό χάρισμα, καταλήγει σέ κατόρθωμα. Γιατί, ἀφοῦ ἀνέφερε τήν προφητεία καί τή διακονία καί ὅλα τά παρόμοια, κατέληξε στήν ἐλεημοσύνη, στήν προθυμία καί στή βοήθεια. Ἐπειδή λοιπόν ἦταν φυσικό μερικοί νά εἶναι ἐνάρετοι, ἀλλά νά μήν ἔχουν προφητεία, δείχνει ὅτι καί αὐτό εἶναι χάρισμα, καί μάλιστα πολύ μεγαλύτερο ἀπό ἐκεῖνο, ὅπως ἀκριβῶς ἔδειξε στήν πρός Κορινθίους ἐπιστολή, καί τόσο μεγαλύτερο, ὅσο ὅτι τό ἕνα ἔχει μισθό, ἐνῶ τό ἄλλο στερεῖται κάθε ἀμοιβῆς, καθόσον ὅλο εἶναι δωρεά καί χάρη. Γι' αὐτό λέγει· «ἔχοντας ὅμως χαρίσματα διαφορετικά, σύμφωνα μέ τή χάρη τοῦ Θεοῦ πού μᾶς δόθηκε, ἄς τά χρησιμοποιήσουμε ἀνάλογα μέ τήν πίστη μας, εἴτε εἶναι προφητεία». Ἀφοῦ λοιπόν τούς παρηγόρησε ἀρκετά, θέλει νά τούς βάλει καί σέ ἀγωνία, καί νά τούς κάμει πιό πρόθυμους, ἀποδεικνύοντας ὅτι αὐτοί οἱ ἴδιοι δίνουν τίς ἀφορμές γιά νά λάβουν μεγαλύτερο ἤ μικρότερο χάρισμα. Βέβαια λέγει ὅτι αὐτό δόθηκε καί ἀπό τό Θεό, ὅπως ὅταν λέγει, «ἀνάλογα μέ τό μέτρο πίστεως πού ὁ Θεός μοίρασε στόν καθένα»[1] καί πάλι, «σύμφωνα μέ τή χάρη πού μᾶς δόθηκε», γιά νά συγκρατήσει τούς ὑπερήφανους, λέγει ὅμως ὅτι καί ἀπ' αὐτούς ἔγινε ἡ ἀρχή, γιά νά παρακινήσει τούς ἀδιάφορους, πράγμα πού κάνει καί στήν πρός Κορινθίους ἐπιστολή, μιλώντας καί γιά τά δύο αὐτά.

Ὅταν δηλαδή λέγει, «νά ἔχετε ζῆλο γιά τά χαρίσματα»[2], δείχνει πώς καί αὐτοί εἶναι αἴτιοι γιά τά διαφορετικά χαρίσματα πού δίνονται, ἀλλ' ὅταν λέγει, «ὅλα αὐτά τά ἐνεργεῖ τό ἕνα καί τό αὐτό Πνεῦμα, πού μοιράζει στόν καθένα ὅπως αὐτό θέλει»[3], ἀποδεικνύει ἐκεῖνο, τό ὅτι δηλαδή δέν πρέπει νά ὑπερηφανεύονται ἐκεῖνοι πού ἔχουν λάβει, μετριάζοντας ἀπό παντοῦ τό πάθος τους, πράγμα ἀκριβῶς πού κάνει καί ἐδῶ. Καί πάλι γιά νά ἐνισχύσει τούς ἀπελπισμένους λέγει, «ἐάν ἔχουμε προφητεία, ἄς τή χρησιμοποιήσουμε ἀνάλογα μέ τήν πίστη μας. Γιατί, ἄν καί εἶναι χάρη, ὅμως δέν δίδεται τυχαῖα, ἀλλά λαμβάνοντας τά μέτρα ἀπό ἐκείνους πού τή δέχονται,

δεχομένων λαμβάνουσα, τοσοῦτον ἐπιρρεῖ, ὅσον ἂν εὕρῃ σκεῦος πίστεως αὐτῇ προσενεχθέν. «Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ». Καθολικὸν πρᾶγμα ἐνταῦθα τίθησι. Καὶ γὰρ ἡ ἀποστολὴ διακονία λέγεται· καὶ πᾶν ἔργον πνευματικὸν διακονία. Ἔστι μὲν γὰρ καὶ ἰδικῆς οἰκονομίας ὄνομα τοῦτο, ἐνταῦθα μέντοι καθολικῶς εἴρηται. «Εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ». Ὅρα πῶς ἀδιαφόρως αὐτὰ τίθησι, τὸ μικρὸν πρῶτον, καὶ τὸ μέγα ὕστερον· πάλιν τὸ αὐτὸ τοῦτο παιδεύων, τὸ μὴ φυσᾶσθαι μηδὲ ἐπαίρεσθαι. «Εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει». Καὶ τοῦτο διδασκαλίας εἶδος. «Εἰ γάρ ἐστιν ἐν ὑμῖν λόγος παρακλήσεως», φησί, «πρὸς τὸν λαόν, λέγετε».

Εἶτα δεικνύς, ὡς οὐ μέγα ὄφελος ἀρετὴν μετιέναι, εἰ μὴ μετὰ τοῦ προσήκοντος τοῦτο γίνοιτο νόμου, ἐπάγει· «ὁ μεταδιδούς, ἐν ἁπλότητι». Οὐ γὰρ ἀρκεῖ τὸ δοῦναι, ἀλλὰ δεῖ καὶ μετὰ δαψιλείας τοῦτο ποιεῖν. Ἁπλότητα γὰρ τοῦτο οἶδε πανταχοῦ· ἐπεὶ καὶ παρθένοι ἔλαιον εἶχον, ἀλλ' ἐπειδὴ ἀρκοῦν οὐκ εἶχον, τοῦ παντὸς ἐξέπεσον. «Ὁ προϊστάμενος, ἐν σπουδῇ». Οὐ γὰρ ἀρκεῖ τὸ προστῆναι. «Ὁ ἐλεῶν, ἐν ἱλαρότητι». Οὐ γὰρ ἀρκεῖ τὸ ἐλεῆσαι, ἀλλὰ μετὰ δαψιλείας καὶ γνώμης ἀλύπου τοῦτο δεῖ ποιεῖν· μᾶλλον δὲ οὐ μετὰ ἀλύπου μόνον, ἀλλὰ καὶ μετὰ φαιδρᾶς καὶ χαιρούσης. Οὐ γάρ ἐστιν ἴσον μὴ λυπεῖσθαι, καὶ χαίρειν. Τοῦτο δὲ αὐτὸ καὶ πρὸς Κορινθίους ἐπιστέλλων, μετὰ πολλῆς κατεσκεύαζε σπουδῆς. Εἰς μὲν γὰρ δαψίλειαν διεγείρων, ἔλεγεν· «ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει»· τὴν δὲ γνώμην διορθούμενος, προσετίθει· «μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης». Ἀμφότερα γὰρ δεῖ παρεῖναι τῷ ἐλεοῦντι, καὶ ἀφθονίαν καὶ ἡδονήν.

---

4. Πράξ. 13,15.
5. Β' Κορ. 9,6. 7.

τόσο χύνεται ὅσο ἀνάλογο εἶναι τό σκεῦος πίστεως στό ὁποῖο προσφέρεται. «Ἐάν ἔχουμε τό χάρισμα τῆς διακονίας, ἄς ἀρκεσθοῦμε στό ἔργο τῆς διακονίας». Ἐδῶ ἀναφέρει γενικό πράγμα. Καθόσον διακονία ὀνομάζεται τό ἀποστολικό ἔργο. Καί κάθε πνευματικό ἔργο εἶναι διακονία. Βέβαια ἡ ὀνομασία αὐτή ἀνήκει σέ εἰδική φροντίδα, ἀλλ' ἐδῶ λέχθηκε μέ γενική ἔννοια. «Ἐάν κανείς εἶναι διδάσκαλος, ἄς μένει στή διδασκαλία». Πρόσεχε πῶς ἀναφέρει αὐτά ἀδιάφορα, πρῶτα τό μικρό καί τελευταῖα τό μεγάλο, γιά νά διδάξει αὐτό ἀκριβῶς τό ἴδιο, τό νά μήν ἀλαζονεύονται δηλαδή καί νά μήν ὑπερηφανεύονται. «Ἐάν κανείς προτρέπει, ἄς μένει στήν προτροπή». Καί αὐτό εἶναι εἶδος διδασκαλίας. «Ἐάν ἔχετε νά πεῖτε κάτι», λέγει, «γιά προτροπή τοῦ λαοῦ, νά τό λέγετε»[4].

Στή συνέχεια γιά νά δείξει, ὅτι δέν εἶναι μεγάλο κέρδος νά ἀσκεῖ κανείς τήν ἀρετή, ἄν δέ γίνεται αὐτό μέ τόν κατάλληλο νόμο, προσθέτει· «ἐκεῖνος πού δίνει, ἄς τό κάνει αὐτό μέ γενναιοδωρία». Γιατί δέ φθάνει τό νά δώσουμε, ἀλλά πρέπει καί μέ γενναιοδωρία νά τό κάνουμε αὐτό. Γιατί ἁπλότητα αὐτό γνωρίζει παντοῦ, ἐπειδή καί οἱ παρθένες εἶχαν λάδι, ἀλλ' ἐπειδή δέν εἶχαν ἀρκετό, τά ἔχασαν ὅλα. «Ἐκεῖνος πού εἶναι προϊστάμενος, ἄς ἐργάζεται μέ ζῆλο». Γιατί δέ φθάνει τό νά εἶναι προϊστάμενος. «Ἐκεῖνος πού κάνει ἐλεημοσύνη, ἄς ἐλεεῖ μέ χαρά». Γιατί δέ φθάνει τό νά ἐλεήσει κανείς, ἀλλά πρέπει νά τό κάνει αὐτό μέ γενναιοδωρία καί μέ διάθεση χωρίς λύπη· ἤ καλύτερα, ὄχι μόνο μέ διάθεση χωρίς λύπη, ἀλλά καί μ' εὐχάριστη καί χαρούμενη. Γιατί δέν εἶναι τό ἴδιο τό νά μή λυπᾶται κανείς καί τό νά χαίρεται. Καί αὐτό ἀκριβῶς τόνιζε μέ προσοχή, ὅταν ἔγραφε καί στούς Κορινθίους. Προτρέποντας λοιπόν γιά γενναιοδωρία, ἔλεγε· «ἐκεῖνος πού σπέρνει μέ οἰκονομία, θά θερίσει καί μέ οἰκονομία, καί ἐκεῖνος πού σπέρνει μέ ἀφθονία, θά θερίσει καί μέ ἀφθονία», καί διορθώνοντας τή διάθεση πρόσθετε· «ὄχι μέ λύπη ἤ ἀναγκαστικά»[5]. Γιατί καί τά δύο πρέπει νά παραβρίσκονται σ' ἐκεῖνον πού ἐλεεῖ, δηλαδή καί ἀφθονία καί εὐχαρίστηση.

Γιά ποιό λόγο λοιπόν κλαῖς δίνοντας ἐλεημοσύνη; καί γιατί

Τίνος γὰρ ἕνεκεν κλαίεις διδοὺς ἐλεημοσύνην; τί δὲ ἀλγεῖς ἐλεῶν, καὶ τὸν καρπὸν προδίδως τοῦ κατορθώματος; Εἰ γὰρ ἀλγεῖς, οὐκ ἐλεεῖς, ἀλλ' ὠμός εἶ καὶ ἀπάνθρωπος. Εἰ γὰρ σὺ ἀλγεῖς, πῶς ἐκεῖνον ἐν λύπῃ ὄντα διαναστῆσαι δυνήσῃ; Ἀγαπητὸν γάρ, μηδὲν ὑποπτεῦσαι ἐκεῖνον πονηρόν, καὶ ὅταν μετὰ τοῦ χαίρειν παρέχῃς. Ἐπειδὴ γὰρ οὐδὲν οὕτως αἰσχρὸν ἀνθρώποις εἶναι δοκεῖ, ὡς τὸ παρ' ἑτέρων λαμβάνειν, ἂν μὴ τῇ ὑπερβαλλούσῃ φαιδρότητι τὴν ὑποψίαν ἀνέλῃς, καὶ δείξῃς, ὅτι λαμβάνεις μᾶλλον ἢ δίδως, κατέβαλες μᾶλλον ἢ ἀνέστησας τὸν λαμβάνοντα. Διὰ τοῦτό φησιν, «ὁ ἐλεῶν, ἐν ἱλαρότητι». Τίς γὰρ βασιλείαν λαμβάνων, σκυθρωπός ἐστι; τίς ἁμαρτημάτων συγχώρησιν δεχόμενος, ἐν κατηφείᾳ μένει; Μὴ τοίνυν τῇ δαπάνῃ πρόσεχε τῶν χρημάτων, ἀλλὰ τῇ διὰ τῆς δαπάνης προσόδῳ. Εἰ γὰρ ὁ σπείρων χαίρει, καίτοι γε ἐπ' ἀδήλοις σπείρων, πολλῷ μᾶλλον ὁ τὸν οὐρανὸν γεωργῶν. Οὕτω κἂν ὀλίγα δῷς, ὀλίγα πεποίηκας τὰ πολλά. Οὕτω καὶ ἡ χήρα πολλὰ τάλαντα ὑπερηκόντισε διὰ δύο λεπτῶν· δαψιλὴς γὰρ ἦν ἡ γνώμη.

Καὶ πῶς ἔνι, φησί, πενίᾳ συζῶντα ἐσχάτῃ, καὶ πάντα κενοῦντα, μετὰ προθυμίας τοῦτο ποιεῖν; Ἐρώτησον τὴν χήραν, καὶ ἀκούσῃ τὸν τρόπον, καὶ εἴσῃ ὅτι οὐχ ἡ πενία ποιεῖ τὴν στενοχωρίαν, ἀλλ' ἡ προαίρεσις καὶ τοῦτο καὶ τοὐναντίον ἐργάζεται. Ἔστι γὰρ καὶ ἐν πενίᾳ μεγαλόψυχον εἶναι, καὶ ἐν πλούτῳ μικρολόγον. Διὰ τοῦτο καὶ ἐν τῇ μεταδόσει τὴν ἁπλότητα ζητεῖ, καὶ ἐν τῷ ἐλέῳ τὴν ἱλαρότητα, καὶ ἐν τῇ προστασίᾳ τὴν σπουδήν. Οὐδὲ γὰρ χρήμασι μόνον βούλεται τοῖς δεομένοις ἡμᾶς βοηθεῖν, ἀλλὰ καὶ ῥήμασι καὶ πράγμασι καὶ σώματι, καὶ τοῖς ἄλλοις ἅπασι. Καὶ εἰπὼν τὴν προηγουμένην προστασίαν, τὴν διὰ τῆς διδασκαλίας, τὴν διὰ τῆς παρακλήσεως (αὕτη γὰρ ἀναγκαιοτέρα, ὅσῳ καὶ ψυχῆς ἐστι τροφή), ἦλθεν ἐπὶ τὴν διὰ τῶν χρημάτων καὶ τῶν ἄλλων ἁπάντων.

στενοχωριέσαι ὅταν ἐλεεῖς, προδίδοντας ἔτσι τόν καρπό τοῦ κατορθώματος; Καθόσον, ἄν στενοχωριέσαι, δέν ἐλεεῖς, ἀλλ' εἶσαι σκληρός καί ἀπάνθρωπος. Γιατί, ἄν σύ στενοχωριέσαι, πῶς θά μπορέσεις ν' ἀνορθώσεις τόν λυπημένο; Γιατί εἶναι ἀνάγκη νά μήν ὑποψιασθεῖ ἐκεῖνος κανένα πονηρό, καί ὅταν δίνεις μέ χαρά. Ἐπειδή λοιπόν τίποτε δέ φαίνεται στούς ἀνθρώπους νά εἶναι τόσο αἰσχρό, ὅσο τό νά λαμβάνουν ἀπό ἄλλους, ἄν δέν ἐξαφανίσεις μέ τήν ὑπερβολική χαρά τήν ὑποψία καί δέ δείξεις ὅτι λαμβάνεις μᾶλλον παρά δίνεις, περισσότερο ταπείνωσες παρά ἀνακούφισες ἐκεῖνον πού λαμβάνει. Γι' αὐτό λέγει, «ἐκεῖνος πού ἐλεεῖ, ἄς ἐλεεῖ μέ χαρά». Γιατί ποιός λαμβάνει βασιλεία καί εἶναι σκυθρωπός; Ποιός δέχεται συγχώρηση ἁμαρτημάτων καί παραμένει κατηφής; Μή προσέχεις λοιπόν στή δαπάνη τῶν χρημάτων, ἀλλά στό κέρδος πού ἔρχεται ἀπό τή δαπάνη. Γιατί, ἄν ἐκεῖνος πού σπέρνει χαίρεται, παρ' ὅλο βέβαια πού σπέρνει πάνω στήν ἀβεβαιότητα, πολύ περισσότερο πρέπει νά χαίρεται ἐκεῖνος πού καλλιεργεῖ τόν οὐρανό. Ἔτσι καί ἄν ἀκόμη δώσεις λίγα, θά δώσεις πολλά· ὅπως πάλι, ἄν δώσεις μέ σκυθρωπό ὕφος, καί ἄν ἀκόμη δώσεις πολλά, ἔκανες λίγα τά πολλά. Ἔτσι καί ἡ χήρα μέ δύο λεπτά ξεπέρασε πολλά τάλαντα, γιατί ἦταν γενναιόδωρη ἡ διάθεσή της.

Καί πῶς εἶναι δυνατό, λέγει, νά κάνει κανείς μέ προθυμία αὐτό, ὅταν ζεῖ μέσα στή χειρότερη φτώχεια καί στερεῖται τά πάντα; Ρώτησε τή χήρα, καί θ' ἀκούσεις τόν τρόπο καί θά μάθεις ὅτι δέν κάνει τή δυσχέρεια ἡ φτώχεια, ἀλλ' ἡ διάθεση κάνει καί αὐτό καί τό ἀντίθετο. Γιατί μπορεῖ κανείς καί στή φτώχεια νά εἶναι μεγαλόψυχος καί στόν πλοῦτο μικρολόγος. Γι' αὐτό καί στή μετάδοση ἀγαθῶν ζητάει τή γενναιοδωρία καί στήν ἐλεημοσύνη τή χαρά καί στήν προστασία τό ζῆλο. Γιατί δέ θέλει νά βοηθοῦμε μόνο μέ χρήματα ἐκείνους πού ἔχουν ἀνάγκη, ἀλλά καί μέ λόγια καί μέ πράγματα καί μέ τό σῶμα καί μέ ὅλα τά ἄλλα. Καί ἀφοῦ εἶπε τήν πρώτη προστασία πού γίνεται μέ τή διδασκαλία καί μέ τή νουθεσία (γιατί αὐτή εἶναι πιό ἀναγκαία, ἀφοῦ εἶναι καί τροφή τῆς ψυχῆς), ἦρθε στήν προστασία πού γίνεται μέ τά χρήματα καί ὅλα τά ἄλλα.

Εἶτα δεικνὺς πῶς ἂν ταῦτα κατορθωθείη, τὴν μητέρα αὐτῶν εἰσάγει, τὴν ἀγάπην. «Ἡ ἀγάπη γάρ», φησίν, «ἀνυπόκριτος». Ἂν ταύτην ἔχῃς, οὐ δαπάνης αἰσθήσῃ χρημάτων, οὐ πόνου σωμάτων, οὐ μόχθου λόγων, οὐχ ἱδρῶτος καὶ διακονίας, ἀλλὰ πάντα οἴσεις γενναίως, κἂν σώματι, κἂν χρήμασι, κἂν λόγῳ, κἂν ἑτέρῳ ὁτῳοῦν βοηθῆσαι δέῃ τῷ πλησίον. Ὥσπερ οὖν οὐ μετάδοσιν ἀπαιτεῖ μόνον, ἀλλὰ τὴν ἐν ἁπλότητι, οὐδὲ προστασίαν, ἀλλὰ τὴν μετὰ σπουδῆς, οὐδὲ ἐλεημοσύνην, ἀλλὰ τὴν μετὰ ἱλαρότητος· οὕτω καὶ ἀγάπην οὐχ ἁπλῶς, ἀλλὰ τὴν ἀνυπόκριτον· ἐπεὶ καὶ τοῦτο ἀγάπη· κἂν τοῦτο γένηται, πάντα τὰ ἄλλα ἕπεται. Καὶ γὰρ ὁ ἐλεῶν, ἱλαρῶς ἐλεεῖ· ἑαυτῷ γὰρ δίδωσι· καὶ ὁ προϊστάμενος, σπουδαίως προΐσταται· ἑαυτοῦ γὰρ προΐσταται· καὶ ὁ μεταδιδούς, μετὰ δαψιλείας τοῦτο ποιεῖ· ἑαυτῷ γὰρ παρέχει.

2. *Εἶτα ἐπειδή ἐστι καὶ ἀγάπη ἐπὶ πονηροῖς πράγμασιν, οἵα ἡ τῶν ἀκολάστων ἐστίν, ἡ τῶν ἐπὶ χρήμασι καὶ ἁρπαγαῖς ὁμονοούντων, ἡ τῶν ἐπὶ μέθαις καὶ συμποσίοις, ἐκκαθαίρων αὐτὴν ἀπὸ τούτων, φησίν· «ἀποστυγοῦντες τὸ πονηρόν». Καὶ οὐκ εἶπεν, ἀπεχόμενοι, ἀλλὰ μισοῦντες, καὶ οὐχ ἁπλῶς μισοῦντες, ἀλλὰ καὶ σφόδρα μισοῦντες. Τὸ γάρ, 'ἀπό', τοῦτο, ῥῆμα πολλαχοῦ ἐπιτάσεώς ἐστι παρ' αὐτῷ· ὡς ὅταν λέγῃ ἀποκαραδοκίαν, καὶ ἀπεκδεχόμενοι, καὶ ἀπολύτρωσιν. Ἐπειδὴ γὰρ πολλοὶ καὶ μὴ πράττοντες τὰ κακά, ὅμως τὴν ἐπιθυμίαν αὐτῶν ἔχουσι, διὰ τοῦτο εἶπεν, «ἀποστυγοῦντες». Αὐτὸς γὰρ καὶ τὴν διάνοιαν καθαρεύειν βούλεται, καὶ πολλὴν ἡμᾶς ἔχθραν ἔχειν πρὸς τὴν κακίαν, καὶ μῖσος καὶ πόλεμον. Μὴ γάρ, ἐπειδὴ εἶπον, φησίν, «ἀγαπήσατε ἀλλήλους», νομίσητε μέχρι τούτου λέγειν, ὡς καὶ ἐν τοῖς πονηροῖς συμπράττειν ἀλλήλοις· τοὐναντίον γὰρ ἅπαν νομοθετῶ· οὐ μόνον τῆς πράξεως, ἀλλὰ καὶ τῆς διαθέσεως τῆς περὶ τὴν κακίαν ἀλλότριον εἶναι· καὶ οὐ μόνον τῆς διαθέσεως αὐτῆς ἀλλότριον εἶναι, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς αὐτὴν ἀποστρέφεσθαι καὶ μισεῖν.*

Ἔπειτα γιά νά δείξει πῶς μπορεῖ νά κατορθωθοῦν αὐτά, παρουσιάζει τή μητέρα τῶν ἀγαθῶν, τήν ἀγάπη. «Ἡ ἀγάπη νά εἶναι χωρίς ὑποκρισία», λέγει. Ἄν ἔχεις αὐτή, δέ θά καταλάβεις τή δαπάνη τῶν χρημάτων, οὔτε τόν κόπο τῶν σωμάτων, οὔτε τήν κούραση τῶν λόγων, οὔτε τόν ἱδρώτα καί τή διακονία, ἀλλά θά τά ὑποφέρεις ὅλα γενναῖα, εἴτε μέ τό σῶμα εἴτε μέ χρήματα εἴτε μέ λόγο εἴτε μέ ὁτιδήποτε ἄλλο πρέπει νά βοηθήσεις τόν πλησίον. Ὅπως ἀκριβῶς λοιπόν δέν ἀπαιτεῖ μόνο μετάδοση ἀγαθῶν, ἀλλά μετάδοση μέ γανναιοδωρία, οὔτε προστασία, ἀλλά προστασία μέ ζῆλο, οὔτε ἐλεημοσύνη, ἀλλά ἐλεημοσύνη μέ χαρά, ἔτσι καί δέν ἀπαιτεῖ ἁπλῶς ἀγάπη, ἀλλ' ἀγάπη χωρίς ὑποκρισία· ἐπειδή καί αὐτό ἀγάπη εἶναι, καί ἄν γίνει αὐτό, ὅλα τά ἄλλα ἀκολουθοῦν. Καθόσον ἐκεῖνος πού ἐλεεῖ, ἐλεεῖ μέ χαρά, γιατί στόν ἑαυτό του δίνει· καί ἐκεῖνος πού προΐσταται, προΐσταται μέ ζῆλο, γιατί τόν ἑαυτό του βοηθάει· καί ἐκεῖνος πού δίνει κάτι, τό κάνει αὐτό μέ γενναιοδωρία, γιατί στόν ἑαυτό του δίνει.

2. Ἔπειτα, ἐπειδή ὑπάρχει καί ἀγάπη γιά πονηρά πράγματα, ὅπως εἶναι ἡ ἀγάπη τῶν ἀκολάστων, ἡ ἀγάπη ὅσων συμφωνοῦν γιά χρήματα καί ἁρπαγές, ἤ γιά μέθες καί συμπόσια, γιά νά καθαρίσει τήν ἀγάπη ἀπ' αὐτά, λέγει· «νά μισεῖτε τό κακό». Καί δέν εἶπε, 'νά ἀπέχετε' ἀλλά, «νά μισεῖτε», καί ὄχι ἁπλῶς νά τό μισεῖτε, ἀλλά καί ὑπερβολικά νά τό μισεῖτε. Γιατί ἡ πρόθεση «ἀπό» πολλές φορές σημαίνει ἐπίταση ἐκείνου μέ τό ὁποῖο συντίθεται, ὅπως ὅταν λέγει 'ἀποκαραδοκία' καί 'ἀπεκδεχόμενοι' καί 'ἀπολύτρωση'. Ἐπειδή λοιπόν πολλοί, ἄν καί δέν πράττουν τά κακά, ἔχουν ὅπως τήν ἐπιθυμία γι' αὐτά, γι' αὐτό εἶπε, «νά τά μισεῖτε ὑπερβολικά». Γιατί αὐτός θέλει καί ἡ σκέψη μας νά εἶναι καθαρή καί νά ἔχουμε ἐμεῖς γιά τήν κακία μεγάλη ἔχθρα καί μίσος καί πόλεμο. Νά μή νομίσετε λοιπόν, ἐπειδή εἶπα, λέγει, «ν' ἀγαπήσετε ὁ ἕνας τόν ἄλλο», ὅτι ἐννοῶ μέχρι τό σημεῖο αὐτό, ὥστε καί στά κακά νά συνεργάζεστε μεταξύ σας· γιατί ἐντελῶς τό ἀντίθετο νομοθετῶ· νά εἶσαι ξένος ὄχι μόνο ἀπό τήν πράξη, ἀλλά καί ἀπό τή διάθεση γιά τήν κακία· καί ὄχι μόνο νά εἶσαι ξένος ἀπό τή διάθεση αὐτή, ἀλλά καί ὑπερβολικά νά τήν ἀποστρέφεσαι καί νά τή μισεῖς.

Καὶ οὐκ ἀρκεῖται μόνῳ τούτῳ, ἀλλὰ καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν εἰσάγει λέγων· «κολλώμενοι τῷ ἀγαθῷ». Οὐκ εἶπε, ποιοῦντες μόνον, ἀλλὰ καὶ διακείμενοι· τοῦτο γὰρ τῷ κελεῦσαι κολλᾶσθαι ἐδήλωσεν. Οὕτω καὶ ὁ Θεὸς συνάπτων τὸν ἄνδρα τῇ γυναικί, ἔλεγε· «προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ». Εἶτα καὶ αἰτίας λέγει, δι' ἃς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. «Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι». Ἀδελφοί, φησίν, ἐστέ, καὶ τὰς αὐτὰς ὠδῖνας ἐλύσατε· οὐκοῦν καὶ διὰ τοῦτο δίκαιοι ἂν εἴητε φιλεῖν ἀλλήλους. Τοῦτο καὶ Μωϋσῆς ἔλεγε τοῖς ἐν Αἰγύπτῳ μαχομένοις· «ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους;». Ὅταν μὲν οὖν περὶ τῶν ἔξω λέγῃ, «εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε», φησίν, ὅταν δὲ περὶ τῶν οἰκείων διαλέγηται, «τῇ φιλαδελφίᾳ», φησίν, «εἰς ἀλλήλους φιλόστοργοι». Ἐκεῖ μὲν γὰρ τὸ μὴ μάχεσθαι ζητεῖ, μηδὲ μισεῖν καὶ ἀποστρέφεσθαι, ἐνταῦθα δὲ καὶ τὸ φιλεῖν, καὶ οὐχ ἁπλῶς φιλεῖν, ἀλλὰ καὶ στέργειν. Οὐ γὰρ δὴ μόνον, φησίν, ἀνυπόκριτον εἶναι χρὴ τὴν ἀγάπην, ἀλλὰ καὶ ἐπιτεταμένην καὶ θερμὴν καὶ διάπυρον.

Τί γὰρ ὄφελος, ἂν ἀγαπᾷς μὲν ἀδόλως, μὴ θερμῶς δὲ ἀγαπᾷς; Διὸ καὶ εἶπεν, «εἰς ἀλλήλους φιλόστοργοι»· τουτέστι, καὶ φίλει, καὶ θερμῶς φίλει. Μὴ μένε φιλεῖσθαι παρ' ἑτέρου, ἀλλ' αὐτὸς ἐπιπήδα τούτῳ καὶ κατάρχου· οὕτω γὰρ καὶ τῆς ἐκείνου φιλίας τὸν μισθὸν καρπώσῃ. Εἰπὼν τοίνυν τὴν αἰτίαν, δι' ἣν ὀφείλομεν ἀλλήλους φιλεῖν, λέγει καὶ πῶς ἂν γένοιτο τὰ τῆς φιλίας ἀκίνητα· διὸ καὶ ἐπάγει· «τῇ τιμῇ ἀλλήλους προηγούμενοι». Οὕτω γὰρ φιλία καὶ γίνεται, καὶ γενομένη μένει. Καὶ οὐδὲν οὕτω φίλους ποιεῖ, ὡς τὸ σπουδάζειν τῇ τιμῇ νικᾶν τὸν πλησίον. Οὐ φιλία δὲ μόνον, ἀλλὰ καὶ τιμὴ μείζων ἐντεῦθεν γίνεται. Τὰ μὲν γὰρ εἰρημένα πρότερον

---

6. Γεν. 2,24.
7. Ἐξ. 2,134.
8. Ρωμ. 12,18.

Καί δέν ἀρκεῖται μόνο σ' αὐτό, ἀλλά καί τή διάπραξη τῆς ἀρετῆς ὁρίζει λέγοντας· «νά εἶστε προσηλωμένοι στό καλό». Δέν εἶπε, 'νά κάνετε μόνο', ἀλλά καί νά εἶστε συνέχεια στό καλό. Γιατί αὐτό δήλωσε μέ τό νά παραγγείλει νά εἶναι προσηλωμένοι. Ἔτσι καί ὁ Θεός, ὅταν ἕνωνε τόν ἄνδρα μέ τή γυναίκα, ἔλεγε· «θά προσηλώνεται στή γυναίκα του»[6]. Στή συνέχεια ἀναφέρει καί αἰτίες, γιά τίς ὁποῖες πρέπει ὁ ἕνας ν' ἀγαπάει τόν ἄλλο. «Στήν ἀδελφική ἀγάπη νά εἶστε φιλόστοργοι μεταξύ σας». Εἶστε ἀδελφοί, λέγει, καί γεννηθήκατε ὕστερα ἀπό τούς ἴδιους πόνους τοῦ τοκετοῦ· ἑπομένως καί γι' αὐτό θά ἦταν δίκαιο ν' ἀγαπᾶτε ὁ ἕνας τόν ἄλλο. Τό ἴδιο καί ὁ Μωυσῆς ἔλεγε σ' ἐκείνους πού μάχονταν στήν Αἴγυπτο· «Εἶστε ἀδελφοί, γιατί ἀδικεῖτε ὁ ἕνας τόν ἄλλο;»[7]. Ὅταν λοιπόν ἀναφέρεται στούς μή Χριστιανούς λέγει, «ἐάν εἶναι δυνατό, ὅσο ἐξαρτᾶται ἀπό σᾶς, νά ἔχετε εἰρηνικές σχέσεις μέ ὅλους τούς ἀνθρώπους»[8], ὅταν ὅμως μιλάει γιά τούς πιστούς λέγει· «στήν ἀδελφική ἀγάπη νά εἶστε φιλόστοργοι μεταξύ σας». Ἐκεῖ δηλαδή ζητάει τό νά μή φιλονεικοῦν, οὔτε νά μισοῦν καί ν' ἀποστρέφονται αὐτούς, ἐνῶ ἐδῶ ζητάει καί τό νά ἀγαποῦν, καί ὄχι ἁπλῶς ν' ἀγαποῦν, ἀλλά καί νά αἰσθάνονται στοργή. Γιατί δέν πρέπει, λέγει, ἡ ἀγάπη νά εἶναι μόνο χωρίς ὑποκρισία, ἀλλά νά εἶναι καί δυνατή καί ζωηρή καί ὁλόθερμη.

Γιατί ποιό τό κέρδος, ἄν ἀγαπᾶς βέβαια χωρίς δόλο, ἀλλά δέν ἀγαπᾶς μέ θέρμη; Γι' αὐτό καί εἶπε, «νά εἶστε φιλόστοργοι μεταξύ σας»· δηλαδή, καί ν' ἀγαπᾶς, καί ν' ἀγαπᾶς θερμά. Νά μήν ἀρκεῖσαι ν' ἀγαπιέσαι ἀπό ἄλλον, ἀλλ' ὁ ἴδιος νά τρέχεις σ' αὐτό καί νά κάνεις τήν ἀρχή. Γιατί ἔτσι θά κερδίσεις καί τό μισθό τῆς δικῆς του ἀγάπης. Ἀφοῦ εἶπε λοιπόν τήν αἰτία, γιά τήν ὁποία πρέπει ν' ἀγαποῦμε ὁ ἕνας τόν ἄλλο, λέγει καί πῶς θά μποροῦσε νά γίνει σταθερή ἡ ἀγάπη. Γι' αὐτό καί προσθέτει· «στήν τιμή ὁ ἕνας νά ξεπερνάει τόν ἄλλο». Γιατί ἔτσι ἡ ἀγάπη καί γίνεται καί ἀφοῦ γίνει, παραμένει. Καί τίποτε δέν κάνει τόσο φίλους, ὅσο τό νά προσπαθεῖ κανείς νά ξεπεράσει τόν πλησίον του στήν τιμή. Καί ὄχι μόνο ἀγάπη, ἀλλά καί τιμή μεγαλύτερη γίνεται ἀπό ἐδῶ. Γιατί τά ὅσα προαναφέρθη-

ἀπὸ τῆς ἀγάπης, ἡ δὲ ἀγάπη ἀπὸ τῆς τιμῆς, ὥσπερ οὖν καὶ τιμὴ ἀπὸ τῆς ἀγάπης. Εἶτα ἵνα μὴ τιμῶμεν μόνον, καὶ ἕτερόν τι πλέον ἐπιζητεῖ λέγων· «τῇ σπουδῇ μὴ ὀκνηροί». Καὶ γὰρ καὶ τοῦτο ἀγάπην τίκτει, ὅταν μετὰ τῆς τιμῆς καὶ προστασίαν ἐπιδειξώμεθα. Οὐδὲν γὰρ οὕτως ὡς τιμὴ καὶ πρόνοια τὸ φιλεῖσθαι ποιεῖ. Οὐ γὰρ ἀρκεῖ τὸ φιλεῖν, ἀλλὰ δεῖ καὶ τούτου· μᾶλλον δὲ ἐκ τοῦ φιλεῖν καὶ τοῦτο γίνεται, ὥσπερ οὖν καὶ τὸ φιλεῖν ἀπὸ τούτου διαθερμαίνεται, καὶ ἀλλήλων ἐστὶ κατασκευαστικά. Καὶ γάρ εἰσι πολλοὶ κατὰ διάνοιαν μὲν φιλοῦντες, οὐκ ὀρέγοντες δὲ χεῖρα. Διὰ τοῦτο πάντοθεν οἰκοδομεῖ τὴν ἀγάπην.

Καὶ πῶς ἂν γενοίμεθα τῇ σπουδῇ μὴ ὀκνηροί; «τῷ Πνεύματι ζέοντες». Ὅρα πῶς πανταχοῦ τὰς ἐπιτάσεις ζητεῖ. Οὐ γὰρ εἶπε, μεταδίδοτε, μόνον, ἀλλὰ μετὰ δαψιλείας, οὐδὲ προΐστασθε, ἀλλὰ μετὰ σπουδῆς, οὐδὲ ἐλεεῖτε, ἀλλ' ἱλαρῶς, οὐδὲ τιμᾶτε, ἀλλὰ προηγεῖσθε, οὐδὲ ἀγαπᾶτε, ἀλλ' ἀνυποκρίτως, οὐδὲ ἀπέχεσθε τῶν κακῶν, ἀλλὰ μισεῖτε, οὐδὲ ἔχεσθε τῶν ἀγαθῶν, ἀλλὰ κολλᾶσθε, οὐδὲ φιλεῖτε, ἀλλὰ φιλοστόργως, οὐδὲ σπουδάζετε, ἀλλὰ μὴ ὀκνηρῶς, οὐδὲ τὸ πνεῦμα ἔχετε, ἀλλὰ ζέον τὸ πνεῦμα, τουτέστιν, ἵνα ἦτε θερμοὶ καὶ διεγηγερμένοι. Ἐὰν γὰρ ἐκεῖνα ἔχῃς τὰ προειρημένα, ἐπισπάσῃ τὸ Πνεῦμα· ἐὰν μένῃ τοῦτο παρὰ σοί, καὶ πρὸς ἐκεῖνά σε σπουδαῖον ἐργάσεται, καὶ πάντα εὔκολα ἀπὸ τοῦ Πνεύματος καὶ τῆς ἀγάπης ἔσται, ἑκατέρωθέν σου πεπυρωμένου. Οὐχ ὁρᾷς τοὺς ταύρους τοὺς φλόγα ἐπὶ τοῦ νώτου φέροντας, πῶς πᾶσίν εἰσιν ἀφόρητοι; Οὕτω καὶ σὺ τῷ διαβόλῳ ἀφόρητος ἔσῃ, ἂν ἑκατέραν λάβῃς τὴν φλόγα. «Τῷ Κυρίῳ δουλεύοντες». Διὰ γὰρ τούτων ἁπάντων ἔστι δουλεῦσαι τῷ Θεῷ. Ὅσα γὰρ ἂν ποιήσῃς εἰς τὸν ἀδελφόν, εἰς τὸν δεσπότην σου διαβαίνει· καὶ ὡς αὐτὸς εἶ πεπονθώς, οὕτω σοι τὸν μισθὸν λογιεῖται. Εἶδες ποῦ τὸ φρόνημα ἀνήνεγκε τοῦ ταῦτα ἐργαζομένου;

καν προέρχονται ἀπό τήν ἀγάπη, ἀλλ' ἡ ἀγάπη γίνεται ἀπό τήν τιμή, ὅπως ἀκριβῶς λοιπόν καί ἡ τιμή ἀπό τήν ἀγάπη. Στή συνέχεια, γιά νά μήν τιμοῦμε μόνο, ἀπαιτεῖ καί κάτι ἄλλο παραπάνω λέγοντας· «στό ζῆλο νά μήν εἶστε ὀκνηροί». Γιατί πραγματικά καί αὐτό γεννάει ἀγάπη, ὅταν μαζί μέ τήν τιμή δείξουμε καί φροντίδα γιά κάποιον. Καθόσον τίποτε δέν συμβάλλει τόσο στό ν' ἀγαπιέται κανείς, ὅσο ἡ τιμή καί ἡ φροντίδα. Γιατί δέ φθάνει τό ν' ἀγαπάει, ἀλλά χριεάζεται καί αὐτό. Ἤ καλύτερα, ἀπό τήν ἀγάπη γίνεται καί αὐτό, ὅπως ἀκριβῶς λοιπόν καί ἡ ἀγάπη ἀπ' αὐτό διαθερμαίνεται, καί τό ἕνα δημιουργεῖ τό ἄλλο. Καθόσον ὑπάρχουν πολλοί πού ἀγαποῦν μέ τή σκέψη τους, ἀλλά δέν ἁπλώνουν τό χέρι γιά βοήθεια. Γι' αὐτό ἀπό παντοῦ οἰκοδομεῖ τήν ἀγάπη.

Καί πῶς θά ἦταν δυνατό νά μή γίνουμε ὀκνηροί στό ζῆλο; «Μέ τό νά εἴμαστε θερμοί κατά τό πνεῦμα». Πρόσεχε πῶς παντοῦ ζητάει τίς ἐπιτάσεις. Γιατί δέν εἶπε μόνο, νά δίνετε κάτι, ἀλλά μέ ἀφθονία, οὔτε νά εἶστε προϊστάμενοι, ἀλλά μέ ζῆλο, οὔτε νά ἐλεεῖτε, ἀλλά μέ χαρά, οὔτε νά τιμᾶτε, ἀλλά νά ξεπερνᾶτε τούς ἄλλους, οὔτε ν' ἀγαπᾶτε, ἀλλά χωρίς ὑποκρισία, οὔτε νά ἀπέχετε ἀπό τά κακά, ἀλλά νά τά μισεῖτε, οὔτε νά ἐπιδιώκετε τά ἀγαθά, ἀλλά νά προσηλώνεστε σ' αὐτά, οὔτε νά ἀγαπᾶτε, ἀλλά φιλόστοργα, οὔτε νά εἶστε πρόθυμοι, ἀλλ' ὄχι μέ ὀκνηρία, οὔτε νά ἔχετε τό πνεῦμα, ἀλλά τό θερμό πνεῦμα, δηλαδή, γιά νά εἶστε θερμοί καί σέ ἐγρήγορση. Ἐάν λοιπόν ἔχεις ἐκεῖνα πού προαναφέρθηκαν θά προσελκύσεις τό Πνεῦμα· ἐάν παραμένει αὐτό κοντά σου, καί πρός ἐκεῖνα θά σέ κάμει νά τρέξεις, καί ὅλα ἀπό τό Πνεῦμα καί τήν ἀγάπη θά εἶναι εὔκολα, ἀφοῦ καί ἀπό τίς δύο μεριές θά εἶσαι πυρωμένος. Δέ βλέπεις πῶς οἱ ταῦροι, πού ἔχουν ἐπάνω στή ράχη τους τή φλόγα, εἶναι σέ ὅλους ἀφόρητοι; Ἔτσι καί σύ θά εἶσαι ἀφόρητος στό διάβολο, ἄν λάβεις καί ἀπό τίς δύο μεριές τή φλόγα. «Ὑπηρετώντας τόν Κύριο». Μέ ὅλα αὐτά δηλαδή εἶναι δυνατό νά ὑπηρετήσεις τό Θεό. Γιατί, ὅσα κάνεις στόν ἀδελφό σου, πηγαίνουν στόν Κύριό σου, καί εὐεργετούμενος αὐτός, ἀμέσως σοῦ λογαριάζει τό μισθό. Εἶδες ποῦ ὁδήγησε τό φρόνημα ἐκείνου πού κάνει αὐτά;

Εἶτα δεικνὺς πῶς ἂν ἀναφθείη τοῦ Πνεύματος ἡ φλόξ, φησί· «τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες». Ταῦτα γὰρ πάντα ὑπεκκαύματά ἐστι τοῦ πυρὸς ἐκείνου. Ἐπειδὴ γὰρ καὶ χρημάτων δαπάνην ἀπήτησε, καὶ σωμάτων πόνον, καὶ προστασίαν καὶ σπουδὴν καὶ διδασκαλίαν, καὶ τὰ ἄλλα τὰ ἐπίπονα, ἀλείφει πάλιν τὸν ἀθλητὴν μετὰ τῆς ἀγάπης, μετὰ τοῦ Πνεύματος, διὰ τῆς ἐλπίδος. Οὐδὲν γὰρ οὕτως ἀνδρείαν καὶ παράβολον πρὸς ἅπαντα ποιεῖ τὴν ψυχήν, ὡς ἐλπὶς χρηστή. Εἶτα καὶ πρὸ τῶν ἐλπιζομένων ἀγαθῶν ἕτερον πάλιν δίδωσιν ἔπαθλον. Ἐπειδὴ γὰρ ἡ ἐλπὶς τῶν μελλόντων ἦν, φησί, «τῇ θλίψει ὑπομένοντες». Καὶ γὰρ πρὸ τῶν μελλόντων, ἐν τῷ παρόντι μέγα καρπώσῃ καλὸν ἀπὸ τῆς θλίψεως, τὸ καρτερικὸς καὶ δόκιμος γίνεσθαι. Μετὰ δὲ τούτου καὶ ἑτέραν παρέχει βοήθειαν, λέγων, «τῇ προσευχῇ προσκαρτεροῦντες». Ὅταν οὖν καὶ ἀγάπη εὔκολον ποιῇ, καὶ πνεῦμα βοηθῇ, καὶ ἐλπὶς κουφίζῃ, καὶ θλῖψις δόκιμον ἐργάζηται καὶ ἐπιτήδειον πρὸς τὸ φέρειν πάντα γενναίως, καὶ ἔχῃς μετὰ τούτων καὶ ἕτερον ὅπλον μέγιστον, τὴν προσευχὴν καὶ τὴν ἀπὸ τῆς δεήσεως βοήθειαν, τί λοιπὸν ἔσται ἐπίπονον τῶν ἐπιταττομένων; Οὐδέν. Εἶδες πῶς πανταχόθεν ἔστησε τὸν ἀθλητήν, καὶ πολὺ κοῦφα ἔδειξε τὰ ἐπιτάγματα;

Σκόπει πάλιν πῶς τῆς ἐλεημοσύνης, ἐπιλαμβάνεται· μᾶλλον δὲ οὐχ ἁπλῶς ἐλεημοσύνης, ἀλλὰ τῆς εἰς τοὺς ἁγίους. Ἄνω μὲν γὰρ εἰπών, «ὁ ἐλεῶν, ἐν ἱλαρότητι», πᾶσι τὴν χεῖρα ἀνέῳξεν· ἐνταῦθα μέντοι ὑπὲρ τῶν πιστῶν φησι. Διὸ καὶ ἐπάγει λέγων, «ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες». Οὐκ εἶπε, παρέχετε αὐτῶν ταῖς χρείαις ἀλλὰ κοινωνεῖτε αὐτῶν ταῖς χρείαις, δεικνὺς ὅτι μείζονα λαμβάνουσιν ἢ διδόασι, καὶ ὅτι ἐμπορία τὸ πρᾶγμά ἐστι· κοινωνία γάρ ἐστιν. Εἰσφέρεις σὺ χρήματα; Εἰσφέρουσί σοι παρρησίαν τὴν πρὸς τὸν Θεὸν ἐκεῖνοι. «Τὴν φιλοξενίαν διώκοντες». Οὐκ εἶπεν, ἐργαζόμενοι, ἀλλά, «διώκοντες», παιδεύων ἡμᾶς μὴ ἀναμένειν

Στή συνέχεια, γιά νά δείξει πῶς μπορεῖ ν' ἀναφθεῖ ἡ φλόγα τοῦ Πνεύματος, λέγει· «Νά χαίρεστε γιά τήν ἐλπίδα σας, νά ἔχετε ὑπομονή στή θλίψη, νά ἐπιμένετε στήν προσευχή». Γιατί ὅλα αὐτά εἶναι προσανάμματα τῆς φωτιᾶς ἐκείνης. Ἐπειδή δηλαδή ἀπαίτησε καί δαπάνη χρημάτων καί σωματικό κόπο καί προστασία καί ζῆλο καί διδασκαλία καί τά ἄλλα τά ἐπίπονα, προετοιμάζει πάλι τόν ἀθλητή μέ τήν ἀγάπη, μέ τό Πνεῦμα, μέ τήν ἐλπίδα. Γιατί τίποτε δέν κάνει τήν ψυχή τόσο γενναία καί τολμηρή σ' ὅλα, ὅσο ἡ ἀγαθή ἐλπίδα. Ἔπειτα καί πρίν ἀπό τά ἐλπιζόμενα ἀγαθά δίνει πάλι ἄλλο ἔπαθλο. Ἐπειδή δηλαδή ἡ ἐλπίδα ἀνῆκε στά μελλοντικά, λέγει, «νά ἔχετε ὑπομονή στή θλίψη». Γιατί καί πρίν ἀπό τά μελλοντικά, θά κερδίσεις στό παρόν μεγάλο καλό ἀπό τή θλίψη, τό νά γίνεσαι καρτερικός καί δόκιμος. Καί μαζί μ' αὐτό δίνει καί ἄλλη βοήθεια λέγοντας, «νά ἐπιμένετε στήν προσευχή». Ὅταν λοιπόν καί ἡ ἀγάπη κάνει εὔκολο τό πράγμα, καί τό Πνεῦμα βοηθάει, καί ἡ ἐλπίδα ἐλαφρύνει, καί ἡ θλίψη σέ κάνει δόκιμο καί ἱκανό γιά νά τά ὑποφέρεις ὅλα γενναῖα, καί ἔχεις μαζί μ' αὐτά καί ἄλλο ὅπλο πάρα πολύ μεγάλο, τήν προσευχή καί τή βοήθεια ἀπό τήν παράκληση, ποιό ἀπό τά προστάγματα πλέον θά εἶναι δύσκολο; Κανένα. Εἶδες πῶς ἀπό παντοῦ στήριξε τόν ἀθλητή καί ἔδειξε πολύ ἐλαφρά τά προστάγματα;

Πρόσεχε πάλι πῶς καταπιάνεται μέ τήν ἐλεημοσύνη, ἤ καλύτερα, ὄχι ἁπλῶς μέ τήν ἐλεημοσύνη, ἀλλά μέ τήν ἐλεημοσύνη στούς Χριστιανούς. Γιατί μέ τό νά πεῖ παραπάνω, «ἐκεῖνος πού ἐλεεῖ, ἄς ἐλεεῖ μέ χαρά», ἄνοιξε τό χέρι σ' ὅλους· ἐδῶ ὅμως ὁμιλεῖ γιά ἐλεημοσύνη ὑπέρ τῶν πιστῶν. Γι' αὐτό καί προσθέτει λέγοντας· «νά συμμετέχετε στίς ἀνάγκες τῶν Χριστιανῶν». Δέν εἶπε 'νά δίνετε στίς ἀνάγκες τους', ἀλλά, «νά μετέχετε στίς ἀνάγκες τους», δείχνοντας ὅτι μεγαλύτερα παίρνουν παρά δίνουν, καί ὅτι τό πράγμα εἶναι ἐμπορία· γιατί εἶναι κοινωνία. Προσφέρεις ἐσύ χρήματα; Σοῦ προσφέρουν ἐκεῖνοι τήν παρρησία πρός τό Θεό. «Νά ἐπιδιώκετε τή φιλοξενία». Δέν εἶπε, 'νά ἐκτελεῖτε', ἀλλά, «νά ἐπιδιώκετε», διδάσκοντάς μας νά μήν περιμένουμε πότε νά ἔρθουν σ' ἐμᾶς ἐκεῖνοι πού

τοὺς δεομένους, πότε πρὸς ἡμᾶς ἔλθωσιν, ἀλλ' αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν.

3. Οὕτως ὁ Λώτ, οὕτως ὁ Ἀβραὰμ ἐποίησε. Καὶ γὰρ τὴν ἡμέραν εἰς τοῦτο ἀνάλωσεν ἀναμένων τὴν καλὴν ταύτην θήραν, καὶ ἰδὼν ἀνεπήδησε, καὶ εἰς ἀπάντησιν ἔδραμε, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε· «Κύριε, εἰ εὗρον χάριν ἐνώπιόν σου, μὴ παρέλθῃς τὸν παῖδά σου». Οὐ καθάπερ ἡμεῖς, ἐπειδὰν ἴδωμεν ξένον ἢ πένητα, τὰς ὀφρῦς ἀνασπῶμεν, καὶ οὐδὲ προσρήσεως ἀξίους αὐτοὺς εἶναι νομίζομεν· κἂν μετὰ μυρίας ἱκετηρίας μαλαχθέντες κελεύσωμεν δοῦναι τὸν οἰκέτην μικρὸν ἀργύριον, τὸ πᾶν κατωρθωκέναι νομίζομεν. Ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλ' ἱκέτου σχῆμα ἀνέλαβε καὶ οἰκέτου, καίτοιγε οὐκ εἰδὼς τίνας ἔμελλεν ὑποδέχεσθαι. Ἡμεῖς σὲ σαφῶς εἰδότες ὅτι τὸν Χριστὸν ὑποδεχόμεθα, οὐδὲ ταύτῃ γινόμεθα ἥμεροι. Ἀλλ' ἐκεῖνος μὲν καὶ παρακαλεῖ καὶ ἱκετεύει καὶ προσκυνεῖ, ἡμεῖς δὲ ὑβρίζομεν τοὺς προσιόντας ἡμῖν· καὶ ὁ μὲν δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς πάντα ἀνύει, ἡμεῖς δὲ οὐδὲ διὰ τῶν οἰκετῶν.

Εἰ δὲ καὶ τὴν τράπεζαν βουληθείης ἰδεῖν, ἣν παρέθηκε, πολλὴν καὶ ἐνταῦθα ὄψει τὴν φιλοτιμίαν· τὴν δὲ φιλοτιμίαν οὐχ ἡ περιουσία τῶν χρημάτων, ἀλλ' ὁ τῆς προαιρέσεως ἐποίει πλοῦτος. Πόσοι γοῦν τότε εὔποροι ἦσαν; Ἀλλ' οὐδεὶς τοιοῦτον οὐδὲν ἐποίησε. Πόσαι χῆραι ἦσαν ἐν τῷ Ἰσραήλ; Ἀλλ' οὐδεμία ἐξένισε τὸν Ἠλίαν. Πόσοι εὔποροι πάλιν ἦσαν ἐπὶ τοῦ Ἐλισσαίου; Ἀλλ' ἡ Σουμανῖτις τὸν καρπὸν τῆς φιλοξενίας ἐτρύγα μόνη· ὥσπερ οὖν καὶ ὁ Ἀβραὰμ τότε· ὃν μετὰ τῆς δαψιλείας καὶ τῆς προθυμίας καὶ διὰ τοῦτο μάλιστα ἄξιον θαυμάζειν, ὅτι μηδὲ εἰδὼς τίνες ἦσαν οἱ παραγεγονότες, ταῦτα ἐποίει. Μὴ τοίνυν μηδὲ σὺ πολυπραγμόνει· διὰ γὰρ τὸν Χριστὸν δέχῃ· κἂν μέλλῃς ἀεὶ περιεργάζεσθαι, πολλάκις καὶ δόκιμον ἄνδρα παραδραμῇ, καὶ τὸν ἐκ τούτου μισθὸν ἀπο-

---

[1] Γεν. 18,3.

ἔχουν ἀνάγκη, ἀλλά νά τρέχουμε πίσω τους καί νά τούς καταδιώκουμε.

3. Αὐτό ἔκανε ὁ Λώτ, αὐτό ἔκανε ὁ Ἀβραάμ. Καθόσον τήν ἡμέρα τήν ξόδεψε σ' αὐτό, περιμένοντας τό καλό αὐτό κυνήγι, καί ὅταν τό εἶδε ἀναπήδησε καί ἔτρεξε νά τό συναντήσει, καί προσκύνησε μέχρι τό ἔδαφος, καί εἶπε· «Κύριε, ἄν βρῆκα χάρη ἐνώπιόν σου, μήν περιφρονήσεις τό δοῦλο σου»[9]. Ὄχι ὅπως ἐμεῖς, ὅταν δοῦμε κάποιον ξένο ἤ φτωχό, κατεβάζουμε τά φρύδια μας καί δέν τούς θεωροῦμε ἄξιους οὔτε γιά χαιρετισμό. Καί ἄν ὕστερα ἀπό χίλια παρακάλια μαλακώσουμε καί διατάξουμε τόν ὑπηρέτη νά δώσει λίγα χρήματα, νομίζουμε πώς κατορθώσαμε τό πᾶν. Ὅμως ἐκεῖνος δέν συμπεριφερόταν ἔτσι, ἀλλά πῆρε τή θέση τοῦ ἱκέτη καί τοῦ ὑπηρέτη, ἄν καί βέβαια δέν ἤξερε ποιούς ἐπρόκειτο νά ὑποδεχθεῖ. Ἐμεῖς ὅμως, ἄν καί γνωρίζουμε καλά ὅτι ὑποδεχόμαστε τό Χριστό, οὔτε ἔτσι γινόμαστε μαλακοί. Ἀλλ' ἐκεῖνος βέβαια καί παρακαλεῖ καί ἱκετεύει καί προσκυνεῖ, ἐνῶ ἐμεῖς βρίζουμε ἐκείνους πού μᾶς πλησιάζουν· καί ἐκεῖνος τά καταφέρνει ὅλα μόνος του καί μέ τή γυναίκα του, ἐνῶ ἐμεῖς δέν τά καταφέρνουμε οὔτε μέ τούς ὑπηρέτες μας.

Ἐάν ὅμως θά ἤθελες νά δεῖς καί τό τραπέζι πού παρέθεσε, θά δεῖς καί ἐδῶ πολλή γενναιοδωρία. Τή γενναιοδωρία ὅμως δέν τήν ἔκανε ἡ ἀφθονία τῶν χρημάτων, ἀλλ' ὁ πλοῦτος τῆς διαθέσεως. Πόσοι λοιπόν πλούσιοι ὑπῆρχαν τότε; Ἀλλά κανένας δέν ἔκαμε τίποτε παρόμοιο. Πόσες χῆρες ὑπῆρχαν στό Ἰσραήλ; Καμιά ὅμως δέ φιλοξένησε τόν Ἠλία. Πόσοι πλούσιοι πάλι ὑπῆρχαν στήν ἐποχή τοῦ Ἐλισσαίου; Ἀλλ' ἡ Σουμανίτιδα τρυγοῦσε μόνη της τόν καρπό τῆς φιλοξενίας, ὅπως βέβαια καί ὁ Ἀβραάμ τότε, τόν ὁποῖο ἀξίζει νά θαυμάζουμε μαζί μέ τήν ἀφθονία τῶν ἀγαθῶν καί γιά τήν προθυμία, καί ἰδίως γι' αὐτό, ὅτι δηλαδή ἔκανε αὐτά ἄν καί δέ γνώριζε ποιοί ἦταν οἱ ἐπισκέπτες. Μή λοιπόν πολυεξετάζεις καί σύ, γιατί δέχεσαι ἐξ αἰτίας τοῦ Χριστοῦ. Καί ἄν θελήσεις νά περιεργάζεσαι πάντοτε, πολλές φορές θά παραλείψεις καί δόκιμο ἄνδρα, καί θά χάσεις τό μισθό ἐξ αἰτίας αὐτοῦ. Ἄν καί βέβαια ἐκεῖνος πού δέχεται μή δόκιμο δέν κατηγορεῖται, ἀλλά καί μισθό ἔχει («ὅποιος δέχεται προφή-

λεῖς. Καίτοι ὁ μὲν μὴ δόκιμον δεχόμενος οὐκ ἐγκαλεῖται, ἀλλὰ καὶ μισθὸν ἔχει· «Ὁ δεχόμενος γὰρ προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται», ὁ δὲ ἐκ τῆς ἀκαίρου ταύτης πολυπραγμοσύνης τὸν θαυμαστὸν παρατρέχων, καὶ δίκην δίδωσι.

Μὴ τοίνυν βίους καὶ πράξεις πολυπραγμόνει· καὶ γὰρ ἐσχάτης τοῦτο ἀπειροκαλίας ἐστίν, ὑπὲρ ἑνὸς ἄρτου ζωὴν ὁλόκληρον περιεργάζεσθαι. Εἰ γὰρ ἀνδροφόνος οὗτος, εἰ γὰρ λῃστής, εἰ γὰρ ὁτιοῦν, ἄρτου καὶ ἀργυρίων ὀλίγων οὐ δοκεῖ σοι ἄξιος εἶναι; Ἀλλ' ὁ μὲν δεσπότης σου καὶ ἥλιον αὐτῷ ἀνατέλλει· σὺ δὲ καὶ τῆς ἐφημέρου τροφῆς ἀνάξιον αὐτὸν κρίνεις; Ἐγὼ δὲ καὶ ἑτέραν ὑπερβολὴν τίθημι. Κἂν γὰρ ἐπιστάμενος ᾖς σαφῶς, ὅτι μυρίων γέμει κακῶν, οὐδὲ οὕτως ἀπολογίαν ἕξεις τῆς ἐφημέρου τροφῆς αὐτὸν ἀποστερῶν. Ἐκείνου γὰρ δοῦλος εἶ τοῦ λέγοντος, «οὐκ οἴδατε ποίου Πνεύματός ἐστε;» ἐκείνου εἶ οἰκέτης τοῦ θεραπεύσαντος τοὺς λιθάσαντας αὐτόν· μᾶλλον δὲ τοῦ σταυρωθέντος ὑπὲρ αὐτῶν. Καὶ μή μοι λέγε, ὅτι ἕτερον ἀνεῖλε· κἂν γὰρ σεαυτὸν ἀναιρεῖν μέλλῃ, μηδὲ οὕτω λιμώττοντα περιΐδῃς. Καὶ γὰρ ἐκείνου μαθητὴς εἶ τοῦ τῶν σταυρωσάντων τὴν σωτηρίαν ποθοῦντος, τοῦ λέγοντος ἐν αὐτῷ τῷ σταυρῷ, «Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν».

Ἐκείνου δοῦλος εἶ τοῦ τὸν ῥαπίσαντα αὐτὸν θεραπεύσαντος, τοῦ τὸν ὑβρίσαντα ἐν αὐτῷ τῷ σταυρῷ στεφανώσαντος· οὗ τί γένοιτ' ἂν ἴσον; Καὶ γὰρ ἀμφότεροι παρὰ τὴν ἀρχὴν ὕβριζον αὐτὸν οἱ λῃσταί· ἀλλ' ὅμως θατέρῳ τούτων τὸν παράδεισον ἀνέῳξε. Καὶ δακρύει τοὺς μέλλοντας αὐτὸν ἀναιρεῖν, καὶ ταράττεται καὶ συγχεῖται ὁρῶν τὸν προδότην, οὐχ ὅτι σταυροῦσθαι ἔμελλεν, ἀλλ' ὅτι ἐκεῖνος ἀπώλλυτο. Ἐταράττετο τοίνυν προειδὼς τὴν ἀγχόνην, τὴν κόλασιν τὴν μετὰ τὴν ἀγχόνην. Καὶ εἰδὼς αὐτοῦ τὴν πονηρίαν, μέχρις ἐσχάτης ὥρας αὐτὸν ἔφερε, καὶ οὐ διεκρούετο, ἀλλὰ καὶ ἐφίλησε τὸν προδότην. Ὁ δεσπότης σου φιλεῖ, καὶ δέχεται χείλεσι τὸν μέλλοντα αὐτοῦ τὸ αἷμα τὸ τίμιον εὐθέως ἐκχεῖν· σὺ δὲ τὸν πένητα

---

10. Ματθ. 10,41. 11. Λουκᾶ 9,55. 12. Λουκᾶ 23,34.

τη, γιατί εἶναι προφήτης, θά λάβει μισθό προφήτη»[10]), ἐνῶ ἐκεῖνος πού ἀπό τήν ἄκαιρη αὐτή ἐξέταση παραλείπει τό θαυμαστό, ἀκόμη καί τιμωρεῖται.

Μή πολυεξετάζεις λοιπόν τούς τρόπους ζωῆς καί τίς πράξεις· καθόσον αὐτό εἶναι γνώρισμα τῆς πιό χυδαίας συμπεριφορᾶς, νά ἐξετάζεις σχολαστικά ὁλόκληρη ζωή ἐξ αἰτίας ἑνός ψωμιοῦ. Εἴτε λοιπόν εἶναι δολοφόνος αὐτός, εἴτε εἶναι ληστής, εἴτε εἶναι ὁτιδήποτε, δέ σοῦ φαίνεται ἄξιος γιά ψωμί καί λίγα χρήματα; Καί ὁ Κύριός σου καί τόν ἥλιο ἀνατέλλει σ' αὐτόν, ἐνῶ ἐσύ τόν θεωρεῖς ἀνάξιο καί γιά τήν καθημερινή τροφή; Ἐγώ ὅμως ἀναφέρω καί ἄλλη ὑπερβολή. Καί ἄν ἀκόμη δηλαδή γνωρίζεις πολύ καλά, ὅτι εἶναι γεμάτος ἀπό ἄπειρα κακά, οὔτε ἔτσι θά ἔχεις δικαιολογία, ἀφοῦ τοῦ στερεῖς τήν καθημερινή του τροφή. Γιατί εἶσαι δοῦλος ἐκείνου πού ἔλεγε, «δέ γνωρίζετε τίνος Πνεύματος εἶστε;»[11]. Εἶσαι ὑπηρέτης ἐκείνου πού θεράπευσε ἐκείνους πού τόν λιθοβόλησαν, ἤ καλύτερα ἐκείνου πού σταυρώθηκε γι' αὐτούς. Καί μή μοῦ λέγεις, ὅτι φόνευσε ἄλλον. Γιατί, καί ἄν ἀκόμη πρόκειται νά φονεύσει ἐσένα τόν ἴδιο, οὔτε ἔτσι νά τόν ἀφήνεις νά ὑποφέρει ἀπό πείνα. Καθόσον εἶσαι μαθητής ἐκείνου πού ποθοῦσε τή σωτηρία ἐκείνων πού τόν σταύρωσαν, ἐκείνου πού ἔλεγε βρισκόμενος πάνω στό σταυρό, «Πατέρα, συγχώρησέ τους, γιατί δέν ξέρουν τί κάνουν»[12].

Εἶσαι δοῦλος ἐκείνου πού θεράπευσε αὐτόν πού τόν χαστούκισε, ἐκείνου πού στεφάνωσε αὐτόν πού τόν ἔβρισε ἐνῶ βρισκόταν πάνω στό σταυρό, πράγμα μέ τό ὁποῖο τί θά μποροῦσε νά ἐξισωθεῖ; Καθόσον στήν ἀρχή καί οἱ δύο ληστές τόν ἔβριζαν, ἀλλ' ὅμως στόν ἕνα ἀπ' αὐτούς ἄνοιξε τόν παράδεισο. Καί δακρύζει γιά ἐκείνους πού πρόκειται νά τόν φονεύσουν, καί ταράζεται καί συγχίζεται βλέποντας τόν προδότη, ὄχι γιατί ἐπρόκειτο νά σταυρωθεῖ, ἀλλά γιατί χάθηκε ἐκεῖνος. Ταρασσόταν λοιπόν προβλέποντας τήν ἀγχόνη, τήν κόλαση πού ἀκολουθοῦσε μετά τήν ἀγχόνη. Καί παρ' ὅλο πού γνώριζε τήν κακία του, μέχρι τήν τελευταία ὥρα τόν ἀνεχόταν, καί δέν τόν ἀπομάκρυνε, ἀλλά καί φίλησε τόν προδότη. Ὁ Κύριός σου φιλεῖ καί δέχεται μέ τά χείλη ἐκεῖνον πού πρόκειται νά χύσει ἀμέ-

οὐδὲ ἄρτου ἀξιοῖς; καὶ οὐκ αἰδῇ τὸν νόμον, ὃν ἔθηκεν ὁ Χριστός; Διὰ γὰρ τούτων ἔδειξεν, ὅτι οὐ μόνον τοὺς πένητας, ἀλλ' οὐδὲ τοὺς ἐπὶ θάνατον ἡμᾶς ἄγοντας ἀποστρέφεσθαι δεῖ. Μὴ τοίνυν μοι τοῦτο εἴπῃς, ὅτι δεινά μοι εἰργάσατο ὁ δεῖνα, ἀλλ' ἐννόησον τί ἐποίησεν ὁ Χριστὸς πρὸς αὐτῷ τῷ σταυρῷ, διὰ τοῦ φιλήματος, οὗ προδίδοσθαι ἔμελλε, τὸν προδότην διορθούμενος. Καὶ ὅρα πῶς ἐντρεπτικῶς. «Ἰούδα γάρ», φησί, «φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου προδίδως;». Τίνα οὐκ ἂν ἐμάλαξε, τίνα οὐκ ἂν ἔκαμψεν αὕτη ἡ φωνή; ποῖον θηρίον, ποῖον ἀδάμαντα; Ἀλλ' οὐ τὸν δείλαιον ἐκεῖνον.

Μὴ τοίνυν λέγε, ὅτι τὸν δεῖνα ἐφόνευσεν ὁ δεῖνα, καὶ διὰ τοῦτο αὐτὸν ἀποστρέφομαι. Κἂν γὰρ κατὰ σοῦ μέλλῃ τὸ ξίφος ὠθεῖν, καὶ τὴν δεξιὰν βαπτίζειν εἰς αὐτὸν τὸν λαιμόν, αὐτὴν φίλησον τὴν δεξιάν· ἐπεὶ καὶ ὁ Χριστὸς τὸ στόμα ἐφίλησεν ἐκεῖνο τὸ τὴν σφαγὴν ἐργασάμενον. Καὶ σὺ τοίνυν μὴ μίσει, ἀλλὰ δάκρυε καὶ ἐλέει τὸν ἐπιβουλεύοντα· ἐλεεῖσθαι γὰρ ὁ τοιοῦτος παρ' ἡμῶν ἄξιος καὶ δακρύεσθαι. Ἐκείνου γάρ ἐσμεν οἰκέται τοῦ καὶ φιλήσαντος τὸν προδότην (οὐ γὰρ παύσομαι συνεχῶς αὐτὸ περιστρέφων), καὶ τοῦ φιλήματος ἁπαλώτερα φθεγξαμένου ῥήματα. Οὐδὲ γὰρ εἶπεν, ὦ μιαρέ, καὶ παμμίαρε, καὶ προδότα, ταύτας ἡμῖν ἀποδίδως τὰς ἀμοιβὰς τῆς τοσαύτης εὐεργεσίας; ἀλλὰ πῶς; «Ἰούδα», τὸ κύριον ὄνομα θείς, ὃ μᾶλλον ταλανίζοντος ἦν καὶ ἀνακαλοῦντος, ἢ ὀργιζομένου. Καὶ οὐκ εἶπε, 'τὸν διδάσκαλόν σου, τὸν δεσπότην σου καὶ εὐεργέτην', ἀλλά, «τὸν Υἱὸν τοῦ ἀνθρώπου». Εἰ γὰρ μὴ διδάσκαλος ἦν μηδὲ δεσπότης, τὸν οὕτως ἡμέρως, τὸν οὕτως ἀπλάστως πρὸς σὲ διακείμενον, ὡς καὶ ἐν καιρῷ τῆς προδοσίας σε φιλεῖν, καὶ ταῦτα τοῦ φιλήματος συμβόλου τῆς προδοσίας ὄντος, τοῦτον παραδίδως; Εὐλογητὸς εἶ, Κύριε· πόσης ταπεινοφροσύνης, πόσης ἀνεξικακίας ὑποδείγματα ἡμῖν ἔδωκας;

Ἀλλὰ πρὸς μὲν ἐκεῖνον οὕτω, πρὸς δὲ τοὺς ἐπελθόντας μετὰ ξύλων καὶ λαμπάδων οὐχ οὕτω; Καὶ τί γένοιτ' ἂν ἡμερώτερον τῶν

13. Λουκᾶ 22,48.

σως τό τίμιο αἷμα του, ἀλλ' ἐσύ δέν κρίνεις τό φτωχό ἄξιο οὔτε γιά ψωμί; καί δέ σέβεσαι τό νόμο πού ὅρισε ὁ Χριστός; Γιατί μ' αὐτά ἔδειξε, ὅτι ὄχι μόνο τούς φτωχούς δέν πρέπει ν' ἀποστρεφόμαστε, ἀλλ' οὔτε ἐκείνους πού μᾶς ὁδηγοῦν στό θάνατο. Μή μοῦ πεῖς λοιπόν, ὅτι ὁ τάδε μοῦ προξένησε κακά, ἀλλά σκέψου τί ἔκανε ὁ Χριστός λίγο πρίν τήν τή σταύρωσή του, μέ τό φίλημα, μέ τό ὁποῖο ἐπρόκειτο νά παραδοθεῖ, γιά νά διορθώσει τόν προδότη. Καί κοίταζε πῶς τόν ἐλέγχει. «Ἰούδα», λέγει, «μέ φίλημα παραδίνεις τόν Υἱό τοῦ ἀνθρώπου;»[13]. Ποιόν δέ θά μαλάκωνε, ποιόν δέ θά λύγιζε αὐτή ἡ φωνή; ποιό θηρίο, ποιό διαμάντι; Ἀλλά δέ λύγισε ἐκεῖνον τόν ἄθλιο.

Μή λέγεις λοιπόν, ὅτι ὁ τάδε φόνευσε τόν τάδε, καί γι' αὐτό τόν ἀποστρέφομαι. Γιατί, καί ἄν ἀκόμη πρόκειται νά βγάλει τό ξίφος ἐναντίον σου καί νά μπήξει τό δεξί του χέρι στόν ἴδιο τό λαιμό σου, φίλησε αὐτό τό χέρι, γιατί καί ὁ Χριστός φίλησε τό στόμα ἐκεῖνο πού προξένησε τή σφαγή. Καί σύ λοιπόν νά μή μισεῖς, ἀλλά νά κλαῖς καί νά σπλαχνίζεσαι ἐκεῖνον πού θέλει νά σοῦ κάνει κακό. Γιατί αὐτός εἶναι ἄξιος νά τόν σπλαχνιζόμαστε καί νά τόν κλαῖμε. Εἴμαστε λοιπόν ὑπηρέτες ἐκείνου πού φίλησε καί τόν προδότη (γιατί δέ θά σταματήσω νά τό ἐπαναλαμβάνω συνέχεια αὐτό), καί εἶπε λόγια πιό τρυφερά ἀπό τό φίλημα. Γιατί δέν εἶπε, 'μιαρέ καί παμπόνηρε καί προδότη, αὐτές τίς ἀμοιβές μᾶς δίνεις πίσω γιά τήν τόση εὐεργεσία;' ἀλλά πῶς εἶπε; «Ἰούδα», ἀναφέροντας τό κύριο ὄνομα, πού ἦταν λόγος περισσότερο ἐκείνου πού ταλανίζει καί ἐπαναφέρει στήν τάξη, παρά ἐκείνου πού ὀργίζεται. Καί δέν εἶπε, 'τό διδάσκαλό σου, τόν Κύριό σου καί εὐεργέτη σου', ἀλλά, «τόν υἱό τοῦ ἀνθρώπου». Ἐάν λοιπόν δέν ἦταν διδάσκαλος οὔτε κύριος, παραδίνεις αὐτόν, πού συμπεριφερόταν σ' ἐσένα τόσο μαλακά καί τόσο εἰλικρινά, ὥστε καί τήν ὥρα τῆς προδοσίας νά σέ φιλεῖ καί μάλιστα ὅταν τό φίλημα ἦταν τό σημάδι τῆς προδοσίας; Εὐλογητός εἶσαι Κύριε! πόσο μεγάλης ταπεινοφροσύνης, πόσο μεγάλης ἀνεξικακίας παράδειγμα μᾶς ἔδωσες!

Ἀλλά πρός τόν Ἰούδα βέβαια ἔτσι μίλησε, πρός ἐκείνους ὅμως πού ἦρθαν ἐναντίον του μέ ξύλα καί λαμπάδες δέ μίλησε ἔτσι;

ρημάτων τῶν καὶ πρὸς ἐκείνους εἰρημένων; Δυνάμενος γὰρ αὐτοὺς ἀθρόον ἀφανίσαι πάντας, τούτων μὲν ἐποίησεν οὐδέν, ἐντρεπτικῶς δὲ αὐτοῖς διαλέγεται λέγων· «τί ἐξήλθετε, ὡς ἐπὶ λῃστήν, μετὰ μαχαιρῶν καὶ ξύλων»; Καὶ ρίψας ὑπτίους, ἐπειδὴ ἔμενον ἀναισθητοῦντες, ἑκὼν πάλιν ἑαυτὸν ἐξεδίδου, καὶ ἠνείχετο δεσμὰ περιβάλλοντας ὁρῶν ταῖς ἁγίαις χερσί, δυνάμενος ὁμοῦ πάντα κλονῆσαι καὶ ρῖψαι κάτω. Ἀλλὰ σὺ καὶ μετὰ ταῦτα ἀγριαίνεις πρὸς τὸν πένητα. Καίτοιγε εἰ καὶ μυρίων ἐστὶν ἔνοχος κακῶν, ἡ ἔνδεια καὶ ὁ λιμὸς ἱκανὰ τὴν μὴ σφόδρα πεπωρωμένην καταμαλάξαι ψυχήν. Σὺ δὲ ἕστηκας ἐκτεθηριωμένος, καὶ λεόντων μιμούμενος θυμούς· καίτοι γε ἐκεῖνοι οὐκ ἄν ποτε νεκρῶν ἀπογεύσαιντο σωμάτων, σὺ δὲ τοσούτοις ὁρῶν τεταριχευμένον κακοῖς, ἐπεμβαίνεις κειμένῳ, καὶ δαρδάπτεις τὸ σῶμα διὰ τῶν ὕβρεων, καὶ χειμῶνα ἐπὶ χειμῶνι συνάγεις, καὶ τὸν εἰς λιμένα καταφυγόντα σκοπέλῳ προσαράξαι ποιεῖς, καὶ ναυάγιον ἐργάζῃ τῶν ἐν τῇ θαλάσσῃ χαλεπώτερον.

Καὶ πῶς ἐρεῖς τῷ Θεῷ, ἐλέησόν με; καὶ ἁμαρτημάτων αἰτεῖς συγχώρησιν, τὸν οὐδὲν ἁμαρτόντα ὑβρίζων, καὶ δίκην ὑπὲρ λιμοῦ καὶ ἀνάγκης τοσαύτης ἀπαιτῶν, καὶ τὰ θηρία ἅπαντα ἀποκρύπτων τῇ ὠμότητι; Ἐκεῖνα μὲν γάρ, τῆς γαστρὸς καταναγκαζούσης, ἅπτεται τῆς αὐτοῖς νενομισμένης τροφῆς, σὺ δέ, οὐδενὸς ὠθοῦντος οὐδὲ καταναγκάζοντος, κατεσθίεις τὸν ἀδελφόν, δάκνων, σπαράττων, εἰ καὶ μὴ τοῖς ὀδοῦσιν, ἀλλὰ ρήμασι δηγμάτων χαλεπωτέροις. Πῶς οὖν δέξῃ τὴν ἱερὰν προσφοράν, αἵμασι ἀνθρωπίνοις φοινίξας τὴν γλῶτταν; πῶς δίδως εἰρήνην, πολέμου γέμοντι στόματι; πῶς δὲ τῆς αἰσθητῆς ἀπολαύσεις τροφῆς, ἰὸν τοσοῦτον συνάγων; Οὐ διορθοῦσαι τὴν πενίαν· τί καὶ ἐπιτρίβεις; Οὐκ ἀνιστᾷς κείμενον· τί καὶ

14. Ματθ. 26,55.

Καί τί θά μποροῦσε νά ὑπάρξει πιό τρυφερό ἀπό τά λόγια πού λέχθηκαν καί πρός ἐκείνους; Γιατί, ἐνῶ μποροῦσε νά τούς ἐξαφανίσει ἀμέσως ὅλους, δέν ἔκαμε τίποτε ἀπ' αὐτά, ἀλλά τούς μίλησε μέ σκοπό νά τούς ἐλέγξει λέγοντας· «γιατί βγήκατε, σάν νά πρόκειται γιά ληστή, μέ μαχαίρια καί ξύλα;»[14]. Καί ἀφοῦ τούς ἔρριξε κάτω, ἐπειδή ἐξακολουθοῦσαν νά εἶναι ἀναίσθητοι, μέ τή θέλησή του πάλι παραδινόταν, καί ἀνεχόταν νά βλέπει νά περνοῦν ἁλυσίδες στά ἅγια χέρια του, ἄν καί μποροῦσε ὅλα μαζί νά τά συγκλονήσει καί νά τά ρίξει κάτω. Ἐσύ ὅμως καί ὕστερα ἀπ' αὐτά συμπεριφέρεσαι ἄγρια πρός τό φτωχό. Καί βέβαια καί ἄν ἀκόμη εἶναι ἔνοχος γιά ἄπειρα κακά, ἡ φτώχεια καί ἡ πείνα εἶναι ἱκανά νά μαλακώσουν ἐκείνη τήν ψυχή πού δέν εἶναι ὑπερβολικά πωρωμένη. Ἀλλ' ἐσύ ἐξακολουθεῖς νά εἶσαι ἄγριος καί νά μιμεῖσαι τούς θυμούς τῶν λιονταριῶν· ἄν καί βέβαια αὐτά δέ θά ἔτρωγαν ποτέ νεκρά σώματα, ἐσύ ὅμως παρ' ὅλο πού τόν βλεπεις νά εἶναι ταριχευμένος μέ τόσα κακά, πατᾶς ἐπάνω του ἐνῶ εἶναι πεσμένος, κατασπαράζεις τό σῶμα του μέ τίς ὕβρεις, μαζεύεις συμφορά ἐπάνω στή συμφορά, καί ἐκεῖνον πού κατέφυγε στό λιμάνι τόν κάνεις νά χτυπήσει σέ σκόπελο καί προκαλεῖς πιό φοβερό ναυάγιο ἀπ' αὐτούς πού βρίσκονται στή θάλασσα. Καί πῶς θά πεῖς στό Θεό, ἐλέησέ με;

Καί πῶς ζητᾶς συγχώρηση τῶν ἁμαρτημάτων, ὅταν βρίζεις ἐκεῖνον πού δέν ἁμάρτησε καθόλου, καί ἀπαιτεῖς τιμωρία γιά τήν πείνα καί τήν τόσο μεγάλη ἀνάγκη, καί ξεπερνᾶς στήν ἀγριότητα ὅλα τά θηρία; Γιατί αὐτά, ἐπειδή τά ἐξαναγκάζει ἡ κοιλιά, τρώγουν τήν τροφή πού εἶναι συνηθισμένη σ' αὐτά, ἐνῶ σύ, χωρίς νά σέ παρακινεῖ κανείς οὔτε νά σέ ἐξαναγκάζει, κατατρώγεις τόν ἀδελφό σου δαγκώνοντας καί σπαράζοντας αὐτόν, ἄν καί ὄχι μέ τά δόντια, ἀλλά μέ λόγια πιό φοβερά ἀπό τά δαγκώματα. Πῶς λοιπόν θά δεχθεῖς τήν ἱερή προσφορά, ἀφοῦ ἔβαψες κόκκινη τή γλώσσα σου μέ ἀνθρώπινα αἵματα; Πῶς δίνεις εἰρήνη μέ στόμα πού εἶναι γεμάτο πόλεμο; καί πῶς θ' ἀπολαύσεις τήν ὑλική τροφή, ὅταν μαζεύεις τόσο πολύ δηλητήριο; Δέ διορθώνεις τή φτώχεια; γιατί καί τήν ἐρεθίζεις; Δέν ἀνακουφίζεις κάποιον πού βρίσκεται σέ ἄθλια κατάστα-

καταβάλλεις; Οὐκ ἀναιρεῖς τὴν ἀθυμίαν· τί καὶ ἐπιτείνεις; Οὐ δίδως χρήματα· τί καὶ ὑβρίζεις ρήμασιν; Οὐκ ἤκουσας ὅσην διδόασι δίκην οἱ μὴ τρέφοντες τοὺς πένητας; ποίαις τιμωρίαις καταδικάζονται; «Πορεύεσθε γάρ», φησίν, «εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Εἰ δὲ οἱ μὴ τρέφοντες οὕτω καταδικάζονται, τίνα δώσουσι δίκην οἱ μετὰ τοῦ μὴ τρέφειν καὶ ὑβρίζοντες; πόσην ὑποστήσονται κόλασιν, πόσην γέενναν;

Ἵν' οὖν μὴ τοσαῦτα ἐξάψωμεν καθ' ἑαυτῶν κακά, ἕως ἐσμὲν κύριοι, καὶ τὸ πονηρὸν τοῦτο νόσημα διορθώσωμεν, καὶ τῇ γλώττῃ χαλινὸν ἐπιθῶμεν· καὶ μὴ μόνον μὴ ὑβρίζωμεν, ἀλλὰ καὶ παρακαλῶμεν, καὶ διὰ ρημάτων καὶ διὰ πραγμάτων, ἵνα πολὺν ἑαυτοῖς προαποθέμενοι τὸν ἔλεον, τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ση· γιατί καί τόν ἐξευτελίζεις; Δέν ἀφαιρεῖς τή στενοχώρια· γιατί καί τή μεγαλώνεις; Δέ δίνεις χρήματα· γιατί καί βρίζεις μέ λόγια; Δέν ἄκουσες πόσο τιμωροῦνται ὅσοι δέν τρέφουν τούς φτωχούς; Σέ ποιές τιμωρίες καταδικάζονται; «Πηγαίνετε λοιπόν», λέγει, «στή φωτιά πού ἔχει ἑτοιμασθεῖ γιά τό διάβολο καί τούς ἀγγέλους του»[15]. Ἐάν ὅμως ὅσοι δέν τρέφουν καταδικάζονται ἔτσι, μέ ποιά τιμωρία θά τιμωρηθοῦν ἐκεῖνοι, πού μαζί μέ τό ὅτι δέν τρέφουν βρίζουν κιόλας; Πόσο μεγάλη κόλαση θά ὑποφέρουν, πόσο μεγάλη γέεννα;

Γιά νά μήν προκαλέσουμε λοιπόν τόσα κακά ἐναντίον μας, ὅσο ἀκόμη μποροῦμε, ἄς διορθώσουμε καί τήν κακή αὐτή ἀρρώστια καί ἄς βάλουμε χαλινάρι στή γλώσσα. Καί ὄχι μόνο νά μή βρίζουμε, ἀλλά καί νά παρηγοροῦμε, καί μέ λόγια καί μέ πράγματα, ὥστε, ἀφοῦ ἀποταμιεύσουμε ἀπό πρίν πολλή ἐλεημοσύνη γιά τόν ἑαυτό μας, νά ἐπιτύχουμε τά ἀγαθά πού μᾶς ἔχει ὁ Θεός ὑποσχεθεῖ, τά ὁποῖα εἴθε νά τά ἐπιτύχουμε ὅλοι μας, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στούς αἰῶνες. Ἀμήν.

---

15. Ματθ. 25,41.

ΟΜΙΛΙΑ ΚΓ'

(Ρωμ. 12,14–21)

«Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε».

1. Διδάξας αὐτοὺς πῶς πρὸς ἀλλήλους διακεῖσθαι χρή, καὶ συγκολλήσας τὰ μέλη μετὰ ἀκριβείας, οὕτως ἐξάγει λοιπὸν πρὸς τὴν ἔξω παράταξιν, εὐκολωτέραν αὐτὴν ἐντεῦθεν ποιῶν. Ὥσπερ γὰρ ὁ τὰ πρὸς τοὺς οἰκείους μὴ κατωρθωκώς, δυσκολώτερον τὰ πρὸς τοὺς ἀλλοτρίους οἰκονομήσει, οὕτως ὁ καλῶς ἀσκήσας ἑαυτὸν ἐν τούτοις, ῥᾷον καὶ τῶν ἔξωθεν περιέσται. Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ὁδῷ προβαίνων, μετ' ἐκεῖνα ταῦτα τίθησι, καί φησιν· «εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς». Οὐκ εἶπε, μὴ μνησικακεῖτε μηδὲ ἀμύνεσθε, ἀλλὰ τὸ πολλῷ πλέον τούτων ἐζήτησεν. Ἐκεῖνο μὲν γὰρ ἀνδρὸς φιλοσόφου, τοῦτο δὲ ἀγγέλου λοιπόν. Καὶ εἰπών, «εὐλογεῖτε», ἐπήγαγε, «καὶ μὴ καταρᾶσθε», ἵνα μὴ καὶ τοῦτο κἀκεῖνο ποιῶμεν, ἀλλ' ἐκεῖνο μόνον. Καὶ γὰρ μισθῶν ἡμῖν εἰσιν ἐκεῖνοι πρόξενοι οἱ διώκοντες. Ἂν δὲ νήφῃς, καὶ ἕτερον σὺ σαυτῷ μετ' ἐκεῖνον κατασκευάσεις μισθόν. Ἐκεῖνος μὲν γάρ σοι τὸν ἀπὸ τοῦ διωγμοῦ παρέξει, σὺ δὲ σαυτῷ τὸν ἀπὸ τῆς εὐλογίας τῆς εἰς ἐκεῖνον, σημεῖον μέγιστον ἐκφέρων τῆς εἰς τὸν Χριστὸν ἀγάπης. Ὥσπερ γὰρ ὁ καταρώμενος τῷ διώκοντι, δείκνυσιν ὅτι οὐ σφόδρα χαίρει ὑπὲρ τοῦ Χριστοῦ ταῦτα πάσχων, οὕτως ὁ εὐλογῶν πολὺν ἐμφαίνει τὸν ἔρωτα.

ΟΜΙΛΙΑ ΚΓ'

(Ρωμ. 12,14-21)

«Νά εὐλογεῖτε ἐκείνους πού σᾶς καταδιώκουν· νά εὐλογεῖτε καί νά μήν καταριέστε».

1. Ἀφοῦ τούς δίδαξε πῶς πρέπει νά συμπεριφέρονται μεταξύ τους καί ἀφοῦ ἕνωσε μέ ἀκρίβεια τά μέλη, ἔτσι τούς ὁδηγεῖ πλέον πρός τήν ἔξω ἀπό τήν ἐκκλησία παράταξη, κάνοντάς την ἀπό ἐδῶ πιό εὔκολη. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος πού δέν ἐπέτυχε τίς ὑποχρεώσεις του πρός τούς συγγενεῖς, δυσκολότερα θά τακτοποιήσει τίς ὑποχρεώσεις του πρός τούς ξένους, ἔτσι ἐκεῖνος πού ἄσκησε καλά τόν ἑαυτό σ' αὐτά, εὐκολότερα θά νικήσει καί τούς ξένους. Γι' αὐτό λοιπόν καί ὁ Παῦλος προχωρώντας σιγά σιγά, ἀναφέρει αὐτά μετά ἀπό ἐκεῖνα, καί λέγει· «Νά εὐλογεῖτε ἐκείνους πού σᾶς καταδιώκουν». Δέν εἶπε, 'νά μή μνησικακεῖτε οὔτε νά τούς πολεμεῖτε', ἀλλά ζήτησε τό πολύ περισσότερο ἀπ' αὐτά. Γιατί ἐκεῖνο βέβαια εἶναι γνώρισμα ἀνθρώπου πιστοῦ, ἐνῶ αὐτό εἶναι γνώρισμα πλέον ἀγγέλου. Καί ἀφοῦ εἶπε, «νά εὐλογεῖτε», πρόσθεσε, «καί νά μήν καταριέστε»; γιά νά μήν κάνουμε καί αὐτό καί ἐκεῖνο, ἀλλά μόνο ἐκεῖνο. Καθόσον ἐκεῖνοι πού μᾶς καταδιώκουν εἶναι πρόξενοι μισθῶν σ' ἐμᾶς. Ἐάν ὅμως εἶσαι προσεκτικός, θά ἑτοιμάσεις στόν ἑαυτό σου καί ἄλλο μισθό ὕστερα ἀπ' αὐτόν. Γιατί ἐκεῖνος θά σοῦ δώσει τό μισθό ἀπό τό διωγμό, ἐνῶ σύ θά δώσεις στόν ἑαυτό σου τό μισθό ἀπό τήν εὐλογία σου σ' αὐτόν, φανερώνοντας πάρα πολύ μεγάλο δεῖγμα τῆς ἀγάπης σου στό Χριστό. Ὅπως ἀκριβῶς δηλαδή ὅποιος καταριέται ἐκεῖνον πού τόν καταδιώκει, δείχνει ὅτι δέ χαίρεται [illegible]

Μὴ τοίνυν αὐτὸν λοιδορήσῃς, ἵνα καὶ αὐτὸς μείζονα καρπώσῃ μισθόν, κἀκεῖνον διδάξῃς, ὅτι προθυμίας ἐστὶ τὸ πρᾶγμα, οὐκ ἀνάγκης· πανηγύρεως καὶ ἑορτῆς, οὐ συμφορᾶς οὐδὲ ἀθυμίας. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· «χαίρετε, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι». Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι, ὑπέστρεφον χαίροντες, οὐχ ὅτι κακῶς ἤκουσαν μόνον, ἀλλ' ὅτι καὶ ἐμαστιγώθησαν. Μετὰ γὰρ τῶν εἰρημένων καὶ ἕτερον οὐ μικρὸν κερδανεῖς, τὸ καταπλῆξαι καὶ ταύτῃ τοὺς ἀντιδίκους, καὶ παιδεῦσαι διὰ τῶν ἔργων αὐτούς, ὅτι πρὸς ἑτέραν ζωὴν ὁδεύεις. Ἂν γὰρ ἴδῃ σε χαίροντα καὶ πτερούμενον ἐπὶ τῷ πάσχειν κακῶς, εἴσεται σαφῶς διὰ τῶν πραγμάτων, ὅτι μείζους τῶν παρόντων ἑτέρας ἔχεις ἐλπίδας· ὡς, ἂν τοῦτο μὴ ποιῇς, ἀλλὰ κλαίῃς καὶ ὀδύρῃ, πόθεν δυνήσεται μαθεῖν ἐκεῖνος, ὅτι ἑτέραν ζωὴν ἀναμένεις; Καὶ μετὰ τούτου δὲ πάλιν καὶ ἕτερον κατορθώσεις· ἂν γὰρ ἴδῃ σε οὐκ ἀλγοῦντα ταῖς ὕβρεσιν, ἀλλὰ καὶ εὐλογοῦντα, παύσεται ἐλαύνων.

Ὅρα τοίνυν, ὅσα ἐντεῦθεν γίνεται τὰ καλά· καὶ σοὶ μισθὸς μείζων καὶ ὁ πειρασμὸς ἐλάττων, κἀκεῖνος ἀποστήσεται διώκων, καὶ ὁ Θεὸς δοξασθήσεται, καὶ διδασκαλία τῷ πεπλανημένῳ γενήσεται πρὸς εὐσέβειαν ἡ σὴ φιλοσοφία. Διὰ τοῦτο οὐχὶ τοὺς ὑβρίζοντας μόνον, ἀλλὰ καὶ τοὺς διώκοντας καὶ διὰ τῶν πραγμάτων ἐπηρεάζοντας, τοῖς ἐναντίοις ἀμείβεσθαι ἐκέλευσε. Καὶ νῦν μὲν αὐτοὺς εὐλογεῖν ἐπέταξε, προϊὼν δὲ καὶ ἔργοις εὐεργετεῖν παραινεῖ. «Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων». Ἐπειδὴ γὰρ ἔστιν εὐλογῆσαι μέν, καὶ μὴ καταράσασθαι, μὴ μὴν ἐξ ἀγάπης τοῦτο ποιῆσαι, βούλεται καὶ διαθερμαίνεσθαι ἡμᾶς τῇ φιλίᾳ. Διὸ καὶ τοῦτο ἐπήγαγεν, ὥστε μὴ μόνον εὐλογεῖν, ἀλλὰ καὶ συναλγεῖν καὶ συμπάσχειν, εἴ ποτε ἴδοιμεν αὐτοὺς συμφορᾷ περιπεσόντας. Ναί,

1. Ματθ. 5,11.

λικά πού παθαίνει αὐτά γιά χάρη τοῦ Χριστοῦ, ἔτσι ὅποιος εὐλογεῖ ἀποδεικνύει μεγάλη τήν ἀγάπη του.

Μή τόν κακολογήσεις λοιπόν, γιά νά κερδίσεις καί σύ ὁ ἴδιος μεγαλύτερο μισθό, καί νά διδάξεις ἐκεῖνον, ὅτι τό πράγμα εἶναι γνώρισμα προθυμίας καί ὄχι ἀνάγκης, πανήγυρης καί ἑορτῆς, ὄχι συμφορᾶς οὔτε στενοχώριας. Γι' αὐτό καί ὁ Χριστός ἔλεγε· «Νά χαίρεστε, ὅταν ποῦν ἐναντίον σας κάθε κακό πράγμα, λέγοντας ψέματα»[1]. Γι' αὐτό καί οἱ ἀπόστολοι ἐπέστρεφαν χαρούμενοι, ὄχι γιατί τούς ἔβρισαν μόνο, ἀλλά καί γιατί μαστιγώθηκαν. Γιατί μαζί μέ τά προηγούμενα θά κερδίσεις καί ἄλλο μεγάλο, τό νά καταπλήξεις καί ἔτσι τούς ἐχθρούς σου καί νά τούς διδάξεις μέ τά ἔργα, ὅτι βαδίζεις πρός ἄλλη ζωή. Γιατί, ἄν σέ δεῖ νά χαίρεσαι καί νά πετᾶς ἀπό χαρά γιατί σέ κακομεταχειρίζονται, θά μάθει καλά μέ τά πράγματα, ὅτι ἔχεις ἄλλες ἐλπίδες μεγαλύτερες ἀπό τά παρόντα· γιατί, ἄν δέν κάνεις αὐτό, ἀλλά κλαῖς καί ὀδύρεσαι, ἀπό ποῦ θά μπορέσει νά μάθει ἐκεῖνος, ὅτι περιμένεις ἄλλη ζωή; Ἀλλά καί μαζί μ' αὐτό πάλι θά ἐπιτύχεις καί κάτι ἄλλο. Γιατί, ἄν σέ δεῖ νά μή στενοχωριέσαι γιά τίς ὕβρεις, ἀλλά καί νά εὐλογεῖς, θά σταματήσει νά σέ καταδιώκει.

Κοίταξε λοιπόν πόσα καλά γίνονται ἀπό ἐδῶ· καί ὁ μισθός θά εἶναι μεγαλύτερος γιά σένα καί ὁ πειρασμός μικρότερος, καί ἐκεῖνος θά σταματήσει νά σέ καταδιώκει, καί ὁ Θεός θά δοξασθεῖ, καί ἡ πίστη σου θά γίνει διδασκαλία γιά εὐσέβεια σ' ἐκεῖνον πού ἔχει βρεθεῖ σέ πλάνη. Γι' αὐτό ὄχι μόνο ἐκείνους πού μᾶς βρίζουν, ἀλλά καί ἐκείνους πού μᾶς καταδιώκουν καί μᾶς κακομεταχειρίζονται μέ τά ἔργα, διέταξε νά τούς εὐεργετοῦμε καί μέ ἔργα. «Νά χαίρεστε μ' ἐκείνους πού χαίρονται καί νά κλαῖτε μ' ἐκείνους πού κλαῖνε». Ἐπειδή λοιπόν εἶναι δυνατό νά εὐλογήσουμε καί νά μήν καταρασθοῦμε, ἀλλά νά μή τό κάνουμε αὐτό ἀπό ἀγάπη, θέλει νά θερμαινόμαστε ἐντελῶς μέ τήν ἀγάπη. Γι' αὐτό πρόσθετε καί αὐτό, ὥστε νά μήν εὐλογοῦμε μόνο, ἀλλά καί νά συμπονοῦμε καί νά συμπάσχουμε, ἄν κάποτε τούς βλέπαμε νά ἔχουν πέσει σέ συμφορά. Ναί, λέγει· ἀλλά τό νά συμπονοῦμε μ' ἐκείνους πού κλαῖνε πολύ σωστά τό διέ-

φησίν· ἀλλὰ τὸ μὲν συναλγεῖν τοῖς θρηνοῦσιν εἰκότως ἐπέταξε, τὸ δὲ ἕτερον τί δήποτε ἐκέλευσεν, οὐδὲν μέγα ὄν; Καίτοιγε ἐκεῖνο φιλοσοφωτέρας δεῖται ψυχῆς, τὸ χαίρειν μετὰ χαιρόντων, μᾶλλον ἢ τὸ κλαίειν μετὰ κλαιόντων. Τοῦτο μὲν γὰρ καὶ ἡ φύσις αὐτὴ κατορθοῖ, καὶ οὐδεὶς οὕτω λίθινος, ὅς οὐ κλαίει τὸν ἐν συμφοραῖς ὄντα· ἐκεῖνο δὲ γενναίας σφόδρα δεῖται ψυχῆς, ὥστε τῷ εὐδοκιμοῦντι μὴ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ συνήδεσθαι. Διὰ τοῦτο καὶ πρότερον αὐτὸ τέθεικεν. Οὐδὲν γὰρ οὕτως ἀγάπην συνάγει, ὡς ὅταν καὶ χαρᾶς καὶ λύπης κοινωνῶμεν ἀλλήλοις.

Μὴ τοίνυν, ἐπειδὴ πόρω τῶν δεινῶν αὐτὸς ἕστηκας, καὶ τῆς συμπαθείας μένε ἐκτός· τοῦ γὰρ πλησίον παθόντος κακῶς, κοινὴν ὀφείλεις ποιεῖσθαι τὴν συμφοράν. Κοινώνει τοίνυν τῶν δακρύων, ἵνα κουφίσῃς τὴν ἀθυμίαν· κοινώνει χαρᾶς, ἵνα ριζώσῃς τὴν εὐφροσύνην, καὶ πήξῃς τὴν ἀγάπην, καὶ πρὸ ἐκείνου σαυτὸν ὠφελήσῃς, διὰ μὲν τοῦ δακρύειν ἐλεήμονα κατασκευάζων, διὰ δὲ τοῦ συνήδεσθαι φθόνου καὶ βασκανίας ἑαυτὸν ἐκκαθαίρων. Σκόπει δέ μοι καὶ τὸ ἀνεπαχθὲς τοῦ Παύλου. Οὐ γὰρ εἶπε, 'λῦσον τὴν συμφοράν', ἵνα μὴ λέγῃς πολλάκις ὅτι ἀδύνατον, ἀλλὰ τὸ κουφότερον ἐπέταξε, καὶ οὗ κύριος εἶ. Κἂν γὰρ ἀνελεῖν μὴ δυνηθῇς τὸ δεινόν, εἴσαγε δάκρυα, καὶ τὸ πλεῖον ἀνεῖλες· κἂν μὴ δυνηθῇς αὐξῆσαι τὴν εὐημερίαν, εἴσαγε τὴν χαράν, καὶ πολλὴν τὴν προσθήκην ἐποίησας. Διὰ τοῦτο οὐ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ ὃ πολλῷ πλέον ἐστὶ παραινεῖ, τὸ καὶ συνήδεσθαι· τοῦ γὰρ μὴ φθονεῖν τοῦτο πολὺ πλέον.

2. «Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι». Πολλὴν πάλιν περὶ τῆς ταπεινοφροσύνης ποιεῖται τὴν σπουδήν, ὅθεν καὶ ἤρξατο τοῦ λόγου. Καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς φρονήματος μεστοὺς εἶναι, καὶ ἀπὸ τῆς πόλεως καὶ ἑτέρωθεν πολλαχόθεν· διὸ καὶ συνεχῶς ὑποσύρει τὸ

ταξε, τό ἄλλο ὅμως γιατί τέλος πάντων τό πρόσταξε, ἀφοῦ δέν εἶναι κανένα μεγάλο πράγμα; Καί ὅμως ἐκεῖνο χρειάζεται φιλοσοφότερη ψυχή, δηλαδή τό νά χαιρόμαστε μαζί μ' ἐκείνους πού χαίρονται, παρά τό νά κλαῖμε μαζί μ' ἐκείνους πού κλαῖνε. Γιατί αὐτό βέβαια τό κατορθώνει καί ἡ ἴδια ἡ φύση, καί κανένας δέν εἶναι τόσο σκληρός σάν πέτρα, πού νά μή κλαίει ἐκεῖνον πού βρίσκεται σέ συμφορές, ἐκεῖνο ὅμως χρειάζεται πάρα πολύ γενναία ψυχή, ὥστε ὄχι μόνο νά μή φθονοῦμε αὐτόν πού εὐημερεῖ, ἀλλά καί νά χαιρόμαστε μαζί του. Γι' αὐτό καί ἀνέφερε πρῶτο αὐτό. Γιατί τίποτε δέ δυναμώνει τόσο τήν ἀγάπη, ὅσο ὅταν μετέχουμε μεταξύ μας καί στή χαρά καί στή λύπη.

Νά μή μένεις λοιπόν, ἐπειδή ὁ ἴδιος βρέθηκες μακριά ἀπό τίς συμφορές, καί ἔξω ἀπό τή συμπάθεια. Γιατί, ὅταν ὁ πλησίον πάθει κάτι κακό, ὀφείλεις νά κάνεις κοινή τή συμφορά. Νά συμμετέχεις λοιπόν στά δάκρυα, γιά ν' ἀνακουφίσεις τή λύπη· νά συμμετέχεις στή χαρά, γιά νά ριζώσεις τήν εὐφροσύνη καί νά στερεώσεις τήν ἀγάπη, καί γιά νά ὠφελήσεις πρίν ἀπό ἐκεῖνον τόν ἑαυτό σου, γιατί μέ τά δάκρυα κάνεις τόν ἑαυτό σου συμπονετικό, ἐνῶ μέ τή συμμετοχή στή χαρά τόν καθαρίζεις ἐντελῶς ἀπό τό φθόνο καί τή ζήλεια. Πρόσεχε ὅμως, παρακαλῶ, καί τήν ἔλλειψη φορτικότητας ἀπό τόν Παῦλο. Γιατί δέν εἶπε, σταμάτησε τή συμφορά, γιά νά μή λέγεις πολλές φορές ὅτι εἶναι ἀδύνατο, ἀλλά τό πιό εὔκολο πρόσταξε καί τό ὁποῖο ἔχεις τή δύναμη νά τό κάνεις. Γιατί, καί ἄν ἀκόμη δέν μπορέσεις νά ἐξαλείψεις τό κακό, νά δακρύζεις, καί τό περισσότερο τό ἐξάλειψες· καί ἄν ἀκόμη δέν μπορέσεις νά μεγαλώσεις τήν εὐτυχία, νά χαίρεσαι, καί τή αὔξησες πολύ. Γι' αὐτό συμβουλεύει ὄχι μόνο νά μή φθονοῦμε, ἀλλά καί ἐκεῖνο πού εἶναι πολύ περισσότερο, τό νά χαιρόμαστε δηλαδή μαζί του· γιατί αὐτό εἶναι πολύ περισσότερο ἀπό τό νά μή φθονοῦμε.

2. «Νά ἔχετε μεταξύ σας τό ἴδιο φρόνημα. Νά μήν εἶστε ὑψηλόφρονες, ἀλλά νά συγκαταβαίνετε πρός τούς ταπεινούς». Πάλι φροντίζει πολύ γιά τήν ταπεινοφροσύνη, ἀπ' ὅπου ἄρχισε καί τό λόγο. Καθόσον ἦταν φυσικό νά ἔχουν αὐτοί ὑψηλό φρόνημα, καί ἀπό τήν πόλη καί ἀπό πολλές ἄλλες αἰτίες. Γι' αὐτό καί συνέχεια ὑπονομεύ-

νόσημα, καὶ καταστέλλει τὴν φλεγμονήν. Οὐδὲν γὰρ οὕτως ἀποσχίζει σῶμα ἐκκλησίας, ὡς ἀλαζονεία. Τί δέ ἐστι, «τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες»; Περεγένετό σοι πένης εἰς τὴν οἰκίαν; Γενοῦ κατ' ἐκεῖνον τῷ φρονήματι· μὴ μείζονα λάβης ὄγκον διὰ τὸν πλοῦτον. Οὐκ ἔστι πλούσιος καὶ πένης ἐν Χριστῷ. Μὴ τοίνυν ἐπαισχυνθῇς διὰ τὴν ἔξωθεν περιβολήν, ἀλλ' ἀποδέξαι διὰ τὴν ἔνδον πίστιν· μηδέ, ἂν ἴδῃς πενθοῦντα, ἀνάξιον ἑαυτοῦ νομίσῃς παρακαλέσαι, μηδέ, ἂν ἴδῃς εὐημεροῦντα, ἐρυθριάσῃς κοινωνῆσαι τῆς ἡδονῆς καὶ συνησθῆναι, ἀλλ' ὃ περὶ σεαυτοῦ φρονεῖς, καὶ περὶ ἐκείνου· «τὸ γὰρ αὐτὸ φρονοῦντες», φησίν, «εἰς ἀλλήλους». Οἷον, μέγαν σαυτὸν εἶναι νομίζεις; Οὐκοῦν καὶ ἐκεῖνον νόμιζε. Ταπεινὸν καὶ μικρὸν ἐκεῖνον εἶναι ὑποπτεύεις; Οὐκοῦν καὶ περὶ σαυτοῦ τοῦτο ψηφίζου, καὶ πᾶσαν ἀνωμαλίαν ἔκβαλε.

Πῶς δ' ἂν γένοιτο τοῦτο; Εἰ τὴν ἀπόνοιαν ἐκβάλοις. Διὸ καὶ ἐπήγαγε· «μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι»· τουτέστιν, εἰς τὴν ἐκείνων εὐτέλειαν κατάβηθι, συμπεριφέρου, συμπεριέρχου. Μὴ ἁπλῶς τῷ φρονήματι ταπεινοῦ, ἀλλὰ καὶ βοήθει καὶ χεῖρα ὄρεγε, μὴ δι' ἑτέρων, ἀλλὰ διὰ σαυτοῦ, ὡς πατὴρ παιδὸς προνοῶν, ὡς κεφαλὴ σώματος· ὅπερ καὶ ἀλλαχοῦ φησι, «τοῖς δεσμίοις ὡς συνδεδεμένοι». Ταπεινοὺς δὲ ἐνταῦθα οὐχ ἁπλῶς τοὺς ταπεινόφρονάς φησιν, ἀλλὰ τοὺς ταπεινοὺς καὶ εὐκαταφρονήτους. «Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς»· τουτέστι, μὴ νομίζετε ἀρκεῖν ἑαυτοῖς. Καὶ γὰρ ἀλλαχοῦ φησιν ἡ Γραφή· «οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες». Καὶ διὰ τούτων δὲ πάλιν τὴν ἀπόνοιαν ὑπορύττει, καὶ τὸ φύσημα καὶ τὴν φλεγμονὴν καταστέλλει. Οὐδὲν γὰρ οὕτως ἐπαίρει καὶ ἀποσχίζει

---

2. Ἑβρ. 13,3.
3. Ἠσ. 5,21.

νει τήν ἀρρώστια καί ἐλαττώνει τή φλεγμονή τους. Γιατί τίποτε δέ διαιρεῖ τόσο τό σῶμα τῆς Ἐκκλησίας, ὅσο ἡ ἀλαζονεία. Καί τί σημαίνει, «νά ἔχετε μεταξύ σας τό ἴδιο φρόνημα»; Ἦρθε στό σπίτι σου κάποιος φτωχός; Νά γίνεις στό φρόνημα ὅπως ἐκεῖνος, καί μή φουσκώσεις περισσότερο ἐξ αἰτίας τοῦ πλούτου. Δέν ὑπάρχει πλούσιος καί φτωχός στό Χριστό. Νά μήν τόν ἀρνηθεῖς ἐξ αἰτίας τῆς ἐξωτερικῆς ἐμφανίσεώς του, ἀλλά νά τόν δεχθεῖς ἐξ αἰτίας τῆς ἐσωτερικῆς πίστεώς του. Οὔτε, ἄν δεῖς κάποιον νά πενθεῖ, νά τόν θεωρήσεις ἀνάξιο τοῦ ἑαυτοῦ σου νά τόν παρηγορήσεις. Οὔτε, ἄν δεῖς κάποιον νά εὐημερεῖ, νά κοκκινίσεις ἀπό ντροπή γιά νά πάρεις μέρος στή χαρά καί νά χαρεῖς μαζί του, ἀλλ' αὐτό τό φρόνημα πού ἔχεις γιά τον ἑαυτό σου, νά ἔχεις καί γιά ἐκεῖνον· γιατί λέγει «τό ἴδιο φρόνημα νά ἔχετε μεταξύ σας». Γιά παράδειγμα· νομίζεις ὅτι εἶσαι μεγάλος; Λοιπόν νόμιζε ὅτι εἶναι καί ἐκεῖνος. Ὑποθέτεις ὅτι εἶναι ταπεινός καί μικρός ἐκεῖνος; Λοιπόν καί γιά τόν ἑαυτό σου νά ἔχεις αὐτή τή γνώμη, καί ἀπομάκρυνε κάθε ἀνισότητα.

Πῶς ὅμως θά μποροῦσε νά γίνει αὐτό; Ἐάν ἀπομακρύνεις τήν ἀλαζονεία. Γι' αὐτό καί πρόσθεσε· «νά μήν εἶστε ὑψηλόφρονες, ἀλλά νά συγκαταβαίνετε πρός τούς ταπεινούς». Δηλαδή, νά κατεβεῖς στή δική τους ἀσήμαντη θέση, νά συμμορφώνεσαι πρός τήν κατάστασή τους, νά συναναστρέφεσαι μ' αὐτούς. Νά μήν ταπεινώνεσαι ἁπλῶς στό φρόνημα, ἀλλά καί νά βοηθεῖς καί νά ἀνοίγεις τό χέρι σου, ὄχι μέ ἄλλους, ἀλλ' ἀπό τόν ἑαυτό σου, σάν πατέρας πού φροντίζει γιά τό παιδί του, σάν κεφαλή γιά τό σῶμα, πράγμα πού καί ἀλλοῦ λέγει· «μέ τούς φυλακισμένους νά εἶστε καί σεῖς σάν φυλακισμένοι μαζί τους»[2]. Ταπεινούς ὅμως ἐδῶ δέν ἐννοεῖ ἁπλῶς τούς ταπεινόφρονες, ἀλλά τούς ταπεινούς καί εὐκαταφρόνητους. «Νά μή θεωρεῖτε τούς ἑαυτούς σας σοφούς»· δηλαδή, νά μή νομίζετε ὅτι εἶστε αὐτάρκεις. Γιατί καί ἀλλοῦ ἡ Γραφή λέγει· «ἀλλοίμονο σ' ἐκείνους πού νομίζουν ὅτι εἶναι σοφοί καί παρουσιάζονται στά μάτια τους σάν ἐπιστήμονες»[3]. Καί μ' αὐτά πάλι ὑπονομεύει τήν ἀλαζονεία καί ἐλαττώνει τό φούσκωμα καί τή φλεγμονή τους. Γιατί τίποτε δέν ξεσηκώνει τόσο καί δέν ἀποκόβει ἀπό τούς ὑπόλοιπους, ὅσο

τῶν λοιπῶν, ὡς τὸ νομίζειν τινὰ ἀρκεῖν ἑαυτῷ. Διὸ καὶ ἐν χρείᾳ ἀλλήλων κατέστησεν ἡμᾶς ὁ Θεός. Κἂν γὰρ φρόνιμος ᾖς, ἑτέρου δεήσῃ· ἂν δὲ νομίσῃς μὴ δεῖσθαι, ἀνοητότερος πάντων ἐγένου καὶ ἀσθενέστερος. Ὁ γὰρ τοιοῦτος καὶ ἔρημον ἑαυτὸν καταστήσει βοηθείας, καὶ ἐν οἷς ἂν ἁμαρτάνῃ, οὐδεμιᾶς ἀπολαύσεται οὔτε διορθώσεως οὔτε συγγνώμης, καὶ τὸν Θεὸν παροξυνεῖ διὰ τῆς ἀπονοίας, καὶ πολλὰ ἁμαρτήσεται.

Ἔστι γάρ, ἔστι πολλάκις καὶ τὸν φρόνιμον μὴ συνιδεῖν τὸ δέον, καὶ τὸν ἀνοητότερον εὑρεῖν τι τῶν προσηκόντων· ὅπερ ἐπὶ τοῦ Μωϋσέως καὶ τοῦ πενθεροῦ γέγονεν, ὅπερ ἐπὶ τοῦ Σαοὺλ καὶ τοῦ παιδός, ὅπερ ἐπὶ τοῦ Ἰσαὰκ καὶ τῆς Ρεβέκκας. Μὴ τοίνυν νομίσῃς καθαιρεῖσθαι δεόμενος ἑτέρου. Τοῦτο γάρ σε μᾶλλον ὑψοῖ, τοῦτό σε ἰσχυρότερον ποιεῖ, τοῦτο λαμπρότερόν τε καὶ ἀσφαλέστερον. «Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες». Εἰ γὰρ ἕτερον ψέγεις ἐπιβουλεύοντα, τί σαυτὸν ὑπεύθυνον ποιεῖς τῇ κατηγορίᾳ; Εἰ κακῶς ἐκεῖνος ἐποίησε, τί μὴ φεύγεις τὸν ζῆλον; Καὶ ὅρα πῶς ἐνταῦθα οὐ διέστειλεν, ἀλλὰ κοινὸν τὸν νόμον ἔθηκεν. Οὐ γὰρ εἶπε, τῷ πιστῷ μὴ ἀποδῷς κακόν, ἀλλά, «μηδενί», κἂν Ἕλλην ᾖ, κἂν μιαρός, κἂν ὁστισοῦν. «Προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων. Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες». Τοῦτό ἐστι, «λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων»· οὐχ ἵνα πρὸς κενοδοξίαν ζῶμεν, ἀλλ' ἵνα μὴ παρέχωμεν λαβὴν καθ' ἑαυτῶν τοῖς βουλομένοις. Διὸ καὶ ἀλλαχοῦ ἔλεγεν· «ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ».

Καλῶς δὲ τὸ ἑξῆς ἐκέλευσεν εἰπών, «εἰ δυνατόν». Ἔστι γὰρ ὅπου οὐ δυνατόν· οἷον ὅταν περὶ εὐσεβείας ὁ λόγος ᾖ, ὅταν περὶ ἀδικουμένων ὁ ἀγών. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ ἀνθρώπων τῶν ἄλλων, ὅπου γε καὶ ἐπὶ ἀνδρὸς καὶ γυναικὸς ταύτην ἔλυσε τὴν ἀνάγ-

4. Ματθ. 5,16.
5. Α' Κορ. 10,32.

τό νά νομίζει κανείς ὅτι εἶναι αὐτάρκης. Γι' αὐτό καί ὁ Θεός μᾶς ἔκαμε νά ἔχουμε τήν ἀνάγκη ὁ ἕνας τοῦ ἄλλου. Καί ἄν ἀκόμη λοιπόν εἶσαι σοφός, θά ἔχεις τήν ἀνάγκη ἄλλου· ἄν ὅμως νομίσεις ὅτι δέν ἔχεις, ἔγινες πιό ἀνόητος καί πιό ἀδύνατος ἀπ' ὅλους. Γιατί ἕνας τέτοιος ἄνθρωπος καί τή βοήθεια θά στερήσει ἀπό τόν ἑαυτό του, καί σ' ἐκεῖνα πού θά συμβεῖ ν' ἁμαρτήσει, δέ θ' ἀπολαύσει οὔτε διόρθωση οὔτε καμιά συγγνώμη, ἀλλά καί τό Θεό θά ἐξοργίσει μέ τήν ἀλαζονεία του, καί πολλές ἁμαρτίες θά κάμει.

Γιατί εἶναι δυνατό, εἶναι δυνατό πολλές φορές καί ὁ σοφός νά μή γνωρίσει καλά τό σωστό καί ὁ πιό ἀνόητος νά βρεῖ κάτι ἀπό τά ὀρθά, πράγμα πού συνέβηκε στήν περίπτωση τοῦ Μωυσῆ καί τοῦ πεθεροῦ του, στήν περίπτωση τοῦ Σαούλ καί τοῦ δούλου του, καί στήν περίπτωση τοῦ Ἰσαάκ καί τῆς Ρεβέκκας. Μή νομίσεις λοιπόν ὅτι μειώνεσαι, ἐπειδή ἔχεις τήν ἀνάγκη ἄλλου. Γιατί αὐτό περισσότερο σέ ὑψώνει, αὐτό σέ κάνει πιό δυνατό, αὐτό σέ κάνει καί πιό λαμπρό καί πιό σταθερό. «Σέ κανένα νά μήν ἀνταποδίδετε κακό γιά τυχόν κακό πού σᾶς ἔκανε». Γιατί ἄν κατηγορεῖς ἄλλον πού σέ ἐπιβουλεύεται, γιατί κάνεις τόν ἑαυτό σου ὑπεύθυνο γιά κατηγορία; Ἄν ἐκεῖνος ἐνέργησε κακῶς, γιατί δέν ἀποφεύγεις νά τόν μιμεῖσαι; Καί πρόσεχε πῶς ἐδῶ δέν ἔκανε διάκριση, ἀλλ' ὅρισε κοινό τό νόμο. Γιατί δέν εἶπε, 'στόν πιστό μήν ἀνταποδώσεις κακό', ἀλλά, «σέ κανένα», εἴτε εἶναι ἐθνικός, εἴτε μιαρός, εἴτε ὁποιοσδήποτε. «Νά φροντίζετε νά κάνετε τό καλό μπροστά σ' ὅλους τούς ἀνθρώπους. Ἐάν εἶναι δυνατό, ὅσο ἐξαρτᾶται ἀπό σᾶς, νά ἔχετε εἰρηνικές σχέσεις μέ ὅλους τούς ἀνθρώπους». Αὐτό σημαίνει, «Ἄς λάμψει τό φῶς σας μπροστά στούς ἀνθρώπους»[4], γιά νά ζοῦμε ὄχι γιά ματαιοδοξία, ἀλλά γιά νά μή δίνουμε σ' ἐκείνους πού ἐπιθυμοῦν ἀφορμή ἐναντίον μας. Γι' αὐτό καί σ' ἄλλο σημεῖο ἔλεγε· «μή γίνεσθε αἰτία πτώσεως καί στούς Ἰουδαίους καί στούς ἐθνικούς καί στήν Ἐκκλησία τοῦ Θεοῦ»[5].

Πολύ σωστά βέβαια εἶπε, «ἐάν εἶναι δυνατό». Γιατί ὑπάρχουν περιπτώσεις πού δέν εἶναι δυνατό, ὅπως ὅταν ὁ λόγος εἶναι γιά τήν εὐσέβεια, ὅταν ὁ ἀγώνας εἶναι γιά ἐκείνους πού ἀδικοῦνται. Καί τί ἀπορεῖς, ἄν στούς ἀνθρώπους τούς ἄλλους δέν εἶναι αὐτό δυνατό, τή

κην, εἰπών, «εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω»; Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· τὰ παρὰ σαυτοῦ πάρεχε, καὶ μηδενὶ δίδου πολέμου καὶ μάχης ἀφορμήν, μὴ Ἰουδαίῳ, μὴ Ἕλληνι· εἰ δέ που τὴν εὐσέβειαν παραβλαπτομένην ἴδοις, μὴ προτίμα τὴν ὁμόνοιαν τῆς ἀληθείας, ἀλλ' ἵστασο γενναίως ἕως θανάτου· καὶ μηδὲ οὕτω ψυχῇ πολέμει, μηδὲ ἀποστρέφου γνώμῃ, ἀλλὰ τοῖς πράγμασι μάχου μόνον· τοῦτο γάρ ἐστι, «τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες». Κἂν ἐκεῖνος μὴ εἰρηνεύῃ, σὺ μὴ πληρώσῃς χειμῶνος τὴν ψυχήν, ἀλλ' ἔσο φίλος κατὰ γνώμην, ὅπερ ἔφθην εἰπών, τὴν ἀλήθειαν μηδαμοῦ προδιδούς.

3. «Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος». Ποίᾳ ὀργῇ; Τῇ τοῦ Θεοῦ. Ἐπειδὴ γὰρ τοῦτο μάλιστα ἐπιθυμεῖ ἰδεῖν ὁ ἀδικηθείς, ἐκδικίας ἑαυτὸν ἀπολαύοντα, τοῦτο αὐτῷ μετὰ πολλῆς δίδωσι τῆς περιουσίας· ἂν γὰρ αὐτὸς μὴ ἀμύνῃ, φησίν, ὁ Θεὸς ἔσται τιμωρός. Συγχώρησον οὖν αὐτῷ ἐπεξελθεῖν· τοῦτο γάρ ἐστι, «δότε τόπον τῇ ὀργῇ». Εἶτα παραμυθούμενος ἐπιπλέον, καὶ τὴν μαρτυρίαν ἐπήγαγε, καὶ ταύτῃ μειζόνως αὐτὸν ἀνακτησάμενος, πλείονα αὐτὸν ἀπαιτεῖ τὴν φιλοσοφίαν, λέγων· «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν». Τί γὰρ λέγω, φησίν, ὅτι εἰρηνεύειν δεῖ; Καὶ γὰρ καὶ εὐεργετεῖν ἐπιτάττω. Ψώμιζε γὰρ αὐτὸν καὶ πότιζε, φησίν. Εἶτα, ἐπειδὴ σφόδρα ἐπίπονον ἐπέταξε καὶ μέγα, ἐπήγαγε· «τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ».

Ταῦτα δὲ ἔλεγε, κἀκεῖνον καταστέλλων τῷ φόβῳ, καὶ τοῦτον προθυμότερον ποιῶν τῇ ἐλπίδι τῆς ἀντιδόσεως. Ὁ γὰρ ἠδικημένος ὅταν ἀσθενὴς ᾖ, οὐχ οὕτω κατέχεται τοῖς οἰκείοις ἀγαθοῖς, ὡς τῇ τιμωρίᾳ τοῦ λελυπηκότος αὐτόν. Οὐδὲν γὰρ οὕτως ἡδύ, ὡς

6. Α' Κορ. 7,15.

στιγμή πού ἔλυσε αὐτήν τήν ἀνάγκη καί στόν ἄνδρα καί τή γυναίκα, λέγοντας, «ἄν ὅμως ὁ ἄπιστος θέλει νά χωρίσει, ἄς χωρίσει»[6]. Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· νά δινεις ὅλες τίς δυνάμεις σου, καί σέ κανένα νά μή δίνεις ἀφορμή ἀντιδικίας καί φιλονεικίας, οὔτε στόν Ἰουδαῖο, οὔτε στόν ἐθνικό· ἀλλ' ἄν κάπου δεῖς ὅτι ζημειώνεται ἡ εὐσέβεια νά μήν προτιμήσεις τήν ὁμόνοια ἀπό τήν ἀλήθεια, ἀλλά νά σταθεῖς γενναῖα μέχρι θανάτου· καί οὔτε ἔτσι νά πολεμᾶς μέ τήν ψυχή, οὔτε νά ἀποστρέφεσαι τή γνώμη, ἀλλά νά μάχεσαι μόνο μέ τά πράγματα. Γιατί αὐτό σημαίνει, «ὅσο ἐξαρτᾶται ἀπό σᾶς, νά ἔχετε εἰρηνικές σχέσεις μέ ὅλους τούς ἀνθρώπους». Καί ἄν ἐκεῖνος δέν εἰρηνεύει, ἐσύ νά μή γεμίσεις τήν ψυχή σου μέ πάθος, ἀλλά νά εἶσαι φίλος ὡς πρός τή διάθεση, πράγμα πού προανέφερα, χωρίς νά προδίδεις πουθενά τήν ἀλήθεια.

3. «Μήν παίρνετε ἐκδίκηση οἱ ἴδιοι, ἀγαπητοί, ἀλλά δῶστε τόπο στήν ὀργή. Γιατί εἶναι γραμμένο· Σ' ἐμένα ἀνήκει ἡ ἐκδίκηση, ἐγώ θ' ἀνταποδώσω, λέγει ὁ Κύριος». Σέ ποιά ὀργή; Στήν ὀργή τοῦ Θεοῦ. Ἐπειδή λοιπόν αὐτό κυρίως ἐπιθυμεῖ νά δεῖ ἐκεῖνος πού ἀδικήθηκε, νά παίρνει δηλαδή μόνος του ἐκδίκηση, τοῦτο παραχωρεῖ μέ πολλή ἀφθονία. Γιατί, ἄν αὐτός δέν ἐκδικηθεῖ, λέγει, θά γίνει ὁ Θεός τιμωρός. Ἐπέτρεψε λοιπόν σ' αὐτόν νά τιμωρήσει καί, ἀφοῦ κέρδισε περισσότερο τήν εὔνοιά του ἔτσι, ἀπαιτεῖ πιό πολλή πίστη ἀπ' αὐτόν, λέγοντας· «ἐάν πεινάει ὁ ἐχθρός σου, δίνε του ψωμί, ἐάν διψάει, πότιζέ τον· γιατί κάνοντας αὐτό, θά μαζέψεις πολλά ἀναμμένα κάρβουνα στό κεφάλι του. Νά μή νικιέσαι ἀπό τό κακό, ἀλλά νά νικᾶς μέ τό καλό τό κακό». Καί τί λέγω, λέγει, ὅτι πρέπει νά ἔχεις εἰρηνικές σχέσεις; Καθόσον δίνω ἐντολή καί νά εὐεργετεῖς. Γιατί λέγει, δίνε του ψωμί καί πότιζέ τον. Ἔπειτα, ἐπειδή πρόσταξε κάτι ὑπερβολικά ἐπίπονο καί μεγάλο, πρόσθεσε· «γιατί κάνοντας αὐτό, θά μαζέψεις πολλά ἀναμμένα κάρβουνα στό κεφάλι του».

Αὐτά τά ἔλεγε, μέ σκοπό καί ἐκεῖνον νά συγκρατήσει μέ τό φόβο καί αὐτόν νά κάνει πιό πρόθυμο μέ τήν ἐλπίδα τῆς ἀνταποδόσεως. Γιατί ὁ ἀδικημένος ὅταν εἶναι ἀδύνατος, δέν καταγίνεται τόσο πολύ μέ τά δικά του καλά, ὅσο μέ τήν τιμωρία ἐκείνου πού τόν

ἐχθρὸν κολαζόμενον ἰδεῖν. Ὅπερ οὖν ἐπιθυμεῖ, τοῦτο δίδωσιν αὐτῷ πρῶτον· καὶ ὅταν ἀφῇ τὸν ἰόν, τότε λοιπὸν παραινεῖ τὰ ὑψηλότερα, λέγων· «μὴ νικῶ ὑπὸ τοῦ κακοῦ». Ἤιδει γάρ, ὅτι κἂν θηρίον ᾖ ὁ ἐχθρός, οὐ μένει ψωμιζόμενος ἐχθρός· κἂν μυριάκις μικρόψυχος ᾖ ὁ ἠδικημένος, ψωμίζων αὐτὸν καὶ ποτίζων, οὐδὲ αὐτὸς λοιπὸν τῆς τιμωρίας ἐπιθυμήσει τῆς ἐκείνου. Διὸ τῷ τέλει θαρρῶν τοῦ πράγματος, οὐδὲ ἁπλῶς ἠπείλησεν, ἀλλὰ καὶ ἐπιδαψιλεύεται τῇ τιμωρίᾳ. Οὐ γὰρ εἶπε, τιμωρήσῃ, ἀλλ', «ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ». Εἶτα καὶ ἀνεκήρυξεν αὐτὸν εἰπών· «μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν»· καὶ ἠρέμα πως καὶ ᾐνίξατο τὸ μὴ δεῖν τοιαύτῃ προαιρέσει ποιεῖν· τὸ γὰρ ἔτι μνησικακεῖν, ἡττᾶσθαί ἐστιν ὑπὸ τοῦ κακοῦ.

Ἀλλὰ πρῶτον μὲν αὐτὸ οὐκ εἶπεν· οὐδὲ γὰρ εἶχε καιρόν· ὅτε δὲ ἐκένωσεν αὐτοῦ τὸν θυμόν, τότε ἐπήγαγε λέγων, «νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν»· ἐπεὶ καὶ τοῦτο νίκη. Καὶ γὰρ ὁ πυκτεύων τότε μᾶλλον νικᾷ, οὐχ ὅταν ὑποτιθῇ ἑαυτὸν ὥστε δέξασθαι τὰς πληγάς, ἀλλ' ὅταν ἐξαίρων ἑαυτὸν παρασκευάζῃ τὸν ἀνταγωνιστὴν εἰς τὸν ἀέρα κενοῦν τὴν δύναμιν. Οὕτω γὰρ οὔτε αὐτὸς πληγήσεται, κἀκείνου καταλύσει τὴν ἰσχὺν ἅπασαν. Ὃ δὴ καὶ ἐπὶ τῶν ὕβρεων γίνεται. Ὅταν μὲν γὰρ ἀνθυβρίσῃς, ἡττήθης, οὐχ ὑπὸ ἀνθρώπου, ἀλλ', ὅπερ ἐστὶν αἰσχρότερον, ὑπὸ πάθους ἀνελευθέρου τοῦ θυμοῦ νικηθείς· ἂν δὲ σιγήσῃς, καὶ ἐνίκησας, καὶ ἀπονητὶ τὸ τρόπαιον ἔστησας, καὶ μυρίους ἕξεις τοὺς στεφανοῦντας, καὶ τῆς λοιδορίας ψεῦδος καταγινώσκοντας. Ὁ μὲν γὰρ ἀντιλέγων, ὡς δακνόμενος ἀντερεῖν δοκεῖ, ὁ δὲ δακνόμενος, ὑπόνοιαν παρέχει τοῦ συνειδέναι τοῖς λεγομένοις· ἂν δὲ καταγελάσῃς, τῷ γέλωτι τὴν κατὰ σαυτοῦ ψῆφον ἐξέλυσας. Καὶ εἰ βούλει σαφῆ τῶν εἰρημένων ἀπόδειξιν λαβεῖν, αὐ-

ἔχει λυπήσει. Γιατί τίποτε δέν τοῦ εἶναι τόσο εὐχάριστο, ὅσο τό νά δεῖ ὅτι ὁ ἐχθρός του τιμωρεῖται. Αὐτό λοιπόν πού ἐπιθυμεῖ, αὐτό τοῦ δίνει πρῶτα· καί ὅταν ἀφήσει τό δηλητήριο, τότε πλέον συμβουλεύει τά ἀνώτερα, λέγοντας· «νά μή νικιέσαι ἀπό τό κακό». Γιατί ἤξερε ὅτι, καί ἄν ἀκόμη ὁ ἐχθρός εἶναι θηρίο, ὅμως δέν παραμένει ἐχθρός ὅταν τρέφεται· καί ἄν ἀκόμη ὁ ἀδικημένος εἶναι χίλιες φορές μικρόψυχος, ὅταν τόν τρέφει καί τόν ποτίζει, οὔτε αὐτός θά ἐπιθυμήσει στό ἑξῆς τήν τιμωρία του. Γι' αὐτό, ἐπειδή ἔχει ἐμπιστοσύνη στό ἀποτέλεσμα τοῦ πράγματος, δέν ἀπείλησε ἁπλῶς, ἀλλά καί διατυπώνει πλουσιοπάροχα τήν τιμωρία. Γιατί δέν εἶπε, 'θά τιμωρήσεις', ἀλλά, «θά μαζέψεις πολλά ἀναμμένα κάρβουνα στό κεφάλι του». Στή συνέχεια καί νικητή τόν ἀνακήρυξε λέγοντας· «νά μή νικιέσαι ἀπό τό κακό, ἀλλά μέ τό καλό νά νικᾶς τό κακό». Καί μέ ἤρεμο τρόπο ὑπονόησε τό ὅτι δέν πρέπει νά ἐνεργοῦμε μέ τέτοια διάθεση, γιατί τό νά μνησικακοῦμε ἀκόμη, εἶναι ἧττα ἀπό τό κακό.

Ἀλλά δέν τό ἀνέφερε αὐτό πρῶτο (οὔτε βέβαια εἶχε καιρό), ὅταν ὅμως ἄδειασε τό θυμό του, τότε πρόσθεσε λέγοντας, «νίκα μέ τό καλό τό κακό»· γιατί καί αὐτό εἶναι νίκη. Καθόσον ὁ πυγμάχος τότε μᾶλλον νικάει, ὄχι ὅταν βάλει τόν ἑαυτό του κάτω ὥστε νά δεχθεῖ τά κτυπήματα, ἀλλ' ὅταν, σηκώνοντας τόν ἑαυτό του ψηλά, κάνει τόν ἀντίπαλό του ν' ἀδειάζει τή δύναμή του στόν ἀέρα. Γιατί ἔτσι οὔτε αὐτός θά δεχθεῖ κτυπήματα, καί θ' ἀχρηστεύσει ὅλη τή δύναμη ἐκείνου. Αὐτό ἀκριβῶς γίνεται καί στίς ὕβρεις. Ὅταν λοιπόν ἀνταποδώσεις τήν ὕβρη, νικήθηκες, ὄχι ἀπό τον ἄνθρωπο, ἀλλά, πράγμα πού εἶναι πιό αἰσχρό, ἀπό τό δουλικό πάθος τοῦ θυμοῦ. Ἐάν ὅμως σιωπήσεις, τότε καί νίκησες, καί χωρίς κόπο ἔστησες τό τρόπαιο, καί θά ἔχεις ἀναρίθμητους ἐκείνους πού σέ στεφανώνουν καί καταδικάζουν τό ψέμα τῆς ὕβρεως. Γιατί ἐκεῖνος πού ἀντιλέγει, φαίνεται νά ἀντιλέγει ἐπειδή πληγώνεται, ἀλλ' ἐκεῖνος πού πληγώνεται, παρέχει τήν ὑπόνοια γιά νά γνωρίζεις καλά τά λεγόμενα. Ἐάν λοιπόν γελάσεις, μέ τό γέλιο κατάργησες τήν ἀπόφαση ἐναντίον σου. Καί ἄν θέλεις νά λάβεις σαφή ἀπόδειξη τῶν ὅσων λέχθηκαν, ρώτησε τόν ἴδιο τόν ἐχθρό, πότε στενοχωριέται περισ-

τὸν ἐρώτησον τὸν ἐχθρόν, πότε μᾶλλον ἀλγεῖ, ὅταν διαθερμανθεὶς ἀνθυβρίσῃς, ἢ ὅταν ὑβρίζοντος καταγελάσῃς· καὶ τοῦτο ἀκούσῃ μᾶλλον. Οὐδὲ γὰρ οὕτως ἥδεται τῷ μὴ ὑβρίζεσθαι, ὡς δάκνεται τῷ μὴ δύνασθαί σου καθάπτεσθαι.

Οὐχ ὁρᾷς τοὺς θυμουμένους, ὅτι τῶν ἰδίων πληγῶν οὐ πολὺν ποιούμενοι λόγον, ἐπέρχονται ῥύμῃ πολλῇ καὶ συῶν ἀγρίων χεῖρον τὰ τοῦ πλησίον ζητοῦντες τραύματα, καὶ πρὸς ἓν τοῦτο ὁρῶντες, καὶ τούτου μᾶλλον ὄντες, ἢ τοῦ φυλάξασθαί τι παθεῖν; Ὅταν οὖν, οὗ μάλιστα ἐπιθυμεῖ, τούτου μάλιστα ἀποστερήσῃς αὐτόν, τοῦ παντὸς ἀπεστέρησας, ἐξευτελίσας, καὶ δείξας εὐκαταφρόνητον, καὶ παιδίον μᾶλλον ἢ ἄνδρα, καὶ σὺ μὲν φιλοσόφου ψῆφον λαβών, ἐκεῖνον δὲ θηρίου πονηροῦ δόξῃ περιβαλών. Τοῦτο καὶ ἐν τῷ τύπτεσθαι ποιῶμεν, καὶ ὅταν βουλώμεθα τύπτειν, μὴ ἀντιτύπτωμεν· ἀλλ' εἰ βούλει καιρίαν δοῦναι πληγήν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα, καὶ μυρίοις αὐτὸν πλήξεις τραύμασιν. Οἱ γὰρ κροτοῦντές σε καὶ θαυμάζοντες τῶν καταλευόντων εἰσὶν αὐτῷ χαλεπώτεροι· καὶ πρὸ ἐκείνων τὸ σύνειδὸς αὐτοῦ καταγνώσεται, καὶ μεγίστας αὐτὸν ἀπαιτήσει δίκας, καὶ ὡς τὰ αἴσχιστα παθών, οὕτως ἐρυθριάσας ἀναχωρήσει. Εἰ δὲ καὶ τὴν παρὰ τῶν πολλῶν ζητεῖς δόξαν, καὶ ταύτης ἀπολαύσῃ μειζόνως. Καὶ ἄλλως μὲν γὰρ πρὸς τοὺς κακῶς πάσχοντας ἔχομέν τινα συμπάθειαν, ὅταν δὲ μηδὲ ἀντιτύπτοντας ἴδωμεν, ἀλλὰ καὶ ἑαυτοὺς ἐκδιδόντας, οὐκ ἐλεοῦμεν μόνον, ἀλλὰ καὶ θαυμάζομεν.

4. *Διὰ ταῦτά μοι νῦν ἀνοιμώξαι ἔπεισιν, ὅτι οἱ δυνάμενοι καὶ τὰ ἐνταῦθα ἔχειν, εἰ τῶν τοῦ Χριστοῦ νόμων ἠκούομεν ὡς ἐχρῆν, καὶ τῶν μελλόντων ἐπιτυγχάνειν, ἀμφοτέρων ἐκπίπτομεν, παρακούοντες τῶν εἰρημένων, καὶ περιττὰ φιλοσοφοῦντες. Καὶ γὰρ ἐκεῖνος συμφερόντως πάντα ἐνομοθέτησε, καὶ ἐδίδαξε τί μὲν ποιεῖ ἐνδόξους, τί δὲ αἰσχρούς. Καὶ οὐκ ἄν, εἰ ἔμελλεν ἀποφαίνειν καταγελά-*

σότερο, ὅταν ὀργισθεῖς καί ἀνταποδώσεις τήν ὕβρη ἤ ὅταν αὐτός βρίζει καί σύ γελάσεις. Καί αὐτό θ' ἀκούσεις μᾶλλον. Γιατί δέν εὐχαριστιέται τόσο μέ τό ὅτι δέ βρίζεται, ὅσο στενοχωριέται μέ τό ὅτι δέν μπορεῖ νά σέ προσβάλει.

Δέ βλέπεις ἐκείνους πού ὀργίζονται, πώς, χωρίς νά κάνουν πολύ λόγο γιά τά δικά τους κτυπήματα, ἐπιτίθενται μέ μεγάλη ὁρμή, ἐπιζητώντας χειρότερα καί ἀπό τούς ἄγριους χοίρους τά τραύματα τοῦ πλησίον, καί ἀποβλέπουν σ' αὐτό μόνο, καί αὐτό μόνο ἐπιδιώκουν, παρά γιά νά προφυλαχθοῦν μήπως πάθουν κάτι; Ὅταν λοιπόν τοῦ στερήσεις αὐτό πού πρό πάντων ἐπιθυμεῖ, τοῦ στέρησες τό πᾶν, ἀφοῦ τόν ἐξευτέλισες καί τόν ἀπέδειξες εὐκαταφρόνητο καί παιδί μᾶλλον παρά ἄνδρα, καί ἔτσι ἐσύ θεωρήθηκες φιλόσοφος, ἐνῶ ἐκεῖνον τόν περιέβαλλες μέ φήμη κακοῦ θηρίου. Αὐτό ἄς κάμνουμε καί στά κτυπήματα, καί ὅταν θέλουμε νά κτυπήσουμε, ἄς μήν ἀνταποδίδουμε τά κτυπήματα, ἀλλ' ἄν θέλεις νά τοῦ δώσεις τό καίριο κτύπημα, στρέψε σ' αὐτόν καί τήν ἄλλη σιαγόνα, καί θά τόν τραυματίσεις μέ ἄπειρα τραύματα. Γιατί ἐκεῖνοι πού σέ χειροκροτοῦν καί σέ θαυμάζουν εἶναι σ' αὐτόν πιό ἐπικίνδυνοι ἀπ' αὐτούς πού θανατώνουν μέ λιθοβολισμό. Καί πρίν ἀπ' αὐτούς ἡ συνείδησή του θά τόν κατηγορήσει καί θά ζητήσει γι' αὐτόν μεγάλες τιμωρίες, καί σάν νά ἔπαθε τά χειρότερα κακά, ἔτσι, ἀφοῦ κοκκινίσει, θ' ἀναχωρήσει. Ἐάν ὅμως ζητᾶς καί τή δόξα ἀπό τούς πολλούς καί αὐτή θά τήν ἀπολαύσεις σέ μεγαλύτερο βαθμό. Γιατί ὁπωσδήποτε ἔχουμε κάποια συμπάθεια πρός ἐκείνους πού ὑποφέρουν, ὅταν ὅμως δοῦμε ὅτι δέν ἀνταποδίδουν τό κτύπημα, ἀλλά παραδίδουν ἀκόμη καί τόν ἑαυτό τους, τότε δέν τούς συμπαθοῦμε μόνο, ἀλλά καί τούς θαυμάζουμε.

4. Γι' αὐτά μοῦ ἔρχεται νά κλάψω μέ δυνατές κραυγές, γιατί ἐμεῖς πού μποροῦμε καί τά παρόντα ἀγαθά νά ἔχουμε, ἄν ἀκούαμε τούς νόμους τοῦ Χριστοῦ ὅπως ἔπρεπε, καί τά μελλοντικά νά ἐπιτύχουμε, καί τά δύο τά χάνουμε, ἐπειδή δέν ὑπακοῦμε στά ὅσα λέχθηκαν καί φιλοσοφοῦμε περιττά. Καθόσον ἐκεῖνος τά νομοθέτησε ὅλα σύμφωνα μέ τό συμφέρον μας καί δίδαξε τί μᾶς κάνει ἔνδοξους καί τί αἰσχρούς. Καί δέ θά πρόσταζε αὐτό, ἄν ἐπρόκειτο νά παρουσιάζει

στους τοὺς αὐτοῦ μαθητάς, τοῦτο ἂν ἐπέταξεν· ἀλλ' ἐπειδὴ τοῦτο ποιεῖ λαμπροτέρους ἁπάντων, τὸ κακῶς μὴ λέγειν ἀκούοντας κακῶς, τὸ μὴ κακῶς ποιεῖν πάσχοντας κακῶς, διὰ τοῦτο ταῦτα ἐπέταξεν. Εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον τὸ λέγειν καλῶς ἀκούοντας κακῶς, τὸ ἐγκωμιάζειν ὑβριζομένους, τὸ εὐεργετεῖν ἐπιβουλευομένους. Διὰ τοῦτο καὶ ταῦτα ἐνομοθέτησε. Καὶ γὰρ φείδεται τῶν αὐτοῦ μαθητῶν, καὶ οἶδε σαφῶς τί ποτέ ἐστι τὸ ποιοῦν μικρὸν καὶ μέγαν. Εἰ τοίνυν καὶ φείδεται καὶ οἶδε, τί αὐτῷ φιλονεικεῖς ἑτέραν θέλων ἐλθεῖν ὁδόν; Καὶ γὰρ τὸ νικᾶν ἀπὸ τοῦ κακῶς ποιεῖν, διαβολικῶν ἐστι νόμων. Διά τοι τοῦτο ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι τοῖς ἐκείνῳ τελουμένοις, οὕτω κρατοῦσιν οἱ ἀγωνιζόμενοι πάντες.

Ἀλλ' οὐκ ἐν τῷ σταδίῳ τοῦ Χριστοῦ οὗτος τῶν στεφάνων ὁ νόμος, ἀλλὰ τοὐναντίον ἅπαν, τὸν πληττόμενον, οὐ τὸν πλήττοντα στεφανοῦσθαι νενομοθέτηται. Τοιοῦτον γὰρ αὐτοῦ τὸ στάδιον· ἀπεναντίας ἅπαντα ἔχει διατεταγμένα· ὥστε μὴ τῇ νίκῃ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς νίκης τὸ θαῦμα γίνεσθαι μεῖζον. Ὅταν γὰρ τὰ ἑτέρωθι ὄντα ἥττης, ταῦτα νίκης ποιητικὰ ἀποφήνῃ· τοῦτο Θεοῦ δύναμις, τοῦτο οὐρανοῦ τὸ στάδιον, τοῦτο ἀγγέλων τὸ θέατρον. Οἶδα ὅτι διεθερμάνθητε νῦν, καὶ κηροῦ γεγόνατε παντὸς ἁπαλώτεροι· ἀλλ' ἀναχωρήσαντες ἅπαντα ἀποβλύζετε. Διὰ τοῦτο ἀλγῶ, ὅτι τὰ λεγόμενα ἐπὶ τῶν ἔργων οὐ δείκνυμεν, καὶ ταῦτα μέλλοντες τὰ μέγιστα ἐντεῦθεν κερδαίνειν. Ἂν γὰρ ἐπιείκειαν ἐπιδειξώμεθα, ἀχείρωτοι πᾶσιν ἐσόμεθα, καὶ οὐδεὶς ἀνθρώπων, οὐ μικρός, οὐ μέγας ἡμᾶς τι βλάψαι δυνήσεται. Ἄν τε γὰρ κακῶς τις εἴπῃ, σὲ μὲν οὐδέν, ἑαυτὸν δὲ τὰ μέγιστα ἔβλαψεν· ἄν τε ἀδικήσῃ, πάλιν ἡ βλάβη περὶ τὸν ἠδικηκότα ἵσταται. Οὐχ ὁρᾷς καὶ ἐν τοῖς δικαστηρίοις, ὅτι οἱ μὲν ἠδικημένοι λαμπροί, καὶ μετὰ πολλῆς ἑστήκασι τῆς παρ-

καταγέλαστους τούς μαθητές του. Ἐπειδή ὅμως αὐτό περισσότερο ἀπό ὅλα τούς κάνει ἐνδοξότερους, δηλαδή τό νά μή κακολογοῦν ὅταν κατηγοροῦνται, τό νά μή κακοποιοῦν ὅταν τούς κακομεταχειρίζονται, γι' αὐτό πρόσταξε αὐτά. Ἐάν ὅμως αὐτό τούς κάνει ἔνδοξους, πολύ περισσότερο θά τούς κάνει τό νά λέγουν καλά λόγια ὅταν κατηγοροῦνται, τό νά ἐπαινοῦν ὅταν βρίζονται, τό νά εὐεργετοῦν ὅταν παθαίνουν κακό. Γι' αὐτό καί τά νομοθέτησε αὐτά. Καθόσον φροντίζει πολύ γιά τούς μαθητές του καί ξέρει καλά τί εἶναι ἐκεῖνο πού κάνει τό μικρό καί τό μεγάλο. Ἐάν λοιπόν καί φροντίζει καί ξέρει, γιατί φιλονεικεῖς μ' αὐτόν θέλοντας νά βαδίσεις ἄλλο δρόμο; Γιατί ἀσφαλῶς ἡ νίκη πού προέρχεται ἀπό τήν κακοποίηση ἀνήκει στούς νόμους τοῦ διαβόλου. Γι' αὐτό λοιπόν στούς Ὀλυμπιακούς ἀγῶνες πού τελοῦνται πρός χάρη του, ἔτσι νικοῦν ὅλοι οἱ ἀθλητές.

Ἀλλά στό στάδιο τοῦ Χριστοῦ δέν ἰσχύει αὐτός ὁ νόμος τῶν βραβείων, ἀλλά τό ἐντελῶς ἀντίθετο· ἔχει νομοθετηθεῖ νά στεφανώνεται ὁ νικημένος καί ὄχι ὁ νικητής. Γιατί τέτοιο εἶναι τό δικό του στάδιο, ὅλα ἔχουν ορισθεῖ ἀντίθετα, ὥστε ὄχι μόνο μέ τή νίκη, ἀλλά καί μέ τόν τρόπο τῆς νίκης τό θαῦμα νά γίνεται μεγαλύτερο. Ὅταν λοιπόν ἐκεῖνα πού ἀλλοῦ ἀνήκουν στήν ἥττα, τά παρουσιάζει πρόξενα νίκης, αὐτό εἶναι δύναμη Θεοῦ, αὐτό εἶναι τό στάδιο τοῦ οὐρανοῦ, αὐτό εἶναι τό θέατρο τῶν ἀγγέλων. Γνωρίζω ὅτι διαθερμανθήκατε τώρα, καί ὅτι γίνατε πιό μαλακοί ἀπό κάθε κερί, ἀλλ' ὅταν ἀναχωρήσετε ὅλα τά πετᾶτε. Γι' αὐτό στενοχωριέμαι, γιατί δέν δείχνουμε τά λεγόμενα στά ἔργα, καί μάλιστα ὅταν πρόκειται νά κερδίσουμε ἀπό ἐδῶ τά πιό μεγάλα πράγματα. Γιατί, ἄν δείξουμε ἐπιείκεια, θά εἴμαστε ἀνίκητοι σ' ὅλους καί κανείς ἀπό τούς ἀνθρώπους, οὔτε μικρός οὔτε μεγάλος, δέ θά μπορέσει νά μᾶς βλάψει. Καί ἄν λοιπόν κάποιος πεῖ κακό λόγο, ἐσένα δέν σ' ἔβλαψε καθόλου, ἐνῶ ἔβλαψε πάρα πολύ τόν ἑαυτό του· καί ἄν ἀδικήσει, πάλι ἡ βλάβη στέκεται γύρω ἀπ' αὐτόν πού ἔχει ἀδικήσει. Δέ βλέπεις καί στά δικαστήρια, ὅτι ἐκεῖνοι πού ἔχουν ἀδικηθεῖ εἶναι λαμπροί καί σηκώνονται καί μιλοῦν μέ πολλή παρρησία καί ἐλευθεροστομία,

ρησίας ἐλευθεροστομοῦντες, οἱ δὲ ἠδικηκότες κάτω κύπτοντες μετ' αἰσχύνης καὶ φόβου;

Καὶ τί λέγω κακηγορίαν καὶ ἀδικίαν; Κἂν γὰρ ξίφος ἀκονήσῃ κατὰ σοῦ, κἂν εἰς τὸν λαιμὸν αὐτὸν τὴν δεξιὰν βαπτίσῃ, σὲ μὲν οὐδὲν παρέβλαψεν, ἑαυτὸν δὲ κατέσφαξε. Καὶ μαρτυρήσειεν ἂν τῷ λόγῳ ὁ πρῶτος οὕτως ἀναιρεθεὶς ὑπὸ δεξιᾶς ἀδελφικῆς. Ὁ μὲν γὰρ ἀπῄει πρὸς τὸν ἀκύμαντον λιμένα, ἀθάνατον δόξαν κτησάμενος, ὁ δὲ παντὸς θανάτου βίον ἀθλιώτερον ἔζη, στένων καὶ τρέμων, καὶ ἐν τῷ σώματι τὴν κατηγορίαν τοῦ γενομένου περιφέρων. Μὴ δὴ τοῦτο διώκωμεν, ἀλλ' ἐκεῖνο. Ὁ μὲν γὰρ κακῶς πάσχων οὐκ ἔχει οἴκοι μένον τὸ κακόν· οὐ γὰρ αὐτὸς αὐτὸ ἔτεκεν, ἀλλ' ἑτέρωθεν αὐτὸ δεξάμενος, ἐποίησεν ἀγαθὸν διὰ τῆς ὑπομονῆς· ὁ δὲ ποιήσας κακῶς, οἴκοι τὴν πηγὴν ἔχει τῆς κακίας. Οὐχ ὁ Ἰωσὴφ ἐν δεσμωτηρίῳ ἦν, ἡ δὲ ἐπιβουλεύσασα αὐτῷ πόρνη ἐν οἰκίᾳ λαμπρᾷ καὶ περιφανεῖ; Τίς ἂν οὖν ἠθέλησας γενέσθαι; Καὶ μήπω μοι τὴν ἀντίδοσιν εἴπῃς, ἀλλ' αὐτὰ καθ' ἑαυτὰ ἐξέτασον τὰ γεγενημένα· καὶ γὰρ οὕτω μυριάκις προτιμήσεις τὸ δεσμωτήριον μετὰ τοῦ Ἰωσὴφ τῆς οἰκίας τῆς τὴν πόρνην ἐχούσης. Καὶ γὰρ εἰ τὴν ἀμφοτέρων ψυχὴν ἴδοις, τὴν μὲν ἐν εὐρυχωρίᾳ καὶ παρρησίᾳ ὄψει πολλῇ, τὴν δὲ τῆς Αἰγυπτίας ἐν στενοχωρίᾳ καὶ αἰσχύνῃ καὶ κατηφείᾳ καὶ θορύβῳ καὶ ἀθυμίᾳ πολλῇ· καίτοιγε αὐτὴ ἐδόκει νικᾶν, ἀλλ' οὐκ ἦν αὕτη νίκη.

Ταῦτ' οὖν εἰδότες, πρὸς τὸ κακῶς παθεῖν ἑαυτοὺς παρασκευάσωμεν, ἵνα καὶ τοῦ κακῶς παθεῖν ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

7. Ἀναφέρεται στόν Ἄβελ πού τόν φόνευσε ὁ ἀδελφός του Κάιν- Βλ. Γεν. 4,18.

8. Γιά τό σχετικό ἐπεισόδιο βλ. Γεν. 39,7-23.

ἐνῶ ἐκεῖνοι πού ἔχουν ἀδικήσει μιλοῦν σκύβοντας κάτω τό κεφάλι μέ ντροπή καί φόβο;

Καί γιατί μιλάω γιά κακολογία καί ἀδικία; Γιατί, καί ἄν ἀκόμη ἀκονίσει τό ξίφος ἐναντίον σου, καί ἄν ἀκόμη βυθίσει τό δεξί του χέρι στόν ἴδιο τό λαιμό σου, ἐσένα δέν σ' ἔβλαψε καθόλου, ἐνῶ κατέσφαξε τόν ἑαυτό του. Καί θά βεβαιώσει τό λόγο ὁ πρῶτος πού θανατώθηκε ἀπό ἀδελφικό χέρι[7]. Γιατί ὁ ἕνας πῆγε στό γαλήνιο λιμάνι, ἀφοῦ ἀπέκτησε ἀθάνατη δόξα, ἐνῶ ὁ ἄλλος ζοῦσε πιό ἄθλια ζωή ἀπό κάθε θάνατο, στενάζοντας καί τρέμοντας, καί περιφέροντας στό σῶμα του τήν κατηγορία τοῦ φόνου. Ἄς μήν ἐπιδιώκουμε λοιπόν αὐτό, ἀλλά ἐκεῖνο. Γιατί ἐκεῖνος πού κακοπαθαίνει δέν ἔχει μόνιμο στό σπίτι του τό κακό, οὔτε βέβαια τό γέννησε ὁ ἴδιος, ἀλλ' ἀφοῦ τό δέχτηκε ἀπό ἄλλου, τό ἔκαμε μέ τήν ὑπομονή του καλό, ἐνῶ ἐκεῖνος πού κακοποίησε ἔχει στό σπίτι του τήν πηγή τῆς κακίας. Δέν ἦταν ὁ Ἰωσήφ στή φυλακή, ἐνῶ ἡ πόρνη πού τοῦ ἔκαμε τό κακό σέ σπίτι λαμπρό καί ὀνομαστό[8]; Ποιός λοιπόν θά ἤθελες νά γίνεις; Καί μή μοῦ ἀναφέρεις ἀκόμη τήν ἀνταπόδοση, ἀλλ' ἐξέτασε αὐτά καθ' ἑαυτά τά γεγονότα· καθόσον ἔτσι χίλιες φορές θά προτιμήσεις τή φυλακή μαζί μέ τόν Ἰωσήφ ἀπό τό σπίτι πού ἔχει τήν πόρνη. Γιατί πραγματικά ἄν ἔβλεπες τήν ψυχή καί τῶν δύο, θά ἔβλεπες τήν ψυχή τοῦ Ἰωσήφ νά βρίσκεται σέ ἄνεση καί παρρησία πολλή, ἐνῶ τήν ψυχή τῆς Αἰγυπτίας νά βρίσκεται σέ στενοχώρια καί ντροπή, σέ κατήφεια καί ταραχή καί λύπη πολλή. Καί ὅμως αὐτή φαινόταν πώς νικοῦσε, ἀλλά δέν εἶναι αὐτή νίκη.

Γνωρίζοντας λοιπόν αὐτά, ἄς προετοιμάσουμε τούς ἑαυτούς μας γιά νά κακοπάθουμε, ὥστε καί ἀπό τήν κακή μεταχείριση ν' ἀπαλλαγοῦμε καί τά μελλοντικά ἀγαθά νά ἐπιτύχουμε, τά ὁποῖα εἴθε ὅλοι μας νά τά ἀπολαύσουμε, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΔ'

(Ρωμ. 13,1-10)

«Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω».

1. Πολὺν τοῦ πράγματος τούτου ποιεῖται λόγον καὶ ἐν ἑτέραις ἐπιστολαῖς, καθάπερ τοὺς οἰκέτας τοῖς δεσπόταις, οὕτω καὶ τοὺς ἀρχομένους τοῖς ἄρχουσιν ὑποτάσσων. Ποιεῖ δὲ τοῦτο, δεικνὺς ὡς οὐκ ἐπ' ἀνατροπῇ τῆς κοινῆς πολιτείας ὁ Χριστὸς τοὺς παρ' αὐτοῦ νόμους εἰσήγαγεν, ἀλλ' ἐπὶ διορθώσει βελτίονι, καὶ παιδεύων μὴ περιττοὺς ἀναδέχεσθαι πολέμους καὶ ἀνονήτους. Ἀρκοῦσι γὰρ αἱ διὰ τὴν ἀλήθειαν ἡμῖν ἐπαγόμεναι ἐπιβουλαί, καὶ περιττοὺς οὐ δεῖ προστιθέναι πειρασμοὺς καὶ ἀνονήτους. Σκόπει δὲ πῶς καὶ εὐκαίρως εἰς τὸν περὶ τούτων ἐνέβαλε λόγον. Ἐπειδὴ γὰρ τὴν πολλὴν ἐκείνην ἀπήτησε φιλοσοφίαν, καὶ τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς κατεσκεύασεν ἐπιτηδείους, καὶ τοῖς ἐν εὐημερίᾳ καὶ τοῖς δυσπραγοῦσι καὶ τοῖς δεομένοις καὶ πᾶσιν ἁπλῶς χρησίμους εἰργάσατο, καὶ τὴν ἀγγέλοις πρέπουσαν κατεφύτευσε πολιτείαν, καὶ θυμὸν ἐκένωσε, καὶ ἀπόνοιαν κατέστειλε, καὶ διὰ πάντων κατελέανεν αὐτῶν τὴν διάνοιαν, τότε καὶ τὴν περὶ τούτων εἰσάγει παραίνεσιν. Εἰ γὰρ τοὺς ἀδικοῦντας τοῖς ἐναντίοις ἀμείβεσθαι χρή, πολλῷ μᾶλλον τοῖς εὐεργετοῦσι πείθεσθαι προσήκει.

Ἀλλὰ τοῦτο μὲν πρὸς τῷ τέλει τῆς παραινέσεως τίθησι· τέως δὲ οὐ τούτους κινεῖ τοὺς λογισμούς, οὓς εἶπον, ἀλλὰ τοὺς

ΟΜΙΛΙΑ ΚΔ'

(Ρωμ. 13,1-10)

«Κάθε ἄνθρωπος ἂς ὑποτάσσεται στίς ἀνώτερες ἐξουσίες».

1. Πολύ λόγο κάνει γιά τό πράγμα αὐτό καί σ' ἄλλες ἐπιστολές, ὑποτάσσοντας ὅπως ἀκριβῶς τούς ὑπηρέτες στούς κυρίους, ἔτσι καί τούς πολίτες στούς ἄρχοντες. Καί τό κάνει αὐτό, γιά νά δείξει ὅτι ὁ Χριστός δέν ὅρισε τούς νόμους του γιά τήν ἀνατροπή τῆς κοινῆς πολιτείας, ἀλλά γιά καλύτερη διόρθωσή της καί γιά νά διδάξει νά μήν κάνουμε περιττούς καί ἐπιζήμιους πολέμους· γιατί εἶναι ἀρκετές οἱ σκευωρίες πού προκαλοῦνται ἐναντίον μας ἐξ αἰτίας τῆς ἀλήθειας καί δέν πρέπει νά προσθέτονται περιττοί καί ἄχρηστοι πειρασμοί. Πρόσεχε ὅμως πῶς καί στήν κατάλληλη στιγμή ἔστρεψε τό λόγο σ' αὐτά. Ἀφοῦ λοιπόν ἀπαίτησε τή μεγάλη ἐκείνη φιλοσοφία, καί τούς κατέστησε οἰκείους στούς φίλους καί τούς ἐχθρούς, τούς ἔκαμε χρήσιμους σ' ἐκείνους πού εὐτυχοῦν καί σ' ἐκείνους πού δυστυχοῦν καί σ' ἐκείνους πού ἔχουν ἀνάγκες καί γενικά σ' ὅλους, καί φύτεψε τήν πολιτεία πού ταιριάζει στούς ἀγγέλους, ἄδειασε τό θυμό τους καί συγκράτησε τήν ἀλαζονεία τους, καί μέ ὅλα μαλάκωσε τήν ψυχή τους, τότε παρουσιάζει καί τήν παραίνεση γι' αὐτά. Γιατί, ἂν ἐκεῖνοι πού μᾶς ἀδικοῦν πρέπει ν' ἀνταμείβονται μέ τά ἀντίθετα, πολύ περισσότερο ταιριάζει νά ὑπακοῦμε σ' ἐκείνους πού μᾶς εὐεργετοῦν.

Αὐτό ὅμως τό τοποθετεῖ πρός τό τέλος τῆς παραινέσεως· στήν ἀρχή δέν ἀναφέρει αὐτές τίς σκέψεις, πού εἶπα, ἀλλά ἐκεῖνες πού

κατὰ ὀφειλὴν κελεύοντας τοῦτο ποιεῖν. Καὶ δεικνὺς ὅτι πᾶσι ταῦτα διατάττεται, καὶ ἱερεῦσι καὶ μοναχοῖς, οὐχὶ τοῖς βιωτικοῖς μόνον, ἐκ προοιμίων αὐτὸ δῆλον ἐποίησεν, οὕτω λέγων· «πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω»· κἂν ἀπόστολος ἦς, κἂν εὐαγγελιστής, κἂν προφήτης, κἂν ὁτιοῦν· οὐδὲ γὰρ ἀνατρέπει τὴν εὐσέβειαν αὕτη ἡ ὑποταγή. Καὶ οὐχ ἁπλῶς εἶπε, πειθέσθω, ἀλλ' «ὑποτασσέσθω». Καὶ πρῶτον δικαίωμα τῆς τοιαύτης νομοθεσίας, καὶ λογισμὸς πρέπων πιστοῖς, τὸ παρὰ τοῦ Θεοῦ ταῦτα διατετάχθαι. «Οὐ γάρ ἐστιν ἐξουσία», φησίν, «εἰ μὴ ὑπὸ Θεοῦ». Τί λέγεις; πᾶς οὖν ἄρχων ἀπὸ Θεοῦ χειροτονεῖται; Οὐ τοῦτο λέγω, φησίν· οὐδὲ περὶ τῶν καθ' ἕκαστον ἀρχόντων ὁ λόγος μοι νῦν, ἀλλὰ περὶ αὐτοῦ τοῦ πράγματος. Τὸ γὰρ ἀρχὰς εἶναι, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, μηδὲ ἁπλῶς καὶ ἀνέδην ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων τῇδε κἀκεῖσε τῶν δήμων περιαγομένων, τῆς τοῦ Θεοῦ σοφίας ἔργον εἶναί φημι.

Διὰ τοῦτο οὐκ εἶπεν, οὐ γάρ ἐστιν ἄρχων, εἰ μὴ ὑπὸ Θεοῦ, ἀλλὰ περὶ τοῦ πράγματος διαλέγεται λέγων· «οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ὑπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ Θεοῦ τεταγμέναι εἰσίν». Οὕτω καὶ ὅταν λέγῃ τις σοφός, ὅτι «παρὰ Κυρίου ἁρμόζεται γυνὴ ἀνδρί», τοῦτο λέγει, ὅτι τὸν γάμον ὁ Θεὸς ἐποιήσεν, οὐχ ὅτι ἕκαστον συνιόντα γυναικὶ αὐτὸς συνάπτει. Καὶ γὰρ ὁρῶμεν πολλοὺς ἐπὶ κακῷ καὶ νόμῳ γάμου συνιόντας ἀλλήλοις, καὶ οὐκ ἂν τῷ Θεῷ τοῦτο λογισαίμεθα. Ἀλλ' ὅπερ αὐτὸς ἔλεγεν· «ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εἶπεν, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεαι πρὸς τὴν γυναῖκα αὐτοῦ»· τοῦτο καὶ ὁ σοφὸς ἐκεῖνος ἑρμηνεύων ἔλεγεν. Ἐπειδὴ γὰρ τὸ ὁμότιμον μάχην πολλάκις εἰσάγει, πολλὰς ἐποίησε τὰς ἀρχὰς καὶ τὰς ὑποταγάς, οἷον ὡς ἀνδρὸς καὶ γυναικός, ὡς παιδὸς καὶ πατρός, ὡς πρεσβύτου καὶ νέου, ὡς δούλου καὶ ἐλευθέρου, ὡς ἄρχοντος καὶ ἀρχομένου, ὡς διδασκάλου καὶ μαθητοῦ.

---

1. Παροιμ. 19,14.
2. Ματθ. 19,4 .5.

προτρέπουν νά κάνουν αὐτό σάν χρέος. Καί γιά νά δείξει ὅτι ἡ ἐντολή αὐτή ἀπευθύνεται σ' ὅλους, καί στούς ἱερεῖς καί στούς μοναχούς, ὄχι μόνο στούς λαϊκούς, τό ἔκαμε ἀπό τήν ἀρχή φανερό αὐτό, λέγοντας τά ἑξῆς· «κάθε ἄνθρωπος ἄς ὑποτάσσεται στίς ἀνώτερες ἐξουσίες», εἴτε εἶναι ἀπόστολος, εἴτε εὐαγγελιστής, εἴτε προφήτης, εἴτε ὁποιοσδήποτε, γιατί ἡ ὑποταγή αὐτή δέν ἀνατρέπει τήν εὐσέβεια. Καί δέν εἶπε ἁπλῶς, 'ἄς ὑπακούει', ἀλλά, «ἄς ὑποτάσσεται». Καί πρώτη ἀξίωση αὐτῆς τῆς νομοθεσίας καί σκέψη πού ἁρμόζει στούς πιστούς εἶναι, τό ὅτι ἔχουν διαταχθεῖ αὐτά ἀπό τό Θεό. «Γιατί δέν ὑπάρχει ἐξουσία», λέγει, «παρά μόνο ἀπό τό Θεό». Τί λέγεις; κάθε ἄρχοντας δηλαδή χειροτονεῖται ἀπό τό Θεό; Δέν ἐννοῶ αὐτό, λέγει· οὔτε ὁ λόγος μου τώρα θά εἶναι γιά τούς ἄρχοντες χωριστά, ἀλλά γι' αὐτό τό πράγμα. Γιατί τό νά ὑπάρχουν ἐξουσίες, καί ἄλλοι βέβαια νά ἐξουσιάζουν ἐνῶ ἄλλοι νά ἐξουσιάζονται, καί νά μή φέρονται ὅλα ἄσκοπα καί ἀχαλίνωτα, καί οἱ λαοί νά μή περιφέρονται ἐδῶ καί ἐκεῖ σάν τά κύματα, αὐτό ὅτι εἶναι ἔργο τῆς σοφίας τοῦ Θεοῦ.

Γι' αὐτό δέν εἶπε, 'δέν ὑπάρχει λοιπόν ἄρχοντας, παρά μόνο ἀπό τό Θεό', ἀλλά μιλάει γενικά γιά τό πράγμα καί λέγει· «γιατί δεν ὑπάρχει ἀξουσία, παρά μόνο ἀπό τό Θεό, καί οἱ ἐξουσίες πού ὑπάρχουν ἔχουν ὁρισθεῖ ἀπό τό Θεό». Ἔτσι καί κάποιος σοφός, λέγοντας, ὅτι «ἀπό τό Θεό συνάπτεται ἡ γυναίκα στόν ἄνδρα»[1], αὐτό ἐννοεῖ, ὅτι δηλαδή ὁ Θεός ἔκανε τό γάμο, καί ὄχι ὅτι αὐτός ἑνώνει τόν καθένα πού ἔρχεται σέ σαρκική μείξη μέ γυναίκα. Καθόσον βλέπουμε πολλούς πού συνῆψαν κακό καί μή νόμιμο γάμο μεταξύ τους, καί δέ θά ἦταν δυνατό νά τό καταλογίσουμε αὐτό στό Θεό. Ἀλλ' ἐκεῖνο πού ἔλεγε αὐτός, «ὁ Δημιουργός ἀπό τήν ἀρχή δημιούργησε ἄνδρα καί γυναίκα, καί εἶπε· γι' αὐτό ὁ ἄνθρωπος θά ἐγκαταλείψει τόν πατέρα του καί τή μητέρα του καί θά προσκολληθεῖ στή γυναίκα του»[2], τό ἴδιο καί ὁ σοφός ἐκεῖνος ἑρμηνεύοντας ἔλεγε. Ἐπειδή λοιπόν ἡ ἰσοτιμία φέρνει πολλές φορές σύγκρουση, ἔκανε πολλές τίς ἐξουσίες καί τίς ὑποταγές, ὅπως γιά παράδειγμα σάν τοῦ ἄνδρα καί τῆς γυναίκας, τοῦ παιδιοῦ καί τοῦ πατέρα, τοῦ γέροντα καί τοῦ νέου, τοῦ δούλου καί τοῦ ἐλεύθερου, τοῦ ἄρχοντα καί τοῦ πολίτη, τοῦ διδασκάλου καί τοῦ μαθητῆ.

Καὶ τί θαυμάζεις ἐπὶ τῶν ἀνθρώπων, ὅπου γε καὶ ἐπὶ τοῦ σώματος τὸ αὐτὸ τοῦτο πεποίηκεν. Οὐδὲ γὰρ ἐνταῦθα ὁμότιμα πάντα εἰργάσατο, ἀλλὰ τὸ μὲν ἔλαττον, τὸ δὲ κρεῖττον κατεσκεύασε, καὶ τὰ μὲν ἄρχειν τῶν μελῶν, τὰ δὲ ἄρχεσθαι ἐποίησε. Καὶ ἐν τοῖς ἀλόγοις δὲ τὸ αὐτὸ τοῦτο ἴδοι τις ἄν, ὡς ἐν ταῖς μελίσσαις, ὡς ἐν ταῖς γεράνοις, ὡς ἐν ταῖς ἀγέλαις τῶν ἀγρίων προβάτων. Καὶ οὐδὲ ἡ θάλαττα ταύτης ἐστέρηται τῆς εὐταξίας, ἀλλὰ καὶ ἐκεῖ πολλὰ τῶν γενῶν ὑφ' ἑνὶ τάττεται τῶν ἰχθύων, καὶ στρατηγεῖται οὕτω, καὶ μακρὰς ἀποδημίας ἀποδημεῖ. Καὶ γὰρ ἡ ἀναρχία πανταχοῦ κακόν, καὶ συγχύσεως αἴτιον.

2. *Εἰπὼν τοίνυν πόθεν εἰσὶν αἱ ἀρχαί, ἐπήγαγεν· «ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν». Εἶδες ποῦ τὸ πρᾶγμα ἀνήγαγε, καὶ πόθεν ἐφόβησε, καὶ πῶς ἔδειξε τοῦτο κατὰ ὀφειλὴν γινόμενον; Ἵνα γὰρ μὴ λέγωσιν οἱ πιστοί, ὅτι ἐξευτελίζεις ἡμᾶς καὶ εὐκαταφρονήτους ποιεῖς, τοὺς τῆς τῶν οὐρανῶν βασιλείας ἀπολαύειν μέλλοντας ἄρχουσιν ὑποτάττων, δείκνυσι ὅτι οὐκ ἄρχουσιν, ἀλλὰ τῷ Θεῷ πάλιν ὑποτάττει τοῦτο ποιῶν· ἐκείνῳ γὰρ ὁ ταῖς ἀρχαῖς ὑποτασσόμενος πείθεται. Ἀλλ' οὐ λέγει οὕτως, οἷον ὅτι τῷ Θεῷ πείθεται ὁ τοῖς ἄρχουσιν ὑπακούων, ἀλλ' ἀπὸ τοῦ ἐναντίου φοβεῖ, καὶ ἀκριβέστερον αὐτὸ κατασκευάζει λέγων, ὅτι ὁ μὴ ὑπακούων ἐκείνῳ τῷ Θεῷ πολεμεῖ τῷ ταῦτα νομοθετήσαντι. Καὶ τοῦτο σπουδάζει δεῖξαι πανταχοῦ, ὅτι οὐ χαριζόμεθα αὐτοῖς τὴν ὑπακοήν, ἀλλ' ὀφείλομεν. Οὕτω γὰρ ἂν καὶ τοὺς ἄρχοντας τοὺς ἀπίστους μᾶλλον ἐπεσπάσατο πρὸς εὐσέβειαν, καὶ τοὺς πιστοὺς πρὸς ὑπακοήν.*

Καὶ γὰρ πολὺς περιεφέρετο λόγος τότε, ἐπὶ στάσει καὶ καινοτομίᾳ διαβάλλων τοὺς ἀποστόλους, καὶ ὡς ἐπ' ἀνατροπῇ τῶν κοινῶν νόμων ἅπαντα καὶ ποιοῦντας καὶ λέγοντας. Ὅταν οὖν δείξῃς τὸν κοινὸν ἡμῶν δεσπότην τοῦτο παρεγγυῶντα τοῖς αὐτοῦ πᾶσι, καὶ τῶν διαβαλλόντων ὡς νεωτεροποιοὺς ἀπορράψεις τὰ στόματα, καὶ μετὰ πολλῆς παρρησίας ὑπὲρ τῶν τῆς ἀληθείας διαλέξῃ δογμάτων. Μὴ τοίνυν αἰσχύνου, φησί, τῇ τοιαύτῃ ὑποταγῇ. Καὶ γὰρ ὁ

Καί τί άπορεῖς πού τό ἔκαμε αὐτό στούς ἀνθρώπους, τή στιγμή πού τό ἴδιο ἀκριβῶς ἔκανε καί στό σῶμα; Γιατί οὔτε ἐδῶ τά δημιούργησε ὅλα ἰσότιμα, ἀλλά κατασκεύασε τό ἕνα μικρότερο καί τό ἄλλο ἀνώτερο, καί ἔκαμε ἄλλα ἀπό τά μέλη νά ἐξουσιάζουν καί ἄλλα νά ἐξουσιάζονται. 'Αλλά καί στά ζῶα θά μποροῦσε κανείς νά δεῖ τό ἴδιο ἀκριβῶς, ὅπως στίς μέλισσες, καί στούς γερανούς, καί στά κοπάδια τῶν ἀγρίων προβάτων. Καί οὔτε ἡ θάλασσα στερήθηκε αὐτή τήν καλή τάξη, ἀλλά καί ἐκεῖ πολλά ἀπό τά γένη τάσσονται κάτω ἀπό τήν ἐξουσία ἑνός ἀπό τά ψάρια, καί διοικοῦνται ἔτσι, καί κάνουν μακρυνά ταξίδια. Καθόσον ἡ ἀναρχία εἶναι παντοῦ κακό καί αἰτία ταραχῆς.

2. 'Αφοῦ λοιπόν εἶπε ἀπό ποῦ προέρχονται οἱ ἐξουσίες, πρόσθεσε· «ὥστε ἐκεῖνος πού ἀντιτάσσεται στήν ἐξουσία, ἀντιτάσσεται στή διαταγή τοῦ Θεοῦ». Εἶδες ποῦ ὁδήγησε τό πράγμα, καί ἀπό ποῦ τούς φόβισε, καί πῶς ἔδειξε ὅτι αὐτό γίνεται σάν χρέος; Γιά νά μή λέγουν λοιπόν οἱ πιστοί, ὅτι μᾶς ἐξευτελίζεις καί μᾶς κάνεις εὐκαταφρόνητους, ὑποτάσσοντας στούς ἄρχονες ἐκείνους πού πρόκειται ν' ἀπολαύσουν τή βασιλεία τῶν οὐρανῶν, δείχνει ὅτι δέν τούς ὑποτάσσει στούς ἄρχοντες, ἀλλά στό Θεό πάλι ὑποτάσσει κάνοντας αὐτό. Γιατί, ὅποιος ὑποτάσσεται στίς ἐξουσίες, ὑπακούει σ' ἐκεῖνον. Ὅμως δέ λέγει αὐτό, ὅτι δηλαδή ὑπακούει στό Θεό ἐκεῖνος πού ὑπακούει στούς ἄρχοντες, ἀλλ' ἀπό τό ἀντίθετο τούς φοβίζει καί τό ἀποδεικνύει μέ περισσότερη ἀκρίβεια λέγοντας, ὅτι ὅποιος δέν ὑπακούει σ' ἐκεῖνον, πολεμάει ἐναντίον τοῦ Θεοῦ πού ὅρισε αὐτά. Καί αὐτό φροντίζει νά τό δείξει παντοῦ, ὅτι δέ χαρίζουμε σ' αὐτούς τήν ὑπακοή, ἀλλά τήν ὀφείλουμε. Γιατί ἔτσι θά μποροῦσε νά προσελκύσει καί τούς ἄπιστους ἄρχοντες στήν εὐσέβεια καί τούς πιστούς στήν ὑπακοή.

Βέβαια τότε γινόταν παντοῦ πολύς λόγος, πού συκοφαντοῦσε τούς ἀποστόλους γιά στάση καί νεωτερισμό, καί ὅτι τάχα τά ἔκαναν καί τά ἔλεγαν ὅλα γιά τήν ἀνατροπή τῶν κοινῶν νόμων. Ὅταν λοιπόν δείξεις ὅτι ὁ κοινός μας Κύριος τό βεβαιώνει αὐτό σ' ὅλους τούς δικούς του, θά κλείσεις καί τά στόματα ἐκείνων πού τούς συκοφαντοῦσαν σάν στασιαστές, καί θά μιλήσεις μέ πολλή παρρησία γιά τά δόγματα τῆς ἀλήθειας. Νά μήν ντρέπεσαι λοιπόν, λέγει μέ μιά τέτοια ὑποταγή. Καθόσον ὁ Θεός τό ὅρισε αὐτό, καί εἶναι σφο-

Θεὸς τοῦτο ἐνομοθέτησε, καὶ σφοδρός ἐστι τιμωρὸς καταφρονουμένων τούτων. Οὐ γὰρ τὴν τυχοῦσάν σε ἀπαιτήσει δίκην παρακούοντα, ἀλλὰ καὶ σφόδρα μεγίστην, καὶ οὐδέν σε ἐξαιρήσεται ἀντιλέγοντα, ἀλλὰ καὶ παρὰ ἀνθρώπων ὑποστήσῃ τιμωρίαν χαλεπωτάτην, καὶ οὐδείς σου προστήσεται, καὶ τὸν Θεὸν παροξυνεῖς μειζόνως. Ἅπερ ἅπαντα αἰνιττόμενος ἔλεγεν· «οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα λήψονται».

Εἶτα δεικνὺς καὶ τὸ κέρδος τοῦ πράγματος μετὰ τὸν φόβον, καὶ ἀπὸ λογισμῶν πείθει λέγων οὕτως· «οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν». Ἐπειδὴ γὰρ βαθεῖαν ἔδωκε τὴν πληγήν, καὶ κατέπληξεν αὐτούς, πάλιν ἀνίησιν, ὥσπερ σοφὸς ἰατρὸς φάρμακα προσηνῆ τιθείς, καὶ παραμυθούμενος καὶ λέγων, τί δέδοικας; τί φρίττεις; μὴ γὰρ ἐπιτιμᾷ καλῶς πράττοντι; μὴ γάρ ἐστι φοβερὸς ἀρετῆς ἐπιμελουμένῳ; Διὸ καὶ ἐπάγει· «θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; Τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς». Εἶδες πῶς αὐτὸν ᾠκείωσε τῷ ἄρχοντι, δείξας αὐτὸν καὶ ἐπαινέτην αὐτοῦ καθήμενον; Εἶδες πῶς ἐκένωσε τὸν θυμόν; «Θεοῦ γάρ ἐστι διάκονός σοι εἰς τὸ ἀγαθόν». Τοσοῦτον ἀπέχει τοῦ φοβῆσαι, φησίν, ὅτι καὶ ἐπαινεῖ· τοσοῦτον ἀπέχει τοῦ κωλῦσαι, ὅτι καὶ συμπράττει. Ὅταν οὖν καὶ ἐπαινέτην ἔχῃς καὶ βοηθόν, διὰ τί οὐχ ὑποτάσσῃ;

Καὶ γὰρ καὶ ἄλλως εὐκολωτέραν σοι ποιεῖ τὴν ἀρετήν, τοὺς μὲν πονηροὺς κολάζων, τοὺς δὲ ἀγαθοὺς εὐεργετῶν καὶ τιμῶν, καὶ τῷ βουλήματι τοῦ Θεοῦ συμπράττων· διὸ καὶ διάκονον αὐτὸν ἐκάλεσε. Σκόπει δέ. Συμβουλεύω περὶ σωφροσύνης ἐγώ, καὶ ἐκεῖνος τὰ αὐτὰ λέγει διὰ τῶν νόμων· παραινῶ περὶ τοῦ μὴ δεῖν πλεονεκτεῖν μηδὲ ἁρπάζειν, ἐκεῖνος ὑπὲρ τούτων κάθηται δικάζων. Ὥστε συνεργὸς ἡμῖν ἐστι καὶ βοηθός, καὶ παρὰ τοῦ Θεοῦ εἰς τοῦτο ἀπέσταλται. Ἀμφοτέρωθεν τοίνυν ἐστὶν αἰδέσιμος, καὶ ὅτι παρὰ τοῦ Θεοῦ ἀπεστάλη, καὶ ὅτι ἐπὶ τοιούτῳ πράγματι. «Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ». Οὐκ ἄρα ὁ ἄρχων τὸν φόβον ποιεῖ, ἀλλ' ἡ ἡμε-

δρός τιμωρός ὅταν περιφρονοῦνται αὐτά. Γιατί δέ θά ζητήσει μικρή τιμωρία γιά σένα ὅταν τά παρακοῦς, ἀλλά ὑπερβολικά μεγάλη, καί τίποτε δέ θά σέ γλυτώσει ὅταν ἀντιλέγεις, ἀλλά καί ἀπό τούς ἀνθρώπους θά ὑποστεῖς τιμωρία πάρα πολύ φοβερή, καί κανείς δέ θά σέ προστατέψει, καί τό Θεό θά ἐξοργίσεις σέ μεγαλύτερο βαθμό. Αὐτά ἀκριβῶς ὅλα ὑπονοώντας ἔλεγε· «ὅσοι ὅμως ἀντιτάσσονται θά λάβουν γιά τόν ἑαυτό τους τήν τιμωρία».

Στή συνέχεια γιά νά δείξει καί τό κέρδος τοῦ πράγματος μετά τό φόβο, προσπαθεῖ νά πείσει καί μέ συλλογισμούς, λέγοντας τά ἑξῆς· «γιατί οἱ ἄρχοντες δέν εἶναι φόβος γιά τά καλά ἔργα, ἀλλά γιά τά κακά». Ἐπειδή λοιπόν ἔδωσε δυνατό τό κτύπημα καί τούς κατατρόμαξε, πάλι γίνεται μαλακός, χορηγώντας σάν σοφός ἰατρός κατάλληλα φάρμακα, καί παρηγορώντας καί λέγοντας, τί φοβᾶσαι; τί τρομάζεις; μήπως σ' ἐπιτιμᾶ ὅταν ἐνεργεῖς καλά; μήπως εἶναι φοβερός ὅταν φροντίζεις γιά τήν ἀρετή; Γι' αὐτό καί προσθέτει· «θέλεις νά μή φοβᾶσαι τήν ἐξουσία; Κάνε τό καλό, καί θά ἔχεις τόν ἔπαινό της». Εἶδες πῶς συμφιλίωσε αὐτόν μέ τόν ἄρχοντα, ἀφοῦ τόν ἔδειξε νά εἶναι καί ἐπαινέτης του; Εἶδες πῶς ἄδειασε τό θυμό; «Γιατί ὁ ἄρχοντας εἶναι ὑπηρέτης τοῦ Θεοῦ γιά τό δικό σου καλό». Τόσο πολύ ἀπέχει ἀπό τό νά σέ φοβίζει, λέγει, γιατί καί σ' ἐπαινεῖ ἀκόμη· τόσο πολύ ἀπέχει ἀπό τό νά σ' ἐμποδίζει, ἀφοῦ καί σέ βοηθάει ἀκόμη. Ὅταν λοιπόν ἔχεις αὐτόν καί ἐπαινέτη καί βοηθό, γιατί δέν ὑποτάσσεσαι;

Καθόσον καί μέ ἄλλο τρόπο σοῦ κάνει πιό εὔκολη τήν ἀρετή, μέ τό ὅτι τιμωρεῖ τούς κακούς καί εὐεργετεῖ καί τιμάει τούς καλούς, συμπράττοντας ἔτσι στό θέλημα τοῦ Θεοῦ. Γι' αὐτό τόν ὀνόμασε καί ὑπηρέτη του. Πρόσεχε ὅμως. Συμβουλεύω γιά σωφροσύνη ἐγώ, καί ἐκεῖνος τά ἴδια λέγει μέ τούς νόμους· προτρέπω γιά τό ὅτι δέν πρέπει νά εἴμαστε πλεονέκτες οὔτε ἅρπαγες, καί ἐκεῖνος γι' αὐτά κάθεται καί δικάζει. Ὥστε εἶναι συνεργάτης καί βοηθός σ' ἐμᾶς καί ἀπό τό Θεό εἶναι σταλμένος γι' αὐτό. Καί ἀπό τίς δύο μεριές λοιπόν εἶναι σεβαστός, καί γιατί στάλθηκε ἀπό τό Θεό, καί γιατί στάλθηκε γιά τέτοιο πράγμα. «Ἐάν ὅμως κάνεις τό κακό, νά φοβᾶσαι». Ἑπομένως δέν κάνει τό φόβο ὁ ἄρχοντας, ἀλλά ἡ δική μας κακία. «Γιατί δέ φοράει στά χαμένα τό μαχαίρι». Εἶδες πῶς τόν ἐγκα-

τέρα πονηρία. «Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ». Εἶδες πῶς αὐτὸν ἐπέστησε καθοπλίσας καθάπερ τινὰ φοβερὸν στρατιώτην τοῖς ἁμαρτάνουσιν; «Θεοῦ γὰρ διάκονός ἐστιν εἰς ὀργήν, ἔκδικος τῷ τὸ κακὸν πράσσοντι». Ἵνα γὰρ μὴ πάλιν ἀκούσας κόλασιν καὶ τιμωρίαν καὶ μάχαιραν, ἀποπηδήσῃς, πάλιν φησίν, ὅτι Θεοῦ νόμον πληροῖ. Τί γάρ, εἰ καὶ αὐτὸς ἀγνοεῖ; Ἀλλ' ὁ Θεὸς οὕτως ἐτύπωσεν.

Εἰ τοίνυν καὶ κολάζων καὶ τιμῶν διάκονός ἐστιν, ἐκδικῶν ἀρετήν, ἀπελαύνων κακίαν, ὅπερ ὁ Θεὸς βούλεται, τίνος ἕνεκεν αὐτῷ φιλονεικεῖς τοσαῦτα εἰσάγοντι ἀγαθά, καὶ προοδοποιοῦντι τοῖς σοῖς; Καὶ γὰρ πολλοὶ πρότερον διὰ τοὺς ἄρχοντας ἀρετὴν ἀσκήσαντες, ὕστερον καὶ διὰ τὸν φόβον τοῦ Θεοῦ ταύτης ἐπελάβοντο. Τῶν γὰρ παχυτέρων οὐχ οὕτω τὰ μέλλοντα, ὡς τὰ παρόντα καθάπτεται. Ὁ τοίνυν τὴν ψυχὴν τῶν πολλῶν προευτρεπίζων τῷ φόβῳ καὶ ταῖς τιμαῖς, ὥστε γενέσθαι ἐπιτηδειοτέραν τῷ τῆς διδασκαλίας λόγῳ, εἰκότως οὗτος διάκονος κέκληται τοῦ Θεοῦ.

3. *«Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν». Τί ἐστιν, «οὐ μόνον διὰ τὴν ὀργήν»; Οὐ μόνον, φησίν, ὅτι ἀνθίστασαι Θεῷ μὴ ὑποτασσόμενος, οὐδ' ὅτι κακὰ σεαυτῷ προξενεῖς μεγάλα καὶ παρὰ τοῦ Θεοῦ καὶ παρὰ τῶν ἀρχόντων, ἀλλ' ὅτι καὶ ἐν τοῖς μεγίστοις εὐεργέτης σου γίνεται, εἰρήνης ὢν πρόξενος καὶ οἰκονομίας πολιτικῆς. Καὶ γὰρ μυρία ἀγαθὰ διὰ τῶν ἀρχῶν τούτων ταῖς πόλεσι γίνεται· κἂν ἀνέλῃς αὐτάς, πάντα οἰχήσεται, καὶ οὐ πόλις, οὐ χώρα, οὐκ οἰκία, οὐκ ἀγορά, οὐκ ἄλλο οὐδὲν στήσεται, ἀλλὰ πάντα ἀνατραπήσεται, τῶν δυνατωτέρων τοὺς ἀσθενεστέρους καταπινόντων. Ὥστε καὶ εἰ μὴ ὀργή τις εἵπετο παρακούοντι, καὶ οὕτως ὑποτάσσεσθαί σε ἐχρῆν, ἵνα μὴ δόξῃς ἀσυνείδητος εἶναι, καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην. «Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε», φησί. «Θεοῦ γάρ εἰσι λειτουργοί, εἰς τοῦτο αὐτὸ προσκαρτεροῦντες». Ἀφεὶς εἰπεῖν κατὰ μέρος τὰς*

τέστησε, ἀφοῦ τόν ὅπλισε καλά σάν κάποιο στρατιώτη πού προκαλεῖ φόβο σ' ἐκείνους πού ἁμαρτάνουν; «Γιατί εἶναι ὑπηρέτης τοῦ Θεοῦ, ἐκδικητής τῆς ὀργῆς του ἐναντίον ἐκείνου πού κάνει τό κακό». Γιά νά μήν ἀποσκιρτίσεις λοιπόν, ὅταν ἀκούσεις πάλι γιά ποινή καί τιμωρία καί μαχαίρι, πάλι λέγει, ὅτι ἐκπληρώνει τό νόμο τοῦ Θεοῦ. Καί τί σημασία ἔχει, ἄν αὐτός δέν τό γνωρίζει; Ἀλλ' ὁ Θεός ἔτσι ὅρισε.

Ἐάν λοιπόν καί ὅταν τιμωρεῖ καί ὅταν τιμάει εἶναι ὑπηρέτης, παίρνοντας ἐκδίκηση γιά τήν ἀρετή, ἀπομακρύνοντας τήν κακία, πράγμα πού θέλει ὁ Θεός, γιά ποιό λόγο φιλονεικεῖς μαζί του, ἀφοῦ φέρνει τόσα ἀγαθά καί προετοιμάζει τό δρόμο γιά τά δικά σου; Γιατί πραγματικά πολλοί, ἀφοῦ ἄσκησαν πρῶτα τήν ἀρετή ἐξ αἰτίας τῶν ἀρχόντων, τήν ἐπιδίωξαν ἔπειτα καί ἀπό τό φόβο τοῦ Θεοῦ. Γιατί τούς πνευματικά ἀδύνατους δέν τούς φοβίζουν τόσο τά μελλοντικά ὅσο τά παρόντα. Ἐκεῖνος λοιπόν πού μέ τό φόβο καί τίς τιμές προετοιμάζει τήν ψυχή τῶν πολλῶν, γιά νά γίνει πιό εὐνοϊκή στό λόγο τῆς διδασκαλίας, δικαιολογημένα αὐτός ἔχει ὀνομασθεῖ ὑπηρέτης τοῦ Θεοῦ.

3. «Γι' αὐτό εἶναι ἀνάγκη νά ὑποτάσσεσθε, ὄχι μόνο ἐξ αἰτίας τῆς ὀργῆς, ἀλλά καί ἐξ αἰτίας τῆς συνειδήσεως». Τί σημαίνει, «ὄχι μόνο ἐξ αἰτίας τῆς ὀργῆς»; Ὄχι μόνο, λέγει, γιατί ἐναντιώνεσαι στό Θεό ἄν δέν ὑποτάσσεσαι, ὄχι γιατί προξενεῖς μεγάλα κακά στόν ἑαυτό σου καί ἀπό τό Θεό καί ἀπό τούς ἄρχοντες, ἀλλά γιατί γίνεται εὐεργέτης σου καί στά πιό μεγάλα ἀγαθά, ἀφοῦ εἶναι πρόξενος εἰρήνης καί οἰκονομίας πολιτικῆς. Καθόσον μέ τίς ἐξουσίες αὐτές γίνονται ἄπειρα ἀγαθά στίς πόλεις. Καί ἄν τίς καταργήσεις, ὅλα θά ἐξαφανισθοῦν, καί οὔτε πόλη, οὔτε χωριό, οὔτε σπίτι, οὔτε ἀγορά, οὔτε τίποτε ἄλλο θά σταθεῖ, ἀλλά θ' ἀνατραποῦν ὅλα, ἀφοῦ οἱ πιό δυνατοί καταπίνουν τούς ἀσθενέστερους. Ἐπομένως καί ἄν ἀκόμη δέν ἀκολουθοῦσε κάποια ὀργή ὅταν παρακοῦς, καί ἔτσι ἔπρεπε νά ὑποτάσσεσαι, γιά νά μή φανεῖς πώς εἶσαι ἀσυνείδητος καί ἀχάριστος πρός τόν εὐεργέτη σου. «Αὐτός εἶναι ὁ λόγος πού πληρώνετε καί φόρους», λέγει. «Γιατί οἱ ἄρχοντες εἶναι ὑπηρέτες τοῦ Θεοῦ, ἀφοσιωμένοι σ' αὐτό ἀκριβῶς τό ἔργο». Ἀφοῦ ἀπέφυγε νά πεῖ

εὐεργεσίας τὰς ἀπὸ τῶν ἀρχόντων ταῖς πόλεσι γινομένας, οἷον τὴν εὐταξίαν, τὴν εἰρήνην, τὰς ἄλλας διακονίας, τὰς ἐπὶ τῶν στρατιωτῶν, τὰς ἐπὶ τῶν τὰ κοινὰ πραττόντων, ἐξ ἑνὸς τούτου τὸ πᾶν ἐνδείκνυται. Ὅτι γὰρ εὐργετῇ παρ' αὐτοῦ, φησί, σὺ μαρτυρεῖς, μισθὸν αὐτῷ τελῶν.

Ὅρα σοφίαν καὶ σύνεσιν τοῦ μακαρίου Παύλου. Ὃ γὰρ ἐδόκει φορτικὸν εἶναι καὶ ἐπαχθὲς τὸ τῶν ἀπαιτήσεων, τοῦτο δεῖγμα ποιεῖται τῆς αὐτῶν προνοίας. Διὰ τί γάρ, φησί, φόρους δίδομεν βασιλεῖ; Οὐχ ὡς προνοοῦντι, οὐχ ὡς προϊσταμένῳ μισθὸν τελοῦντες κηδεμονίας; Καίτοιγε οὐκ ἂν ἐτελέσαμεν, εἰ μὴ ἐξ ἀρχῆς ἔγνωμεν, ὅτι κερδαίνομεν ἐκ τῆς τοιαύτης ἐπιστασίας. Ἀλλὰ διὰ τοῦτο ἄνωθεν κοινῇ γνώμῃ πάντων ἔδοξε τοὺς ἄρχοντας τρέφεσθαι παρ' ἡμῶν, ὅτι τῶν οἰκείων ἀμελοῦντες, τῶν κοινῶν κήδονται πραγμάτων, καὶ εἰς ταῦτα τὴν σχολὴν ἀναλίσκουσιν ἅπασαν, δι' ὧν καὶ τὰ ἡμέτερα σώζεται. Εἰπὼν τοίνυν τὰ ἀπὸ τῶν ἔξωθεν, πάλιν ἐπὶ τὰ πρότερα τὸν λόγον ἐπανάγει· τὸν γὰρ πιστὸν οὕτω μᾶλλον ἱκανὸς ἦν ἐπισπάσασθαι· καὶ δείκνυσι πάλιν, ὅτι Θεῷ τοῦτο δοκεῖ, καὶ εἰς αὐτὸ κατακλείει τὴν συμβουλήν, οὕτω λέγων· «Θεοῦ γάρ εἰσι λειτουργοί». Εἶτα καὶ τὸν πόνον αὐτῶν δεικνὺς καὶ τὴν ταλαιπωρίαν, ἐπήγαγεν· «εἰς τοῦτο αὐτὸ προσκαρτεροῦντες». Οὗτος γὰρ αὐτοῖς ὁ βίος, αὕτη ἡ σπουδή, ὅπως ἀπολαύοις εἰρήνης. Διὰ τοῦτο καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ οὐ μόνον ὑποτάσσεσθαι, ἀλλὰ καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν κελεύει· καὶ δεικνὺς κἀκεῖ τὸ κέρδος κοινόν, ἐπάγει· «ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πᾶσιν».

Οὐδὲ γὰρ μικρόν τι συντελοῦσιν ἡμῖν εἰς τὴν τοῦ παρόντος βίου κατάστασιν, ὅπλα τιθέμενοι, τοὺς πολεμίους ἀποκρουόμενοι, τοὺς ἐν ταῖς πόλεσι στασιάζοντας κωλύοντες, τὰς ἐν πᾶσι διαφορὰς διαλύοντες. Μὴ γάρ μοι τοῦτο εἴπῃς, εἴ τις κακῶς τῷ πράγματι κέχρηται, ἀλλ' αὐτῆς βλέπε τῆς διατάξεως τὴν εὐκοσμίαν, καὶ τὴν πολλὴν ὄψει τοῦ ταῦτα ἐξ ἀρχῆς νομοθετήσαντος σοφίαν. «Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ

---

3. Α΄ Τιμ. 2,2.

χωριστά τίς εὐεργεσίες πού γίνονται ἀπό τούς ἄρχοντες στίς πόλεις, ὅπως τήν καλή διοίκηση, τήν εἰρήνη, τίς ἄλλες ὑπηρεσίες, γιά τούς στρατιῶτες, γιά ἐκείνους πού καταγίνονται μέ τά κοινά, ἀπό αὐτό τό ἕνα φανερώνει τό πᾶν. Ὅτι λοιπόν εὐεργετεῖσαι ἀπ' αὐτόν, λέγει, ἐσύ τό βεβαιώνεις, ἀφοῦ πληρώνεις σ' αὐτόν μισθό.

Πρόσεχε τή σοφία καί τή σύνεση τοῦ μακάριου Παύλου. Γιατί ἐκεῖνο πού φαινόταν ὅτι εἶναι ἐνοχλητικό καί δυσάρεστο, δηλαδή οἱ ἀπαιτήσεις, αὐτό τό κάνει ἀπόδειξη τῆς φροντίδας γι' αὐτούς. Γιατί λοιπόν, λέγει, δίνουμε φόρους στό βασιλιά; Δέν πληρώνουμε μισθό κηδεμονίας γιατί μᾶς φροντίζει, καί γιατί μᾶς προστατεύει; Καί ὅμως δέ θά πληρώναμε, ἄν δέ γνωρίζαμε ἀπό τήν ἀρχή, ὅτι κερδίζουμε ἀπό τήν ἐξουσία αὐτή. Ἀλλά γι' αὐτό μέ κοινή ἀπόφαση ὅλων ἀποφασίσθηκε ἀπό τήν ἀρχή νά τρέφονται ἀπό μᾶς οἱ ἄρχοντες, γιατί ἀδιαφορώντας γιά τά δικά τους φροντίζουν γιά τά κοινά πράγματα, καί ὅλο τό χρόνο τῆς ἀργίας τόν ξοδεύουν σ' αὐτά, μέ τά ὁποῖα διασώζονται τά δικά μας. Ἀφοῦ εἶπε λοιπόν ἐκεῖνα πού προέρχονται ἀπό τούς ἔξω, πάλι στά προηγούμενα ἐπαναφέρει τό λόγο (γιατί ἔτσι ἦταν δυνατο περισσότερο νά παρακινήσει τόν πιστό), καί δείχνει πάλι, ὅτι αὐτό φαίνεται καλό στό Θεό, καί σ' αὐτό τελειώνει τή συμβουλή, λέγοντας τό ἑξῆς· «γιατί εἶναι ὑπηρέτες τοῦ Θεοῦ». Ἔπειτα γιά νά δείξει καί τόν κόπο καί τήν ταλαιπωρία τους, πρόσθεσε· «εἶναι ἀφοσιωμένοι ἀποκλειστικά σ' αὐτό τό ἔργο». Αὐτή λοιπόν εἶναι ἡ ζωή τους, αὐτή ἡ φροντίδα τους, πῶς δηλαδή ν' ἀπολαμβάνεις εἰρήνη. Γι' αὐτό καί σ' ἄλλη ἐπιστολή δέν προστάζει μόνο νά ὑποτασσόμαστε, ἀλλά καί νά προσευχόμαστε γι' αὐτούς. Καί δείχνοντας καί ἐκεῖ ὅτι τό κέρδος εἶναι κοινό, προσθέτει· «γιά νά ζοῦμε ἤρεμη καί ἥσυχη ζωή σ' ὅλα»[3].

Γιατί δέν μᾶς εἶναι λίγο χρήσιμοι στήν κατάσταση τῆς παρούσας ζωῆς, παίρνοντας τά ὅπλα καί πολεμώντας, ἀποκρούοντας τούς ἐχθρούς, ἐμποδίζοντας ἐκείνους πού στασιάζουν στίς πόλεις, διαλύοντας τίς διαφορές σ' ὅλα. Μή μοῦ πεῖς λοιπόν αὐτό, ἄν κάποιος χρησιμοποιεῖ κακῶς τήν ἐξουσία, ἀλλά πρόσεχε τήν εὐκοσμία αὐτῆς τῆς παραγγελίας, καί θά δεῖς τήν πολλή σοφία ἐκείνου πού ἀπό τήν ἀρχή νομοθέτησε αὐτά. «Ἀποδῶστε λοιπόν σ' ὅλους ὅ,τι τούς ὀφείλεται· φόρο σ' ἐκεῖνον πού ὀφείλεται φόρος, δασμό σ' ἐκεῖνον

τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμήν, τὴν τιμήν. Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους». Ἔτι τῶν αὐτῶν ἔχεται, οὐ χρήματα μόνον κελεύων αὐτοῖς τελεῖν, ἀλλὰ καὶ τιμὴν καὶ φόβον. Καὶ πῶς ἀνωτέρω λέγων, «θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει», ἐνταῦθα λέγει, «ἀπόδοτε τὸν φόβον»; Τὴν ἐπιτεταμένην λέγων τιμήν, οὐ τὸν ἐκ τοῦ πονηροῦ συνειδότος φόβον, ὃν ἀνωτέρω ᾐνίξατο. Καὶ οὐδὲ εἶπε, 'δότε', ἀλλ', «ἀπόδοτε», καὶ τὰς ὀφειλὰς προσέθηκεν· οὐδὲ γὰρ χαρίζῃ τοῦτο ποιῶν· ὀφειλὴ γάρ ἐστι τὸ πρᾶγμα, κἂν μὴ πράττῃς αὐτό, ἀγνώμονος ὑποστήσῃ δίκην.

Μὴ δὴ νομίσῃς ἐξευτελίζεσθαι καὶ παραβλάπτεσθαι πρὸς τὸ τῆς οἰκείας φιλοσοφίας ἀξίωμα, ἐὰν ἄρχοντος παριόντος ὑπαναστῇς, ἐὰν τὴν κεφαλὴν ἀποκαλύψῃς. Εἰ γὰρ Ἑλλήνων ὄντων τότε τῶν ἀρχόντων ταῦτα ἐνομοθέτησε, πολλῷ μᾶλλον νῦν ἐπὶ τῶν πιστῶν τοῦτο γίνεσθαι χρή. Εἰ δὲ λέγεις, ὅτι σὺ μείζονα ἐμπεπίστευσαι, μάθε ὅτι οὐκ ἔστι σου νῦν ὁ καιρός· ξένος γὰρ εἶ καὶ παρεπίδημος. Ἔσται καιρός, ὅτε λαμπρότερος πάντων φανήσῃ· νῦν «ἡ ζωή σου κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ». Μὴ ζήτει τοίνυν ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ τὴν ἀμοιβήν, ἀλλὰ κἂν μετὰ φόβου παρεστάναι δέῃ τῷ ἄρχοντι, μὴ νομίσῃς ἀνάξιον εἶναι τοῦτο τῆς σῆς εὐγενείας. Ὁ Θεὸς γὰρ οὕτω βούλεται, ἵνα ὁ ἄρχων ὁ παρ' αὐτοῦ τυπωθεὶς τὴν οἰκείαν ἰσχὺν ἔχῃ. Καὶ γὰρ ὅταν ὁ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, μετὰ φόβου παρεστήκῃ τῷ δικάζοντι, πολλῷ μᾶλλον ὁ τὰ πονηρὰ πράττων φοβηθήσεται. Καὶ σὺ δὲ ταύτῃ λαμπρότερος ἔσῃ· οὐδὲ γὰρ ἐκ τοῦ τιμᾶν τὸ ἐξευτελίζεσθαι γίνεται, ἀλλὰ ἐκ τοῦ ἀτιμάζειν· καὶ ὁ ἄρχων δέ σε θαυμάσεται μειζόνως, καὶ δοξάσει σου τὸν δεσπότην ἐντεῦθεν, κἂν ἄπιστος ᾖ.

«Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους». Πάλιν ἐπὶ τὴν μητέρα τῶν ἀγαθῶν καταφεύγει, καὶ τὴν διδάσκαλον τῶν

---

4. Κολ. 3,3. 4.

πού ὀφείλεται δασμός, σεβασμό σ' ἐκεῖνον πού ὀφείλεται σεβασμός, τιμή σ' ἐκεῖνον πού ὀφείλεται τιμή. Σέ κανένα νά μή χρωστᾶτε τίποτε, παρά μόνο τό ν' ἀγαπάει ὁ ἕνας τόν ἄλλο». Ἀκόμη τά ἴδια ἀξιώνει, παραγγέλνοντας σ' αὐτούς νά πληρώνουν ὄχι μόνο χρήματα, ἀλλά καί τιμή καί σεβασμό. Καί πῶς λέγοντας παραπάνω, «θέλεις νά μή φοβᾶσαι τήν ἐξουσία; Κάνε τό καλό», ἐδῶ λέγει, «ἀποδῶστε τό φόβο»; Τό λέγει ἐννοώντας τήν ὑπερβολική τιμή, ὄχι τό φόβο πού προέρχεται ἀπό τήν πονηρή συνείδηση, πού ὑπαινίχθηκε παραπάνω. Καί δέν εἶπε, 'δῶστε', ἀλλά, «ἀποδῶστε», καί πρόσθεσε τίς ὀφειλές. Οὔτε βέβαια κάνεις χάρη, ὅταν κάνεις αὐτό· γιατί τό πράγμα εἶναι ὀφειλή, καί ἄν δέν τό κάνεις, θά τιμωρηθεῖς σάν ἀχάριστος.

Μή νομίσεις λοιπόν ὅτι ταπεινώνεσαι καί ζημιώνεσαι σχετικά μέ τήν ἀξία τῆς δικῆς σου πίστεως, ἄν σηκώνεσαι ἀπό σεβασμό ὅταν περνάει μπροστά σου ὁ ἄρχοντας, ἄν βγάλεις τό καπέλο ἀπό τό κεφάλι σου. Γιατί, ἄν ὅρισε αὐτά τότε πού οἱ ἐθνικοί ἦταν ἄρχοντες, πολύ περισσότερο τώρα πρέπει νά γίνεται αὐτό στούς πιστούς. Ἐάν ὅμως ἰσχυρίζεσαι, ὅτι σοῦ ἔχει ἐμπιστευθεῖ μεγαλύτερα, μέθε πώς δέν εἶναι τώρα ὁ καιρός σου· γιατί εἶσαι ξένος καί προσωρινός. Θά ὑπάρξει καιρός, πού θά φανερωθεῖς πιό λαμπρός ἀπ' ὅλα. Τώρα «ἡ ζωή σου εἶναι κρυμμένη μαζί μέ τό Χριστό στό Θεό. Ὅταν φανερωθεῖ ὁ Χριστός, τότε καί σεῖς θά φανερωθεῖτε μαζί του δοξασμένοι»[4]. Νά μή ζητᾶς λοιπόν στήν προσωρινή αὐτή ζωή τήν ἀμοιβή, ἀλλά καί ἄν χρειάζεται νά παρουσιάζεσαι μέ φόβο στόν ἄρχοντα, μή νομίσεις πώς αὐτό εἶναι ἀνάξιο γιά τή δική σου εὐγενική καταγωγή. Γιατί ἔτσι θέλει ὁ Θεός, ὥστε ὁ ἄρχοντας πού δόθηκε ἀπ' αὐτόν νά ἔχει τή δική του δύναμη. Γιατί ὅταν καί ἐκεῖνος πού αἰσθάνεται ὅτι δέν ἔκαμε κανένα κακό, παρουσιάζεται μέ φόβο στό δικαστή, πολύ περισσότερο θά φοβηθεῖ ἐκεῖνος πού πράττει τά κακά. Καί σύ ὅμως θά γίνεις ἔτσι πιό λαμπρός, γιατί ἡ ταπείνωση δέ γίνεται ἀπό τήν τιμή, ἀλλ' ἀπό τήν προσβολή· καί ὁ ἄρχοντας πάλι θά σέ τιμήσει σέ μεγαλύτερο βαθμό καί θά δοξάσει τόν Κύριό σου ἀπό τήν αἰτία αὐτή, ἔστω καί ἄν εἶναι ἄπιστος.

«Σέ κανένα νά μή χρωστᾶτε τίποτε, παρά μόνο τό ν' ἀγαπάει ὁ ἕνας τόν ἄλλο[illegible] καταφεύγει στή [illegible] ἀγαθ[illegible] σ'

εἰρημένων καὶ ποιητικὴν ἀρετῆς ἁπάσης, καί φησι καὶ αὐτὴν ὄφλημα εἶναι, οὐ μὴν τοιοῦτον, οἷον τὸν φόρον, οἷον τὸ τέλος, ἀλλὰ διηνεκές. Οὐδέποτε γὰρ αὐτὴν βούλεται ἀποδίδοσθαι· μᾶλλον δὲ ἀποδίδοσθαι μὲν ἀεὶ βούλεται, οὐ μὴν πληροῦσθαι, ἀλλ' ἀεὶ ὀφείλεσθαι. Τοιοῦτον γάρ ἐστι τὸ χρέος, ὡς καὶ διδόναι καὶ ὀφείλειν ἀεί. Εἰπὼν τοίνυν πῶς ἀγαπᾶν δεῖ, καὶ τὸ κέρδος αὐτοῦ δηλοῖ λέγων· «ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε». Μὴ γάρ τοι μηδὲ τοῦτο χάριν εἶναι νόμιζε· καὶ γὰρ καὶ τοῦτο ὀφειλή. Ὀφείλεις γὰρ τῷ ἀδελφῷ τὴν ἀγάπην διὰ τὴν συγγένειαν τὴν πνευματικήν· οὐ ταύτῃ δὲ μόνον, ἀλλ' ὅτι καὶ μέλη ἐσμὲν ἀλλήλων· κἂν αὐτὴ ἡμᾶς ἐπιλίπῃ, τὸ πᾶν διεσπάσθη. Φίλει τοίνυν τὸν ἀδελφόν. Εἰ γὰρ ἐκ τῆς φιλίας αὐτοῦ τοσαῦτα κερδαίνεις, ὡς τὸν νόμον ἅπαντα πληροῦν, ὀφείλεις αὐτῷ τὴν ἀγάπην, εὐεργετούμενος παρ' αὐτοῦ. «Τὸ γάρ, οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν».

Οὐκ εἶπε, πληροῦται ἁπλῶς, ἀλλ', «ἀνακεφαλαιοῦται»· τουτέστι, συντόμως καὶ ἐν βραχεῖ τὸ πᾶν ἀπαρτίζεται τῶν ἐντολῶν ἔργον. Καὶ γὰρ ἀρχὴ καὶ τέλος τῆς ἀρετῆς ἡ ἀγάπη· ταύτην ἔχει ῥίζαν, ταύτην ὑπόθεσιν, ταύτην κορυφήν. Εἰ τοίνυν καὶ ἀρχὴ καὶ πλήρωμα, τί ταύτης ἴσον; Ἀλλ' οὐχ ἁπλῶς ἀγάπην ζητεῖ, ἀλλὰ τὴν ἐπιτεταμένην. Οὐ γὰρ ἁπλῶς εἶπεν, 'ἀγάπησον τὸν πλησίον', ἀλλ', «ὡς ἑαυτόν». Διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν νόμον καὶ τοὺς προφήτας ἐν αὐτῇ κρέμασθαι ἔλεγε. Καὶ δύο τιθεὶς ἀγάπης εἴδη, ὅρα ποῦ ταύτην ἀνήγαγεν. Εἰπὼν γάρ, ὅτι «ἡ πρώτη ἐστὶν ἐντολή, ἀγαπήσεις Κύριον τὸν Θεόν σου», ἐπήγαγε δευτέραν, καὶ οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, «ὁμοία αὐτῆς, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν». Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς φιλανθρωπίας; τί τῆς ἡμερότητος; ὅταν ἀπείρως ἡμῶν αὐτοῦ διεστηκότων, τὴν εἰς ἡμᾶς

---

5. Βλ. Ματθ. 22,40.

6. Ματθ. 22,37 . 38. 39.

αὐτήν πού διδάσκει τά προηγούμενα καί δημιουργεῖ ὅλη τήν ἀρετή, καί λέγει πώς καί αὐτή εἶναι ὀφειλή, ἀλλ' ὄχι ὅμως τέτοια, ὅπως ὁ φόρος, ὅπως ὁ δασμός, ἀλλά παντοτινή. Γιατί ποτέ δέ θέλει ν' ἀποδίδεται, ἤ καλύτερα, πάντοτε θέλει ν' ἀποδίδεται, ὄχι ὅμως νά ξεπληρώνεται, ἀλλά πάντοτε νά ὀφείλεται. Γιατί τέτοιο εἶναι τό χρέος, ὥστε καί νά δίνουμε καί νά χρωστᾶμε πάντοτε. Ἀφοῦ λοιπόν εἶπε πῶς πρέπει ν' ἀγαπᾶμε, φανερώνει καί τό κέρδος του λέγοντας· «γιατί ἐκεῖνος πού ἀγαπάει τόν ἄλλο, ἔχει ἐκπληρώσει τό νόμο». Νά μή θεωρεῖς λοιπόν οὔτε αὐτό πώς εἶναι χάρη, καθόσον καί αὐτό εἶναι ὀφειλή. Γιατί ὀφείλεις στόν ἀδελφό σου τήν ἀγάπη ἐξ αἰτίας τῆς πνευματικῆς συγγένειας. Καί ὄχι γιά τό λόγο αὐτό μόνο, ἀλλά καί γιατί εἴμαστε μέλη ὁ ἕνας τοῦ ἄλλου. Καί ἄν αὐτή ἐκλείψει ἀπό μᾶς, ὅλα καταστράφηκαν. Ἀγάπα λοιπόν τόν ἀδελφό σου. Γιατί, ἄν ἀπό τήν ἀγάπη του κερδίζεις τόσα πολλά, ὥστε νά ἐκπληρώνεις ὅλο τό νόμο, χρωστᾶς σ' αὐτόν τήν ἀγάπη, ἀφοῦ εὐεργετεῖσαι ἀπ' αὐτόν. «Γιατί οἱ ἐντολές, δέ θά μοιχεύσεις, δέ θά φονεύσεις, δέ θά κλέψεις, δέ θά καταθέσεις ψεύτικη μαρτυρία, καί ὁποιαδήποτε ἄλλη ἐντολή, ἀνακεφαλαιώνονται σ' αὐτό τό παράγγελμα, στό, θ' ἀγαπήσεις τόν πλησίον σου ὅπως τόν ἑαυτό σου».

Δέν εἶπε, ἐκπληρώνεται ἁπλῶς, ἀλλά, «συγκεφαλαιώνεται», δηλαδή, σύντομα καί σέ λίγες λέξεις ὁλοκληρώνεται ὅλο τό ἔργο τῶν ἐντολῶν. Γιατί καί ἀρχή καί τέλος τῆς ἀρετῆς εἶναι ἡ ἀγάπη· αὐτήν ἔχει ρίζα, αὐτήν προϋπόθεση, αὐτήν κορυφή. Ἐάν λοιπόν εἶναι καί ἀρχή καί ἐκπλήρωση, τί εἶναι ἴσο μ' αὐτήν; Ἀλλά δέ ζητάει ἁπλῶς ἀγάπη, ἀλλά πάρα πολύ μεγάλη ἀγάπη. Γιατί δέν εἶπε ἁπλῶς 'ἀγάπησε τόν πλησίον σου', ἀλλά, «ὅπως τόν ἑαυτό σου». Γι' αὐτό καί ὁ Χριστός ἔλεγε ὅτι σ' αὐτή στηρίζονται ὁ νόμος καί οἱ προφῆτες[5]. Καί ἀφοῦ ἀνέφερε δύο εἴδη ἀγάπης, κοίταξε ποῦ ἀνύψωσε αὐτήν. Γιατί, ἀφοῦ εἶπε, ὅτι «ἡ πρώτη ἐντολή εἶναι, νά ἀγαπήσεις Κύριον τό Θεό σου», πρόσθεσε δεύτερη, καί δέ σιώπησε, ἀλλά πρόσθεσε, «ὅμοια μ' αὐτή, νά ἀγαπήσεις τόν πλησίον σου ὅπως τόν ἑαυτό σου»[6]. Τί θά μποροῦσε νά ἐξισωθεῖ μέ τή φιλανθρωπία αὐτή; τί μέ τήν ἀγαθότητα αὐτή; Ὅταν, παρ' ὅλο πού ἐμεῖς βρισκόμαστε

ἀγάπην ἐγγὺς ἄγῃ τῆς εἰς αὐτόν, καὶ ὁμοίαν ταύτης ἐκείνην εἶναι λέγῃ.

Διὰ δὴ τοῦτο, καὶ μέτρα σχεδὸν ἴσα τιθεὶς ἑκάτερα, περὶ μὲν ἐκείνης ἔλεγεν, «ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου», περὶ δὲ ταύτης τῆς τοῦ πλησίον, «ὡς ἑαυτόν». Ὁ δὲ Παῦλος, ταύτης οὐκ οὔσης, οὐδὲ ὠφελεῖσθαι σφόδρα παρ' ἐκείνης ἔλεγεν. Ὥσπερ οὖν ἡμεῖς ἐπειδάν τινα φιλῶμεν, λέγομεν, ὅτι ἂν ἐκεῖνον ἀγαπήσῃς, ἐμὲ ἠγάπησας, οὕτω καὶ αὐτὸς τοῦτο δηλῶν ἔλεγεν, «ὁμοία αὕτη ἐστί»· καὶ Πέτρῳ, «εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου». «Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη». Εἶδες πῶς ἑκατέρας ἔχει τὰς ἀρετάς, τήν τε τῶν κακῶν ἀποχήν· «κακὸν γάρ», φησίν, «οὐκ ἐργάζεται»· καὶ τὴν τῶν ἀγαθῶν ἐργασίαν· «πλήρωμα γὰρ νόμου», φησίν, «ἐστίν»· οὐ τὴν διδασκαλίαν ἡμῖν τῶν πρακτέων συντόμως εἰσάγουσα μόνον, ἀλλὰ καὶ τὴν κατόρθωσιν αὐτῶν εὔκολον ποιοῦσα. Οὐ γὰρ ὅπως ἂν μάθοιμεν τὰ ὠφελοῦντα μόνον ἐσπούδακεν, ὅπερ ἐστὶ τοῦ νόμου, ἀλλὰ καὶ εἰς τὴν ἐργασίαν αὐτῶν πολλὴν εἰσάγει συμμαχίαν ἡμῖν, οὐ μέρος τι τῶν ἐντολῶν, ἀλλ' ὁλόκληρον ἐν ἡμῖν κατορθοῦσα τὴν ἀρετήν.

4. *Φιλῶμεν οὖν ἀλλήλους, ὡς καὶ ταύτῃ τὸν φιλοῦντα ἡμᾶς ἀγαπήσοντες Θεόν. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων, ἂν τὸν ἐρώμενον φιλῇς, μάχεται ὁ φιλῶν, ἐνταῦθα δὲ καὶ ἀξιοῖ σε κοινωνῆσαι τοῦ ἔρωτος, καὶ μὴ κοινωνοῦντα μισεῖ. Ὁ μὲν γὰρ ἀνθρώπινος φθόνου καὶ βασκανίας γέμει, ὁ δὲ θεῖος παντὸς ἀπήλλακται πάθους· διὸ καὶ κοινωνοὺς ἐπιζητεῖ τῆς φιλίας. Φίλει γάρ, φησί, μετ' ἐμοῦ, καὶ τότε σε καὶ ἐγὼ φιλήσω μειζόνως. Ὁρᾷς ἐραστοῦ σφοδροῦ ῥήματα; Ἐὰν φιλῇς τοὺς ἐμοὺς ἐρωμένους, τότε ἡγοῦμαι καὶ αὐτὸς σπουδαίως φιλεῖσθαι παρὰ σοῦ. Καὶ γὰρ σφόδρα ἐφίεται τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ τοῦτο ἔδειξεν ἄνωθεν. Ὅτε γοῦν τὸν ἄνθρωπον ἔπλαττεν, ἄκουσον τί φησι. «Ποιήσωμεν ἄνθρωπον*

7. Ἰω. 21,16. 8. Γεν. 1,26.

πολύ μακριά του, φέρνει τήν ἀγάπη σ' ἐμᾶς κοντά στήν ἀγάπη σ' αὐτόν καί λέγει πώς ἐκείνη εἶναι ὅμοια μ' αὐτή;

Γι' αὐτό ἀκριβῶς, ὁρίζοντας καί μέτρα σχεδόν ἴσα καί τά δύο, γιά ἐκείνη ἔλεγε, «μέ ὅλη σου τήν καρδιά καί μέ ὅλη σου τήν ψυχή», ἐνῶ γι' αὐτή τήν ἀγάπη πρός τόν πλησίον ἔλεγε, «ὅπως τόν ἑαυτό σου». Καί ὁ Παῦλος, ὅταν δέν ὑπάρχει αὐτή, ἔλεγε ὅτι δέν ὠφελούμαστε πάρα πολύ ἀπό ἐκείνη. Ὅπως ἀκριβῶς λοιπόν ἐμεῖς ὅταν ἀγαπᾶμε κάποιον, λέμε, ὅτι ἄν ἀγαπήσεις ἐκεῖνον, ἀγάπησες ἐμένα, ἔτσι καί αὐτός γιά νά δηλώσει αὐτό ἔλεγε, «ὅμοια εἶναι αὐτή»· καί στόν Πέτρο, «ἐάν μ' ἀγαπᾶς, βόσκε τά πρόβατά μου»[7]. «Ἡ ἀγάπη δέν κάνει κακό στόν πλησίον. Εἶναι λοιπόν ἡ ἀγάπη ἐκπλήρωση τοῦ νόμου». Εἶδες πῶς ἔχει καί τίς δύο τίς ἀρετές, δηλαδή καί τήν ἀποχή ἀπό τά κακά («γιατί κακό», λέγει, «δέν κάνει»), καί τήν ἐκτέλεση τῶν ἀγαθῶν (γιατί λέγει, «εἶναι ἐκπλήρωση τοῦ νόμου»), χωρίς νά παρουσιάζει μόνο σύντομα τή διδασκαλία γι' αὐτά πού πρέπει νά κάνουμε, ἀλλά καί κάνοντας τήν ἐκτέλεσή τους εὔκολη. Γιατί δέ φρόντισε μόνο πῶς θά μάθουμε ἐκεῖνα πού μᾶς ὠφελοῦν, πράγμα πού εἶναι ἔργο τοῦ νόμου, ἀλλά καί στήν ἐκτέλεσή τους μᾶς βοηθάει πολύ, ἀφοῦ κατορθώνει σ' ἐμᾶς ὄχι ἕνα μέρος τῶν ἐντολῶν, ἀλλ' ὁλόκληρη τήν ἀρετή.

4. Ἄς ἀγαπᾶμε λοιπόν ὁ ἕνας τόν ἄλλο, γιά ν' ἀγαπήσουμε καί μέ τόν τρόπο αὐτό τό Θεό πού μᾶς ἀγαπάει. Γιατί στούς ἀνθρώπους βέβαια, ἄν ἀγαπᾶς ἐκεῖνον πού ἀγαπιέται, σέ πολεμάει αὐτός πού τόν ἀγαπάει, ἐδῶ ὅμως σέ θεωρεῖ καί ἄξιο νά γίνεις μέτοχος τοῦ ἔρωτα, καί ὅταν δέ γίνεσαι σέ μισεῖ. Γιατί ὁ ἀνθρώπινος ἔρωτας εἶναι γεμάτος ἀπό μίσος καί φθόνο, ἐνῶ ὁ θεῖος εἶναι ἀπαλλαγμένος ἀπό κάθε πάθος· γι' αὐτό καί ἐπιζητεῖ μετόχους τῆς ἀγάπης. Ἀγάπα λοιπόν, λέγει, μαζί μ' ἐμένα, καί τότε καί ἐγώ θά σ' ἀγαπήσω περισσότερο. Βλέπεις λόγια σφοδροῦ ἐραστῆ; Ἐάν ἀγαπᾶς ἐκείνους πού ἀγαπῶ ἐγώ, τότε νομίζω πώς καί ἐγώ ὁ ἴδιος ὅτι ἀγαπιέμαι πάρα πολύ ἀπό σένα. Καθόσον ἐπιθυμεῖ πάρα πολύ τή σωτηρία μας, καί τό ἔδειξε αὐτό ἀπό τήν ἀρχή. Ὅταν λοιπόν δημιουργοῦσε τόν ἄνθρωπο, ἄκουσε τί λέγει· «ἄς κάνουμε τόν ἄνθρωπο σύμφωνα μέ τή δική μας εἰκόνα»[8]· καί πάλι, «ἄς κάνουμε γι' αὐτόν βοηθό· δέν εἶναι

κατ' εἰκόνα ἡμετέραν»· καὶ πάλιν, «ποιήσωμεν αὐτῷ βοηθόν· οὐ καλὸν αὐτὸν εἶναι μόνον». Καὶ ὅτε παρανομήσαντι πάλιν ἐπετίμησεν, ὅρα πῶς ἡμέρως. Οὐ γὰρ εἶπεν αὐτῷ, 'μιαρὲ καὶ παμμίαρε, τοσαῦτα εὐεργετηθείς, τῷ διαβόλῳ μετὰ ταῦτα πάντα ἐπίστευσας, καὶ τὸν εὐεργέτην ἀφεὶς τῷ πονηρῷ προσέσχες δαίμονι;' ἀλλὰ τί φησι; «Τίς σοι εἶπεν, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;» ὡς ἂν εἰ πατὴρ πρὸς παιδίον κελευσθὲν μὴ καθάπτεσθαι μαχαίρας, εἶτα παρακοῦσαν καὶ πληγέν, λέγοι· πόθεν ἐπλήγης; Ἐκεῖθεν ἐπλήγης, ὅτι οὐκ ἤκουσάς μου.

Ὁρᾷς φίλου τὰ ῥήματα μᾶλλον ἢ δεσπότου; φίλου καταφρονουμένου, καὶ οὐδὲ οὕτως ἀφισταμένου; Μιμησώμεθα τοίνυν αὐτόν, καὶ ὅταν ἐπιτιμῶμεν, ταύτην τηρῶμεν τὴν ἐπιείκειαν. Καὶ γὰρ καὶ τῇ γυναικὶ μετὰ τῆς αὐτῆς πάλιν ἡμερότητος ἐπιπλήττει· μᾶλλον δὲ οὐδὲ ἐπίπληξις, ἀλλὰ νουθεσία καὶ διόρθωσις τὰ γινόμενα ἦν, καὶ πρὸς τὸ μέλλον ἀσφάλεια. Διὰ δὴ τοῦτο πρὸς τὸν ὄφιν οὐδέν φησιν· αὐτὸς γὰρ ἦν ὁ τῶν κακῶν ἀρχιτέκτων, καὶ οὐκ εἶχεν ἐφ' ἕτερον μεταθεῖναι τὴν αἰτίαν· διὸ καὶ σφοδρῶς αὐτὸν ἐκόλαζε. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὴν γῆν ποιεῖ κοινωνῆσαι τῆς ἀρᾶς. Εἰ δὲ ἐξέβαλε παραδείσου, καὶ κατεδίκασε πόνῳ, καὶ διὰ τοῦτο μάλιστα αὐτὸν προσκυνεῖν χρὴ καὶ θαυμάζειν. Ἐπειδὴ γὰρ εἰς ῥᾳθυμίαν ἐξήγαγεν ἡ τρυφή, περικόπτει τὴν εὐφροσύνην, λύπην ἐπιτειχίζων τῇ ῥᾳθυμίᾳ, ἵνα πρὸς τὴν ἀγάπην ἐπανέλθωμεν τὴν αὐτοῦ.

Τί δὲ ἐπὶ τοῦ Κάιν; οὐ τῷ αὐτῷ κέχρηται τῆς ἡμερότητος τρόπῳ; Καὶ γὰρ παρ' ἐκείνου πάλιν ὑβρισθείς, οὐκ ἀνθυβρίζει, ἀλλὰ παρακαλεῖ, καί φησιν· «ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου;». Καίτοι γε τὸ γενόμενον συγγνώμης ἐστέρητο πάσης· καὶ δείκνυσιν ὁ νεώτερος ἀδελφός. Ἀλλ' οὐδὲ οὕτως ἐπιπλήττει, ἀλλὰ τί φησιν; «Ἥμαρτες, ἡσύχασον, μὴ προσθῇς ἔτι· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ», τοῦ ἀδελφοῦ λέγων. Εἰ γὰρ δέδοικας, φησί, μήποτε διὰ τὴν θυσίαν ταύτην τὴν τοῦ πρωτοτόκου σε προε-

9. Γεν. 2,18.
10. Γεν. 3,2.
11. Γεν. 4,6.
12. Γεν. 4,7.

καλό νά μείνει μόνος του ὁ ἄνθρωπος»[9]. Καί ὅταν τόν ἐπιτίμησε πάλι τότε πού παρέβηκε τήν ἐντολή, πρόσεχε πῶς τόν ἐπιτίμησε μαλακά. Γιατί δέν τοῦ εἶπε, 'μιαρέ καί παμμίαρε, παρ' ὅλο πού εὐεργετήθηκες τόσο πολύ, στό διάβολο πίστεψες ὕστερα ἀπ' ὅλα αὐτά καί, ἐγκαταλείποντας τόν εὐεργέτη σου, ἀφοσιώθηκες στόν πονηρό δαίμονα;' 'Αλλά τί λέγει; «Ποιός σοῦ εἶπε, ὅτι εἶσαι γυμνός; μήπως καί ἔφαγες ἀπό τό δένδρο, ἀπό τό ὁποῖο μόνο σοῦ ἀπαγόρευσα νά μή φάγεις;»[10]. Σάν πατέρας πρός τό παιδί του, πού ἔλαβε ἐντολή νά μήν πιάσει μαχαίρι, στή συνέχεια, ἀφοῦ παράκουσε καί τραυματίσθηκε, λέγει, ἀπό ποῦ τραυματίσθηκες; 'Από ἐκεῖ τραυματίσθηκες, γιατί δέ μ' ἄκουσες.

Βλέπεις ὅτι τά λόγια εἶναι φίλου μᾶλλον παρά κυρίου; φίλου πού περιφρονεῖται καί πού οὔτε ἔτσι ἀπομακρύνεται; Ἄς τόν μιμηθοῦμε λοιπόν καί, ὅταν ἐπιτιμοῦμε, ἄς ἀκολουθοῦμε αὐτή τήν ἐπιείκεια. Καθόσον καί τή γυναίκα ἐπιπλήττει μέ τήν ἴδια πάλι ἠπιότητα. Ἤ καλύτερα, οὔτε ἐπίπληξη, ἀλλά νουθεσία καί διόρθωση ἦταν ὅσα ἔγιναν, καί ἀσφάλεια γιά τό μέλλον. Γι' αὐτό ἀκριβῶς στό φίδι δέ λέγει τίποτε, γιατί αὐτό ἦταν ὁ ἀρχιτέκτονας τῶν κακῶν, καί δέν μποροῦσε νά μεταθέσει σ' ἄλλον τήν αἰτία· γι' αὐτό καί τό τιμώρησε σκληρά. Καί οὔτε ἐδῶ σταματάει, ἀλλά καί τή γῆ κάνει νά μετέχει στήν κατάρα. Τό ὅτι πάλι τόν ἔδιωξε ἀπό τόν παράδεισο καί τόν καταδίκασε σέ κουραστική ἐργασία, καί γι' αὐτό πρό πάντων πρέπει νά τόν προσκυνοῦμε καί νά τόν θαυμάζουμε. Ἐπειδή δηλαδή ἡ ἀπόλαυση ὁδήγησε στήν ἀδιαφορία, περιορίζει τή χαρά, ἀντιτάσσοντας λύπη στήν ἀδιαφορία, γιά νά ἐπιστρέψουμε στή δική του ἀγάπη.

Τί ἔγινε ἐπίσης στήν περίπτωση τοῦ Κάιν; Δέ χρησιμοποιεῖ τόν ἴδιο τρόπο τῆς ἐπιείκειας; Καθόσον, ἄν καί βρίσθηκε πάλι ἀπ' αὐτόν, δέν ἀνταποδίδει τήν ὕβρη, ἀλλά παρακαλεῖ καί λέγει· «γιατί κατέβασες σκυθρωπό τό πρόσωπό σου;»[11]. Ἄν καί βέβαια ἐκεῖνο πού ἔγινε στεροῦνταν κάθε συγγνώμης· καί τό ἀποδεικνύει ὁ πιό νέος ἀδελφός. Ὅμως οὔτε ἔτσι ἐπιπλήττει, ἀλλά τί λέγει; «Ἁμάρτησες, ἡσύχασε, μή συνεχίσεις παραπάνω· αὐτός εἶναι στό χέρι σου καί ἐσύ θά τόν ἐξουσιάζεις»[12], ἐννοώντας τόν ἀδελφό του. Ἐάν λοιπόν φοβᾶσαι, λέγει, μήπως ἐξ αἰτίας τῆς θυσίας αὐτῆς σοῦ ἀφαιρέσω κάποτε τήν ἐξουσία τοῦ πρωτότοκου, νά ἔχεις θάρρος. Καθόσον

δρίαν ἀφέλωμαι, θάρρει· καὶ γὰρ τὴν ἀρχὴν αὐτοῦ πᾶσαν εἰς τὰς σὰς τίθημι χεῖρας· μόνον γενοῦ βελτίων, καὶ φίλει τὸν οὐδὲν ἠδικηκότα. Καὶ γὰρ ἀμφοτέρων κήδομαι· καὶ τοῦτό με μάλιστα εὐφραίνει, τὸ μὴ στασιάζειν ὑμᾶς πρὸς ἀλλήλους. Καὶ καθάπερ μήτηρ φιλόστοργος, οὕτω καὶ ὁ Θεὸς πάντα ποιεῖ καὶ μηχανᾶται, ὥστε μηδένα ἀπορραγῆναι θατέρου.

Ἵνα δὲ καὶ σαφέστερον αὐτὸ ἐπὶ παραδείγματος ὃ λέγω μάθῃς, ἐννόησόν μοι τὴν Ῥεβέκκαν θορυβουμένην, καὶ πανταχοῦ περιτρέχουσαν, ὅτε ὁ πρεσβύτερος ἐπολέμει τῷ νεωτέρῳ παιδί. Εἰ γὰρ καὶ ἐφίλει τὸν Ἰακώβ, ἀλλ' οὐδὲ τὸν Ἠσαῦ ἀπεστρέφετο· διὸ καὶ ἔλεγε, «μή πως ἀτεκνωθῶ ἐν τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ». Διὰ δὴ τοῦτο καὶ ὁ Θεὸς τότε ἔλεγεν· «ἥμαρτες, ἡσύχασον, πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ», τὴν σφαγὴν προαναστέλλων, καὶ τὴν εἰρήνην ἀμφοτέρων αὐτῶν ἐπιζητῶν. Ἐπειδὴ δὲ αὐτὸν κατέσφαξεν, οὐδὲ οὕτω κατέλυσε τὴν περὶ αὐτοῦ πρόνοιαν, ἀλλὰ πάλιν ἡμέρως ἀποκρίνεται τῷ ἀδελφοκτόνῳ, λέγων· «ποῦ ἔστιν Ἄβελ ὁ ἀδελφός σου;», ἵνα κἂν οὕτως ἐξομολογήσηται. Ὁ δὲ ἐπαγωνίζεται τοῖς προτέροις, μείζονα καὶ χαλεπώτερα ἀναισχυντῶν. Ἀλλ' οὐδὲ οὕτως ὁ Θεὸς ἀφίσταται, ἀλλὰ καὶ πάλιν ἐραστοῦ φθέγγεται ῥήματα ὑβρισμένου καὶ καταφρονουμένου, καί φησι· «φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με». Καὶ πάλιν τῆς γῆς καθάπτεται μετὰ τοῦ πεφονευκότος, εἰς αὐτὴν τὸν θυμὸν ἀφιείς, καὶ λέγων· «ἐπικατάρατος ἡ γῆ, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου», καὶ τοὺς ἀνακαλοῦντας μιμούμενος.

Ὃ καὶ ὁ Δαυῒδ ἐποίει, τοῦ Σαοὺλ πεσόντος. Καὶ γὰρ καὶ ἐκεῖνος τοῖς δεξαμένοις τὴν σφαγὴν ὄρεσιν ἐπηρᾶτο λέγων· «ὄρη τὰ Γελβουέ, μὴ πέσοι ἐφ' ὑμᾶς δρόσος μηδὲ ὑετός, ὅτι ἐκεῖ ἐξήρθη σκέπη δυνατῶν». Οὕτω καὶ ὁ Θεὸς ὥσπερ τινὰ μονῳδίαν ᾄδων φησί· «φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με· καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου». Ταῦτα δὲ ἔλεγε καταστέλλων

---

13. Γεν. 27,45.
14. Γεν. 4,9.
15. Γεν. 4,10.
16. Γεν. 4,11.
17. Β' Βασ. 1,21.

ὅλη τήν ἐξουσία του τή δίνω στά χέρια σου. Μόνο νά γίνεις καλύτερος καί ν' ἀγαπᾶς ἐκεῖνον πού δέ σ' ἀδίκησε καθόλου. Καθόσον φροντίζω καί γιά τούς δύο, καί αὐτό πρό πάντων μ' εὐχαριστεῖ, τό νά μή φιλονεικεῖτε δηλαδή μεταξύ σας. Καί ὅπως ἀκριβῶς κάνει ἡ φιλόστοργη μητέρα, ἔτσι καί ὁ Θεός ὅλα τά κάνει καί τά ἐπινοεῖ, ὥστε κανείς νά μήν ἀποχωρισθεῖ ἀπό τόν ἄλλο.

Γιά νά μάθεις ὅμως πιό καλά καί μέ παράδειγμα αὐτό πού λέγω, θυμήσου, σέ παρακαλῶ, τή Ρεβέκκα πού ἀνησυχοῦσε καί ἔτρεχε παντοῦ, ὅταν ὁ μεγαλύτερος υἱός της πολεμοῦσε τό μικρότερο. Γιατί, ἄν καί ἀγαποῦσε τόν Ἰακώβ, ἀλλ' οὔτε τόν Ἠσαῦ ἀποστρεφόταν. Γι' αὐτό καί ἔλεγε· «γιά νά μή χάσω σέ μία ἡμέρα καί τά δύο μου παιδιά»[13]. Γι' αὐτό ἀκριβῶς καί ὁ Θεός τότε ἔλεγε· «ἁμάρτησες, ἡσύχασε, εἶναι στό χέρι σου αὐτός», γιά νά προλάβει τή σφαγή καί γιατί ἐπιζητοῦσε τήν εἰρήνη καί τῶν δύο. Ὅταν ὅμως τόν ἔσφαξε χωρίς λύπη, οὔτε ἔτσι σταμάτησε τή φροντίδα του γι' αὐτόν, ἀλλά πάλι μέ ἐπιείκεια ἀπαντάει στόν ἀδελφοκτόνο, λέγοντας· «ποῦ εἶναι ὁ ἀδελφός σου Ἄβελ;»[14], γιά νά μετανοήσει τουλάχιστο ἔτσι. Αὐτός ὅμως συναγωνίζεται τά προηγούμενα, κάνοντας μεγαλύτερες καί φοβερότερες ἀναισχυντίες. Ἀλλ' οὔτε ἔτσι ὁ Θεός ἀπομακρύνεται, ἀλλά καί πάλι τοῦ λέγει λόγια πού ἀνήκουν σ' ἐκεῖνον πού ἀγαπάει πολύ, παρ' ὅλο πού εἶχε προσβληθεῖ καί περιφρονηθεῖ, καί λέγει· «ἡ φωνή τοῦ αἵματος τοῦ ἀδελφοῦ σου φωνάζει σ' ἐμένα»[15]. Καί πάλι ἐπιτιμᾶ τή γῆ μαζί μέ τό δολοφόνο, ἀφήνοντας σ' αὐτήν τήν ὀργή του καί λέγοντας· «καταραμένη νά εἶναι ἡ γῆ, πού ἄνοιξε τό στόμα της γιά νά καταπιεῖ τό αἷμα τοῦ ἀδελφοῦ σου»[16], ἐνεργώντας ὅπως καί ἐκεῖνοι πού καλοῦν κάποιον νά γυρίσει πίσω.

Αὐτό καί ὁ Δαβίδ ἔκανε, ὅταν ὁ Σαούλ ἔπεσε. Καθόσον καί αὐτός καταριόταν τά βουνά πού δέχθηκαν τή σφαγή, λέγοντας· «Βουνά Γελβουέ, νά μή πέσει πάνω σας οὔτε δροσιά οὔτε βροχή, γιατί ἐκεῖ ἀφαιρέθηκαν τά ὅπλα τῶν δυνατῶν»[17]. Ἔτσι καί ὁ Θεός σάν νά ἔψαλλε κάποια μονωδία λέγει· «ἡ φωνή τοῦ αἵματος τοῦ ἀδελφοῦ σου φωνάζει σ' ἐμένα. Καί τώρα θά εἶσαι καταραμένος ἀπό τή γῆ, πού ἄνοιξε τό στόμα της γιά νά δεχθεῖ τό αἷμα τοῦ ἀδελφοῦ σου πού χύθυκε ἀπό τό χέρι σου». Καί τά ἔλεγε αὐτά γιά νά συγ-

αὐτοῦ τὸν θυμὸν ζέοντα, καὶ πείθων κἂν ἀπελθόντα φιλῆσαι. Ἔσβεσας αὐτοῦ τὴν ζωήν, φησί· τί τὴν ἔχθραν λοιπὸν οὐ κατασβεννύεις; Ἀλλὰ τί ποιεῖ; Κἀκεῖνον φιλεῖ καὶ τοῦτον· ἀμφοτέρους γὰρ αὐτὸς ἔπλασε. Τί οὖν; Ἀτιμώρητον ἀφῇ τὸν πεφονευκότα; Ἀλλὰ χείρων ἐγίνετο. Ἀλλὰ κολάσει; Ἀλλὰ πατρός ἐστι φιλοστοργότερος. Ὅρα τοίνυν πῶς καὶ κολάζει, καὶ τὴν ἀγάπην ἐνδείκνυται καὶ ἐν αὐτῷ τούτῳ· μᾶλλον δὲ οὐδὲ κολάζει, ἀλλὰ διορθοῦται μόνον. Οὐδὲ γὰρ ἀπέκτεινεν αὐτόν, ἀλλ' ἐπέδησε τῷ τρόμῳ, ἵνα ἀποδύσηται τὸ ἔγκλημα, ἵνα κἂν οὕτως ἐπανέλθῃ πρὸς τὴν ἐκείνου φιλοστοργίαν, ἵνα κἂν πρὸς ἀπελθόντα σπείσηται· οὐδὲ γὰρ ἐβούλετο ἐχθρὸν αὐτὸν ἀπελθεῖν ἐντεῦθεν τῷ τετελευτηκότι.

Τοιοῦτον οἱ φιλοῦντες· ὅταν εὐεργετοῦντες μὴ φιλῶνται, προάγονται σφοδροὶ γίνεσθαι καὶ ἀπειλεῖν, οὐκ ἐθέλοντες μέν, ἀπὸ δὲ τοῦ φιλεῖν εἰς τοῦτο ἀγόμενοι, ἵνα κἂν οὕτως ἐφελκύσωνται τοὺς καταφρονοῦντας αὐτῶν. Καίτοιγε ἀνάγκης ἡ τοιαύτη φιλία, ἀλλ' ὅμως αὐτοὺς καὶ τοῦτο παραμυθεῖται διὰ τὸ σφόδρα φιλεῖν· ὥστε καὶ ἡ κόλασις ἀπὸ φιλίας. Οἱ γὰρ μὴ ἀλγοῦντες ἐπὶ τῷ μισεῖσθαι, οὐδὲ κολάσαι αἱροῦνται. Ὅρα τοίνυν καὶ Παῦλον ταῦτα λέγοντα Κορινθίοις. «Τίς γάρ ἐστι», φησίν, «ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;». Ὥστε ὅταν σφόδρα ἐπιτείνῃ τὴν κόλασιν, τότε δείκνυσι τὸν ἔρωτα. Οὕτω καὶ ἡ Αἰγυπτία ἐκ τοῦ σφόδρα φιλεῖν σφόδρα ἐκόλασε τὸν Ἰωσήφ. Ἀλλ' ἐκείνη μὲν ἐπὶ κακῷ· καὶ γὰρ ἀκόλαστος ἦν ὁ ἔρως· ὁ Θεὸς δὲ ἐπ' ἀγαθῷ· καὶ γὰρ ἀξία τοῦ φιλοῦντος ἦν ἡ ἀγάπη. Διὰ τοῦτο οὐδὲ παραιτεῖται εἰς παχύτερα κατιέναι ῥήματα, καὶ φθέγγεσθαι παθῶν ὀνόματα ἀνθρωπίνων, καὶ ζηλωτὴν ἑαυτὸν καλεῖν, «Θεὸς γάρ εἰμι ζηλωτής», φησίν, ἵνα μάθῃς τῆς ἀγάπης τὴν ἐπίτασιν.

Φιλήσωμεν τοίνυν αὐτόν, ὡς αὐτὸς βούλεται· μέγα γὰρ τὸ πρᾶγμα ἡγεῖται. Κἂν ἀποστραφῶμεν, μένει παρακαλῶν, κἂν μὴ

---

18. Β' Κορ. 2,2.
19. Ἐξ. 20,5.

κρατήσει τό θυμό του, πού ἦταν ζεστός καί γιά νά τόν πείσει τουλάχιστο νά τόν ἀγαπήσει ἔστω καί πεθαμένο. Ἔσβησες τή ζωή του, λέγει· γιατί πλέον δέ σβήνεις τό μίσος; Ἀλλά τί κάνει; Ἀγαπάει καί ἐκεῖνον καί αὐτόν, γιατί καί τούς δύο τούς δημιούργησε αὐτός. Τί λοιπόν; θ' ἀφήσει ἀτιμώρητο τό δολοφόνο. Ἀλλά θά γινόταν χειρότερος. Ἀλλά θά τόν τιμωρήσει; Εἶναι ὅμως πιό φιλόστοργος ἀπό πατέρα. Κοίταζε λοιπόν πῶς καί τιμωρεῖ καί τήν ἀγάπη φανερώνει καί σ' αὐτόν τόν ἴδιο· ἤ καλύτερα, δέν τιμωρεῖ, ἀλλά διορθώνει μόνο. Γιατί δέν τόν θανάτωσε αὐτόν, ἀλλά τόν ἔδεσε μέ τόν τρόμο, γιά νά διώξει τό ὄνειδος, γιά νά ἐπιστρέψει τουλάχιστο ἔτσι στή δική του φιλοστοργία, γιά νά κάμει συνθήκη τουλάχιστο μ' ἐκεῖνον πού πέθανε, γιατί δέν ἤθελε νά φύγει ἀπό ἐκεῖ αὐτός παραμένοντας ἐχθρός μ' ἐκεῖνον πού εἶχε πεθάνει.

Τέτοιοι εἶναι ἐκεῖνοι πού ἀγαποῦν. Ὅταν, κάνοντας εὐεργεσίες, δέν ἀγαπιοῦνται, γίνονται βίαιοι καί ἀπειλοῦν, χωρίς νά θέλουν βέβαια, ἀλλά ὁδηγούμενοι σ' αὐτό ἀπό τήν ἀγάπη γιά νά προσελκύσουν τουλάχιστο ἔτσι ἐκείνους πού τούς περιφρονοῦν. Ἄν καί βέβαια μία τέτοια ἀγάπη γίνετα ἀπό ἀνάγκη, ἀλλ' ὅμως καί αὐτό τούς παρηγορεῖ ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀγάπης. Ἐπομένως καί ἡ τιμωρία γίνεται ἀπό τήν ἀγάπη. Γιατί ἐκεῖνοι πού δέ στενοχωροῦνται ὅταν μισοῦνται, δέν προτιμοῦν καί νά τιμωρήσουν. Πρόσεχε λοιπόν καί τόν Παῦλο, πού λέγει αὐτά στούς Κορινθίους. «Γιατί ποιός εἶναι ἐκεῖνος», λέγει, «πού μοῦ προξενεῖ χαρά, παρά αὐτός πού τόν κάνω νά λυπᾶται;»[18]. Ἐπομένως, ὅταν μεγαλώνει πάρα πολύ τήν τιμωρία, τότε δείχνει τῆν ὑπερβολική ἀγάπη. Ἔτσι καί ἡ Αἰγύπτια ἀπό τήν ὑπερβολική ἀγάπη τιμώρησε σκληρά τόν Ἰωσήφ. Ἀλλ' ἐκείνη βέβαια τιμώρησε γιά κακό, καθόσον ἦταν ἀκόλαστος ὁ ἔρωτας, ὁ Θεός ὅμως γιά καλό, γιατί καί ἡ ἀγάπη του ἦταν ἰσάξια μ' ἐκεῖνον πού ἀγαποῦσε. Γι' αὐτό καί δέν ἀποφεύγει νά κατεβαίνει σέ παχύτερα λόγια καί νά προφέρει λέξεις ἀνθρώπινων παθῶν καί νά ὀνομάζει τόν ἑαυτό του ζηλότυπο, «γιατί εἶμαι Θεός ζηλότυπος»[19], λέγει, γιά νά μάθεις τό μέγεθος τῆς ἀγάπης.

Ἄς ἀγαπήσουμε λοιπόν τό Θεό, ὅπως θέλει αὐτός, γιατί τό θεωρεῖ πολύ σπουδαῖο τό πράγμα αὐτό. Καί ἄν τόν ἀποστρεφόμα-

θέλωμεν ἐπιστραφῆναι, κολάζει διὰ τὸ φιλεῖν, οὐχ ἵνα τιμωρίαν ἀπαιτήσῃ. Ὅρα γοῦν τί φησιν ἐν τῷ Ἰεζεκιὴλ πρὸς τὴν φιληθεῖσαν καὶ καταφρονήσασαν αὐτοῦ πόλιν. «Ἄξω ἐπὶ σὲ τοὺς ἐραστάς σου, καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν, καὶ λιθοβολήσουσί σε καὶ κατασφάξουσι, καὶ ἐξαιρεθήσεται ὁ ζῆλός μου ἐκ σοῦ, καὶ ἀναπαύσομαι, καὶ οὐ μὴ μεριμνήσω ἔτι». Τί τούτου πλέον ἂν εἶπε σφοδρὸς ἐραστὴς ὑπὸ τῆς ἐρωμένης καταφρονούμενος, καὶ μετὰ ταῦτα πάλιν περικαιόμενος αὐτῆς; Πάντα γὰρ ὁ Θεὸς πράττει, ἵνα φιληθῇ παρ' ἡμῶν· διὰ τοῦτο οὐδὲ τοῦ Υἱοῦ ἐφείσατο. Ἀλλ' ἡμεῖς ἀπηνεῖς καὶ ὠμοί. Ἀλλὰ γενώμεθά ποτε ἥμεροι, καὶ φιλήσωμεν τὸν Θεόν, ὡς φιλεῖν δεῖ, ἵνα μεθ' ἡδονῆς τῆς ἀρετῆς ἀπολαύσωμεν. Εἰ γὰρ γυναῖκά τις ἐρωμένην ἔχων, οὐδενὸς αἰσθάνεται τῶν καθ' ἑκάστην ἡμέραν λυπηρῶν, ὁ τὸν θεῖον τοῦτον καὶ καθαρὸν ἐρῶν ἔρωτα, ἐννόησον ὅσης ἀπολαύσεται ἡδονῆς.

Τοῦτο γάρ, τοῦτο καὶ οὐρανῶν βασιλεία, τοῦτο ἀπόλαυσις ἀγαθῶν, τοῦτο ἡδονή, τοῦτο εὐφροσύνη, τοῦτο χαρά, τοῦτο μακαριότης· μᾶλλον δὲ ὅσα ἂν εἴπω, οὐδὲν οὐδέπω παραστῆσαι δυνήσομαι πρὸς ἀξίαν, ἀλλ' ἡ πεῖρα μόνη τοῦτο διδάσκειν οἶδε τὸ καλόν. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγε, «κατατρύφησον τοῦ Κυρίου»· καί, «γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος». Πειθώμεθα τοίνυν, καὶ ἐντρυφῶμεν αὐτοῦ τῇ ἀγάπῃ. Οὕτω γὰρ ἐντεῦθεν ἤδη τὴν βασιλείαν ὀψόμεθα, καὶ ἀγγελικὸν ζησόμεθα βίον, καὶ ἐν γῇ διατρίβοντες τῶν τὸν οὐρανὸν οἰκούντων οὐδὲν ἔλαττον ἕξομεν, καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, πάντων λαμπρότεροι τῷ βήματι παραστησόμεθα τοῦ Χριστοῦ, καὶ τῆς ἀπορρήτου δόξης ἀπολαύσομεν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

20. Ἰεζ. 23,22ε'.
21. Ψαλμ. 36,4· 33,9.

στε, ἐξακολουθεῖ νά παρακαλεῖ, καί ἄν δέ θέλουμε νά ἐπιστρέψουμε, τιμωρεῖ ἀπό ἀγάπη, ὄχι γιά ν' ἀπαιτήσει τιμωρία. Πρόσεχε λοιπόν τί λέγει στό βιβλίο τοῦ Ἰεζεκιήλ πρός τήν πόλη πού ἀγαπήθηκε ἀπ' αὐτόν καί τόν περιφρόνησε. «Θά φέρω ἐναντίον σου τούς ἐραστές σου, καί θά σέ παραδώσω στά χέρια τους, καί θά σέ λιθοβολήσουν καί θά σέ κατασφάξουν, καί θ' ἀφαιρεθεῖ ὁ ζῆλος μου ἀπό σένα, καί θά ξεκουρασθῶ, καί δέ θά φροντίσω πιά γιά σένα»[20]. Τί περισσότερο ἀπ' αὐτό μποροῦσε νά πεῖ σφοδρός ἐραστής, ὅταν περιφρονεῖται ἀπό τήν ἐρωμένη του καί ὅταν ὕστερα ἀπ' αὐτά πάλι καίγεται ἀπό τή φλόγα γι' αὐτήν; Γιατί ὁ Θεός κάνει τά πάντα, γιά ν' ἀγαπηθεῖ ἀπό μᾶς· γι' αὐτό δέ λυπήθηκε οὔτε καί τόν Υἱό του. Ἐμεῖς ὅμως εἴμαστε σκληροί καί ἄγριοι. Ἀλλ' ἄς γινουμε ἥμεροι καί ἄς ἀγαπήσουμε τό Θεό, ὅπως πρέπει νά τόν ἀγαποῦμε, γιά ν' ἀπολαύσουμε μέ εὐχαρίστηση τήν ἀρετή. Γιατί, ἄν κάποιος πού ἔχει ἐρωμένη γυναίκα, δέν αἰσθάνεται κανένα ἀπό τά καθημερινά λυπηρά πράγματα, σκέψου πόση εὐχαρίστηση θ' ἀπολαύσει ἐκεῖνος πού ἐπιθυμεῖ πολύ αὐτόν τό θεῖο καί ἁγνό ἔρωτα.

Γιατί αὐτό, πραγματικά αὐτό τό καλό εἶναι καί βασιλεία τῶν οὐρανῶν, αὐτό εἶναι ἀπόλαυση ἀγαθῶν, αὐτό εὐχαρίστηση, αὐτό εὐφροσύνη, αὐτό χαρά, αὐτό εὐτυχία. Ἤ καλύτερα, ὅσα ἄν πῶ, δέ θά μπορέσω ποτέ νά παραστήσω τίποτε ἰσάξιό του, ἀλλ' ἡ πείρα μόνο ξέρει νά διδάσκει αὐτό τό καλό. Γι' αὐτό καί ὁ προφήτης ἔλεγε, «χαρά σου ἄς εἶναι ὁ Κύριος» καί «δοκιμάστε καί θά δεῖτε, ὅτι ὁ Κύριος εἶναι ἀγαθός»[21]. Ἄς ὑπακοῦμε λοιπόν καί ἄς βρίσκουμε ἀπόλαυση στήν ἀγάπη του. Γιατί ἔτσι ἀπό ἐδῶ θά δοῦμε τή βασιλεία τῶν οὐρανῶν, καί θά ζήσουμε ἀγγελική ζωή, καί παρ' ὅλο πού ζοῦμε στή γῆ δέ θά ἔχουμε τίποτε λιγότερο ἀπό ἐκείνους πού κατοικοῦν στόν οὐρανό, καί μετά τήν ἀναχώρησή μας ἀπό ἐδῶ, θά παρουσιασθοῦμε στό βῆμα τοῦ Χριστοῦ πιό λαμπροί ἀπ' ὅλους καί θ' ἀπολαύσουμε τήν ἀνέκφραστη δόξα του, τήν ὁποία εἴθε νά ἐπιτύχουμε ὅλοι ἐμεῖς, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, γιατί σ' αὐτόν ἀνήκει ἡ δόξα αἰώνια. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΕ'

(Ρωμ. 13,11–14)

«Καὶ τοῦτο, εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι».

1. Ἐπειδὴ πάντα ἅπερ ἐχρῆν ἐπέταξεν, ὠθεῖ πάλιν αὐτοὺς εἰς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἀπὸ τοῦ κατεπείγοντος. Ἐπὶ θύραις γάρ, φησίν, ὁ τῆς κρίσεως ἕστηκε καιρός· καθάπερ καὶ Κορινθίοις ἔγραφεν, ὅτι «ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστι»· καὶ Ἑβραίοις πάλιν, «ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ». Ἀλλ' ἐκεῖ μὲν τοὺς πονουμένους ἀνιστάς, καὶ τοὺς ἱδρῶτας τῶν ἐπαλλήλων πειρασμῶν παραμυθούμενος ταῦτ' ἔλεγεν, ἐνταῦθα δὲ τοὺς καθεύδοντας διεγείρων· καὶ γὰρ πρὸς ἀμφότερα χρήσιμος ἡμῖν οὗτος ὁ λόγος. Τί δέ ἐστιν ὅ φησιν, «ὥρα ἡμᾶς ἐξ ὕπνου ἐγερθῆναι»; Τουτέστιν, ἐγγὺς ἡ ἀνάστασις, ἐγγὺς ἡ κρίσις ἡ φοβερά, ἐγγὺς ἡ ἡμέρα ἡ ὡς κλίβανος καιομένη· καὶ δεῖ λοιπὸν ἡμᾶς ἀπαλλαγῆναι τῆς ῥᾳθυμίας. «Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν». Ὁρᾷς πῶς ἐφίστησιν αὐτοῖς ἤδη τὴν ἀνάστασιν; Τοῦ χρόνου γὰρ προϊόντος, φησίν, ὁ μὲν τοῦ παρόντος βίου δαπανᾶται καιρός, ὁ δὲ τοῦ μέλλοντος αἰῶνος ἐγγύτερος γίνεται. Ἂν μὲν οὖν ᾖς παρεσκευασμένος, καὶ πάντα πεποιηκὼς ὅσα ἐπέταξε, σωτηρία σοι γίνεται ἡ ἡμέρα, ἂν δὲ τοὐναντίον, οὐκέτι.

Ἀλλ' οὐκ ἀπὸ τῶν λυπηρῶν, ἀλλ' ἀπὸ τῶν χρηστῶν προτρέπει τέως, καὶ ταύτῃ τῆς τῶν παρόντων αὐτοὺς ἀπολύων συμπαθείας. Εἶτα, ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἐν μὲν ἀρχῇ καὶ προοιμίοις σπουδαιοτέρους εἶναι, ἅτε ἀκμάζοντος αὐτοῖς τοῦ πόθου, τοῦ χρό-

---

1. Α' Κορ. 7,29. 2. Ἑβρ. 10,37.

ΟΜΙΛΙΑ ΚΕ'

(Ρωμ. 13,11-14)

«Καί αὐτά νά κάμνετε, ἐνῶ γνωρίζετε σέ τί καιρό ζοῦμε· γιατί εἶναι πιά ὥρα νά σηκωθοῦμε ἀπό τόν ὕπνο».

1. Ἀφοῦ διέταξε ὅλα ὅσα ἔπρεπε, τούς παρακινεῖ πάλι πρός τήν ἐκτέλεση τῶν ἀγαθῶν ἀπό τό πιό ἐπεῖγον. Γιατί ὁ καιρός τῆς κρίσεως, λέγει, εἶναι πολύ κοντά, ὅπως ἀκριβῶς ἔγραφε καί στούς Κορινθίους, ὅτι «ὁ καιρός πλέον εἶναι λιγοστός»[1]· καί στούς Ἑβραίους πάλι, «ἀκόμη πολύ λίγος καιρός μένει, καί ἐκεῖνος πού πρόκειται νά ἔρθει, θά ἔρθει καί δέ θ' ἀργήσει»[2]. Ἀλλ' ἐκεῖ τά ἔλεγε αὐτά γιά νά τονώσει ἐκείνους πού κόπιαζαν καί γιά νά τούς παρηγορήσει γιά τούς ἱδρῶτες γιά τούς διαδοχικούς πειρασμούς, ἐνῶ ἐδῶ γιά νά ξυπνήσει ἐκείνους πού κοιμοῦνταν· καθόσον αὐτός ὁ λόγος μᾶς εἶναι χρήσιμος καί γιά τά δύο. Τί ὅμως σημαίνει αὐτό πού λέγει, «εἶναι ὥρα νά σηκωθοῦμε ἀπό τόν ὕπνο»; Δηλαδή, κοντά εἶναι ἡ ἀνάσταση, κοντά ἡ φοβερή κρίση, κοντά ἡ ἡμέρα πού καίγεται σάν φοῦρνος, καί πρέπει πλέον ν' ἀπαλλαγοῦμε ἀπό τήν ἀδιαφορία. «Γιατί τώρα εἶναι πιό κοντά ἡ σωτηρία μας, παρά τότε πού πιστέψαμε». Βλέπεις πῶς παρουσιάζει σ' αὐτούς τώρα τήν ἀνάσταση; Γιατί καθώς περνάει ὁ χρόνος, λέγει, ξοδεύεται ὁ καιρός τῆς παρούσας ζωῆς, ἐνῶ ἔρχεται πιό κοντά ὁ καιρός τῆς μέλλουσας ζωῆς. Ἐάν λοιπόν εἶσαι προετοιμασμένος καί ἔχεις κάνει ὅλα ὅσα διέταξε, ἡ ἡμέρα γίνεται γιά σένα σωτηρία, ἐάν ὅμως συμβαίνει τό ἀντίθετο, δέν εἶναι ἀκόμη.

Στήν ἀρχή ὅμως δέν προτρέπει ἀπό τά λυπηρά, ἀλλ' ἀπό τά χρηστά, γιά νά τούς ἀπαλλάξει καί ἔτσι ἀπό τή συμπάθεια γιά τά παρόντα. Στή συνέχεια, ἐπειδή ἦταν φυσικό νά δείχνουν περισσότερη προθυμία στήν ἀρχή καί στό ξεκίνημα, ἀφοῦ ἦταν σφοδρός ὁ πό-

νου δὲ προελθόντος καταμαρανθῆναι τὴν πᾶσαν σπουδήν, φησὶν ὅτι τοὐναντίον μὲν οὖν δεῖ ποιεῖν, οὐχὶ ἐκλύεσθαι προϊόντος τοῦ χρόνου, ἀλλὰ μᾶλλον ἀκμάζειν. Ὅσῳ γὰρ ἂν ὁ βασιλεὺς ἐγγίζῃ, τοσούτῳ μᾶλλον δεῖ παρασκευάσασθαι· ὅσῳ μᾶλλον ἐγγὺς τὸ βραβεῖον, τοσούτῳ μᾶλλον διεγείρεσθαι πρὸς τοὺς ἀγῶνας. Ἐπεὶ καὶ οἱ δρομεῖς τοῦτο ποιοῦσιν· ὅταν πρὸς τῷ τέλει τοῦ δρόμου γίνωνται καὶ τῇ τοῦ βραβείου λήψει, τότε διανίστανται μειζόνως. Διὰ τοῦτο ἔλεγε, «νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν».

2. «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν». Οὐκοῦν εἰ αὕτη μὲν τελευτᾷ, ἐκείνη δὲ πλησιάζει· τὰ ἐκείνης πράττωμεν λοιπόν, μὴ τὰ ταύτης. Καὶ γὰρ καὶ ἐν τοῖς βιωτικοῖς τοῦτο γίνεται· καὶ ὅταν ἴδωμεν πρὸς ὄρθρον τὴν νύκτα ἐπειγομένην, καὶ χελιδόνος ἀκούσωμεν ᾀδούσης, τὸν πλησίον ἕκαστος διεγείρομεν, καίτοιγε ἔτι τῆς νυκτὸς οὔσης· ἀλλ' ἐπειδὴ λοιπὸν ἄπεισιν, ἐπειγόμεθα ἐπιλέγοντες ἀλλήλοις, ὅτι ἡμέρα γέγονε, καὶ τὰ τῆς ἡμέρας ἅπαντα πράττομεν, ἐνδυόμενοι καὶ ὀνείρων ἀπαλλαττόμενοι καὶ ὕπνον διακρουόμενοι, ἵνα παρεσκευασμένους ἡ ἡμέρα εὕρῃ, καὶ μὴ ἀνισχούσης ἀκτῖνος τότε ἀρξώμεθα ἀνίστασθαι καὶ διατείνεσθαι. Ἅπερ οὖν ἐκεῖ ποιοῦμεν, ταῦτα καὶ ἐνταῦθα πράξωμεν· ἀποδυσώμεθα τὰς φαντασίας, ἀπαλλαγῶμεν τῶν ὀνειράτων τοῦ παρόντος βίου, ἀποθώμεθα τὸν βαθὺν ὕπνον, καὶ ἐνδυσώμεθα ἀντὶ ἱματίων τὴν ἀρετήν. Ταῦτα γὰρ ἅπαντα δηλῶν ἔλεγεν, ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός». Καὶ γὰρ πρὸς παράταξιν καὶ μάχην ἡ ἡμέρα ἡμᾶς καλεῖ.

Ἀλλὰ μὴ δείσῃς παράταξιν καὶ ὅπλα ἀκούσας. Ἐπὶ μὲν γὰρ τῆς αἰσθητῆς παντευχίας βαρὺ καὶ ἀπευκτὸν τὸ ὁπλίζεσθαι, ἐνταῦθα δὲ ποθεινὸν καὶ εὐχῆς ἄξιον· φωτὸς γάρ ἐστι τὰ ὅπλα. Διὸ καὶ τῆς ἀκτῖνος λαμπρότερόν σε ἀποφαίνει πολλὴν ἀφιέντα τὴν ἀστραπήν, καὶ ἐν ἀσφαλείᾳ σε καθίστησιν· ὅπλα γάρ ἐστι· καὶ καταλάμ-

θος τους, ἀλλά μέ τό πέρασμα τοῦ χρόνου νά σβήσει ἐντελῶς κάθε ζῆλος, λέγει ὅτι πρέπει νά κάνουν τό ἀντίθετο, νά μή χαλαρώνουν ὅσο περνάει ὁ καιρός, ἀλλά νά ἐντείνουν περισσότερο τήν προσπάθειά τους. Γιατί ὅσο πλησιάζει ὁ βασιλιάς, τόσο περισσότερο πρέπει νά προετοιμαζόμαστε· ὅσο περισσότερο κοντά εἶναι τό βραβεῖο, τόσο περισσότερο πρέπει νά μεγαλώνει ἡ προθυμία μας γιά τούς ἀγῶνες. Γιατί καί οἱ δρομεῖς αὐτό κάνουν· ὅταν φθάνουν κοντά στό τέλος τοῦ δρόμου καί στήν παραλαβή τοῦ βραβείου, τότε ἐντείνουν περισσότερο τήν προσπάθεια. Γι' αὐτό ἔλεγε, «τώρα εἶναι πιό κοντά ἡ σωτηρία μας, παρά τότε πού πιστέψαμε».

2. «Ἡ νύχτα προχώρησε, ἐνῶ ἡ ἡμέρα πλησίασε». Ἐάν λοιπόν αὐτή τελειώνει, ἐκείνη ὅμως πλησιάζει· ἄς κάνουμε πλέον τά ἔργα ἐκείνης καί ὄχι τά ἔργα αὐτῆς. Καθόσον καί στά βιωτικά πράγματα αὐτό συμβαίνει. Ὅταν δοῦμε ὅτι ἡ νύχτα τρέχει πρός τό χάραμα καί ἀκούσουμε νά κελαηδεῖ τό χελιδόνι, ὁ καθένας μας ξυπνάει τόν πλησίον του, ἄν καί βέβαια εἶναι ἀκόμη νύχτα. Ἀλλ' ἐπειδή ἤδη φεύγει, βιαζόμαστε λέγοντας ὁ ἕνας στόν ἄλλο, ὅτι ξημέρωσε, καί κάμνουμε ὅλα ὅσα ἀνήκουν στήν ἡμέρα, δηλαδή ντυνόμαστε καί λυτρωνόμαστε ἀπό τά ὄνειρα καί ἀπομακρύνουμε ἀπό μᾶς τόν ὕπνο, γιά νά μᾶς βρεῖ προετοιμασμένους ἡ ἡμέρα καί γιά νά μήν ἀρχίσουμε τότε νά σηκωνόμαστε ἀπό τό κρεβάτι καί νά τεντωνόμαστε, ὅταν ἀνατέλλει ὁ ἥλιος. Αὐτά λοιπόν πού κάνουμε ἐκεῖ, ἄς τά κάνουμε καί ἐδῶ. Ἄς ἀποβάλουμε τίς φαντασίες, ἄς ἀπαλλαγοῦμε ἀπό τά ὄνειρα τῆς παρούσας ζωῆς, ἄς ἀποθέσουμε τό βαθύ ὕπνο καί ἄς ντυθοῦμε ἀντί γιά ροῦχα τήν ἀρετή. Γιά νά δηλώσει λοιπόν ὅλα αὐτά ἔλεγε, «ἄς πετάξουμε λοιπόν τά ἔργα τοῦ σκότους καί ἄς ντυθοῦμε τά ὅπλα τοῦ φωτός». Καθόσον ἡ ἡμέρα μᾶς καλεῖ γιά παράταξη καί μάχη.

Ἀλλά μή φοβηθεῖς, ἀκούοντας παράταξη καί μάχη. Γιατί στήν ὑλική πανοπλία τό νά ὁπλίζεται κανείς εἶναι βαρύ καί ἀνεπιθύμητο, ἐνῶ ἐδῶ ποθητό καί ἄξιο εὐχῆς, γιατί τά ὅπλα εἶναι τοῦ φωτός. Γι' αὐτό καί σέ φανερώνουν πιό λαμπρό ἀπό τήν ἀκτίνα τοῦ ἡλίου, ἐπειδή ἐκπέμπουν πολλή λάμψη, καί σέ ἀσφαλίζουν, γιατί εἶναι ὅπλα, καί σέ κάνουν νά λάμπεις πάρα πολύ, γιατί εἶναι ὅπλα τοῦ

πεσθαι ποιεῖ· φωτὸς γάρ ἐστιν ὅπλα. Τί οὖν; οὐκ ἀνάγκη πολεμεῖν; Ἀνάγκη μὲν πολεμεῖν, οὐ μὴν ταλαιπωρεῖσθαι καὶ πονεῖν· οὐδὲ γὰρ πόλεμος τοῦτό ἐστιν, ἀλλὰ χορεία καὶ πανήγυρις. Τοιαύτη τῶν ὅπλων ἡ φύσις, τοιαύτη ἡ τοῦ στρατηγοῦ δύναμις. Καὶ καθάπερ νυμφίος καλλωπιζόμενος ἀπὸ τῆς παστάδος πρόεισιν, οὕτω καὶ ὁ τούτοις φραττόμενος τοῖς ὅπλοις· καὶ γὰρ καὶ στρατιώτης ὁμοῦ καὶ νυμφίος ἐστίν. Εἰπὼν δέ, ὅτι ἡ ἡμέρα ἤγγικεν, οὐδὲ ἐγγὺς εἶναι αὐτὴν ἀφίησιν, ἀλλ' ἤδη αὐτὴν ἐφίστησι· φησὶ γάρ, «ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν». Ἤδη γὰρ πάρεστιν ἡ ἡμέρα. Καὶ ἀφ' ὧν μάλιστα οἱ πολλοὶ προτρέπονται, ἀπὸ τούτων καὶ αὐτοὺς ἐφέλκεται, τῆς εὐσχημοσύνης· πολὺς γὰρ αὐτοῖς τῆς παρὰ τῶν πολλῶν δόξης ὁ λόγος. Καὶ οὐκ εἶπε, περιπατεῖτε, ἀλλά, «περιπατήσωμεν», ὥστε ἀνεπαχθῆ ποιῆσαι τὴν παραίνεσιν, καὶ κούφην τὴν ἐπίπληξιν.

«Μὴ κώμοις καὶ μέθαις»· οὐ τὸ πίνειν κωλύων, ἀλλὰ τὸ ἀμέτρως· οὐ τὸ ἀπολαύειν οἴνου, ἀλλὰ τὸ μετὰ παροινίας· ὥσπερ οὖν καὶ τὸ ἑξῆς μετὰ τοῦ αὐτοῦ μέτρου τίθησι λέγων· «μὴ κοίταις καὶ ἀσελγείαις». Οὐδὲ γὰρ ἐνταῦθα τὸ μίγνυσθαι γυναιξὶν ἀναιρεῖ, ἀλλὰ τὸ πορνεύειν. «Μὴ ἔρισι καὶ ζήλοις». Τὰ γὰρ καίρια τῶν παθῶν σβέννυσι, τὴν ἐπιθυμίαν καὶ τὸν θυμόν. Διόπερ οὐκ αὐτὰ μόνον, ἀλλὰ καὶ τὰς πηγὰς αὐτῶν ἀναιρεῖ. Οὐδὲν γὰρ οὕτω καὶ ἐπιθυμίαν ἀνάπτει, καὶ ὀργὴν ἐκκαίει, ὡς μέθη καὶ παροινία. Διὰ τοῦτο πρότερον εἰπών, «μὴ κώμοις καὶ μέθαις», τότε ἐπήγαγε, «μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔρισι καὶ ζήλοις». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλ' ἀποδύσας ἡμᾶς τῶν πονηρῶν ἱματίων, ἄκουσον πῶς καλλωπίζει λοιπὸν λέγων· «ἀλλ' ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν». Οὐκέτι εἶπεν ἔργα, ἀλλὰ μειζόνως αὐτοὺς ἀνέστησεν. Ὅτε μὲν γὰρ περὶ τῆς κακίας ἔλεγεν, ἔργα ἔφησεν, ὅτε δὲ περὶ τῆς ἀρετῆς, οὐκέτι ἔργα, ἀλλ' ὅπλα, δεικνὺς ὅτι ἐν πάσῃ ἀσφαλείᾳ

φωτός. Τί λοιπόν; Δέν χρειάζεται νά πολεμοῦμε; Χρειάζεται νά πολεμοῦμε, ὄχι βέβαια νά ταλαιπωρούμαστε καί νά κοπιάζουμε, γιατί οὔτε πόλεμος εἶναι αὐτός, ἀλλά χορός καί πανηγύρι. Τέτοια εἶναι ἡ φύση τῶν ὅπλων, τέτοια ἡ δύναμη τοῦ στρατηγοῦ. Καί ὅπως ἀκριβῶς ὁ γαμβρός στολίζεται καί βγαίνει ἀπό τό νυφικό δωμάτιο, ἔτσι καί ἐκεῖνος πού εἶναι ἐνισχυμένος μέ τά ὅπλα αὐτά. Καθόσον εἶναι μαζί καί στρατιώτης καί γαμβρός. Ἀφοῦ εἶπε ὅμως, ὅτι ἡ ἡμέρα πλησίασε, δέν τήν ἀφήνει νά εἶναι κοντά, ἀλλά τήν παρουσιάζει ἀμέσως· γιατί λέγει, «ἄς συμπεριφερθοῦμε σεμνά, ὅπως ὅταν εἶναι ἡμέρα». Τώρα λοιπόν φθάνει ἡ ἡμέρα. Καί ἀπό ἐκεῖνα πού προτρέπονται πρό πάντων οἱ πολλοί, ἀπ' αὐτά προσελκύει καί αὐτούς, δηλαδή τή σεμνότητα. Γιατί γινόταν πολύς λόγος σ' αὐτούς γιά τή δόξα ἀπό τούς πολλούς. Καί δέν εἶπε, 'νά συμπεριφέρεσθε', ἀλλά, «ἄς συμπεριφερθοῦμε», γιά νά κάμει ἀνενόχλητη τήν παραίνεση καί ἐλαφριά τήν ἐπίπληξη.

«Ὄχι μέ συμπόσια καί μεθύσια»· ὄχι γιά νά ἐμποδίσει τό νά πίνει κανείς, ἀλλά τό νά πίνει ὑπερβολικά· ὄχι τό ν' ἀπολαβάνει τό κρασί, ἀλλά τό νά τό ἀπολαμβάνει μέ κραιπάλη, ὅπως ἀκριβῶς καί τό ἑπόμενο ἀναφέρει μέ τό ἴδιο μέτρο λέγοντας· «ὄχι μέ ἀκολασίες καί ἀσέλγειες». Καί βέβαια δέν καταργεῖ ἐδῶ τή σαρκική μείξη μέ τίς γυναῖκες, ἀλλά τήν πορνεία. «Ὄχι μέ φιλονεικίες καί ζηλοτυπίες». Δηλαδή σβήνει τά θανάσιμα ἀπό τά πάθη, τήν ἐπιθυμία καί τό θυμό. Γι' αὐτό ἀκριβῶς δέν καταργεῖ μόνο αὐτά, ἀλλά καί τίς πηγές τους. Γιατί τίποτε δέν ἀνάβει τόσο τήν ἐπιθυμία καί δέν ἐξάπτει τήν ὀργή, ὅσο τό μεθύσι καί ἡ κραιπάλη. Γι' αὐτό, ἀφοῦ εἶπε πρῶτα, «ὄχι μέ συμπόσια καί μεθύσια», τότε πρόσθεσε, «ὄχι μέ ἀκολασίες καί ἀσέλγειες, ὄχι μέ φιλονεικίες καί ζηλοτυπίες». Καί οὔτε ἐδῶ σταμάτησε, ἀλλ', ἀφοῦ μᾶς ἔβγαλε τά πονηρά ροῦχα, ἄκουσε πῶς μᾶς στολίζει στή συνέχεια λέγοντας· «ἀλλά ντυθεῖτε τόν Κύριό μας Ἰησοῦ Χριστό». Δέν ἀνέφερε πιά ἔργα, ἀλλά τούς παρότρυνε σέ μεγαλύτερο βαθμό. Γιατί, ὅταν τούς μιλοῦσε γιά τήν κακία, ἀνέφερε ἔργα, ἀλλ' ὅταν μιλοῦσε γιά τήν ἀρετή, δέν ἀνέφερε πιά ἔργα, ἀλλ' ὅπλα, δείχνοντας ὅτι ἡ ἀρετή ὁδηγεῖ σέ κάθε ἀσφάλεια ἐκεῖνον πού τήν ἔχει καί σέ κάθε λαμπρότητα. Καί οὔτε ἐδῶ

καθίστησιν ἡ ἀρετὴ τὸν ἔχοντα αὐτὴν καὶ ἐν πάσῃ λαμπρότητι. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλ' ἐπὶ τὸ μεῖζον ἄγων τὸν λόγον, ὃ πολλῷ φρικωδέστερον ἦν, αὐτὸν τὸν δεσπότην δίδωσιν ἡμῖν ἱμάτιον, αὐτὸν τὸν βασιλέα. Ὁ γὰρ τοῦτον περιβεβλημένος, ἅπασαν ἔχει καθόλου τὴν ἀρετήν.

Ὅταν δὲ εἴπῃ, «ἐνδύσασθε», πάντοθεν ἡμᾶς αὐτὸν περιβάλλεσθαι κελεύει· ὥσπερ ἀλλαχοῦ φησιν, «εἰ δὲ Χριστὸς ἐν ὑμῖν»· καὶ πάλιν, «εἰς τὸν ἔσω ἡμῶν ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν». Καὶ γὰρ οἰκίαν αὐτῷ βούλεται εἶναι τὴν ψυχὴν τὴν ἡμετέραν, καὶ ὡς ἱμάτιον ἡμῖν αὐτὸν περικεῖσθαι, ἵνα πάντα αὐτὸς ἡμῖν ᾖ ἔσωθεν καὶ ἔξωθεν. Καὶ γὰρ πλήρωμα ἡμῶν αὐτός· «τὸ γὰρ πλήρωμα τοῦ τὰ πάντα ἐν πάσι πληρουμένου»· καὶ ὁδός, καὶ ἀνήρ, καὶ νυμφίος· «ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν»· καὶ ρίζα, καὶ ποτόν, καὶ τροφή, καὶ ζωή· «ζῶ γάρ», φησίν, «οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός»· καὶ ἀπόστολος, καὶ ἀρχιερεύς, καὶ διδάσκαλος, καὶ πατήρ, καὶ ἀδελφός, καὶ συγκληρονόμος, καὶ τάφου κοινωνὸς καὶ σταυροῦ· «συνετάφημεν γὰρ αὐτῷ», φησί, «καὶ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ»· καὶ ἱκέτης· «ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν»· καὶ πρὸς τὸν Πατέρα συνήγορος· «καὶ γὰρ ἐντυγχάνει», φησίν, «ὑπὲρ ἡμῶν»· καὶ οἶκος, καὶ ἔνοικος· «ὁ γὰρ ἐν ἐμοὶ μένων, κἀγὼ ἐν αὐτῷ»· καὶ φίλος· «ὑμεῖς γὰρ φίλοι μού ἐστε»· καὶ θεμέλιος, καὶ λίθος ἀκρογωνιαῖος· καὶ ἡμεῖς αὐτοῦ καὶ μέλη, καὶ γεώργιον, καὶ οἰκοδομή, καὶ κλήματα, καὶ συνεργοί.

Τί γὰρ οὐ βούλεται ἡμῶν εἶναι, παντὶ τρόπῳ συγκολλῶν καὶ συνάπτων ἡμᾶς; ὅπερ τοῦ σφόδρα φιλοῦντός ἐστι. Πείθου τοίνυν, καὶ ἀναστὰς ἐξ ὕπνων ἔνδυσαι αὐτόν, καὶ ἐνδυσάμενος εὐήνιον αὐτῷ πάρεχε τὴν σάρκα· τοῦτο γὰρ ᾐνίξατο εἰπών, «τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας». Ὥσπερ γὰρ οὐ τὸ πίνειν ἐκώλυσεν, ἀλλὰ τὸ μεθύειν, οὐδὲ τὸ γαμεῖν, ἀλλὰ τὸ ἀσελγαίνειν· οὕτως οὐδὲ τὸ προνοεῖν τῆς σαρκός, ἀλλὰ τὸ εἰς ἐπιθυμίας, οἷον τὸ

---

3. Ρωμ. 8,10. 6. Β' Κορ. 11,2. 9. Β' Κορ. 5,20.
4. Ἐφ. 3,16. 17. 7. Γαλ. 2,20. 10. Ρωμ. 8,34.
5. Ἐφ. 1,23. 8. Ρωμ. 6,4. 5. 11. Ἰω. 6,56. 12. Ἰω. 15,14.

σταμάτησε, ἀλλ' ὁδηγώντας τό λόγο στό μεγαλύτερο, πού ἦταν πολύ πιό τρομερό, μᾶς δίνει τόν ἴδιο τόν Κύριο ὡς ἔνδυμα, τόν ἴδιο τό βασιλιά. Γιατί ἐκεῖνος πού εἶναι ντυμένος μ' αὐτόν, ἔχει ὁλόκληρη τήν ἀρετή.

Ὅταν ὅμως λέγει, «ντυθεῖτε», προστάζει νά ντυνόμαστε μ' αὐτόν ἀπό παντοῦ, ὅπως ἀκριβῶς λέγει ἀλλοῦ, «ἐάν ὅμως ὁ Χριστός εἶναι μέσα σας»[3]· καί πάλι, «στόν ἐσωτερικό μας ἄνθρωπο νά κατοικήσει ὁ Χριστός»[4]. Καθόσον θέλει νά εἶναι ἡ ψυχή μας κατοικία γι' αὐτόν καί νά τόν φοροῦμε γύρω μας σάν ροῦχο, γιά νά εἶναι αὐτός σ' ἐμᾶς τά πάντα ἀπό μέσα καί ἀπό ἔξω. Γιατί αὐτός εἶναι τό συμπλήρωμά μας, ἀφοῦ εἶναι «τό συμπλήρωμα ἐκείνου πού γεμίζει τά πάντα σ' ὅλες τίς ἀνάγκες τους»[5], καί ὁδός καί ἄνδρας καί γαμβρός, γιατί λέγει, «σᾶς ἀρραβώνιασα μ' ἕναν ἄνδρα γιά νά σᾶς παρουσιάσω σάν ἁγνή παρθένο»[6], καί ρίζα καί ποτό καί τροφή καί ζωή, «γιατί δέ ζῶ πιά ἐγώ», λέγει, «ἀλλά ζεῖ μέσα μου ὁ Χριστός»[7], καί ἀπόστολος καί ἀρχιερέας καί διδάσκαλος καί πατέρας καί ἀδελφός καί συγκληρονόμος καί μέτοχος τοῦ τάφου καί τοῦ σταυροῦ μας, «γιατί ἔχουμε ταφεῖ μαζί του», λέγει, καί «ἔχουμε ἑνωθεῖ μαζί του σ' ἕνα θάνατο σάν τό δικό του»[8], καί ἱκέτης, «γιατί εἴμαστε πρεσβευτές τοῦ Χριστοῦ»[9], καί συνήγορός μας στόν Πατέρα, «γιατί πραγματικά μεσιτεύει γιά μᾶς»[10], λέγει, καί σπίτι καί κάτοικος, «γιατί ἐκεῖνος πού μένει μέσα μου, μένω καί ἐγώ μέσα του»[11], καί φίλος, «γιατί ἐσεῖς εἶστε φίλοι μου»[12], καί θεμέλιος καί ἀκρογωνιαῖος λίθος, καί μεῖς εἴμαστε μέλη του καί χωράφι καί οἰκοδομή καί κλήματα καί συνεργάτες του.

Καί τί δέ θέλει νά εἶναι ἀπό μᾶς, γιά νά μᾶς συνδέει καί νά μᾶς ἑνώνει μαζί μέ κάθε τρόπο; πράγμα πού εἶναι γνώρισμα ἐκείνου πού ἀγαπάει πάρα πολύ. Νά ὑπακοῦς λοιπόν, καί ἀφοῦ σηκωθεῖς ἀπό τόν ὕπνο νά ντυθεῖς τό Χριστό, καί ἀφοῦ τόν ντυθεῖς νά παρέχεις ὑπάκουη τή σάρκα σου σ' αὐτόν. Γιατί αὐτό ὑπαινίχθηκε λέγοντας, «μή φροντίζετε γιά τή σάρκα γιά νά ἱκανοποιήσει τίς ἐπιθυμίες της». Γιατί, ὅπως ἀκριβῶς δέν ἐμπόδισε τό ποτό ἀλλά τό μεθύσι, οὔτε τό γάμο ἀλλά τήν ἀσέλγεια, ἔτσι δέν ἐμπόδισε τή φροντίδα γιά τή σάρκα, ἀλλά τή φροντίδα πρός ἱκανοποίηση τῶν ἐπιθυμιῶν

τὴν χρείαν ὑπερβαίνειν. Ἐπεί, ὅτι γε προνοεῖν αὐτῆς κελεύει, ἄκουσον τί φησι Τιμοθέῳ· «οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας». Οὕτω δὴ καὶ ἐνταῦθα προνόει μέν, ἀλλὰ πρὸς ὑγείαν, μὴ πρὸς ἀσέλγειαν. Οὐδὲ γὰρ ἂν εἴη τοῦτο πρόνοια λοιπόν, ὅταν τὴν φλόγα ἀνάπτῃς, ὅταν χαλεπὴν τὴν κάμινον ποιῇς. Ἵνα δὲ καὶ σαφέστερον μάθητε, τί ποτέ ἐστι τὸ προνοεῖν αὐτῆς εἰς ἐπιθυμίας, καὶ φύγητε τὴν τοιαύτην πρόνοιαν, τοὺς μεθύοντας, τοὺς γαστριζομένους, τοὺς ἐν ἱματίοις καλλωπιζομένους, τοὺς θρυπτομένους, τοὺς τὸν ὑγρὸν καὶ διαρρέοντα ζῶντας βίον ἐννοήσατε, καὶ εἴσεσθε τὸ εἰρημένον.

Ἐκεῖνοι γὰρ πάντα ποιοῦσιν, οὐχ ἵνα ὑγιαίνωσιν, ἀλλ' ἵνα σκιρτῶσιν, ἵνα τὴν ἐπιθυμίαν ἀνάπτωσιν. Ἀλλ' ὁ τὸν Χριστὸν ἐνδεδυμένος σύ, πάντα ἐκεῖνα περικόψας, ἓν ζήτει μόνον, ὅπως ὑγιαίνουσαν ἔχῃς τὴν σάρκα· καὶ μέχρι τοσούτου προνόει ταύτης, περαιτέρω δὲ μηκέτι, ἀλλὰ πᾶσαν τὴν σπουδὴν εἰς τὴν τῶν πνευματικῶν ἀνάλισκε ἐπιμέλειαν. Οὕτω γὰρ καὶ ἀναστῆναι ἐκ τοῦ ὕπνου τούτου δυνήσῃ, μὴ βαρυνόμενος ταῖς ποικίλαις ταύταις ἐπιθυμίαις. Καὶ γὰρ ὕπνος ὁ παρὼν βίος, καὶ ὀνειράτων οὐδὲν τὰ ἐν αὐτῷ διενήνοχε. Καὶ καθάπερ οἱ καθεύδοντες καὶ παραφθέγγονται, καὶ ὁρῶσι πολλάκις οὐδὲν ὑγιές, οὕτω καὶ ἡμεῖς· μᾶλλον δὲ καὶ πολλῷ χεῖρον. Ὁ μὲν γὰρ αἰσχρά τινα πράξας ἢ εἰπὼν ὄναρ, ἀπαλλαγεὶς τοῦ ὕπνου, καὶ τῆς αἰσχύνης ἀπήλλακται, καὶ δίκην οὐ δίδωσιν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ἡ αἰσχύνη καὶ ἡ τιμωρία ἀθάνατος. Πάλιν, οἱ πλουτοῦντες ὄναρ, ἡμέρας γενομένης ἐλέγχονται εἰκῇ πλουτήσαντες· ἐνταῦθα δὲ καὶ πρὸ τῆς ἡμέρας ὁ ἔλεγχος ἔπεισι πολλάκις, καὶ πρὶν ἀπελθεῖν ἐκεῖ, τὰ ὀνείρατα ταῦτα ἀπέπτη.

3. *Ἀποτιναξώμεθα τοίνυν τὸν πονηρὸν τοῦτον ὕπνον. Ἂν γὰρ καθεύδοντας ἡμᾶς ἡ ἡμέρα καταλάβῃ, θάνατος διαδέξεται ἀθάνατος. Καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης πᾶσιν εὐεπιχείρητοι τοῖς ἐχθροῖς τοῖς ἐντεῦθεν ἐσόμεθα, καὶ ἀνθρώποις καὶ δαίμοσι· κἂν*

13. Α' Τιμ. 5,23.

της, δηλαδή τήν υπέρβαση τῆς ἀνάγκης. Γιατί, τό ὅτι προστάζει νά φροντίζουμε γι' αὐτή, ἄκουσε τί λέγει στόν Τιμόθεο· «πίνε λίγο κρασί γιά τό στομάχι σου καί τίς συχνές ἀρρώστιες σου»[13]. Ἔτσι λοιπόν καί ἐδῶ νά τή φροντίζεις, ἀλλά γιά τήν ὑγεία της καί ὄχι γιά ἀσέλγεια. Γιατί δέν μπορεῖ νά εἶναι αὐτό πλέον φροντίδα, ὅταν ἀνάβεις τή φλόγα, ὅταν κάνεις φοβερό τό καμίνι. Γιά νά μάθετε ὅμως καί πιό καλά, τί τέλος πάντων σημαίνει τό νά φροντίζει κανείς γιά τή σάρκα πρός ἱκανοποίηση τῶν ἐπιθυμιῶν της, καί ν' ἀποφύγετε μία τέτοια φροντίδα, σκεφθεῖτε τούς μεθυσμένους, τούς κοιλιόδουλους, ἐκείνους πού καμαρώνουν γιά τά ροῦχα τους, τούς ἀκόλαστους, ἐκείνους πού ζοῦν ζωή φιλήδονη καί γεμάτη ἀπολαύσεις, καί θά μάθετε αὐτό πού λέχθηκε.

Γιατί ἐκεῖνοι τά κάνουν ὅλα, ὄχι γιά νά ὑγιαίνουν, ἀλλά γιά νά σκιρτοῦν, γιά ν' ἀνάβουν τήν ἐπιθυμία. Σύ ὅμως πού εἶσαι ντυμένος τό Χριστό, ἀφοῦ περικόψεις ὅλα ἐκεῖνα, ἕνα μόνο νά ζητᾶς, πῶς νά ἔχεις ὑγιή τή σάρκα σου. Καί μέχρι τόσο φρόντιζε γι' αὐτήν, καί ὄχι πιό πέρα, ἀλλ' ὅλη τήν προθυμία σου νά τήν ἀφιερώνεις στήν φροντίδα τῶν πνευματικῶν ἀγαθῶν. Ἔτσι λοιπόν θά μπορέσεις καί ἀπό τόν ὕπνο αὐτόν νά σηκωθεῖς, χωρίς νά αἰσθάνεσαι βάρος ἀπό τίς ποικίλες αὐτές ἐπιθυμίες. Καθόσον ὕπνος εἶναι ἡ παρούσα ζωή, καί δέ διαφέρουν καθόλου ἀπό τά ὄνειρα ὅσα συμβαίνουν σ' αὐτή. Καί ὅπως ἀκριβῶς ἐκεῖνοι πού κοιμοῦνται καί παραμιλοῦν καί δέ βλέπουν πολλές φορές τίποτε ὑγιές, ἔτσι καί μεῖς, ἤ μᾶλλον καί πολύ χειρότερα. Γιατί ἐκεῖνος πού ἔκαμε κάποιες αἰσχρές πράξεις ἤ διηγήθηκε ἕνα ὄνειρο, ἀφοῦ ἀπαλλάχτηκε ἀπό τόν ὕπνο, καί ἀπό τήν ντροπή ἔχει ἀπαλλαχθεῖ καί δέν τιμωρεῖται· ἐδῶ ὅμως δέ συμβαίνει τό ἴδιο, ἀλλά καί ἡ ντροπή καί ἡ τιμωρία εἶναι ἀθάνατη. Πάλι, ὅσοι γίνονται πλούσιοι στό ὄνειρο, ὅταν ξημερώσει ἐλέγχονται γιατί πλούτισαν τυχαῖα, ἐνῶ ἐδῶ καί πρίν ἔρθει ἡ ἡμέρα ἀκολουθεῖ πολλές φορές ὁ ἔλεγχος, καί πρίν μεταβοῦμε ἐκεῖ, τά ὄνειρα αὐτά πέταξαν.

3. Ἄς ἀποτινάξουμε λοιπόν τόν πονηρό αὐτό ὕπνο. Γιατί, ἄν ἡ ἡμέρα μᾶς πιάσει νά κοιμόμαστε, θ' ἀκολουθήσει θάνατος αἰώνιος. Ἀλλά καί πρίν ἀπό τήν ἡμέρα ἐκείνη θά εἴμαστε εὐάλωτοι σ' ὅλους τούς ἐχθρούς πού προέρχονται ἀπό ἐδῶ, καί στούς ἀνθρώπους καί

ἀνελεῖν βουληθῶσιν, ὁ κωλύσων οὐδείς. Εἰ μὲν γὰρ πολλοὶ οἱ ἐγρηγορότες ἦσαν, οὐκ ἦν τοσοῦτος ὁ κίνδυνος· ἐπειδὴ δὲ εἷς που καὶ δεύτερος λύχνον ἅψας, καθάπερ ἐν βαθυτάτῃ νυκτὶ τῶν ἄλλων καθευδόντων ἐγρήγορε, διὰ τοῦτο πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, πολλῆς τῆς ἀσφαλείας, ὥστε μὴ τὰ ἀνήκεστα παθεῖν. Οὐχὶ δοκεῖ λαμπρὰ ἡ ἡμέρα εἶναι νῦν; οὐχὶ πάντες ἐγρηγορέναι νομίζομεν καὶ νήφειν; Ἀλλ' ὅμως, καὶ τάχα γελάσεσθε τὸ εἰρημένον, ἐγὼ μένοι αὐτὸ ἐρῶ· τοῖς ἐν βαθείᾳ νυκτὶ καθεύδουσί τε καὶ ῥέγχουσιν ἐοίκαμεν ἅπαντες. Καὶ εἴγε οὐσίαν ἀσώματος ἦν ἰδεῖν, ἔδειξα ἂν ὑμῖν πῶς οἱ μὲν πλείους ῥέγχουσιν, ὁ δὲ διάβολος διορύττει τοίχους, καὶ κατασφάττει κειμένους, καὶ ὑφαιρεῖται τὰ ἔνδον, καθάπερ ἐν σκότῳ βαθεῖ μετὰ ἀδείας πάντα πράττων. Μᾶλλον δέ, εἰ καὶ ὀφθαλμοῖς τοῦτο ἰδεῖν ἀδύνατον, ὑπογράψωμεν αὐτὸ τῷ λόγῳ, καὶ ἐννοήσωμεν πόσοι ὑπὸ ἐπιθυμιῶν εἰσι πονηρῶν βεβαρημένοι, πόσοι τῷ χαλεπῷ τῆς ἀσελγείας κάρῳ κατεχόμενοι, καὶ τὸ φῶς τοῦ Πνεύματος κατασβεννύντες. Διά τοι τοῦτο ἕτερα ἀνθ' ἑτέρων βλέπουσιν, ἕτερα ἀνθ' ἑτέρων ἀκούουσι, καὶ οὐδενὶ τῶν ἐνταῦθα λεγομένων προσέχουσιν.

Εἰ δὲ ἐγὼ ψεύδομαι ταῦτα λέγων, καὶ ἐγρηγορὼς ἕστηκας, εἰπέ μοι, τί γέγονεν ἐνταῦθα σήμερον, εἰ μὴ ὡς ὀνειράτων ἤκουσας; Καὶ οἶδα μέν, ὅτι ἐροῦσί τινες· οὐδὲ γὰρ κατὰ πάντων ταῦτα λέγω· ἀλλὰ σὺ ὁ τοῖς εἰρημένοις ἔνοχος ὤν, ὁ μάτην ἐνταῦθα εἰσελθών, εἰπέ, τίς προφήτης, ποῖος ἀπόστολος ἡμῖν σήμερον διελέχθη, καὶ περὶ τίνων. Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· καὶ γὰρ πολλὰ ὡς ἐν ὀνείρῳ διελέχθης ἐνταῦθα, τῶν ἀληθῶν οὐκ ἀκούσας πραγμάτων. Ταῦτα δέ μοι καὶ πρὸς γυναῖκας εἰρήσθω· καὶ γὰρ καὶ ἐν ἐκείναις πολὺς ὁ ὕπνος· καὶ εἴθε ὕπνος. Ὁ μὲν γὰρ καθεύδων οὔτε πονηρόν τι φθέγγεται, οὔτε χρηστόν, ὁ δὲ οὕτως ἐγρηγορὼς ὡς ὑμεῖς, πολλὰ καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς ἐκβάλλει ῥήματα, τόκους ἀριθμῶν, λογισμοὺς δανεισμάτων συντιθείς, καπηλείας ἀναισχύντου

στούς δαίμονες· καί ἄν θελήσουν νά μᾶς ἐξοντώσουν, δέν ὑπάρχει κανείς πού θά τούς ἐμποδίσει. Γιατί, ἄν ἦταν πολλοί οἱ ἐπάγρυπνοι, δέ θά ἦταν τόσο μεγάλος ὁ κίνδυνος, ἐπειδή ὅμως ἕνας καί ἴσως καί δεύτερος, ἔχει ἀνάψει λυχνάρι καί μένει ἐπάγρυπνος, ἐνῶ οἱ ἄλλοι κοιμοῦνται ὅπως ἀκριβῶς στά βαθιά μεσάνυχτα, γι' αὐτό ἐπιβάλλεται σ' ἐμᾶς πολλή ἐπαγρύπνηση καί πολλή ἀσφάλεια, γιά νά μήν πάθουμε ἀνεπανόρθωτα κακά. Δέ φαίνεται τώρα πώς εἶναι φωτεινή ἡ ἡμέρα; δέ νομίζουμε ὅλοι ὅτι ἔχουμε ξυπνήσει καί εἴμαστε νηφάλιοι; 'Αλλ' ὅμως (ἴσως καί νά περιγελάσετε τό λόγο, ἐγώ ὅμως θά τόν πῶ), μοιάζουμε ὅλοι μέ ἐκείνους πού κοιμοῦνται μέσα στή βαθειά νύχτα καί ροχαλίζουν. Καί ἄν ὑπῆρχε δυνατότητα νά δοῦμε οὐσία ἀσώματη, θά σᾶς ἔδειχνα πῶς οἱ περισσότεροι ροχαλίζουν, ἐνῶ ὁ δαίβολος τρυπάει τούς τοίχους καί κατασφάζει ὅσους κοιμοῦνται καί ἀφαιρεῖ αὐτά πού ὑπάρχουν μέσα, κάμνοντας ὅλα μέ ἀσφάλεια σάν μέσα σέ βαθύ σκοτάδι. Ἤ καλύτερα, ἐπειδή καί στά μάτια αὐτό εἶναι ἀδύνατο νά τό δοῦν, ἄς τό περιγράψουμε μέ τό λόγο καί ἄς σκεφθοῦμε πόσοι ἔχουν ἐνοχληθεῖ ἀπό κακές ἐπιθυμίες, πόσοι κατέχονται ἀπό τή φοβερή νάρκη τῆς ἀσέλγειας καί πόσοι σβήνουν ἐντελῶς τό φῶς τοῦ Πνεύματος. Γι' αὐτό λοιπόν βλέπουν ἄλλα ἀντί ἄλλων, ἀκοῦν ἄλλα ἀντί ἄλλων καί δέν προσέχουν σέ τίποτε ἀπό τά λεγόμενα ἐδῶ.

'Αλλ' ἄν ἐγώ ψεύδομαι λέγοντας αὐτά καί στάθηκες ξυπνητός, πές μου, τί ἔγινε ἐδῶ σήμερα, ἄν δέν ἄκουσες αὐτά σάν σέ ὄνειρο; Καί ξέρω βέβαια, ὅτι θά τό ποῦν μερικοί, γιατί δέν τά λέγω αὐτά ἐναντίον ὅλων. 'Αλλ' ἐσύ πού εἶσαι ἔνοχος γιά τά προηγούμενα, πού μπῆκες ἐδῶ ἀνώφελα, πές, ποιός προφήτης, ποιός ἀπόστολος μᾶς μίλησε σήμερα, καί γιά ποιά πράγματα. 'Αλλά δέν μπορεῖς νά πεῖς, γιατί ἀσφαλῶς πολλά μίλησες ἐδῶ σάν σέ ὄνειρο, χωρίς ν' ἀκούσεις τά ἀληθινά πράγματα. Αὐτά ὅμως ἄς τά πῶ καί στίς γυναῖκες, καθόσον καί σ' ἐκεῖνες εἶναι πολύς ὁ ὕπνος· καί εἴθε νά εἶναι ὕπνος. Γιατί ὅποιος κοιμᾶται οὔτε κακό λέγει οὔτε καλό, ἐνῶ ὅποιος εἶναι ξυπνητός ἔτσι ὅπως ἐσεῖς, λέγει πολλά καί γιά δικό του κακό, μετρώντας τόκους, κάνοντας ὑπολογισμούς δανείων, φέρνοντας στή μνήμη του ἀναίσχυντό ἐμπόριο, φυτεύοντας πυκνά τά ἀγκάθια στή

μεμνημένος, τὰς ἀκάνθας πυκνὰς ἐν τῇ αὐτοῦ καταφυτεύων ψυχῇ, καὶ τὸν σπόρον οὐκ ἀφεὶς οὐδὲ μικρὸν προκύψαι ποτέ. Ἀλλὰ διανάστηθι, καὶ τὰς ἀκάνθας ταύτας προρρίζους ἀνάσπασον, καὶ τὴν μέθην ἀποτίναξαι· καὶ γὰρ ἐντεῦθεν ὁ ὕπνος. Μέθην δὲ οὐκ οἴνου λέγω μόνον, ἀλλὰ καὶ τῶν βιωτικῶν φροντίδων, καὶ μετὰ τούτων καὶ τὴν ἀπὸ τοῦ οἴνου.

Ταῦτα δὲ οὐχὶ πλουσίοις μόνον, ἀλλὰ καὶ πένησι παραινῶ, καὶ μάλιστα τοῖς τὰ φιλικὰ συγκροτοῦσι συμπόσια. Οὐ γάρ ἐστι τοῦτο τρυφὴ οὐδὲ ἄνεσις, ἀλλὰ κόλασις καὶ τιμωρία. Τρυφὴ γὰρ οὐκ αἰσχρὰ εἰπεῖν, ἀλλὰ σεμνὰ φθέγξασθαι, ἐμπλησθῆναι, οὐ διαρραγῆναι. Εἰ δὲ ἡδονὴν αὐτὸ νομίζεις, δεῖξόν μοι ἐν ἑσπέρᾳ τὴν ἡδονήν· ἀλλ' οὐκ ἂν ἔχοις. Καὶ οὔπω λέγω τὰς ἐντεῦθεν βλάβας, ἀλλὰ τέως περὶ τῆς ἡδονῆς σοι διαλέγομαι τῆς εὐθέως μαραινομένης. Ὁμοῦ τε γὰρ διελύθη τὸ συμπόσιον, καὶ ἀπέπτη τὰ τῆς εὐφροσύνης. Ὅταν δὲ καὶ τὸν ἔμετον εἴπω, καὶ τὰς καρηβαρίας, καὶ τὰ μυρία νοσήματα, καὶ τὴν τῆς ψυχῆς αἰχμαλωσίαν, τί πρὸς ταῦτα ἐρεῖς; Μὴ γάρ, ἐπειδὴ πένητές ἐσμεν, καὶ ἀσχημονεῖν ὀφείλομεν; Ταῦτα δὲ λέγω, οὐ κωλύων συνιέναι οὐδὲ κοινῇ συνδειπνεῖν, ἀλλὰ κωλύων ἀσχημονεῖν, καὶ βουλόμενος τὴν τρυφὴν εἶναι τρυφήν, ἀλλὰ μὴ κόλασιν, μηδὲ τιμωρίαν καὶ μέθην καὶ κῶμον. Μαθέτωσαν Ἕλληνες, ὅτι μάλιστα Χριστιανοὶ τρυφᾶν ἴσασι, καὶ τρυφᾶν μετὰ κόσμου. «Ἀγαλλιᾶσθαι γάρ», φησί, «τῷ Κυρίῳ ἐν τρόμῳ». Πῶς δέ ἐστιν ἀγαλλιᾶσθαι; Ὕμνους λέγοντας, εὐχὰς ποιουμένους, ψαλμοὺς ἐπεισάγοντας ἀντὶ τῶν ἀνελευθέρων ᾀσμάτων ἐκείνων.

Οὕτω καὶ ὁ Χριστὸς τῇ τραπέζῃ παρέσται, καὶ εὐλογίας ἐμπλήσει τὴν εὐωχίαν ἅπασαν, ὅταν εὔχῃ, ὅταν ᾄδῃς πνευματικά, ὅταν πένητας ἐπὶ τὴν κοινωνίαν τῶν προκειμένων καλῇς, ὅταν εὐταξίαν πολλὴν καὶ σωφροσύνην ἐπιστήσῃς τῷ συμποσίῳ. Οὕτω καὶ ἐκκλησίαν ἐργάσῃ τὸν πότον, ἀντὶ τῶν ἀκαίρων κραυγῶν καὶ εὐφημιῶν τὸν ἁπάντων δεσπότην ὑμνῶν. Καὶ μή μοι λέγε, ὅτι ἑτε-

---

14. Ψαλμ. 2,11.

δική του ψυχή, μή ἀφήνοντας ποτέ τό σπόρο οὔτε γιά λίγο νά βγεῖ. Ἀλλά ξύπνησε τελείως, καί κατάστρεψε ἀπό τή ρίζα τά ἀγκάθια αὐτά καί ἀποτίναξε τή μέθη· γιατί καί ἀπό ἐδῶ προέρχεται ὁ ὕπνος. Μέθη ὅμως δέν ἐννοῶ μόνο τοῦ κρασιοῦ, ἀλλά καί τῶν βιωτικῶν φροντίδων, καί μαζί μ' αὐτές καί τή μέθη πού προέρχεται ἀπό τό κρασί.

Καί αὐτά τά συμβουλεύω ὄχι μόνο στούς πλούσιους, ἀλλά καί στούς φτωχούς καί ἰδιαίτερα σ' ἐκείνους πού κάνουν τά φιλικά συμπόσια. Γιατί δέν εἶναι αὐτό ἀπόλαυση οὔτε ἀνάπαυση, ἀλλά ποινή καί τιμωρία. Γιατί ἀπόλαυση δέν εἶναι νά ποῦμε αἰσχρά λόγια, ἀλλά νά μιλήσουμε σεμνά, νά χορτάσουμε, ὄχι νά σκάσουμε. Ἐάν ὅμως τό νομίζεις αὐτό ἡδονή, δεῖξε μου τό βράδυ τήν ἡδονή. Ἀλλά δέν μπορεῖς νά τή δείξεις. Καί δέ λέγω ἀκόμη τίς βλάβες πού προέρχονται ἀπό ἐδῶ, ἀλλά πρῶτα σοῦ μιλάω γιά τήν ἡδονή πού μαραίνεται ἀμέσως. Γιατί συγχρόνως καί τό συμπόσιο διαλύεται καί ἡ χαρά ἐξαφανίζεται. Ἀλλ' ὅταν ἀναφέρω καί τόν ἐμετό καί τούς πονοκέφαλους καί τίς ἄπειρες ἀρρώστιες καί τήν αἰχμαλωσία τῆς ψυχῆς, τί θά πεῖς σ' αὐτά; Μήπως λοιπόν, ἐπειδή εἴμαστε φτωχοί, πρέπει νά φερόμαστε καί ἄσεμνα; Καί τά λέγω αὐτά ὄχι γιά νά ἐμποδίσω νά συγκεντρώνεστε, οὔτε νά κάμνετε κοινά δεῖπνα, ἀλλά γιά νά ἐμποδίσω νά φέρεσθε ἄσεμνα, καί γιατί θέλω ἡ ἀπόλαυση νά εἶναι πραγματική ἀπόλαυση, καί νά μήν εἶναι ποινή οὔτε τιμωρία καί μέθη καί διασκέδαση. Ἄς πληροφορηθοῦν οἱ ἐθνικοί, ὅτι οἱ Χριστιανοί πρό πάντων ξέρουν νά διασκεδάζουν, καί νά διασκεδάζουν μέ σεμνότητα. «Νά χαίρεστε», λέγει, «τή χαρά τοῦ Κυρίου μέ φόβο»[14]. Καί πῶς εἶναι δυνατό νά χαιρόμαστε; Λέγοντας ὕμνους, κάνοντας προσευχές, εἰσάγοντας ψαλμούς στή θέση τῶν αἰσχρῶν ἐκείνων ἀσμάτων.

Ἔτσι καί ὁ Χριστός θά παραβρεθεῖ στό τραπέζι καί θά γεμίσει μέ εὐλογία ὅλη τήν εὐωχία, ὅταν προσεύχεσαι, ὅταν τραγουδᾶς πνευματικά, ὅταν προσκαλεῖς φτωχούς στή συμμετοχή τῶν προσφερομένων φαγητῶν, ὅταν ἐπιβάλλεις μεγάλη πειθαρχία καί σεμνότητα στό συμπόσιο. Ἔτσι καί ἐκκλησία θά κάμεις τό φαγοπότι, ὑμνώντας τόν Κύριο ὅλων στή θέση τῶν ἄκαιρων κραυγῶν καί ἐπαίνων. Καί μή μοῦ λέγεις, ὅτι ἐπικράτησε ἄλλος νόμος, ἀλλά διόρθωνε τά

ρος ἐκράτησε νόμος, ἀλλὰ διορθοῦ τὰ κακῶς ἔχοντα. «Εἴτε γὰρ ἐσθίετε», φησίν, «εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Καὶ γὰρ ἀπὸ τῶν τοιούτων τραπεζῶν ὑμῖν αἱ πονηραὶ ἐπιθυμίαι, ἐντεῦθεν αἱ ἀσέλγειαι, ἐντεῦθεν αἱ γυναῖκες μὲν ἐν καταφρονήσει, αἱ πόρναι δὲ ἐν τιμῇ παρ' ὑμῖν· ἐντεῦθεν αἱ τῶν οἰκιῶν ἀνατροπαί, καὶ τὰ μυρία κακά, καὶ ἄνω καὶ κάτω πάντα γέγονεν, καὶ τὴν πηγὴν ἀφέντες τὴν καθαράν, ἐπὶ τὸν ὀχετὸν τρέχετε τοῦ βορβόρου. Ὅτι γὰρ βόρβορος τὸ τῆς πόρνης σῶμα, οὐδένα ἕτερον, ἀλλ' αὐτόν σε ἐρωτῶ τὸν ἐγκαλινδούμενον τῷ βορβόρῳ, εἰ μὴ σαυτὸν ἐρυθριᾷς, εἰ μὴ ἀκάθαρτον εἶναι νομίζεις μετὰ τὴν ἁμαρτίαν.

4. Διό, παρακαλῶ, φεύγετε τὴν πορνείαν καὶ τὴν ταύτης μητέρα τὴν μέθην. Τί σπείρεις ὅπου θερίσαι οὐκ ἔνι, μᾶλλον δέ, κἂν θερίσῃς, πολλήν σοι φέρει τὴν αἰσχύνην ὁ καρπός; Κἂν γὰρ τεχθῇ παιδίον, καὶ σὲ ᾔσχυνε, καὶ αὐτὸ ἠδίκηται διὰ σὲ νόθον καὶ δυσγενὲς γινόμενον. Κἂν μυρία καταλίπῃς αὐτῷ χρήματα, ἄτιμος ἐν οἰκίᾳ, ἄτιμος ἐν πόλει, ἄτιμος ἐν δικαστηρίῳ καὶ ὁ ἐκ πόρνης καὶ ὁ ἐκ δούλης· ἄτιμος δὲ καὶ σὺ πάλιν, καὶ ζῶν καὶ τετελευτηκώς· κἂν γὰρ ἀπέλθῃς, μένει τὰ ὑπομνήματα τῆς ἀσχημοσύνης. Τί τοίνυν ἅπαντα καταισχύνεις; Τί σπείρεις ἔνθα ἡ ἄρουρα σπουδάζει διαφθεῖραι τὸν καρπόν; ἔνθα πολλὰ τὰ ἀτόκια; Ἔνθα πρὸ τῆς γενέσεως φόνος; Καὶ γὰρ καὶ τὴν πόρνην οὐκ ἀφίῃς μεῖναι πόρνην μόνον, ἀλλὰ καὶ ἀνδροφόνον ποιεῖς. Εἶδες ἀπὸ μέθης πορνείαν, ἀπὸ πορνείας μοιχείαν, ἀπὸ μοιχείας φόνον; Μᾶλλον δὲ καὶ φόνου τι χεῖρον· οὐδὲ γὰρ ἔχω πῶς αὐτὸ καλέσω. Οὐ γὰρ τεχθὲν ἀναιρεῖ, ἀλλὰ καὶ τεχθῆναι κωλύει. Τί τοίνυν καὶ τοῦ Θεοῦ τὴν δωρεὰν ὑβρίζεις, καὶ τοῖς αὐτοῦ μάχῃ νόμοις, καὶ ὅπερ ἐστὶ κατάρα, τοῦτο σὺ ὡς εὐλογίαν μεταδιώκεις, καὶ τὸ ταμιεῖον τῆς γενέσεως ταμιεῖον ποιεῖς σφαγῆς, καὶ τὴν πρὸς παιδοποιΐαν δοθεῖσαν γυναῖκα πρὸς φόνον

---

15. Α' Κορ. 10,31.

βρισκόμενα σέ κακή κατάσταση. «Εἴτε λοιπόν τρώγετε», λέγει, «εἴτε πίνετε εἴτε κάνετε κάτι, ὅλα νά τά κάνετε γιά τή δόξα τοῦ Θεοῦ»[15]. Καθόσον ἀπό τέτοια τραπέζια προέρχονται σέ σᾶς οἱ κακές ἐπιθυμίες, ἀπό ἐδῶ οἱ ἀσέλγειες, ἀπό ἐδῶ οἱ γυναῖκες σας εἶναι σέ περιφρόνηση, ἐνῶ οἱ πόρνες σέ τιμή ἀπό μέρους σας· ἀπό ἐδῶ ἡ διάλυση στίς οἰκογένειες, καί τά ἄπειρα κακά, καί ὅλα ἔγιναν ἄνω - κάτω, καί ἀφοῦ ἀφήσατε τήν καθαρή πηγή, τρέχετε στό αὐλάκι τοῦ βούρκου. Τό ὅτι βέβαια τό σῶμα τῆς πόρνης εἶναι βοῦρκος, δέν ἐρωτῶ κανέναν ἄλλο, ἀλλά σένα τόν ἴδιο πού κυλιέσαι στό βοῦρκο, ἄν δέν ντρέπεσαι τόν ἑαυτό σου, ἄν δέ νομίζεις πώς εἶσαι ἀκάθαρτος μετά τήν ἁμαρτία.

4. Γι' αὐτό, σᾶς παρακαλῶ, ἀποφεύγετε τήν πορνεία καί τή μητέρα της τή μέθη. Γιατί σπέρνεις ὅπου δέν εἶναι δυνατό νά θερίσεις, ἤ μᾶλλον, καί ἄν ἀκόμη θερίσεις, σοῦ φέρνει πολλή ντροπή ὁ καρπός; Γιατί, καί ἄν ἀκόμη γεννηθεῖ παιδί, καί σένα ντρόπιασε καί αὐτό ἔχει ἀδικηθεῖ ἐξ αἰτίας σου, ἀφοῦ γεννιέται νόθο καί μέ κακή καταγωγή. Καί ἄν ἀκόμη τοῦ ἀφήσεις ἄπειρα χρήματα, περιφρονημένος στό σπίτι, περιφρονημένος στήν πόλη, περιφρονημένος στό δικαστήριο εἶναι καί ἐκεῖνος πού γεννιέται ἀπό πόρνη καί ἐκεῖνος πού γεννιέται ἀπό δούλη. Ἀλλά καί σύ πάλι περιφρονημένος εἶσαι, καί ὅταν ζεῖς καί ὅταν ἔχεις πεθάνει· γιατί, καί ἄν ἀκόμη πεθάνεις, μένουν οἱ ἀναμνήσεις τῆς αἰσχρῆς πράξεώς σου. Γιατί λοιπόν τά καταντροπιάζεις ὅλα; γιατί σπέρνεις ὅπου ἡ γῆ προσπαθεῖ νά καταστρέψει τόν καρπό; ὅπου εἶναι πολλά τά ἄγονα μέρη; ὅπου πρίν ἀπό τή γέννηση ὑπάρχει φόνος; Καθόσον καί τήν πόρνη δέν τήν ἀφήνεις νά παραμείνει πόρνη μόνο, ἀλλά τήν κάνεις καί δολοφόνο. Εἶδες πορνεία ἀπό τή μέθη, μοιχεία ἀπό τήν πορνεία, φόνο ἀπό τή μοιχεία; Ἤ μᾶλλον καί κάτι χειρότερο ἀπό τό φόνο, γιατί δέν μπορῶ πῶς νά τό ὀνομάσω αὐτό. Γιατί δέν τό σκοτώνει ἀφοῦ γεννηθεῖ, ἀλλά καί νά γεννηθεῖ τό ἐμποδίζει. Γιατί λοιπόν περιφρονεῖς καί τή δωρεά τοῦ Θεοῦ, καί πολεμᾶς τούς νόμους του, καί αὐτό πού εἶναι κατάρα, τό ἐπιδιώκεις ἐσύ σάν εὐλογία, καί τό ταμεῖο τῆς γεννήσεως τό κάνεις ταμεῖο σφαγῆς, καί τή γυναίκα πού δόθηκε σέ σένα γιά τή γέννηση παιδιῶν τήν προετοιμάζεις γιά φόνο; Γιατί, γιά νά

παρασκευάζεις; Ἵνα γὰρ ἀεὶ τοῖς ἐρασταῖς εὐχάριστος ᾖ καὶ ποθεινή, καὶ πλέον ἀργύριον ἕλκῃ, οὐδὲ τοῦτο παραιτεῖται ποιῆσαι, μέγα ἐπὶ τὴν σὴν κεφαλὴν ἐντεῦθεν σωρεύουσα τὸ πῦρ. Εἰ γὰρ καὶ ἐκείνης τὸ τόλμημα, ἀλλὰ σὴ ἡ αἰτία γίνεται.

Ἐντεῦθεν καὶ εἰδωλολατρίαι. Πολλαὶ γὰρ ὥστε ἐπιχαρεῖς γενέσθαι, καὶ ἐπῳδὰς καὶ σπονδὰς καὶ φίλτρα καὶ μυρία ἕτερα μηχανῶνται. Ἀλλ' ὅμως μετὰ τοσαύτην ἀσχημοσύνην, μετὰ φόνους, μετὰ εἰδωλολατρίας, πολλοῖς ἀδιάφορον τὸ πρᾶγμα εἶναι δοκεῖ, πολλοῖς καὶ γυναῖκας ἔχουσιν· ἔνθα καὶ πλείων ὁ φορυτὸς τῶν κακῶν. Καὶ γὰρ φαρμακεῖαι λοιπὸν κινοῦνται, οὐκ ἐπὶ τὴν νηδὺν τὴν πορνευομένην, ἀλλ' ἐπὶ τὴν ἠδικημένην γυναῖκα, καὶ ἐπιβουλαὶ μυρίαι, καὶ δαιμόνων κλήσεις, καὶ νεκυομαντεῖαι, καὶ πόλεμοι καθημερινοί, καὶ ἄσπονδοι μάχαι, καὶ σύντροφοι φιλονεικίαι. Διὸ καὶ ὁ Παῦλος εἰπών, «μὴ κοίταις καὶ ἀσελγείαις», ἐπήγαγε, «μὴ ἔρισι καὶ ζήλοις», εἰδὼς τοὺς ἐντεῦθεν πολέμους, τῶν οἰκιῶν τὰς ἀνατροπάς, τῶν εὐγενῶν παίδων τὰς ἀδικίας, τὰ μυρία κακά. Ἵν' οὖν ταῦτα φύγωμεν ἅπαντα, τὸν Χριστὸν ἐνδυσώμεθα, καὶ μετ' αὐτοῦ διηνεκῶς ὦμεν· ἐπεὶ καὶ τοῦτό ἐστιν ἐνδύσασθαι, τὸ μηδέποτε αὐτοῦ ἀπολειφθῆναι, τὸ πάντοθεν αὐτὸν φαίνεσθαι ἐν ἡμῖν διὰ τῆς ἁγιωσύνης ἡμῶν, διὰ τῆς ἐπιεικείας. Οὕτω καὶ ἐπὶ φίλων λέγομεν, ὁ δεῖνα τὸν δεῖνα ἐνεδύσατο, τὴν πολλὴν ἀγάπην λέγοντες καὶ τὴν ἀδιάλειπτον συνουσίαν· ὁ γὰρ ἐνδυσάμενος, ἐκεῖνο φαίνεται, ὅπερ ἐνδέδυται.

Φαινέσθω τοίνυν πάντοθεν ἐν ἡμῖν ὁ Χριστός. Καὶ πῶς φανεῖται; Ἂν τὰ ἐκείνου ποιῇς. Τί δὲ ἐκεῖνος ἐποίησεν; «Ὁ Υἱὸς τοῦ ἀνθρώπου», φησίν, «οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ». Τοῦτο καὶ σὺ ζήλωσον. Τροφῆς ἀπολαῦσαι ἔδει, καὶ κριθίνοις ἄρτοις ἐκέχρητο. Ἀποδημῆσαι ἐχρῆν, καὶ οὐδαμοῦ ἵπποι καὶ ὑποζύγια, ἀλλὰ τοσαῦτα ἐβάδιζεν, ὥστε καὶ κοπιᾶσαι. Καθευδῆσαι ἔδει, καὶ ἐπὶ προσκεφαλαίου ἔκειτο ἐπὶ τῆς πρώρας. Κατακλιθῆναι ἐχρῆν, καὶ ἐπὶ

16. Λουκᾶ 9,58.

εἶναι πάντοτε στούς ἐραστές εὐχάριστη καί ποθητή καί γιά νά συγκεντρώσει περισσότερα χρήματα οὔτε αὐτό δέν ἀποφεύγει νά κάνει, μαζεύοντας ἀπό ἐδῶ πολλή φωτιά πάνω στό κεφάλι σου. Γιατί, ἄν καί τό τόλμημα εἶναι δικό της, ὅμως ἡ αἰτία γίνεται δική σου.

Ἀπό ἐδῶ προέρχονται καί εἰδωλολατρίες. Γιατί πολλές, γιά νά γίνουν θελκτικές, ἐπινοοῦν καί ξόρκια καί σπουδές καί μαγικά ἐρωτικά μέσα καί ἄπειρα ἄλλα. Ἀλλ' ὅμως ὕστερα ἀπό τόσο μεγάλη ἀσχημοσύνη, ὕστερα ἀπό φόνους, ὕστερα ἀπό εἰδωλολατρίες, στούς πολλούς τό πράγμα φαίνεται πώς εἶναι ἀδιάφορο, μολονότι πολλοί ἔχουν καί γυναῖκες. Ἐδῶ εἶναι καί περισσότερο τό μέγεθος τῶν κακῶν. Γιατί καί μαγεῖες προκαλοῦνται στή συνέχεια, ὄχι στήν κοιλιά τῆς πόρνης, ἀλλά στήν ἀδικημένη γυναίκα, καί χίλιες ἐπιβουλές, καί ἐπικλήσεις δαιμόνων, καί νεκρομαντεῖες, καί καθημερινοί πόλεμοι, καί ἄγριες μάχες, καί καθημερινές φιλονεικίες. Γι' αὐτό καί ὁ Παῦλος, ἀφοῦ εἶπε, «ὄχι μέ ἀκολασίες καί ἀσέλγειες», πρόσθεσε, «ὄχι μέ ἔριδες καί ζηλοτυπίες», ἐπειδή γνώριζε τούς πολέμους πού προέρχονται ἀπό ἐδῶ, τή διάλυση τῶν οἰκογενειῶν, τίς ἀδικίες τῶν εὐγενῶν παιδιῶν, τά ἄπειρα κακά. Γιά ν' ἀποφύγουμε λοιπόν ὅλα αὐτά, ἄς ντυθοῦμε τό Χριστό καί ἄς εἴμαστε παντοτινά μαζί του. Ἐπειδή καί αὐτό σημαίνει ντύσιμο, τό νά μήν τόν ἐγκαταλείψουμε ποτέ, τό νά φαίνεται ἀπό παντοῦ αὐτός μέσα μας μέ τήν ἁγιωσύνη μας, μέ τήν ἀγαθότητά μας. Ἔτσι καί στούς φίλους λέμε, ὁ τάδε ντύθηκε τόν τάδε, ἐννοώντας τή μεγάλη ἀγάπη καί τήν ἀδιάκοπη συναναστροφή. Γιατί ἐκεῖνος πού ντύθηκε, φαίνεται ἐκεῖνο, ἐκεῖνο πού ἔχει ντυθεῖ.

Ἄς φαίνεται λοιπό ἀπό παντοῦ μέσα μας ὁ Χριστός. Καί πῶς θά φαίνεται; Ἐάν κάνεις τά δικά του. Καί τί ἔκαμε ἐκεῖνος; «Ὁ υἱός τοῦ ἀνθρώπου», λέγει, «δέν ἔχει ποῦ νά γείρει τό κεφάλι του»[16]. Αὐτό καί σύ νά μιμηθεῖς. Ἔπρεπε νά ζεῖ ἀπολαμβάνοντας φαγητό, καί ἔτρωγε κριθαρένια ψωμιά. Χρειαζόταν νά ταξιδέψει, καί πουθενά δέν ὑπῆρχαν ἄλογα καί ὑποζύγια, ἀλλά τόσο πολύ βάδιζε, ὥστε καί νά κουρασθεῖ. Χρειαζόταν νά κοιμηθεῖ, καί σέ προσκέφαλο ξάπλωνε πάνω στήν πλώρη τοῦ πλοίου. Χρειαζόταν νά καθίσουν γιά φαγητό, καί διέτασσε νά ξαπλώσουν ἐπάνω στό χορτάρι. Ἀλλά καί

χόρτου καταπεσεῖν ἐκέλευε. Καὶ τὰ ἱμάτια δὲ εὐτελῆ· καὶ πολλαχοῦ μόνος διέτριβεν, οὐδένα ἐπισυρόμενος. Καὶ τὰ ἐν τῷ σταυρῷ δέ, καὶ τὰ ἐν ταῖς ὕβρεσι καὶ πάντα ἁπλῶς καταμαθών, ζήλωσον· καὶ οὕτως ἐνεδύσω τὸν Χριστόν, ἂν τῆς σαρκὸς πρόνοιαν μὴ ποιῇς εἰς ἐπιθυμίας. Οὐδὲ γὰρ ἡδονὴν τὸ πρᾶγμα ἔχει. Καὶ γὰρ αἱ ἐπιθυμίαι αὗται τίκτουσι πάλιν ἑτέρας δριμυτέρας, καὶ οὐδέποτε λήψῃ κόρον, ἀλλὰ βάσανον ἐργάσῃ σαυτῷ μεγάλην. Ὥσπερ γὰρ ὁ διηνεκῶς ὢν ἐν τῷ διψῆν, κἂν μυρίας ἔχῃ παρακειμένας πηγάς, οὐδὲν ἐντεῦθεν κερδαίνει, μὴ δυνάμενος τὸ νόσημα σβέσαι, οὕτω καὶ ὁ διηνεκῶς ἐν ἐπιθυμίαις ζῶν.

Ἂν δὲ τῆς χρείας ᾖς, οὐδέποτε τοῦτον δέξῃ τὸν πυρετόν, ἀλλὰ πάντα ἐκεῖνα οἰχήσεται, καὶ μέθη καὶ ἀσέλγειαι. Τοσοῦτον τοίνυν ἔσθιε ὅσον λῦσαι λιμόν, τοσαῦτα ἐνδύου ὅσον σκέπεσθαι μόνον, μηδὲ καλλώπιζε ἱματίοις τὴν σάρκα, ἵνα μὴ αὐτὴν ἀπολέσῃς. Καὶ γὰρ καὶ μαλακωτέραν αὐτὴν ποιεῖς, καὶ τὴν εὐεξίαν αὐτῆς λυμαίνῃ, τῇ πολλῇ βλακείᾳ διαλύων αὐτήν. Ἵν' οὖν ἔχῃς αὐτὴν ὄχημα καλὸν τῆς ψυχῆς, ἵνα ὁ κυβερνήτης ἀσφαλῶς ἐπὶ τῶν οἰάκων κάθηται, καὶ ὁ στρατιώτης εὐκόλως μεταχειρίζῃ τὰ ὅπλα, εὐάρμοστα πάντα ποίει. Οὐ γὰρ τὸ πολλὰ ἔχειν, ἀλλὰ τὸ ὀλίγων δεῖσθαι, ἀναλώτους ποιεῖ. Ἐκεῖνος μὲν γάρ, κἂν μὴ ἀδικηθῇ, δέδοικεν· οὗτος δέ, κἂν ἀδικηθῇ, τῶν οὐκ ἠδικημένων ἄμεινον διακείσεται, καὶ ἐν πλείονι καὶ διὰ τοῦτο ἔσται εὐθυμίᾳ. Μὴ τοίνυν τοῦτο ζητῶμεν, ὅπως μηδεὶς ἐπηρεάσῃ, ἀλλ' ὅπως, κἂν ἐπηρεάζειν βούληται, μὴ δύνηται. Τοῦτο δὲ οὐδαμόθεν ἑτέρωθεν ἔσται, ἀλλ' ἢ ἐκ τοῦ τῆς χρείας ἔχεσθαι, καὶ μὴ πλειόνων ἐπιθυμεῖν. Οὕτω γὰρ καὶ ἐνταῦθα τρυφῆσαι δυνησόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τά ροῦχα του ἦταν εὐτελή· καί σέ πολλές περιπτώσεις ἔμενε μόνος του, χωρίς νά φέρνει κανένα μαζί του. Καί ἀφοῦ μάθεις ὅλα ὅσα ἔγιναν στό σταυρό καί τίς ὕβρεις καί γενικά ὅλα, νά τά μιμηθεῖς. Καί ἔτσι ντύθηκες τό Χριστό, ἄν δέ φροντίζεις γιά τή σάρκα πρός ἱκανοποίηση τῶν ἐπιθυμιῶν της. Γιατί οὔτε εὐχαρίστηση ἔχει τό πράγμα. Καθόσον οἱ ἐπιθυμίες αὐτές γεννοῦν πάλι ἄλλες δριμύτερες, καί ποτέ δέ θά χορτάσεις, ἀλλά θά προκαλέσεις μεγάλη δοκιμασία στόν ἑαυτό σου. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος πού διψάει διαρκῶς, καί ἄν ἀκόμη ἔχει κοντά του ἄπειρες πηγές, τίποτε δέν κερδίζει ἀπό ἐδῶ, ἀφοῦ δέν μπορεῖ νά σβήσει τό πάθος του, ἔτσι καί ἐκεῖνος πού ζεῖ διαρκῶς μέ ἐπιθυμίες.

Ἐάν ὅμως βρίσκεται μέσα στή στέρηση, ποτέ δέ θά δεχθεῖς αὐτόν τόν πυρετό, ἀλλ' ὅλα ἐκεῖνα θά φύγουν, καί ἡ μέθη καί οἱ ἀσέλγειες. Τόσο λοιπόν νά τρῶς ὅσο νά σταματήσεις τήν πεινα, τόσο νά ντύνεσαι ὅσο νά σκεπάζεσαι μόνο, καί νά μή στολίζεις μέ ροῦχα τή σάρκα, γιά νά μήν τήν καταστρέψεις. Καθόσον καί πιό ἀδύνατη τήν κάνεις καί τήν ὑγεία της βλάπτεις, ἀφοῦ τήν ἀδυνατίζεις μέ τήν πολλή ἀνοησία. Γιά νά την ἔχεις λοιπόν καλό ὄχημα τῆς ψυχῆς, γιά νά κάθεται μέ ἀσφάλεια ὁ κυβερνήτης στό τιμόνι καί γιά νά μεταχειρίζεται μέ εὐκολία ὁ στρατιώτης τά ὅπλα, κάμνε τα ὅλα ὅπως πρέπει. Γιατί δέ μᾶς κάνει ἀκατανίκητους τό νά ἔχουμε πολλά, ἀλλά τό νά χρειαζόμαστε λίγα. Γιατί ἐκεῖνος, καί ἄν ἀκόμη δέν ἀδικηθεῖ, φοβᾶται, ἐνῶ αὐτός, καί ἄν ἀκόμη ἀδικηθεῖ, θά εἶναι σέ καλύτερη κατάσταση ἀπό ἐκείνους πού δέν ἔχουν ἀδικηθεῖ, καί γι' αὐτό θά βρίσκεται καί σέ περισσότερη εὐθυμία. Ἄς μήν ἐπιζητοῦμε λοιπόν αὐτό, πῶς δηλαδή νά μή μᾶς βλάψει κανείς, ἀλλά πῶς, καί ἄν ἀκόμη θέλει νά μᾶς βλάπτει, νά μήν μπορεῖ. Καί αὐτό ἀπό πουθενά ἀλλοῦ δέ θά συμβεῖ, παρά μόνο ἀπό τό νά ἀνεχόμαστε τή στέρηση καί νά μήν ἐπιθυμοῦμε περισσότερα. Γιατί ἔτσι καί ἐδῶ θά μπορέσουμε νά ζήσουμε μία ζωή γεμάτη ἀπολαύσεις, καί τά μελλοντικά ἀγαθά θά ἐπιτύχουμε, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΣΤ'

(Ρωμ. 14,1–13)

«Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει».

1. Οἶδα ὅτι πολλοῖς ἄπορον τὸ εἰρημένον. Διὸ πρότερον ἀναγκαῖον εἰπεῖν τοῦ χωρίου τούτου παντὸς τὴν ὑπόθεσιν, καὶ τί βουλόμενος διορθῶσαι, ταῦτα γράφει. Τί τοίνυν βούλεται διορθοῦν; Ἦσαν πολλοὶ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, οἳ τῇ τοῦ νόμου κατεχόμενοι συνειδήσει καὶ μετὰ τὴν πίστιν τῶν βρωμάτων ἐφύλαττον ἔτι τὴν παρατήρησιν, οὔπω θαρροῦντες τέλεον ἀποστῆναι τοῦ νόμου. Εἶτα, ὥστε μὴ γενέσθαι εὐφώρατοι, τῶν χοιρείων ἀπεχόμενοι μόνων, πάντων ἑξῆς ἀπείχοντο τῶν κρεῶν, καὶ λάχανα ἤσθιον μόνον, ἵνα νηστεία μᾶλλον εἶναι δοκῇ τὸ γινόμενον, ἀλλὰ μὴ νόμου παρατήρησις. Ἕτεροι πάλιν ἦσαν τελειότεροι, οὐδὲν τοιοῦτον παρατηροῦντες, οἳ τούτοις τοῖς παρατηροῦσι φορτικοὶ καὶ ἐπαχθεῖς ἐγίνοντο, ὀνειδίζοντες, ἐγκαλοῦντες, εἰς ἀθυμίαν ἐμβάλλοντες.

Δεδοικὼς τοίνυν ὁ μακάριος Παῦλος μὴ μικρὸν κατορθῶσαι βουλόμενοι, τὸ πᾶν ἀνατρέψωσι, καὶ θέλοντες εἰς τὴν τῶν βρωμάτων αὐτοὺς ἀδιαφορίαν ἀγαγεῖν, καὶ τῆς πίστεως αὐτοὺς ἐκπεσεῖν παρασκευάσωσι, καὶ πρὸ τοῦ καιροῦ τοῦ προσήκοντος τὸ πᾶν ἐπα-

ΟΜΙΛΙΑ ΚΣΤ'

(Ρωμ. 14,1-3)

«Ἐκεῖνον, πού εἶναι ἀδύνατος στήν πίστη, νά τόν δέχεσθε, ἀλλ' ὄχι γιά συζητήσεις ἰδεῶν. Ὁ ἕνας πιστεύει ὅτι ἐπιτρέπεται νά φάει ὅλα τά φαγητά, ἐνῶ ὁ ἀδύνατος στήν πίστη τρώει λάχανα».

1. Γνωρίζω ὅτι αὐτό πού λέχθηκε εἶναι ἀκατανόητο στούς πολλούς. Γι' αὐτό πρέπει πρῶτα νά πῶ τήν ὑπόθεση ὅλου τοῦ χωρίου αὐτοῦ καί τί θέλοντας νά διορθώσει τά γράφει αὐτά. Τί λοιπόν θέλει νά διορθώσει; Ὑπῆρχαν πολλοί ἀπό τούς πιστούς πού προέρχονταν ἀπό τούς Ἰουδαίους, οἱ ὁποῖοι προσκολλημένοι στή συνείδηση τοῦ νόμου καί ὕστερα ἀπό τήν πίστη φύλαγαν ἀκόμη τή διάκριση τῶν φαγητῶν, χωρίς νά τολμοῦν ἀκόμη ν' ἀπομακρυνθοῦν ὁριστικά ἀπό τό νόμο. Ἔπειτα, γιά νά μή γίνουν ἀντιληπτοί, ἀποφεύγοντας μόνο τό χοιρινό κρέας, ἀπέφευγαν στό ἑξῆς ὅλα τά κρέατα καί ἔτρωγαν μόνο λάχανα, ὥστε νά φανεῖ αὐτό πού γίνονταν ὅτι εἶναι μᾶλλον νηστεία, ἀλλ' ὄχι τήρηση τοῦ νόμου. Ἄλλοι πάλι ἦταν τελειότεροι, χωρίς νά νά κάμνουν κάποια παρόμοια διάκριση, οἱ ὁποῖοι γίνονταν ἐνοχλητικοί καί δυσάρεστοι σ' ἐκείνους πού τηροῦσαν αὐτά, ἐπιτιμώντας, κατηγορώντας, προκαλώντας στενοχώρια.

Φοβούμενος λοιπόν ὁ μακάριος Παῦλος μήπως, θέλοντας νά κατορθώσουν κάτι μικρό, ἀνατρέψουν τό πᾶν, καί, προσπαθώντας νά τούς ὁδηγήσουν στήν ἀδιαφορία τῶν φαγητῶν, τούς κάμουν νά χάσουν καί τήν πίστη, καί, σπεύδοντας νά διορθώσουν τό πᾶν πρίν

νορθῶσαι σπεύδοντες, περὶ τὰ καίρια τὴν ζημίαν ἐργάσωνται, ἀπὸ τῆς εἰς τὸν Χριστὸν ὁμολογίας αὐτοὺς παρασαλεύοντες τῷ συνεχῶς ἐπιτιμᾶν, καὶ ἐν ἑκατέροις μείνωσιν ἀδιόρθωτοι· ὅρα πόση κέχρηται συνέσει, καὶ πῶς ἑκατέρων ἐπιμελεῖται τῶν μερῶν μετὰ τῆς συνήθους αὐτῷ σοφίας. Οὔτε γὰρ ὅτι κακῶς ποιεῖτε, τολμᾷ τοῖς ἐπιτιμῶσιν εἰπεῖν, ἵνα μὴ ἐκείνους βεβαιώσῃ ἐν τῇ παρατηρήσει, οὔτε πάλιν ὅτι καλῶς, ἵνα μὴ σφοδροτέρους κατηγόρους ἐργάσηται, ἀλλὰ συμμεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν. Καὶ δοκεῖ μὲν τοῖς ἰσχυροτέροις ἐπιτιμᾶν, τὸ δὲ πᾶν εἰς ἐκείνους κενοῖ ἐν τῷ πρὸς τούτους λόγῳ. Αὕτη γὰρ μάλιστα ἡ διόρθωσις ἀνεπαχθεστέρα, ὅταν πρὸς ἄλλον τις τρέψας τὸν λόγον, ἕτερον πλήττῃ. Οὔτε γὰρ εἰς θυμὸν ἀφίησιν ἐξενεχθῆναι τὸν ἐπιτιμώμενον, καὶ λανθανόντως τὸ τῆς διορθώσεως ἐνίησι φάρμακον.

Ὅρα τοίνυν πῶς αὐτὸ ποιεῖ συνετῶς, καὶ πῶς εὐκαίρως. Εἰπὼν γάρ, «τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας», τότε εἰς τὸν περὶ τούτων ἐκβαίνει λόγον, ἵνα μὴ δόξῃ ὑπὲρ ἐκείνων λέγειν τῶν ἐπιτιμώντων καὶ κελευόντων ἐσθίειν ἅπαντα. Τὸ γὰρ ἠσθενηκὸς μέρος ἀεὶ πλείονος δεῖται τῆς προνοίας. Διὸ καὶ πρὸς τὸν ἰσχυρὸν εὐθέως ἀποτείνεται, λέγων οὕτω· «τὸν δὲ ἀσθενοῦντα τῇ πίστει». Εἶδες πληγὴν εὐθέως μίαν ἐκείνῳ δοθεῖσαν; Εἰπὼν γὰρ «τὸν ἀσθενοῦντα», ἔδειξεν αὐτὸν ἄρρωστον. Εἶτα δευτέραν προστίθησι λέγων, «προσλαμβάνεσθε». Δείκνυσι γὰρ πάλιν πολλῆς δεόμενον ἐπιμελείας, ὅπερ σημεῖον ἐσχάτης ἀρρωστίας ἐστί. «Μὴ εἰς διακρίσεις διαλογισμῶν». Ἰδοὺ καὶ τρίτην ἐπέθηκε πληγήν. Ἐντεῦθεν γὰρ δηλοῖ τοιοῦτον αὐτοῦ τὸ ἁμάρτημα ὄν, ὡς καὶ τοὺς τὰ αὐτὰ αὐτῷ μὴ πλημμελοῦντας, κοινωνοῦντας δὲ ὅμως αὐτῷ τῆς φιλίας, καὶ ἀντεχομένους αὐτοῦ τῆς θεραπείας, διακρίνεσθαι. Εἶδες πῶς δοκεῖ μὲν τούτοις διαλέγεσθαι, ἐκείνοις δὲ ἐπιτιμᾷ

1. Ρωμ. 13,14.

ἀπό τόν κατάλληλο καιρό, προκαλέσουν ζημία στά καίρια, κλονίζοντας αὐτούς ἀπό τήν ὁμολογία στό Χριστό μέ τό νά τούς ἐπιτιμοῦν συνέχεια, καί μείνουν ἔτσι ἀδιόρθωτοι καί στά δύο, βλέπε πόση σύνεση χρησιμοποιεῖ καί πῶς φροντίζει καί γιά τά δύο μέρη μέ τή συνηθισμένη σ' αὐτόν σοφία. Γιατί οὔτε τολμάει νά πεῖ, σ' ἐκείνους πού ἐπιτιμοῦσαν, ὅτι ἐνεργεῖτε κακῶς, γιά νά μή φανεῖ ὅτι ὑποστηρίζει ἐκείνους στήν τήρηση τοῦ νόμου, οὔτε πάλι ὅτι κάνετε καλά, γιά νά μήν κάνει πιό σφοδρούς τούς κατηγόρους, ἀλλ' ἐπιτιμάει μέ σύνεση. Καί φαίνεται βέβαια ὅτι ἐπιτιμάει τούς πιό δυνατούς πνευματικά, ἀλλ' ὅμως τό πᾶν τοῦ λόγου του πρός αὐτούς τό στρέφει πρός ἐκείνους. Γιατί αὐτή ἡ διόρθωση πρό πάντων ἐνοχλεῖ λιγότερο, ὅταν κανείς, στρέφοντας σ' ἄλλον τό λόγο, κτυπάει ἄλλον. Γιατί οὔτε ἐκεῖνον πού ἐπιτιμᾶται τόν ἀφήνει νά φθάσει σέ θυμό, καί παράλληλα, χωρίς νά γίνεται ἀντιληπτό, ρίχνει τό φάρμακο τῆς διορθώσεως.

Πρόσεχε λοιπόν πῶς τό κάνει αὐτό μέ σύνεση καί στήν κατάλληλη στιγμή. Γιατί, ἀφοῦ εἶπε, «νά μή φροντίζετε γιά τή σάρκα, ἱκανοποιώντας τίς ἐπιθυμίες της»[1], τότε φέρει τό λόγο σ' αὐτούς, γιά νά μή φανεῖ ὅτι μιλάει ὑπερασπίζοντας ἐκείνους πού ἐπιτιμοῦν καί προτρέπουν νά τρώγουν ὅλα τά φαγητά. Καθόσον τό ἀδύνατο μέρος πάντοτε χρειάζεται περισσότερη φροντίδα. Γι' αὐτό καί πρός τό ἰσχυρό μέρος ἀμέσως ἀπευθύνεται, λέγοντας αὐτό· «ἐκεῖνον ὅμως πού εἶναι ἀδύνατος στήν πίστη». Εἶδες τό πρῶτο κτύπημα πού δόθηκε ἀμέσως σ' ἐκεῖνον; Γιατί, λέγοντας, «ἐκεῖνον πού εἶναι ἀδύνατος», ἔδειξε πώς αὐτός εἶναι ἄρρωστος. Ἔπειτα προσθέτει δύτερο κτύπημα, λέγοντας, «νά τόν δέχεσθε». Δείχνει λοιπόν πάλι πώς χρειάζεται πολλή φροντίδα, πράγμα πού εἶναι δεῖγμα τῆς πιό χειρότερης ἀρρώστιας. «Ἀλλ' ὄχι γιά συζητήσεις ἰδεῶν». Νά καί τρίτο κτύπημα πρόσθεσε. Γιατί ἀπό ἐδῶ φανερώνει ὅτι τέτοιο εἶναι τό ἁμάρτημά του, ὥστε νά διακρίνονται καί ἐκεῖνοι πού δέν κάνουν τά ἴδια ἁμαρτήματα μ' αὐτόν, ἀλλά πού εἶναι ὅμως φίλοι μ' αὐτόν καί δέχονται τή θεραπεία του. Εἶδες πῶς δίνει τήν ἐντύπωση ὅτι μιλάει σ' αὐτούς, στήν πραγματικότητα ὅμως πῶς ἐπιτιμάει ἐκείνους χωρίς νά γίνεται ἀντιληπτό καί χωρίς νά ἐνοχλεῖ; Ἔπειτα, ἀφοῦ ἀνέφερε

λανθανόντως καὶ ἀνεπαχθῶς; Εἶτα τιθεὶς ἀμφοτέρους παράλληλα, τὸν μὲν μετ' ἐγκωμίων, τὸν δὲ μετ' ἐγκλημάτων τίθησιν. Ἐπάγει γὰρ λέγων· «ὃς μὲν πιστεύει φαγεῖν πάντα», ἀνακηρύττων αὐτὸν ἀπὸ τῆς πίστεως, «ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει», καὶ τοῦτον πάλιν κακίζων ἀπὸ τῆς ἀσθενείας.

2. *Εἶτα, ἐπειδὴ καιρίαν ἔδωκε τὴν πληγήν, παραμυθεῖται πάλιν αὐτόν, οὕτω λέγων· «ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω». Οὐκ εἶπεν, ἐάτω, οὐκ εἶπε, μὴ ἐγκαλείτω, οὐκ εἶπε, μὴ διορθούσθω, ἀλλά, μὴ ὀνειδιζέτω, μὴ διαπτυέτω, δεικνὺς ὅτι πρᾶγμα πολλοῦ γέλωτος ἄξιον ἐποίουν. Ἐπὶ δὲ τούτου οὐχ οὕτως, ἀλλὰ πῶς; «Ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω». Ὥσπερ γὰρ οἱ τελειότεροι τούτους ἐξευτέλιζον ὡς ὀλιγοπίστους καὶ ὑπούλους καὶ νόθους καὶ ἰουδαΐζοντας ἔτι, οὕτως ἐκεῖνοι τούτους ἔκρινον ὡς παρανομοῦντας, ἢ ὡς λαιμαργίᾳ προσέχοντας· ὧν πολλοὺς καὶ ἐξ ἐθνῶν εἰκὸς εἶναι. Διὸ καὶ ἐπήγαγεν «ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο». Ἐπ' ἐκείνου δὲ οὐκ εἶπε τοῦτο. Καίτοι τὸ μὲν ἐξουθενεῖσθαι τοῦ ἐσθίοντος ἦν ὡς λαιμάργου, τὸ δὲ κρίνεσθαι τοῦ μὴ ἐσθίοντος ὡς ὀλιγοπίστου. Ἀλλ' ἀντήλλαξεν αὐτά, δεικνὺς ὅτι οὐ μόνον τοῦ ἐξουθενεῖσθαι οὐκ ἔστιν ἄξιος, ἀλλὰ καὶ ἐξουθενεῖν δύναται. Ἀλλὰ καὶ ἐγὼ κατακρίνω, φησίν; Οὐδαμῶς· διὰ γὰρ τοῦτο ἐπήγαγεν, ὅτι «ὁ Θεὸς αὐτὸν προσελάβετο».*

Τί τοίνυν αὐτῷ περὶ νόμου διαλέγῃ ὡς παραβαίνοντι; «Ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο»· τουτέστι, τὴν ἄφατον αὐτοῦ περὶ αὐτὸν ἐπεδείξατο χάριν, καὶ πάντων ἀπήλλαξεν ἐγκλημάτων. Εἶτα πάλιν πρὸς τὸν ἰσχυρόν, «σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;». Ὅθεν δῆλον, ὅτι καὶ ἐκεῖνοι ἔκρινον, οὐ μόνον ἐξουθένουν. «Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει». Ἰδοὺ πάλιν ἄλλη πληγή. Καὶ δοκεῖ μὲν ἡ ἀγανάκτησις εἶναι πρὸς τὸν ἰσχυρόν, καθάπτεται δὲ ἐκείνου. Ὅταν γὰρ εἴπῃ, «σταθήσεται δέ», δείκνυσιν ἔτι σαλευόμενον, καὶ πολλῆς δεόμενον τῆς προσοχῆς, καὶ τοσαύτης τῆς ἐπιμελείας, ὡς καὶ τὸν Θεὸν καλεῖν εἰς ταῦτα ἰατρόν· «δυνατὸς γάρ», φησίν, «ὁ

καί τούς δύο παράλληλα, ἀναφέρει τόν ἕνα μέ ἐπαίνους ἐνῶ τόν ἄλλο μέ κατηγορίες. Γιατί προσθέτει καί λέγει· «ὁ ἕνας πιστεύει ὅτι ἐπιτρέπεται νά φάει ὅλα τά φαγητά», ἀνακηρύσσοντας αὐτόν ἀπό τήν πίστη, «ἐνῶ ὁ ἀδύνατος στήν πίστη τρώει λάχανα», κακίζοντας καί αὐτόν πάλι ἀπό τήν ἀδυναμία του.

2. Στή συνέχεια, ἐπειδή ἔδωσε καίριο τό κτύπημα, παρηγορεῖ πάλι αὐτόν, λέγοντας αὐτά· «ἐκεῖνος πού τρώει ἄς μήν περιφρονεῖ ἐκεῖνον πού δέν τρώει». Δέν εἶπε, 'ἄς ἀφήνει', δέν εἶπε, 'ἄς μήν κατηγορεῖ', δέν εἶπε, 'ἄς μή διορθώνει', ἀλλά, 'ἄς μήν τόν περιπαίζει', 'ἄς μήν τόν περιφρονεῖ', γιά νά δείξει ὅτι ἔκαμναν πράγμα ἄξιο πολλοῦ γέλωτος. Σ' αὐτόν ὅμως δέ λέγει ἔτσι, ἀλλά πῶς; «Ἐκεῖνος πού δέν τρώει ἄς μήν κατακρίνει ἐκεῖνον πού τρώει». Γιατί, ὅπως ἀκριβῶς οἱ πιό τέλειοι στήν πίστη τούς ὑποτιμοῦσαν σάν ὀλιγόπιστους καί ὕπουλους καί νόθους καί ἰουδαΐζοντες ἀκόμη, ἔτσι ἐκεῖνοι ἔκριναν αὐτούς σάν παράνομους ἤ σάν λαίμαργους· ἀπ' αὐτούς πολλοί ἦταν φυσικό νά εἶναι καί ἀπό τούς ἐθνικούς. Γι' αὐτό καί πρόσθεσε· «γιατί αὐτόν τόν δέχθηκε ὁ Θεός». Σ' ἐκεῖνον ὅμως δέν τό εἶπε αὐτό. Ἄν καί βέβαια ἡ περιφρόνηση ἀνῆκε σ' ἐκεῖνον πού ἔτρωγε, ἐπειδή ἦταν λαίμαργος, ἐνῶ ἡ κατάκριση σ' ἐκεῖνον πού δέν ἔτρωγε, ἐπειδή ἦταν ὀλιγόπιστος. Ἀλλ' ἀντάλλαξε αὐτά, γιά νά δείξει ὅτι ὄχι μόνο δέν εἶναι ἄξιος περιφρονήσεως, ἀλλά καί μπορεῖ νά κατηγορεῖ. Ἀλλά, λέγει, καί ἐγώ τόν κατακρίνω; Καθόλου. Γιατί γι' αὐτό πρόσθεσε, ὅτι «ὁ Θεός τόν δέχθηκε».

Γιατί λοιπόν κατακρίνεις αὐτόν γιά τό νόμο ὅτι τάχα τόν παραβαίνει; «Γιατί ὁ Θεός τόν δέχθηκε». Δηλαδή, ἔδειξε γι' αὐτόν τήν ἀπερίγραπτη χάρη του καί τόν ἀπάλλαξε ἀπ' ὅλες τίς κατηγορίες. Ἔπειτα πάλι πρός τόν ἰσχυρό λέγει. «Ποιός εἶσαι σύ πού κατακρίνεις ξένο ὑπηρέτη;». Ἑπομένως εἶναι φανερό, ὅτι καί ἐκεῖνοι τούς κατέκριναν, καί ὄχι μόνο τούς περιφρονοῦσαν. «Γιά τό δικό του κύριο στέκεται ἤ πέφτει». Νά πάλι ἄλλο πλῆγμα. Καί φαίνεται βέβαια ὅτι ἡ ἀγανάκτηση εἶναι ἐναντίον τοῦ ἰσχυροῦ, ἀλλ' ἀπευθύνεται πρός ἐκεῖνον. Γιατί ὅταν λέγει , «θά σταθεῖ ὅμως», δείχνει ὅτι κλονίζεται ἀκόμη καί ὅτι χρειάζεται πολλή προσοχή καί τόσο μεγάλη

Θεὸς στῆσαι αὐτόν». Ὅπερ ἐπὶ τῶν σφόδρα ἀπεγνωσμένων λέγομεν. Εἶτα, ἵνα μὴ ἀπογνῷ, καὶ ἀσθενοῦντα αὐτὸν οἰκέτην καλεῖ, λέγων· «σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;». Καὶ ἐνταῦθα δὲ πάλιν λανθανόντως αὐτοῦ καθάπτεται. Οὐ γὰρ ἐπειδὴ ἄξια τοῦ μὴ κρίνεσθαι ποιεῖ, διὰ τοῦτο κελεύω μὴ κρίνειν, ἀλλ' ἐπειδὴ ἀλλότριός ἐστιν οἰκέτης, τουτέστιν, οὐ σός, ἀλλὰ τοῦ Θεοῦ.

Εἶτα παραμυθούμενος αὐτὸν πάλιν, οὐκ εἶπεν, 'ὅτι πίπτει', ἀλλὰ τί; «Στήκει ἢ πίπτει». Ἄν τε δὲ τοῦτο, ἄν τε ἐκεῖνο ᾖ, τῷ δεσπότῃ διαφέρει ταῦτα ἀμφότερα· καὶ γὰρ ἡ ζημία ἐκεῖ τείνει, πεσόντος, ὥσπερ οὖν καὶ ὁ πλοῦτος, ἑστῶτος. Ταῦτα δέ, εἰ μὴ τὸν σκοπὸν πάλιν κατίδοιμεν τοῦ Παύλου, βουλομένου μὴ πρὸ καιροῦ τοῦ προσήκοντος ἐπιτιμᾶσθαι αὐτούς, σφόδρα ἀνάξια τῆς Χριστιανοῖς πρεπούσης κηδεμονίας ἐστίν. Ἀλλ', ὅπερ αἰεὶ λέγω, τὴν γνώμην ἐξετάζειν δεῖ μεθ' ἧς λέγεται, καὶ τὴν ὑπόθεσιν περὶ ἧς λέγεται, καὶ τί σπουδάζων κατορθῶσαι λέγει. Οὐχ ὡς ἔτυχε δὲ ἐνέτρεψε, τοῦτο εἰπών. Εἰ γὰρ ὁ Θεός, φησίν, ὁ τὴν ζημίαν ὑπομένων, οὐδὲν ποιεῖ τέως, πῶς οὐκ ἂν εἴης ἄκαιρος σὺ καὶ πέρα τοῦ μέτρου περίεργος, ἄγχων αὐτὸν καὶ ἐνοχλῶν.

3. «Ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν». Ἐνταῦθά μοι δοκεῖ ἠρέμα καὶ περὶ νηστείας αἰνίττεσθαι. Καὶ γὰρ εἰκὸς τῶν νηστευόντων τινὰς τοὺς μὴ νηστεύοντας διηνεκῶς κρίνειν· ἢ καὶ ἐν ταῖς παρατηρήσεσιν εἰκὸς εἶναί τινας τοὺς ῥητὰς ἡμέρας ἀπεχομένους, καὶ ῥητὰς ἐχομένους. Διὸ καὶ ἔλεγεν, «ἕκαστος τῷ ἰδίῳ νοῒ πληροφορείσθω». Οὕτω γὰρ καὶ τῶν παρατηρούντων τὸν φόβον ἐξέλυσεν, ἀδιάφορον τὸ πρᾶγμα εἶναι λέγων, καὶ τῶν ἐπιτιθεμένων αὐτοῖς σφοδρῶς τὴν φιλονεικίαν ἀνῄρει, δεικνὺς ὅτι οὐ σφόδρα περισπούδαστον τὸ περὶ τούτων ἐνοχλεῖν συνεχῶς· οὐ σφόδρα δὲ περισπούδαστον, οὐ παρὰ τὴν οἰκείαν φύσιν,

φροντίδα, ὥστε νά καλεῖ καί τό Θεό ἰατρό σ' αὐτά· «γιατί ὁ Θεός», λέγει, «ἔχει τή δύναμη νά τόν κάνει νά σταθεῖ», πράγμα πού τό λέμε γιά ἐκείνους πού εἶναι ὑπερβολικά ἀπελπισμένοι. Στή συνέχεια, γιά νά μήν ἀπελπισθεῖ, τόν ἀποκαλεῖ καί ὑπηρέτη παρ' ὅλο πού εἶναι ἀδύνατος, λέγοντας· «ποιός εἶσαι ἐσύ πού κατακρίνεις ξένο ὑπηρέτη;». Καί ἐδῶ πάλι αὐτόν ἐπιτιμᾶ κρυφά. Ὄχι γιατί κάνει πράγματα ἄξια μή κατακρίσεως, καί γι' αὐτό προτρέπω νά μήν κατακρίνεται, ἀλλά γιατί εἶναι ξένος ὑπηρέτης, δηλαδή, δέν εἶναι δικός σου, ἀλλά τοῦ Θεοῦ.

Στή συνέχεια παρηγορώντας αὐτόν πάλι, δέν εἶπε, 'ὅτι πέφτει', ἀλλά τί; «Στέκεται ἤ πέφτει». Εἴτε συμβαίνει τό ἕνα εἴτε τό ἄλλο, τόν κύριο ἐνδιαφέρουν αὐτά τά δύο· καθόσον καί ἡ ζημία ἐκεῖ πηγαίνει, ὅταν πέσει, ὅπως ἀκριβῶς βέβαια καί ὁ πλοῦτος, ὅταν στέκεται. Αὐτά βέβαια, ἄν δέν κατανοήσουμε τό σκοπό πάλι τοῦ Παύλου, πού θέλει νά μήν ἐπιτιμοῦνται αὐτοί πρίν ἀπό τόν κατάλληλο καιρό, εἶναι πάρα πολύ ἀνάξια γιά τή φροντίδα πού ταιριάζει στούς Χριστιανούς. Ἀλλά, πράγμα πού πάντοτε λέγω, πρέπει νά ἐξατάζουμε τήν πρόθεση μέ τήν ὁποία λέγονται, καί τήν ἀφορμή γιά τήν ὁποία λέγονται, καί τί προσπαθώντας νά ἐπιτύχει τά λέγει. Καί δέν ἐπέπληξε λίγο λέγοντας αὐτό. Γιατί, ἄν Θεός, λέγει, πού ὑφίσταται τή ζημία, δέν κάνει τίποτε πρῶτα, πώς δέ θά ἦσουν ἄκαιρος ἐσύ καί περισσότερο ἀπό τό μέτρο περίεργος, στενοχωρώντας καί ἐνοχλώντας αὐτόν;

3. «Ὁ ἕνας θεωρεῖ τή μία ἡμέρα σάν πιό ἅγια ἀπό τήν ἄλλη, ἐνῶ ὁ ἄλλος θεωρεῖ ὡς ἅγια κάθε ἡμέρα». Ἐδῶ μοῦ φαίνεται ὅτι σιγά - σιγά κάνει ὑπαινιγμό καί γιά τή νηστεία. Καθόσον ἦταν φυσικό μερικοί ἀπό ἐκείνους πού νήστευαν νά κατέκριναν διαρκῶς ὅσους δέ νήστευαν, ἤ ἦταν φυσικό κατά τίς διακρίσεις αὐτές μερικοί νά ἔτρωγαν ὁρισμένες ἡμέρες καί ὁρισμένες νά μή ἔτρωγαν. Γι' αὐτό καί ἔλεγε, «ὁ καθένας ἄς ἔχει τή δική του γνώμη». Ἔτσι λοιπόν διέλυσε καί τό φόβο ἐκείνων πού ἔκαμναν τίς διακρίσεις, λέγοντας πώς τό πράγμα εἶναι ἀδιάφορο, καί καταργοῦσε τήν ἐχθρότητα ἐκείνων πού μέ σφοδρότητα ἐπιτίθενταν ἐναντίον αὐτῶν, δείχνοντας ὅτι δέν εἶναι πάρα πολύ ἀγαπητό τό νά ἐνοχλοῦν συνέχεια γι' αὐτά τά ζητήματα. Καί δέν εἶναι πάρα πολύ ἀγαπητό, ὄχι ἐξ αἰτίας

ἀλλὰ παρὰ τὸν καιρόν, καὶ διὰ τὸ νεήλυδας εἶναι ἐν τῇ πίστει. Ἐπεὶ Κολασσαεῦσι γράφων, μετὰ πολλῆς ἀπαγορεύει τοῦτο τῆς σπουδῆς, λέγων· «βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν»· καὶ πάλιν, «μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει»· καί, «μηδεὶς ὑμᾶς καταβραβευέτω».

Καὶ Γαλάταις δὲ ἐπιστέλλων, μετὰ πολλῆς ἀκριβείας ἀπαιτεῖ παρ' αὐτῶν τὴν ἐν τοῖς τοιούτοις φιλοσοφίαν καὶ τελειότητα. Ἐνταῦθα δὲ οὐ κέχρηται τούτῳ τῷ τόνῳ, διὰ τὸ νεόφυτον εἶναι παρ' αὐτοῖς τὴν πίστιν. Μὴ τοίνυν εἰς πάντα ἕλκωμεν τό, «ἕκαστος τῷ ἰδίῳ νοΐ πληροφορείσθω». Ὅταν γὰρ περὶ δογμάτων ὁ λόγος ᾖ, ἄκουσον τί φησιν· «εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, κἂν ἄγγελος ᾖ, ἀνάθεμα ἔστω»· καὶ πάλιν, «φοβοῦμαι μή πως, ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν». Καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγε· «βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν». Παρὰ δὲ Ρωμαίοις ἐπειδὴ τέως οὐκ ἦν καιρὸς τὰ τοιαῦτα διορθοῦν, «ἕκαστος», φησί, «τῷ ἰδίῳ νοΐ πληροφορείσθω». Καὶ γὰρ καὶ περὶ νηστείας ὁ λόγος ἦν, καὶ τὴν ἐκείνων τοίνυν ἀλαζονείαν καθαιρῶν, καὶ τούτων ἐκλύων τὸν φόβον, ταῦτα ἔλεγεν. «Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. Καὶ ὁ ἐσθίων, Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ». Ἔτι τῶν αὐτῶν ἔχεται. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ περὶ τὰ καίρια τὸ πρᾶγμά ἐστι. Τὸ γὰρ ζητούμενον, εἰ διὰ τὸν Θεὸν καὶ οὗτος κἀκεῖνος ἐργάζεται· τὸ ζητούμενον, εἰ ἀμφότεροι εἰς εὐχαριστίαν τελευτῶσι. Καὶ γὰρ καὶ ἐκεῖνος καὶ οὗτος εὐχαριστοῦσι τῷ Θεῷ.

2. Κολ. 2,8. 16. 18.
3. Γαλ. 1,9.
4. Β' Κορ. 11,3.
5. Φιλιπ. 3,2.

τῆς φύσεώς του, ἀλλ' ἐξ αἰτίας τοῦ χρόνου καί ἀπό τό ὅτι εἶναι νέοι στήν πίστη. Καθόσον, γράφοντας πρός τούς Κολασσαεῖς, μέ πολλή φροντίδα τό ἀπαγορεύει αὐτό, λέγοντας· «προσέχετε μήπως σᾶς παρασύρει κανείς μέ τή φιλοσοφία καί μέ κούφια ἀπατηλά πράγματα, πού εἶναι σύμφωνα μέ τήν παράδοση τῶν ἀνθρώπων καί τά στοιχεῖα τοῦ κόσμου, καί ὄχι σύμφωνα μέ τή διδασκαλία τοῦ Χριστοῦ»· καί πάλι, «κανένας λοιπόν ἄς μή σᾶς κρίνει γιά φαγητό ἤ γιά ποτό», καί, «κανένας ἄς μή σᾶς στερήσει τό βραβεῖο»[2].

Ἀλλά καί στούς Γαλάτες γράφοντας, μέ πολλή ἀκρίβεια ἀπαιτεῖ ἀπ' αὐτούς τήν πίστη καί τήν τελειότητα σέ τέτοια ζητήματα· ἐδῶ ὅμως δέ χρησιμοποιεῖ αὐτόν τόν τόνο, ἐξ αἰτίας τοῦ ὅτι ἡ πίστη ἦταν νεόφυτη σ' αὐτούς. Ἄς μήν λέμε λοιπόν σ' ὅλα τό, «ὁ καθένας ἄς ἔχει τή δική του γνώμη». Γιατί, ὅταν ὁ λόγος εἶναι γιά τά δόγματα, ἄκουσε τί λέγει· «ἐάν κανείς σᾶς κηρύξει διαφορετικό εὐαγγέλιο ἀπό ἐκεῖνο πού παραλάβατε, καί ἄν ἀκόμη εἶναι ἄγγελος, ἄς εἶναι ἀνάθεμα»[3]. Καί πάλι, «φοβοῦμαι μήπως, ὅπως τό φίδι ἐξαπάτησε τήν Εὔα, ἔτσι φθαροῦν οἱ σκέψεις σας»[4]. Καί στούς Φιλιππησίους γράφοντας ἔλεγε· «προσέχετε ἀπό τά σκυλιά, προσέχετε ἀπό τούς κακούς ἐργάτες, προσέχετε ἀπό ἐκείνους πού κόβουν τή σάρκα»[5]. Στούς Ρωμαίους ὅμως, ἐπειδή τώρα δέν ἦταν καιρός νά διορθώνει αὐτά, λέγει· «ὁ καθένας ἄς ἔχει τή δική του γνώμη». Καθόσον ὁ λόγος ἦταν καί γιά τή νηστεία, καί τά ἔλεγε αὐτά καί γιά νά ἐξαλείψει τήν ἀλαζονεία ἐκείνων καί γιά νά διαλύσει τό φόβο αὐτῶν. «Ἐκεῖνος πού κάνει διάκριση στήν ἡμέρα, τό κάνει πάλι γιά τόν Κύριο, καί ἐκεῖνος πού δέν κάνει διάκριση στήν ἡμέρα τό κάνει γιά τόν Κύριο. Καί ἐκεῖνος πού τρώει, γιά τόν Κύριο τρώει, γιατί εὐχαριστεῖ τό Θεό. Καί ἐκεῖνος πού δέν τρώει, γιά τόν Κύριο δέν τρώει, καί εὐχαριστεῖ τό Θεό». Καί συνεχίζει ν' ἀσχολεῖται μέ αὐτά. Αὐτό βέβαια πού λέγει σημαίνει τό ἑξῆς· τό πράγμα δέν εἶναι γιά τά καίρια. Γιατί τό ζητούμενο εἶναι, ἄν αὐτό τό κάνει γιά τό Θεό καί αὐτός καί ἐκεῖνος· ἐκεῖνο πού ζητεῖται εἶναι ἄν καί οἱ δύο τελειώνουν σέ εὐχαριστία. Καθόσον καί ἐκεῖνος καί αὐτός εὐχαριστοῦν τό Θεό.

Εἰ τοίνυν ἀμφότεροι εὐχαριστοῦσιν, οὐ πολὺ τὸ μέσον. Σὺ δέ μοι σκόπει πῶς καὶ ἐνταῦθα πλήττει λανθανόντως τὸν ἰουδαΐζοντα. Εἰ γὰρ τὸ ζητούμενον τοῦτό ἐστι, τὸ εὐχαριστεῖν, εὔδηλον ὅτι ὁ ἐσθίων οὗτός ἐστιν ὁ εὐχαριστῶν, οὐχ ὁ μὴ ἐσθίων· πῶς γάρ, ἔτι τοῦ νόμου ἐχόμενος; Ὅπερ οὖν καὶ πρὸς Γαλάτας ἔλεγεν· «οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε». Ἀλλ' ἐνταῦθα αἰνίττεται μὲν αὐτό, οὐκ ἀνακαλύπτει δὲ αὐτὸ οὕτως· οὔπω γὰρ ἦν καιρός· ἀλλὰ τέως διαβαστάζει, καὶ διὰ τῶν ἑξῆς αὐτὸ παρανοίγει μᾶλλον. Εἰπὼν γάρ, «οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν», σαφέστερον αὐτὸ καὶ διὰ τούτων παρεδήλωσεν. Ὁ γὰρ τῷ νόμῳ ζῶν, πῶς δύναται τῷ Χριστῷ ζῆν; Οὐ τοῦτο δὲ μόνον διὰ τούτων κατασκευάζει, ἀλλὰ καὶ τὸν ἐπειγόμενον εἰς τὴν ἐκείνων διόρθωσιν κατέχει, καὶ πείθει μακροθυμεῖν, δεικνὺς ὅτι ἀμήχανον τὸν Θεὸν καταφρονῆσαι αὐτῶν, ἀλλὰ τῷ προσήκοντι καιρῷ διορθώσεται.

4. Τί οὖν ἐστιν, «οὐδεὶς ἡμῶν ἑαυτῷ ζῇ»; Οὐκ ἐσμὲν ἐλεύθεροι, δεσπότην ἔχομεν τὸν καὶ ζῆν ἡμᾶς βουλόμενον, καὶ ἀποθανεῖν οὐ θέλοντα, καὶ ᾧ ταῦτα ἀμφότερα μᾶλλον ἡμῶν διαφέρει. Διὰ γὰρ τούτων δείκνυσιν, ὅτι πλέον ἡμῶν αὐτὸς κήδεται, καὶ μᾶλλον ἡμῶν καὶ πλοῦτον τὴν ἡμετέραν ζωὴν ἡγεῖται, καὶ ζημίαν τὸν θάνατον. Οὐ γὰρ ἑαυτοῖς ἀποθνήσκομεν μόνον, ἀλλὰ καὶ τῷ δεσπότῃ, ἂν ἄρα ἀποθάνωμεν. Θάνατον δὲ ἐνταῦθα τὸν ἐκ τῆς πίστεως λέγει. Ἱκανὸν μὲν οὖν καὶ τοῦτο πεῖσαι, ὅτι φροντίζει ἡμῶν, ὅτι αὐτῷ ζῶμεν, καὶ αὐτῷ ἀποθνήσκομεν. Πλὴν οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ἕτερον ἐπάγει. Εἰπὼν γάρ, «ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν», καὶ ἀπ' ἐκείνου τοῦ θανάτου ἐπὶ τὸν φυσικὸν μεταβάς, ἵνα μὴ δόξῃ τραχύνειν τὸν λόγον, ἕτερον σημεῖον

6. Γαλ. 5,4.

Ἐάν λοιπόν καί οἱ δύο τόν εὐχαριστοῦν, δέν εἶναι μεγάλη ἡ διαφορά. Ἐσύ ὅμως, παρακαλῶ, πρόσεχε πῶς καί ἐδῶ, χωρίς νά γίνεται ἀντιληπτό, πλήττει τόν ἰουδαΐζοντα. Γιατί, ἄν τό ζητούμενο εἶναι αὐτό, δηλαδή ἡ εὐχαριστία, εἶναι ὁλοφάνερο ὅτι ἐκεῖνος πού τρώει εἶναι αὐτός πού εὐχαριστεῖ, ὄχι ἐκεῖνος πού δέν τρώει· γιατί πῶς θά ἦταν δυνατό, ἀφοῦ ἀκόμη εἶναι προσηλωμένος στό νόμο; Αὐτό ἀκριβῶς ἔλεγε καί πρός τούς Γαλάτες· «ὅσοι ἐπιδιώκετε νά δικαιωθεῖτε μέ τό νόμο, ξεπέσατε ἀπό τή χάρη»[6]. Ἐδῶ βέβαια τό ὑπαινίσσεται αὐτό, δέν τό φανερώνει ὅμως ἔτσι (γιατί δέν ἦταν ἀκόμη καιρός), ἀλλά πρῶτα τό ἐκτιμάει, καί μέ τά ἑπόμενα τό φανερώνει περισσότερο. Λέγοντας δηλαδή, «γιατί κανένας ἀπό μᾶς δέ ζεῖ γιά τόν ἑαυτό του καί κανένας δέ πεθαίνει γιά τόν ἑαυτό του, γιατί ἄν ζοῦμε, ζοῦμε γιά τόν Κύριο, καί ἄν πεθαίνουμε πεθαίνουμε γιά τόν Κύριο», πιό καθαρά τό ὑπαινίχθηκε καί μ' αὐτά. Γιατί ἐκεῖνος πού ζεῖ γιά τό νόμο, πῶς μπορεῖ νά ζεῖ γιά τό Χριστό; Ὅμως δέν ἀποδεικνύει τοῦτο μόνο μ' αὐτά, ἀλλά καί ἐκεῖνον πού σπεύδει στή διόρθωση τόν συγκρατάει καί τόν πείθει νά μακροθυμεῖ, δείχνοντας ὅτι εἶναι ἀδύνατο νά τούς περιφρονήσει ὁ Θεός, ἀλλά θά τούς διορθώσει στόν κατάλληλο καιρό.

4. Τί λοιπόν σημαινει, «κανένας ἀπό μᾶς δέ ζεῖ γιά τόν ἑαυτό του»; Δέν εἴμαστε ἐλεύθεροι, ἔχουμε κύριο πού καί νά ζοῦμε θέλει, καί πού νά πεθάνουμε δέ θέλει, καί στόν ὁποῖον αὐτά τά δύο διαφέρουν περισσότερο ἀπό μᾶς. Γιατί μ' αὐτά δείχνει, ὅτι αὐτός φροντίζει γιά μᾶς πιό πολύ ἀπό μᾶς, καί περισσότερο ἀπό μᾶς καί θεωρεῖ πλοῦτο τή δική μας ζωή καί ζημία τό θάνατο. Γιατί δέν πεθαίνουμε γιά τόν ἑαυτό μας μόνο, ἀλλά καί γιά τόν Κύριο, ἄν τυχόν πεθάνουμε. Θάνατο ὅμως ἐδῶ ἐννοεῖ τό θάνατο πού προέρχεται ἀπό τήν πίστη. Βέβαια ἦταν ἀρκετό καί αὐτό νά πείσει, ὅτι φροντίζει γιά μᾶς, ὅτι γι' αὐτόν ζοῦμε καί γι' αὐτόν πεθαίνουμε. Ὅμως δέν ἀρκεῖται σ' αὐτό, ἀλλά προσθέτει καί ἄλλο. Γιατί, ἀφοῦ εἶπε, «εἴτε λοιπόν ζοῦμε εἴτε πεθαίνουμε, ἀνήκουμε στόν Κύριο», καί ἀφοῦ πῆγε ἀπό τό θάνατο τῆς πίστεως στό φυσικό, γιά νά μή φανεῖ ὅτι σκληραίνει τό λόγο, παρουσιάζει ἄλλη πολύ μεγάλη ἀπόδειξη τῆς δικῆς του φρο-

ποιεῖται τῆς αὐτοῦ προνοίας μέγιστον. Ποῖον δὴ τοῦτο; «Εἰς τοῦτο γὰρ Χριστός», φησί, «καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ».

Ὥστε καὶ τοῦτό σε πειθέτω, ὅτι φροντίζει τῆς σωτηρίας ἡμῶν καὶ διορθώσεως. Εἰ γὰρ μὴ τοσαύτην ἐποιεῖτο πρόνοιαν, τίς χρεία τῆς οἰκονομίας ἦν; Ὁ τοίνυν τοσαύτην σπουδὴν θέμενος ὑπὲρ τοῦ αὐτοῦ γενέσθαι ἡμᾶς, ὡς καὶ δούλου μορφὴν λαβεῖν καὶ ἀποθανεῖν, οὗτος μετὰ τὸ γενέσθαι καταφρονήσει; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· οὐδ᾽ ἂν ἕλοιτο τοσαύτην προέσθαι πραγματείαν. «Εἰς τοῦτο» γάρ, φησί, «καὶ ἀπέθανεν»· ὡς ἂν εἴποι τις, ὁ δεῖνα οὐκ ἂν ἀνάσχοιτο καταφρονῆσαι τοῦ δούλου· τοῦ γὰρ οἰκείου κήδεται βαλαντίου. Καὶ γὰρ οὐχ οὕτως ἡμεῖς χρημάτων ἐρῶμεν, ὡς αὐτὸς τῆς σωτηρίας τῆς ἡμέτερας. Οὐκοῦν οὐδὲ χρήματα, ἀλλὰ τὸ αἷμα ὑπὲρ ἡμῶν κατέβαλε· καὶ διὰ τοῦτο οὐκ ἂν ἀνάσχοιτο προέσθαι τούτους, ὑπὲρ ὧν τοσαύτην τιμὴν κατέθηκεν. Ὅρα δὲ καὶ τὴν δύναμιν αὐτοῦ, πῶς δείκνυσιν ἄφατον οὖσαν. «Εἰς τοῦτο γάρ», φησίν, «ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ»· καὶ ἀνωτέρω, «ἐάν τε γὰρ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, αὐτοῦ ἐσμεν».

Εἶδες δεσποτείαν ἐπιτεταμένην; εἶδες ἰσχὺν ἄμαχον; εἶδες πρόνοιαν ἠκριβωμένην; Μὴ γάρ μοι τοὺς ζῶντας εἴπῃς φησί· καὶ τῶν ἀπελθόντων προνοεῖ. Εἰ δὲ τῶν ἀπελθόντων, εὔδηλον ὅτι καὶ τῶν ζώντων. Οὐδὲν γοῦν ὑπὲρ τῆς δεσποτείας ταύτης παρέλιπε, πλείονα ἀνθρώπων καὶ δικαιώματα ἑαυτῷ κατασκευάζων, καὶ χωρὶς τῶν ἄλλων ἁπάντων εἰς τὸ προνοεῖν ἡμῶν. Ἄνθρωπος μὲν γὰρ ἀργύριον καταβάλλει, καὶ διὰ τοῦτο σφόδρα ἀντέχεται τοῦ δούλου, αὐτὸς δὲ θάνατον κατέβαλε, καὶ οὐκ ἂν τὸν τῆς τοσαύτης τιμῆς ἀγορασθέντα, καὶ οὗ τὴν δεσποτείαν μετὰ τοσαύτης ἐκτήσατο σπουδῆς καὶ πραγματείας, τούτου τὴν σωτηρίαν ἐν οὐδενὶ λογιεῖται. Ταῦτα δὲ λέγει, ἐντρέπων τὸν ἰουδαΐζοντα, καὶ πείθων ἀναμνησθῆναι τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ ὅτι νεκρὸς ὢν ἔζησε,

ντίδας. Ποιά λοιπόν εἶναι αὐτή; «Γιατί ὁ Χριστός», λέγει, «γι' αὐτό καί πέθανε καί ἀναστήθηκε καί ἔζησε, γιά νά γίνει Κύριος καί τῶν νεκρῶν καί τῶν ζωντανῶν».

Ὥστε καί αὐτό ἄς σέ πείθει, ὅτι δηλαδή φροντίζει γιά τή σωτηρία καί τή διόρθωσή μας. Γιατί, ἄν δέ φρόντιζε τόσο πολύ, ποιά ἦταν ἡ ἀνάγκη τῆς οἰκονομίας; Ἐκεῖνος λοιπόν πού ἔδειξε τόσο μεγάλο ἐνδιαφέρον γιά νά γίνουμε δικοί του, ὥστε καί μορφή δούλου νά λάβει καί νά πεθάνει, αὐτός, ἀφοῦ γίναμε δικοί του, θά μᾶς περιφρονήσει; Δέν εἶναι δυνατό αὐτό, δέν εἶναι· οὔτε θά προτιμοῦσε νά ἐγκαταλείψει τόσο μεγάλη πραγματεία. «Γιατί γι' αὐτό», λέγει, «καί πέθανε». Ὅπως θά μποροῦσε νά πεῖ κάποιος, ὁ τάδε δέ θά ἀνεχόταν νά περιφρονήσει τό δοῦλο του, γιατί φροντίζει γιά τό δικό του βαλάντιο. Καθόσον ἐμεῖς δέν ἀγαποῦμε τόσο τά χρήματα, ὅσο αὐτός ἐπιθυμεῖ τή δική μας σωτηρία. Καί βέβαια δέν πλήρωσε γιά τή σωτηρία μας χρήματα, ἀλλά τό αἷμα του. Καί γι' αὐτό δέ θά ἀνεχόταν νά ἐγκαταλείψει αὐτούς, πρός χάρη τῶν ὁποίων κατέθεσε τόσο μεγάλο τίμημα. Πρόσεχε ὅμως καί τή δύναμή του, πῶς δείχνει ὅτι εἶναι ἀνέκφραστη. «Γιατί γι' αὐτό», λέγει, «πέθανε καί ἔζησε, γιά νά γίνει Κύριος καί τῶν νεκρῶν καί τῶν ζωντανῶν». Καί πιό πάνω, «γιατί, εἴτε ζοῦμε εἴτε πεθαίνουμε, ἀνήκουμε σ' αὐτόν».

Εἶδες ἀπόλυτη ἐξουσία; εἶδες ἀκαταμάχητη δύναμη; εἶδες φροντίδα τέλεια; Γιατί μή μοῦ πεῖς τούς ζωντανούς, λέγει· καί γιά τούς πεθαμένους φροντίζει. Ἐάν ὅμως φροντίζει γιά τούς πεθαμένους, εἶναι ὁλοφάνερο ὅτι φροντίζει καί γιά τούς ζωντανούς. Τίποτε λοιπόν δέν παρέλειψε γιά τήν ἐξουσία αὐτή, ἐφοδιάζοντας τόν ἑαυτό του μέ δικαιώματα περισσότερα ἀπό τούς ἀνθρώπους, γιά νά φροντίζει γιά μᾶς καί χωρίς ὅλα τά ἄλλα. Γιατί ὁ ἄνθρωπος βέβαια πληρώνει χρήματα καί γι' αὐτό ἀνέχεται πάρα πολύ τό δοῦλο του, ἐνῶ αὐτός πλήρωσε θάνατο καί δέ θά λογαριάζε σέ κανένα τή σωτηρία ἐκείνου, πού ἀγοράσθηκε μέ τόσο μεγάλο τίμημα καί τοῦ ὁποίου ἀπέκτησε τήν ἐξουσία μέ τόσο μεγάλη φροντίδα καί τέτοιο ἔργο. Καί τά λέγει αὐτά, ἐλέγχοντας τόν ἰουδαΐζοντα καί πείθοντάς τον νά θυμηθεῖ τό μέγεθος τῆς εὐεργεσίας, καί ὅτι ἄν καί ἦταν νεκρός ἔζησε, καί ὅτι τίποτε δέν κέρδισε ἀπό τό νόμο, καί πώς θά

καὶ ὅτι οὐδὲν ἐκέρδανε παρὰ τοῦ νόμου, καὶ ὅτι ἐσχάτης ἀγνωμοσύνης ἂν εἴη, τὸν τοσαῦτα ἐπιδειξάμενον ὑπὲρ αὐτοῦ καταλιπόντα, ἐπὶ τὸν νόμον παλινδρομεῖν.

5. Ἱκανῶς τοίνυν αὐτοῦ καθαψάμενος, πάλιν ἀνίησι λέγων· «σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου»; Καὶ δοκεῖ μὲν ὡς ἰσάζοντα αὐτὰ τιθέναι, πολλὴν δὲ ἐκ τῶν εἰρημένων δείκνυσι τὴν διαφορὰν οὖσαν. Καὶ πρῶτον μὲν τῇ προσηγορίᾳ τοῦ ἀδελφοῦ καταλύει τὴν φιλονεικίαν, ἔπειτα δὲ τῷ τῆς ἡμέρας ἐκείνης ἀναμνῆσαι τῆς φοβερᾶς. Εἰπὼν γάρ, «τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;» ἐπήγαγε, «πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ». Καὶ δοκεῖ μὲν πάλιν ἐπιτιμῶν τῷ τελειοτέρῳ ταῦτα λέγειν, κατασείει δὲ τοῦ ἰουδαΐζοντος τὴν διάνοιαν, οὐκ ἀπὸ τῆς εὐεργεσίας τῆς γεγενημένης ἐντρέπων αὐτὸν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς μελλούσης κολάσεως φοβῶν. «Πάντες γάρ», φησί, «παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. Γέγραπται γάρ· ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ. Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ». Εἶδες πῶς πάλιν αὐτοῦ κατασείει τὴν διάνοιαν δοκῶν ἐπιπλήττειν θατέρῳ; Τοιοῦτον γάρ τι αἰνίττεται, οἷον ἂν εἰ ἔλεγε, τί σοὶ μέλει; μὴ γὰρ σὺ μέλλεις ὑπὲρ αὐτοῦ κολάζεσθαι; Ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τοῦτο δὲ ᾐνίξατο, πραότερον αὐτὸ θείς, καὶ εἰπών, «πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ»· καί, «ἄρα οὖν ἕκαστος ἡμῶν ὑπὲρ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ».

Καὶ τὸν προφήτην εἰσήγαγε τὴν ἁπάντων αὐτῷ μαρτυροῦντα ὑποταγήν, καὶ ὑποταγὴν ἐπιτεταμένην, καὶ τῶν ἐν τῇ παλαιᾷ ἀνθρώπων, καὶ πάντων ἁπλῶς. Οὐ γὰρ ἁπλῶς εἶπε, προσκυνήσει ἕκαστος, ἀλλὰ καί, «ἐξομολογήσεται», τουτέστιν, εὐθύνας δώσει τῶν πεπραγμένων. Ἔσο τοίνυν ἐναγώνιος, τὸν κοινὸν δεσπότην ὁρῶν ἐπὶ τοῦ βήματος καθήμενον, καὶ μὴ σχίζε καὶ μέριζε τὴν ἐκκλησίαν, τῆς χάριτος ἀπορρηγνύμενος, καὶ τῷ νόμῳ προστρέχων·

7. Βλ. Ἡσ. 45,23.

ἦταν δεῖγμα τῆς χειρότερης ἀχαριστίας νά ἐπιστρέψει στό νόμο ἐκεῖνος πού τόν ἐγκατέλειψε, ἄν καί δέχτηκε τόσο πολλά γιά τή σωτηρία του.

5. Ἀφοῦ λοιπόν τόν ἔψεξε ἀρκετά, πάλι τόν ἀφήνει λέγοντας· «ἐσύ ὅμως γιατί κρίνεις τόν ἀδελφό σου; ἤ καί σύ γιατί περιφρονεῖς τόν ἀδελφό σου»; Καί φαίνεται ὅτι τά λέγει αὐτά σάν ἴσα, ἀλλά μέ τά λεγόμενα δείχνει πώς εἶναι μεγάλη ἡ διαφορά. Καί πρῶτα βέβαια μέ τήν ὀνομασία τοῦ ἀδελφοῦ διαλύει τήν ἐχθρότητα, καί ἔπειτα μέ τό ὅτι θυμίζει τή φοβερή ἐκείνη ἡμέρα. Γιατί, ἀφοῦ εἶπε, «γιατί περιφρονεῖς τόν ἀδελφό σου;» πρόσθεσε, «γιατί ὅλοι θά παρουσιασθοῦμε μπροστά στό βῆμα τοῦ Χριστοῦ». Καί φαίνεται πάλι ὅτι τά λέγει αὐτά γιά νά ἐπιτιμήσει τόν πιό τέλειο στήν πίστη, ἐνῶ συνταράσσει τό νοῦ τοῦ ἰουδαΐζοντα Χριστιανοῦ, ὄχι μόνο ἐλέγχοντας αὐτόν ἀπό τήν εὐεργεσία πού τοῦ ἔχει γίνει, ἀλλά καί φοβερίζοντάς τον ἀπό τή μελλοντική τιμωρία. «Γιατί ὅλοι», λέγει, «θά παρουσιασθοῦμε μπροστά στό βῆμα τοῦ Χριστοῦ. Καθόσον εἶναι γραμμένο· ζῶ ἐγώ, λέγει ὁ Κύριος, καί κάθε γόνατο θά λυγίσει μπροστά μου καί κάθε γλώσσα θά ἐξομολογηθεῖ στό Θεό. Ἄρα λοιπόν ὁ καθένας ἀπό μᾶς θά δώσει λόγο γιά τόν ἑαυτό του στό Θεό». Εἶδες πῶς πάλι συνταράσσει τό νοῦ του, ἐνῶ φαίνεται ὅτι ἐπιτιμάει τόν ἄλλο; Γιατί κάτι τέτοιο ὑπονοεῖ, ὅπως ἄν ἔλεγε· τί σέ μέλει; μήπως δηλαδή ἐσύ πρόκειται νά τιμωρηθεῖς γι' αὐτόν; Ἀλλ' αὐτό βέβαια δέν τό εἶπε, ὅμως τό ὑπαινίχθηκε, ἀναφέροντάς το πιό ἤπια καί λέγοντας, «γιατί ὅλοι θά παρουσιασθοῦμε μπροστά στό βῆμα τοῦ Χριστοῦ», καί, «ἄρα λοιπόν ὁ καθένας ἀπό μᾶς θά δώσει λόγο γιά τόν ἑαυτό του στό Θεό».

Καί τόν προφήτη[7] ἀνέφερε, πού βεβαιώνει τήν ὑποταγή ὅλων σ' αὐτόν, και μάλιστα ὑποταγή ἀπόλυτη, καί τῶν ἀνθρώπων πού ἔζησαν στήν Παλαιά Διαθήκη, καί γενικά ὅλων. Γιατί δέν εἶπε ἁπλῶς, «ὁ καθένας θά προσκυνήσει», ἀλλά καί, «θά ἐξομολογηθεῖ», δηλαδή, θά δώσει λόγο γιά τίς πράξεις του. Ἔχε λοιπόν ἀγωνία, βλέποντας τόν Κύριό μας νά κάθεται στό βῆμα, καί νά μή διασπᾶς καί διαιρεῖς τήν Ἐκκλησία, ἀποχωριζόμενος ἀπό τή χάρη καί τρέχοντας στό νόμο· καθόσον καί ὁ νόμος εἶναι δικός του. Καί τί λέγω,

καὶ γὰρ καὶ ὁ νόμος αὐτοῦ. Καὶ τί λέγω, ὁ νόμος; Καὶ οἱ ἐν τῷ νόμῳ, καὶ οἱ πρὸ τοῦ νόμου. Καὶ οὐχ ὁ νόμος σε ἀπαιτήσει εὐθύνας, ἀλλ' ὁ Χριστὸς καὶ σὲ καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν. Εἶδες πῶς ἐξέλυσε τοῦ νόμου τὸν φόβον; Εἶτα, ἵνα μὴ δόξῃ ὡς ἐπίτηδες φοβῶν αὐτὸν λέγειν ταῦτα, ἀλλ' ὡς ἐκ τῆς προκειμένης ἀκολουθίας ἐπὶ τοῦτο ἐληλυθέναι, πάλιν ἔχεται τῆς αὐτῆς ὑποθέσεως, λέγων· «μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον». Ταῦτα δὲ οὐκ ἐκείνου μᾶλλόν ἐστιν ἢ τούτου· διὸ ἀμφοτέροις ἁρμόζειν δύναται, καὶ τοῦ τελείου σκανδαλιζομένου ἐπὶ τῇ τῶν βρωμάτων παρατηρήσει, καὶ τοῦ ἀτελοῦς προσκόπτοντος ἐπὶ τῇ σφοδρᾷ ἐπιπλήξει.

6. *Σὺ δέ μοι σκόπει πόσην δώσομεν τιμωρίαν οἱ σκανδαλίζοντες ἁπλῶς. Εἰ γάρ, ἔνθα παράνομον ἦν τὸ γινόμενον, διὰ τὸ ἀκαίρως ἐπιτιμᾶν, ἐκώλυσε τοῦτο γίνεσθαι, ὥστε μὴ σκανδαλισθῆναι καὶ προσκόψαι τὸν ἀδελφόν· ὅταν μηδὲ διορθοῦντές τι σκανδαλίζωμεν, τίνος ἐσόμεθα ἄξιοι; Εἰ γὰρ τὸ μὴ σῶσαι, ἔγκλημα, καὶ δείκνυσιν ὁ τὸ τάλαντον κατορύξας, τὸ καὶ σκανδαλίσαι, τί οὐκ ἂν ἐργάσηται; Τί οὖν, εἰ οἴκοθεν σκανδαλίζεται, φησίν, ἀσθενὴς ὤν; Δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν εἴης δίκαιος ὑπομένειν. Εἰ γὰρ ἰσχυρὸς ἦν, οὐδὲ ἔδει τοσαύτης ἐπιμελείας αὐτῷ· νυνὶ δὲ ἐπειδὴ ἀτελέστερός ἐστι, διὰ τοῦτο καὶ πολλῆς χρήζει τῆς σπουδῆς. Παρέχωμεν τοίνυν αὐτῷ ταύτην, καὶ πανταχόθεν αὐτὸν διαβαστάζωμεν. Οὐδὲ γὰρ τῶν οἰκείων κακῶν ὑφέξομεν λόγον μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν ἑτέρους σκανδαλίζομεν. Εἰ δὲ ἐκεῖναι καὶ καθ' ἑαυτὰς χαλεπαὶ αἱ εὐθῦναι, ὅταν καὶ αὗται προστεθῶσι, πότε σωθησόμεθα;*

Μὴ γὰρ δὴ νομίσωμεν, εἰ κοινωνοὺς εὕροιμεν τῶν ἁμαρτημάτων, ἀπολογίαν ἕξειν· τοῦτο γὰρ ἡμῖν καὶ προσθήκη γίνεται τιμωρίας. Ἐπεὶ καὶ ὁ ὄφις μᾶλλον ἐκολάσθη τῆς γυναικός, ὥσπερ οὖν καὶ ἡ γυνὴ τοῦ ἀνδρός, καὶ τοῦ Ἀχαὰβ δὲ τὸν ἀμπελῶνα ἁρπά-

---

8. Βλ. Ματθ. 25,14–30.

ὁ νόμος; Καί ἐκεῖνοι πού ἔζησαν μέ τό νόμο, καί ἐκεῖνοι πού ἔζησαν πρίν ἀπό τό νόμο. Καί δέ θά ζητήσει ἀπό σένα εὐθύνες ὁ νόμος, ἀλλ' ὁ Χριστός καί ἀπό σένα καί ἀπ' ὁλόκληρο τό ἀνθρώπινο γένος. Εἶδες πῶς διέλυσε τό φόβο τοῦ νόμου; Ἔπειτα, γιά νά μή φανεῖ ὅτι λέγει αὐτά σκόπιμα γιά νά φοβίσει αὐτόν, ἀλλ' ὅτι ὁδηγήθηκε σ' αὐτό ἀπό τή σειρά τοῦ πράγματος, πάλι ἔρχεται στό ἴδιο θέμα, λέγοντας· «ἄς μήν κρίνουμε πιά ὁ ἕνας τόν ἄλλο, ἀλλ' αὐτό φροντίστε περισσότερο, δηλαδή τό νά μή βάζετε στόν ἀδελφό πρόσκομμα ἤ σκάνδαλο». Αὐτά ὅμως δέν ἀναφέρονται τόσο πολύ σ' ἐκεῖνον, ὅσο σ' αὐτόν. Γι' αὐτό εἶναι δυνατό νά τά ἐφαρμόζουν καί οἱ δύο, καί ὁ τέλειος πού σκανδαλίζεται γιά τή διάκριση τῶν φαγητῶν καί ὁ ἀτελής πού σκοντάφτει στή δυνατή ἐπίπληξη.

6. Ἐσύ ὅμως πρόσεχε, παρακαλῶ, πόσο θά τιμωρηθοῦμε ἐμεῖς πού σκανδαλίζουμε γενικά. Γιατί, ἄν, ὅπου τό πράγμα ἦταν παράνομο, ἐξ αἰτίας τοῦ ὅτι ἐπιτιμοῦσαν σέ ἀκατάλληλο καιρό, ἐμπόδισε νά γίνεται αὐτό, ὥστε νά μή σκανδαλισθεῖ καί σκοντάψει ὁ ἀδελφός, ὅταν σκανδαλίζουμε χωρίς νά διορθώνουμε κάτι, γιά ποιά τιμωρία θά εἴμαστε ἄξιοι; Ἐάν λοιπόν τό νά μή σώσουμε κάποιον εἶναι ἄξιο κατηγορίας, καί τό ἀποδεικνύει ἐκεῖνος πού ἔσκαψε στή γῆ καί ἔκρυψε ἐκεῖ τό τάλαντο[8], τό καί νά τόν σκανδαλίσουμε, τί δέ θά μᾶς προξενήσει; Τί λοιπόν, ἄν ἀπό μόνος του σκανδαλίζεται, λέγει, ἐπειδή εἶναι ἀδύνατος στήν πίστη; Γι' αὐτό ἀκριβῶς θά εἶσαι δίκαιος δείχνοντας ὑπομονή. Γιατί, ἄν ἦταν δυνατός, δέ χρειαζόταν τόσο πολλή φροντίδα γι' αὐτόν, τώρα ὅμως ἐπειδή εἶναι πιό ἀδύνατος, γι' αὐτό ἔχει ἀνάγκη καί ἀπό πολλή φροντίδα. Ἄς τοῦ παρέχουμε λοιπόν τή φροντίδα αὐτή καί ἄς τόν προστατεύουμε ἀπό παντοῦ. Γιατί δέ θά δώσουμε λόγο μόνο γιά τά δικά μας κακά, ἀλλά, καί γιά ἐκεῖνα μέ τά ὁποῖα σκανδαλίζουμε ἄλλους. Ἐάν ὅμως οἱ τιμωρίες ἐκεῖνες εἶναι καί ἀπό μόνες τους φοβερές, ὅταν προστεθοῦν καί αὐτές, πότε θά σωθοῦμε;

Μή νομίσουμε λοιπόν ὅτι θά ἔχουμε δικαιολογία, ἄν βροῦμε συνεργούς στά ἁμαρτήματά μας, γιατί αὐτό σημαίνει γιά μᾶς καί πρόσθετη τιμωρία. Καθόσον καί τό φίδι τιμωρήθηκε περισσότερο ἀπό τή γυναίκα, ὅπως ἀκριβῶς βέβαια καί ἡ γυναίκα ἀπό τόν ἄνδρα,

σαντος ἡ Ἰεζάβελ χαλεπωτέραν ἔδωκε δίκην· αὕτη γὰρ ἡ τὸ πρᾶγμα ὑφάνασα ἅπαν ἦν, καὶ σκανδαλίσασα τὸν βασιλέα. Καὶ σὺ τοίνυν ὅταν ἑτέροις ἀπωλείας αἴτιος γένῃ, χαλεπώτερα πείσῃ τῶν ὑποσκελισθέντων διὰ σοῦ. Οὐδὲ γὰρ οὕτω τὸ ἁμαρτεῖν, ὡς τὸ καὶ ἑτέρους εἰς τοῦτο ἐναγαγεῖν ἀπόλλυσι· διό φησιν, «οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσιν». Ὥστε ὅταν ἴδωμεν ἁμαρτάνοντας, μὴ μόνον μὴ ὠθῶμεν, ἀλλὰ καὶ ἀνέλκωμεν ἐκ τοῦ βαράθρου τῆς πονηρίας, ἵνα μὴ τῆς ἑτέρων ἀπωλείας αὐτοὶ τὴν δίκην ὑπόσχωμεν. Καὶ μνημονεύωμεν διηνεκῶς τοῦ βήματος τοῦ φοβεροῦ, τοῦ ποταμοῦ τοῦ πυρός, τῶν δεσμῶν τῶν ἀλύτων, τοῦ σκότους τοῦ ἀφεγγοῦς, τῶν βρυχόντων ὀδόντων, τοῦ σκώληκος τοῦ ἰοβόλου.

Ἀλλὰ φιλάνθρωπός ἐστιν ὁ Θεός. Οὐκοῦν ῥήματα ταῦτά ἐστι, καὶ οὔτε ὁ πλούσιος ἐκεῖνος κολάζεται ὁ τὸν Λάζαρον ὑπεριδών· οὐχ αἱ μωραὶ παρθένοι τοῦ νυμφῶνος ἐκβάλλονται· οὐχ οἱ μὴ θρέψαντες αὐτὸν εἰς τὸ πῦρ ἀπέρχονται τὸ ἡτοιμασμένον τῷ διαβόλῳ· οὐχ ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, χεῖρας καὶ πόδας δεθεὶς ἀπολεῖται· οὐχ ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτήσας παραδοθήσεται τοῖς βασανισταῖς· οὐ τὸ περὶ τῶν μοιχῶν εἰρημένον ἀληθές, ὅτι «ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται»· ἀλλ' ἀπειλαὶ ταῦτα μόνον. Ναί, φησί. Καὶ πόθεν, εἰπέ μοι, πρᾶγμα τοσοῦτον τολμᾷς ἀποφήνασθαι, καὶ ταῦτα οἴκοθεν φέρων τὴν ψῆφον; Ἐγὼ γὰρ καὶ ἀφ' ὧν εἴρηκε, καὶ ἀφ' ὧν πεποίηκε, τοὐναντίον ἀποδεῖξαι δυνήσομαι. Εἰ γὰρ ἀπὸ τῶν μελλόντων οὐ πιστεύεις, κἂν ἀπὸ τῶν ἤδη γεγενημένων πίστευε· οὐ γὰρ δὴ τὰ γεγενημένα καὶ εἰς ἔργον ἐξελθόντα ἀπειλαὶ καὶ ῥήματα.

Τίς οὖν τὴν οἰκουμένην ἐπέκλυσεν ἅπασαν, καὶ τὸ χαλεπὸν ἐκεῖνο ναυάγιον εἰργάσατο, καὶ τὴν τοῦ γένους ἡμῶν πανωλεθρίαν παντός; τίς μετὰ ταῦτα τοὺς κεραυνοὺς ἐκείνους καὶ τοὺς πρηστῆρας ἀφῆκεν ἐπὶ τὴν Σοδόμων γῆν; Τίς τὴν Αἴγυπτον ἅπασαν κατεπόντισε; τίς τὰς ἑξακοσίας χιλιάδας ἐπὶ τῆς ἐρήμου κατα-

9. Ρωμ. 1,32.
10. Μάρκ. 9,44.

καί, ἐνῶ ὁ Ἀχαάβ ἅρπαξε τό ἀμπέλι, ἡ Ἰεζάβελ τιμωρήθηκε πιό σκληρά· γιατί αὐτή ἦταν ἐκείνη πού ἐπινόησε ὅλο τό πράγμα καί σκανδάλιζε τό βασιλιά. Γιατί δέν καταστρέφει τόσο ἡ ἁμαρτία, ὅσο τό νά ὁδηγοῦμε καί ἄλλους σ' αὐτήν. Γι' αὐτό λέγει ὁ Παῦλος, «δέν κάνουν μόνο αὐτά, ἀλλά καί ἐπιδοκιμάζουν ἐκείνους πού τά κάνουν»[9]. Ὥστε ὅταν δοῦμε κάποιους ν' ἁμαρτάνουν, ὄχι μόνο ἄς μήν τούς ὠθοῦμε, ἀλλά καί ἄς τούς βγάζουμε ἔξω ἀπό τό βάραθρο τῆς κακίας, γιά νά μήν ὑποστοῦμε οἱ ἴδιοι τήν τιμωρία γιά τήν καταστροφή τῶν ἄλλων. Καί ἄς θυμούμαστε συνέχεια τό φοβερό βῆμα, τόν ποταμό τῆς φωτιᾶς, τά ἄλυτα δεσμά, τό σκοτεινό σκοτάδι, τά δόντια πού τρίζουν, τό φαρμακερό σκουλήκι.

Ἀλλ' ὁ Θεός εἶναι φιλάνθρωπος. Ἐπομένως λόγια εἶναι αὐτά, καί οὔτε ὁ πλούσιος ἐκεῖνος τιμωρεῖται πού περιφρόνησε τό Λάζαρο, οὔτε οἱ μωρές παρθένες διώχνονται ἀπό τό νυμφώνα, οὔτε ἐκεῖνοι πού δέν τόν ἔθρεψαν πηγαίνουν στή φωτιά πού ἔχει ἑτοιμασθεῖ γιά τό διάβολο, οὔτε ἐκεῖνος πού εἶναι ντυμένος τά ρυπαρά ἐνδύματα, ἀφοῦ δεθεῖ χειροπόδαρα, θά καταστραφεῖ, οὔτε ἐκεῖνος πού ἀπαίτησε τά ἑκατό δηνάρια θά παραδοθεῖ στούς βασανιστές, οὔτε ἐκεῖνο πού λέχθηκε γιά τούς μοιχούς εἶναι ἀληθινό, ὅτι «τό σκουλήκι τους δέν πεθαίνει καί ἡ φωτιά τους δέ σβήνει»[10], ἀλλ' αὐτά εἶναι μόνο ἀπειλές. Ναί, λεγει. Καί ἀπό ποῦ, πές μου, τολμᾶς ν' ἀποδείξεις τόσο μεγάλο πράγμα καί μάλιστα βγάζοντας ἀπό δικά σου ἐπιχειρήματα τήν ἀπόφαση; Γιατί ἐγώ καί ἀπ' ὅσα ἔχει πεῖ καί ἀπ' ὅσα ἔχει κάνει, θά μπορέσω ν' ἀποδείξω τό ἀντίθετο. Ἐάν λοιπόν δέν πιστεύεις ἀπό τά μελλοντικά, τουλάχιστο πίστευε ἀπ' αὐτά πού ἔχουν ἤδη γίνει, καθόσον αὐτά πού ἔχουν γίνει καί πραγματοποιήθηκαν δέν εἶναι ἀπειλές καί λόγια.

Ποιός λοιπόν πλημμύρισε ὅλη τήν οἰκουμένη καί προκάλεσε τό φοβερό ἐκεῖνο ναυάγιο καί τήν καταστροφή ὁλόκληρου τοῦ γένους μας; ποιός ὕστερα ἀπ' αὐτά ἔρριξε τούς φοβερούς ἐκείνους κεραυνούς καί τή φωτιά ἀπό τόν οὐρανό πάνω στά Σόδομα; ποιός καταπόντισε ὅλη τήν Αἴγυπτο; ποιός ἐξαφάνισε τίς ἑξακόσιες χιλιάδες στήν ἔρημο; ποιός κατέκαψε τούς ὁμόφρονες τοῦ Ἀβειρών; ποιός

νάλωσε; τίς τὴν συναγωγὴν Ἀβειρὼν κατέφλεξε; τίς τοῖς περὶ Κορὲ καὶ Δαθὰν ἀνοῖξαι τῇ γῇ τὸ στόμα, καὶ καταπιεῖν ἐκέλευσε; τίς τὰς ἑβδομήκοντα χιλιάδας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκεν ἐπὶ τοῦ Δαυΐδ; Εἴπω καὶ τοὺς κατ' ἰδίαν κολασθέντας; τὸν διηνεκεῖ παραδοθέντα τιμωρίᾳ Κάϊν; τὸν καταλευσθέντα μετὰ τοῦ γένους παντὸς Χαρμί; τὸν ὑπὲρ συλλογῆς ξύλων τὸ αὐτὸ τοῦτο παθόντα ἐν σαββάτῳ; τοὺς τεσσαράκοντα παῖδας τοὺς ὑπὸ τῶν θηρίων ἐκείνων δαπανηθέντας, καὶ μηδὲ ἀπὸ τῆς ἡλικίας τυχόντας συγγνώμης; Εἰ δὲ καὶ μετὰ τὴν χάριν τὰ αὐτὰ ἰδεῖν ἐθέλεις, ἐννόησον πόσα ἔπαθον οἱ Ἰουδαῖοι, πῶς τὰ τέκνα κατέφαγον αἱ γυναῖκες αἱ μὲν ὀπτῶσαι, αἱ δὲ ἄλλως δαπανῶσαι· πῶς λιμῷ παραδοθέντες ἀνηκέστῳ καὶ πολέμοις ποικίλοις καὶ χαλεποῖς, πάσας τὰς ἔμπροσθεν τραγῳδίας ἀπέκρυψαν τῇ τῶν οἰκείων ὑπερβολῇ συμφορῶν.

Ὅτι γὰρ ὁ Χριστὸς αὐτοῖς ταῦτα εἰργάσατο, ἄκουσον αὐτοῦ τοῦτο προλέγοντος καὶ διὰ παραβολῶν, καὶ σαφῶς καὶ διαρρήδην· διὰ παραβολῶν, ὡς ὅταν λέγῃ· «τοὺς δὲ μὴ βουληθέντας με βασιλεῦσαι ἀγάγετε ὧδε, καὶ κατασφάξατε»· καὶ διὰ τοῦ ἀμπελῶνος, καὶ διὰ τοῦ γάμου· σαφῶς δέ, ὡς ὅταν ἀπειλῇ, ὅτι «πεσοῦνται ἐν στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς τὰ ἔθνη, καὶ ἔσται συνοχὴ ἐπὶ γῆς ἐθνῶν, ἐν ἀπορίᾳ ἤχου θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου»· καί, «ἔσται θλῖψις τοιαύτη, οἵα οὐδέποτε γέγονεν, οὐδὲ μὴ ἔσται». Καὶ ὁ Ἀνανίας δὲ καὶ ἡ Σάπφειρα ὑπὲρ κλοπῆς ὀλίγων ἀργυρίων ὅσην ἔδωκαν δίκην, ἅπαντες ἴστε. Τὰς δὲ καθημερινὰς συμφορὰς οὐχ ὁρᾷς; ἢ οὐδὲ ταῦτα γεγένηται; Οὐχ ὁρᾷς καὶ νῦν τοὺς λιμῷ τηκομένους; τοὺς ἐλέφαντι καὶ λώβῃ σώματος κατεχομένους; τοὺς πενίᾳ διηνεκεῖ συζῶντας; τοὺς μυρία ἀνήκεστα πάσχοντας; Πῶς οὖν ἂν ἔχοι λόγον τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; Εἰ γὰρ μὴ ἄδικος ὁ Θεός, ὥσπερ οὖν οὐδὲ ἄδικος, πάντως καὶ σὺ δώσεις δίκην ἁμαρτάνων· εἰ δέ,

---

11. Λουκᾶ 19,27.
12. Ματθ. 21,33–46 · 22,1–15.
13. Λουκᾶ 21,24–26.
14. Ματθ. 24,21.

διέταξε τή γῆ ν' ἀνοίξει τό στόμα της καί νά καταπιεῖ ἐκείνους πού ἦταν μέ τόν Κορέ καί τό Δαθάν; ποιός κατέστρεψε μέσα σέ μιά στιγμή τίς ἑβδομήντα χιλιάδες τόν καιρό τοῦ Δαβίδ; Νά πῶ καί ἐκείνους πού τιμωρήθηκαν ξεχωριστά; τόν Κάϊν πού παραδόθηκε σέ παντοτινή τιμωρία; τόν Χαρμί πού λιθοβολήθηκε μέ ὅλο του τό γένος; ἐκεῖνον πού ἔπαθε τό ἴδιο ἀκριβῶς γιατί μάζευε ξύλα τό Σάββατο; τούς σαράντα νέους πού κατασπαράχθηκαν ἀπό τά θηρία ἐκεῖνα καί δέν ἔτυχαν συγγνώμης οὔτε ἐξ αἰτίας τῆς ἡλικίας τους; Ἐάν ὅμως καί μετά τή χάρη θέλεις νά δεῖς τά ἴδια, σκέψου πόσα ἔπαθαν οἱ Ἰουδαῖοι, πῶς κατέφαγαν τά παιδιά τους οἱ γυναῖκες, ἄλλες ψήνοντάς τα καί ἄλλες τρώγοντάς τα μ' ἄλλον τρόπο. Πῶς, ἄν καί παραδόθηκαν σέ ἀνυπόφορη πείνα καί σέ ποικίλους καί φοβερούς πολέμους, ἐπισκίασαν ὅλες τίς προηγούμενες τραγωδίες μέ τήν ὑπερβολή τῶν δικῶν τους συμφορῶν.

Τό ὅτι λοιπόν ὁ Χριστός τούς προξένησε αὐτά, ἄκουσέ τον πού προλέγει αὐτό καί μέ παραβολές, μέ τρόπο καθαρό καί ἀπερίφραστο. Μέ παραβολές, ὅπως ὅταν λέγει· «ἐκείνους ὅμως πού δέν ἤθελαν νά εἶμαι βασιλιάς, φέρτε τους ἐδῶ καί σφάξτε τους»[11], καί μέ τό ἀμπέλι καί μέ τό γάμο[12]. Καί μέ τρόπο καθαρό, ὅπως ὅταν ἀπειλεῖ, ὅτι «θά πέσουν μέ τήν κόψη τοῦ μαχαιριοῦ και θά ὁδηγηθοῦν αἰχμάλωτοι σ' ὅλα τά ἔθνη, καί θά συμβεῖ στή γῆ ἀγωνία τῶν ἐθνῶν ἀπό τήν ἀμηχανία τους ἐξ αἰτίας τοῦ ἤχου καί τῆς ἀναταραχῆς τῆς θάλασσας, ἐνῶ οἱ ἄνθρωποι θά λιποθυμοῦν ἀπό τό φόβο τους»[13]· καί, «θά γίνει τέτοια θλίψη, πού δέν ἔγινε ποτέ μέχρι σήμερα καί οὔτε θά γίνει»[14]. Καί ὅλοι γνωρίζετε, πόσο τιμωρήθηκαν καί ὁ Ἀνανίας καί ἡ Σάπφειρα γιατί ἔκλεψαν λίγα χρήματα. Ἀλλά δέ βλέπεις καί τίς καθημερινές συμφορές; ἤ μήπως δέν ἔγιναν οὔτε αὐτά; Δέ βλέπεις καί σήμερα ἐκείνους πού λειώνουν ἀπό τήν πείνα; ἐκείνους πού κατέχονται ἀπό ἐλεφαντίαση καί λέπρα; ἐκείνους πού ζοῦν συνέχεια μέσα στή φτώχεια; ἐκείνους πού πάσχουν ἄπειρα ἀθεράπευτα κακά; Πῶς λοιπόν θά μποροῦσε νά δικαιολογηθῆ ἄλλοι νά τιμωροῦνται καί ἄλλοι νά μήν τιμωροῦνται; Γιατί, ἄν δέν εἶναι ἄδικος ὁ Θεός, ὅπως βέβαια δέν εἶναι, ὁπωσδήποτε καί σύ θά τιμω-

ἐπειδὴ φιλάνθρωπός ἐστιν, οὐ κολάζει, οὐδὲ τούτους ἔδει κολασθῆναι.

Νυνὶ δὲ διὰ ταῦτα ὑμῶν τὰ ρήματα πολλοὺς καὶ ἐνταῦθα κολάζει ὁ Θεός, ἵνα ὅταν τοῖς ρήμασι μὴ πιστεύσητε τῆς ἀπειλῆς, κἂν τοῖς πράγμασι πιστεύσητε τῆς τιμωρίας· καὶ ἐπειδὴ τὰ παλαιὰ οὐχ οὕτως ὑμᾶς φοβεῖ, τοῖς ἐφ' ἑκάστης γενεᾶς συμβαίνουσι τοὺς κατὰ καιρὸν διορθοῦται ραθυμοῦντας. Καὶ τίνος ἕνεκεν οὐ πάντας ἐνταῦθα κολάζει, φησί; Διδοὺς τοῖς ἄλλοις προθεσμίαν μετανοίας. Τίνος οὖν ἕνεκεν οὐ πάντας ἐκεῖ τιμωρεῖται; Ἵνα μὴ πολλοὶ διαπιστῶσιν αὐτοῦ τῇ προνοίᾳ. Πόσοι λησταὶ οἱ μὲν ἑάλωσαν, οἱ δὲ ἀπῆλθον μὴ δόντες δίκην; Ποῦ τοίνυν ἡ φιλανθρωπία τοῦ Θεοῦ; Ἐμὸν γάρ ἐστι λοιπὸν ἐρέσθαι σέ. Εἰ μὲν γὰρ μηδεὶς ὅλως ἐτιμωρεῖτο, εἶχες ἐπὶ τοῦτο καταφυγεῖν, ὅταν δὲ οἱ μὲν δῶσι δίκην, οἱ δὲ μὴ δῶσι χεῖρον ἁμαρτόντες, πῶς ἂν ἔχοι λόγον τῶν αὐτῶν πλημμελημάτων μὴ τὰς αὐτὰς εἶναι δίκας; πῶς δὲ οὐκ ἂν δόξειαν ἀδικεῖσθαι οἱ κολασθέντες; Τίνος οὖν ἕνεκεν οὐ πάντες ἐνταῦθα κολάζονται; Ἄκουσον αὐτοῦ σοι περὶ τούτων ἀπολογουμένου. Ἐπειδὴ γάρ τινες πύργου κατενεχθέντες ἀπέθανον, τοῖς ὑπὲρ τούτων διαποροῦσι λέγει· «δοκεῖτε, ὅτι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας ἦσαν; Οὐχί, λέγω ὑμῖν· ἀλλ', ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς πάντες ὡσαύτως ἀπολεῖσθε»· παραινῶν ἡμῖν μὴ θαρρεῖν, ὅταν, ἑτέρων δόντων δίκην, ἡμεῖς πολλὰ πλημμελήσαντες μὴ δῶμεν. Ἂν γὰρ μὴ μεταβαλώμεθα, δώσομεν πάντως.

Καὶ πῶς, φησίν, ἀθάνατα κολαζόμεθα, ἐνταῦθα ἐν βραχεῖ χρόνῳ ἁμαρτόντες; Πῶς ἄνθρωπος ἐν βραχείᾳ καιροῦ ροπῇ ἕνα φόνον ποιῶν, διηνεκῶς τῇ τῶν μετάλλων καταδικάζεται ταλαιπωρίᾳ; Ἀλλ' ὁ Θεὸς οὐ ποιεῖ ταῦτα, φησί. Πῶς οὖν τριάκοντα καὶ ὀκτὼ ἔτη ἐν τοσαύτῃ κολάσει τὸν παράλυτον κατεῖχεν; Ὅτι γὰρ δι' ἁμαρτήματα αὐτὸν ἐκόλαζεν, ἄκουσον τί φησιν· «ἴδε, ὑγιὴς γέ-

15. Λουκᾶ 13,4. 5.
16. Ἰω. 5,14.

ρηθεῖς, ἀφοῦ ἁμαρτάνεις· ἄν ὅμως, ἐπειδή εἶναι φιλάνθρωπος, δέν τιμωρεῖ, οὔτε αὐτοί ἔπρεπε νά τιμωρηθοῦν.

Τώρα ὅμως ἐξ αἰτίας αὐτῶν τῶν λόγων σας πολλούς καί ἐδῶ τιμωρεῖ ὁ Θεός, γιά νά πιστέψετε τουλάχιστο στά πράγματα τῆς τιμωρίας, ὅταν δέν πιστέψετε στά λόγια τῆς ἀπειλῆς. Καί ἐπειδή τά παλαιά δέ σᾶς φοβίζουν τόσο, διορθώνει τούς ἀδιάφορους κάθε ἐποχῆς μ' ἐκεῖνα πού συμβαίνουν σέ κάθε γενιά. Καί γιά ποιό λόγο, λέγει, δέν τούς τιμωρεῖ ὅλους ἐδῶ; Γιά νά δώσει στούς ἄλλους προθεσμία γιά μετάνοια. Γιά ποιό λόγο λοιπόν τιμωρεῖ ὅλους ἐκεῖ; Γιά νά μή δυσπιστοῦν τελείως στήν πρόνοιά του. Πόσοι ληστές πιάστηκαν καί πόσοι πέθαναν χωρίς νά τιμωρηθοῦν; ποῦ εἶναι λοιπόν ἡ φιλανθρωπία τοῦ Θεοῦ; Εἶναι ἡ σειρά μου τώρα νά σ' ἐρωτήσω κι ἐγώ. Ἐάν δηλαδή δέν τιμωροῦνταν κανένας γενικά, μποροῦσες νά καταφύγεις σ' αὐτό, ὅταν ὅμως ἄλλοι θά τιμωρηθοῦν καί ἄλλοι δέ θά τιμωρηθοῦν, παρ' ὅλο πού κάνουν χειρότερες ἁμαρτίες, πῶς μπορεῖ νά ἔχει δικαιολογία γιά τά ἴδιά ἁμαρτήματα νά μήν ὑπάρχουν οἱ ἴδιες τιμωρίες; Καί πῶς δέ θά φαίνονταν ὅτι ἀδικοῦνται ἐκεῖνοι πού τιμωρήθηκαν; Γιά ποιό λόγο λοιπόν δέν τιμωροῦνται ὅλοι ἐδῶ; Ἄκουσέ τον πού ἀπολογεῖται σέ σένα γι' αὐτά. Ἐπειδή λοιπόν μερικοί πέθαναν, ὅταν ἔπεσε πάνω τους ὁ πύργος, σ' ἐκείνους πού ἀποροῦσαν γι' αὐτούς λέγει· «νομίζετε, ὅτι αὐτοί ἦταν περισσότερο ἁμαρτωλοί ἀπ' ὅλους; Ὄχι σᾶς λέγω· ἀλλ', ἄν δέ μετανοήσετε, θά χαθεῖτε καί σεῖς ὅλοι μέ τόν ἴδιο τρόπο»[15], συμβουλεύοντας ἐμᾶς νά μήν παίρνουμε θάρρος, ὅταν, ἐνῶ ἄλλοι τιμωρήθηκαν, ἐμεῖς δέν τιμωρηθοῦμε, παρ' ὅλο πού κάναμε πολλά ἁμαρτήματα. Γιατί, ἄν δέν ἀλλάξουμε, θά τιμωρηθοῦμε ὁπωσδήποτε.

Καί πῶς, λέγει, τιμωρούμαστε αἰώνια, ἐνῶ ἁμαρτάνουμε ἐδῶ γιά ἕνα σύντομο χρονικό διάστημα; Πῶς ὁ ἄνθρωπος πού κάνει ἕνα φόνο μέσα σέ σύντομη χρονική στιγμή, καταδικάζεται παντοτινά στή βαριά ἐργασία τῶν μεταλλείων; Ἀλλ' ὁ Θεός, λέγει, δέν κάνει αὐτά. Πῶς λοιπόν τριάντα ὀκτώ χρόνια κρατοῦσε τόν παράλυτο σέ τόσο μεγάλη τιμωρία; Τό ὅτι βέβαια τόν τιμωροῦσε γιά τά ἁμαρτήματά του, ἄκουσε τί λέγει· «πρόσεχε, ἔγινες ὑγιής, μήν ἁμαρτάνεις πιά»[16]. Ἀλλ' ὅμως θεραπεύθηκε, λέγει. Δέν εἶναι ὅμως τά ἐκεῖ τέ-

γονας· μηκέτι ἁμάρτανε». Ἀλλ' ὅμως ἔλαβε λύσιν, φησίν. Ἀλλ' οὐ τὰ ἐκεῖ τοιαῦτα· ὅτι γὰρ ἐκεῖνα λύσιν οὐχ ἕξει ποτέ, ἄκουσον αὐτοῦ λέγοντος· «ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται»· καί, «πορεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον». Εἰ τοίνυν ἡ ζωὴ αἰώνιος, καὶ ἡ κόλασις αἰώνιος. Οὐχ ὁρᾷς πόσα ἠπείλησεν Ἰουδαίοις; ἆρα οὖν ἐξέβη τὰ ἀπειληθέντα, ἢ λόγος ἦν τὰ εἰρημένα; «Οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον»· ἆρα οὖν ἔμεινε; Τί δέ, ὅτε εἶπεν, «ἔσται θλῖψις οἷα οὐ γέγονεν»; Ἆρα οὐκ ἐγένετο; Ἀνάγνωθι τὴν ἱστορίαν τὴν Ἰωσήπου, καὶ οὐδὲ ἀναπνεῦσαι δυνήσῃ, μόνον ἀκούων ἅπερ ἔπαθον ἐπὶ τῶν πραγμάτων ἐκεῖνοι.

7. Ταῦτα λέγω, οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα ἀσφαλίσωμαι, καὶ μὴ ψυχαγωγήσας ὑμᾶς περιττά, παρασκευάσω χαλεπώτερα ὑπομεῖναι. Διὰ τί γάρ, εἰπέ μοι, οὐκ ἀξιοῖς κολάζεσθαι ἁμαρτάνων; Οὐχὶ προεῖπέ σοι ἅπαντα; οὐχὶ ἠπείλησεν; οὐχὶ ἐβοήθησεν; οὐχὶ μυρία εἰργάσατο ὑπὲρ τῆς σωτηρίας τῆς σῆς; οὐχὶ λουτρὸν παλιγγενεσίας ἐδωρήσατο, καὶ τὰ πρότερα πάντα ἀφῆκεν; Οὐχὶ μετὰ τὴν ἄφεσιν ταύτην καὶ τὸ λουτρόν, καὶ τὴν ἐκ τῆς μετανοίας πάλιν βοήθειαν ἁμαρτάνοντί σοι δέδωκεν; οὐχὶ εὔκολον ἐποίησέ σοι τὴν ὁδὸν καὶ μετὰ ταῦτα τῆς τῶν ἁμαρτημάτων ἀφέσεως; Ἄκουε γοῦν οἷα ἐπέταξεν· «ἂν ἀφῇς τῷ πλησίον, ἀφίημί σοι κἀγώ», φησί. Ποίαν τοῦτο δυσκολίαν ἔχει· «Ἐὰν κρίνητε ὀρφανῷ, καὶ δικαιώσητε χήραν, δεῦτε, καὶ διαλεχθῶμεν», φησί, «καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ». Ποῖον τοῦτο ἔχει μόχθον; «Λέγε σὺ τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς». Τίνα τοῦτο δυσκολίαν ἔχει; «Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι». Ποῖος τοῦτο ἱδρως; Εἶπεν ὁ τελώνης, «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», καὶ κατῆλθε δεδικαιωμένος. Ποῖος πόνος μιμήσασθαι τὸν τελώνην;

Ἀλλ' οὐ βούλει πεισθῆναι οὐδὲ μετὰ τοσαῦτα, ὅτι κόλασίς ἐστι καὶ τιμωρία; Οὐκοῦν οὐδὲ τὸν διάβολον εἴποις ἂν κολάζεσθαι.

---

17. Μάρκ. 9,44.
18. Ματθ. 25,46.
19. Ματθ. 24,2.
20. Ματθ. 24,21.
21. Ἰώσηπος· μεγάλος Ἰουδαῖος ἱστορικός πού ἔζησε τόν α' αἰώνα μ. Χ.
22. Ματθ. 6,14.
23. Ἠσ. 1,17. 18.

τοια, καί τό ὅτι βέβαια ἐκεῖνα δέ θά ἔχουν λύση ποτέ, ἄκουσέ τον πού λέγει· «τό σκουλήκι τους δέ θά πεθάνει καί ἡ φωτιά τους δέ θά σβήσει»[17]· καί, «θά μεταβοῦν ἐκεῖνοι στήν αἰώνια ζωή καί αὐτοί στήν αἰώνια κόλαση»[18]. Ἐάν λοιπόν ἡ ζωή εἶναι αἰώνια, καί ἡ κόλαση θά εἶναι αἰώνια. Δέ βλέπεις πόσα ἀπείλησε στούς Ἰουδαίους; Ἄραγε λοιπόν πραγματοποιήθηκαν οἱ ἀπειλές ἤ λόγια ἦταν τά προηγούμενα; «Δέ θά μείνει πέτρα ἐπάνω στήν πέτρα»[19]. Ἄραγε λοιπόν ἔμεινε; Καί τί, ὅταν εἶπε, «θά γίνει τέτοια θλίψη πού δέν ἔχει γίνει»[20]; Ἄραγε δέν ἔγινε; Διάβασε τήν ἱστορία τοῦ Ἰωσήπου[21], καί δέ θά μπορέσεις οὔτε ν' ἀναπνεύσεις, ἀκούοντας μόνο αὐτά πού ἔπαθαν οἱ Ἰουδαῖοι ἐπάνω στά πράγματα.

7. Αὐτά τά λέγω, ὄχι γιά νά σᾶς λυπήσω, ἀλλά γιά νά σᾶς προφυλάξω καί, μή ψυχαγωγώντας σας ἀνώφελα, νά σᾶς προετοιμάσω νά ὑπομείνετε πιό φοβερά. Γιατί λοιπόν, πές μου, δέ δέχεσαι νά τιμωρεῖσαι ὅταν ἁμαρτάνεις; Δέ σοῦ τά προεῖπε ὅλα; δέ σέ ἀπείλησε; δέ σέ βοήθησε; δέν ἔκανε ἄπειρα πράγματα γιά τή δική σου σωτηρία; δέ σοῦ δώρισε τό βάπτισμα τῆς παλιγγενεσίας καί συγχώρησε ὅλα τά προηγούμενα ἁμαρτήματά σου; δέ σοῦ ἔχει δώσει μετά τή συγχώρεση αὐτή καί τό βάπτισμα καί πάλι τή βοήθεια ἀπό τή μετάνοια ὅταν ἁμαρτάνεις; δέ σοῦ ἔκαμε εὔκολο τό δρόμο καί ὕστερα ἀπ' αὐτά τῆς συγχωρήσεως τῶν ἁμαρτημάτων σου; Ἄκουε λοιπόν τί ἐντολή ἔδωσε· «ἐάν συγχωρήσεις τόν πλησίον σου, θά σέ συγχωρήσω καί ἐγώ»[22], λέγει. Ποιά δυσκολία ἔχει αὐτό; «Ἐάν ἀποδῶστε δίκαιο στό ὀρφανό καί δῶστε δικαιοσύνη στή χήρα, ἐλᾶτε νά συζητήσουμε», λέγει, «καί ἄν οἱ ἁμαρτίες σας εἶναι κόκκινες, θά τίς κάνω λευκές σάν τό χιόνι»[23]. Ποιόν κόπο ἔχει αὐτό; «Λέγε ἐσύ τίς ἁμαρτίες σου, γιά νά λάβεις δικαίωση»[24]. Ποιά δυσκολία ἔχει αὐτό; «Ἐξάλειψε τίς ἁμαρτίες σου μέ ἐλεημοσύνες»[25]. Ποιόν ἱδρώτα ἔχει αὐτό; Εἶπε ὁ τελώνης, «ἐλέησέ με τόν ἁμαρτωλό»[26], καί κατέβηκε δικαιωμένος. Ποιός κόπος χρειάζεται νά μιμηθεῖς τόν τελώνη;

Ἀλλά δέ θέλεις νά πεισθεῖς οὔτε ὕστερα ἀπό τόσο πολλά, ὅτι ὑπάρχει κόλαση καί τιμωρία; Τότε λοιπόν θά μποροῦσες νά πεῖς ὅτι οὔτε ὁ διάβολος τιμωρεῖται. Γιατί λέγει, «πηγαίνετε στή φωτιά, πού

24. Ἡσ. 43,26. 25. Δαν. 4,24. 26. Λουκᾶ 18,13.

Πορεύεσθε γάρ», φησίν, «εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ». Εἰ γὰρ μὴ γέεννά ἐστιν, οὐδὲ ἐκεῖνος κολάζεται· εἰ δὲ ἐκεῖνος κολάζεται, δῆλον ὅτι καὶ ἡμεῖς· καὶ γὰρ καὶ ἡμεῖς παρηκούσαμεν, εἰ καὶ μὴ ἐπὶ τοῖς αὐτοῖς. Πῶς δὲ οὐ δέδοικας καὶ τολμηρὰ φθεγγόμενος; Ὅταν γὰρ λέγῃς, φιλάνθρωπός ἐστι, καὶ οὐ κολάζει· ἐὰν κολάσῃ, εὑρεθήσεται καθ' ὑμᾶς οὐκέτι φιλάνθρωπος ὤν. Ὁρᾷς εἰς οἷα ῥήματα ὑμᾶς ὁ διάβολος ἄγει; Τί δέ; Οἱ τὰ ὄρη κατειληφότες μοναχοί, καὶ μυρίαν ἄσκησιν ἐπιδειξάμενοι, ἀστεφάνωτοι ἀπελεύσονται; Εἰ γὰρ οἱ πονηροὶ μὴ κολάζονται, μηδὲ ἔστι μηδενὸς ἀντίδοσις, ἐρεῖ τις ἕτερος ἴσως, ὅτι οὐδὲ οἱ ἀγαθοὶ στεφανοῦνται. Ναί, φησί· τοῦτο γὰρ Θεῷ πρέπον, βασιλείαν εἶναι μόνον, καὶ μὴ γέενναν. Οὐκοῦν ὁ πόρνος καὶ ὁ μοιχός, καὶ ὁ μυρία κακὰ ἐργασάμενος, τῶν αὐτῶν ἀπολαύσεται τῷ σωφροσύνην καὶ ἁγιωσύνην ἐπιδειξαμένῳ, καὶ Παῦλος μετὰ Νέρωνος στήσεται, μᾶλλον δὲ καὶ ὁ διάβολος μετὰ Παύλου.

Εἰ γὰρ μὴ ἔστι γέεννα, ἀνάστασις δὲ πάντων ἐστί, καὶ οἱ πονηροὶ τῶν αὐτῶν τεύξονται. Καὶ τίς ἂν τοῦτο εἴποι καὶ τῶν σφόδρα ἐξεστηκότων ἀνθρώπων; Μᾶλλον δὲ τίς τοῦτο ἂν εἴποι δαιμόνων; Καὶ γὰρ καὶ ἐκεῖνοι γέενναν ὁμολογοῦσιν εἶναι· διὸ καὶ ἐβόων λέγοντες, «ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;». Πῶς οὖν οὐ δέδοικας καὶ φρίττεις, καὶ τῶν δαιμόνων ὁμολογούντων, αὐτὸς ἀρνούμενος; Πῶς δὲ οὐ συνορᾷς τὸν διδάσκαλον τῶν πονηρῶν τούτων δογμάτων; Ὁ γὰρ τὸν ἐξ ἀρχῆς ἀπατήσας ἄνθρωπον, καὶ προτάσει μειζόνων ἐλπίδων καὶ τῶν ἐν χερσὶν ἐκβαλὼν ἀγαθῶν, οὗτός ἐστιν ὁ καὶ νῦν ταῦτα ὑποβάλλων λέγειν τε καὶ νοεῖν· καὶ διὰ τοῦτο πείθει τινὰς ὑποπτεύειν μὴ εἶναι γέενναν, ἵνα ἐμβάλῃ εἰς γέενναν· ὥσπερ οὖν ὁ Θεὸς ἀπεναντίας ἀπειλεῖ γέενναν, καὶ ἡτοίμασε γέενναν, ἵνα μαθὼν οὕτω βιώσῃς ὡς μὴ ἐμπεσεῖν εἰς γέενναν. Καίτοι εἰ γεέννης οὔσης ὁ διάβολός σε ταῦτα ἀναπείθει, πῶς

27. Ματθ. 25,41.
28. Ματθ. 8,29.

ἔχει ἑτοιμασθεῖ γιά τό διάβολο»[27]. Ἐάν λοιπον δέν ὑπάρχει γέεννα, οὔτε ἐκεῖνος τιμωρεῖται, ἐάν ὅμως ἐκεῖνος τιμωρεῖται, εἶναι φανερό ὅτι τιμωρούμαστε καί ἐμεῖς. Γιατί βέβαια καί μεῖς παρακούσαμε, ἄν καί ὄχι στά ἴδια. Πῶς ὅμως δέ φοβᾶσαι μιλώντας τόσο τολμηρά; Γιατί ὅταν λέγεις, εἶναι φιλάνθρωπος ὁ Θεός, καί δέν τιμωρεῖ, ἄν τιμωρήσει, θά βρεθεῖ σύμφωνα μέ σᾶς ὅτι δέν εἶναι πιά φιλάνθρωπος. Βλέπεις σέ ποιά λόγια σᾶς ὁδηγεῖ ὁ διάβολος; Τί λοιπόν; Οἱ μοναχοί πού κατέλαβαν τά βουνά καί ἐπέδειξαν πάρα πολύ μεγάλη ἄσκηση θά φύγουν ἀπό αὐτόν τόν κόσμο ἀστεφάνωτοι; Ἐάν λοιπόν δέν τιμωροῦνται οἱ κακοί, οὔτε ὑπάρχει ἀνταπόδοση κανενός, θά πεῖ ἴσως κάποιος ἄλλος, ὅτι οὔτε οἱ ἀγαθοί στεφανώνονται. Ναί, λέγει· γιατί αὐτό ἁρμόζει στό Θεό, νά ὑπάρχει βασιλεία μόνο καί ὄχι γέεννα. Ἐπομένως ὁ πόρνος καί ὁ μοιχός καί ἐκεῖνος πού ἔκαμε ἄπειρα κακά θ' ἀπολαύσει τά ἴδιά μ' αὐτόν πού ἐπέδειξε σωφροσύνη καί ἁγιότητα, καί ὁ Παῦλος θά σταθεῖ μαζί μέ τό Νέρωνα, ἤ καλύτερα καί ὁ διάβολος μαζί μέ τόν Παῦλο;

Ἐάν λοιπόν δέν ὑπάρχει γέεννα, καί ὑπάρχει ἀνάσταση ὅλων, τότε καί οἱ κακοί θά ἐπιτύχουν τά ἴδια μέ τούς ἀγαθούς. Καί ποιός θά μποροῦσε νά τό πεῖ αὐτό ἀκόμη καί ἀπό τούς ὑπερβολικά παράφρονες ἀνθρώπους; ἤ καλύτερα, ποιός ἀπό τούς δαίμονες θά μποροῦσε νά τό πεῖ αὐτό; Καθόσον καί ἐκεῖνοι ὁμολογοῦν πώς ὑπάρχει γέεννα· γι' αὐτό καί φώναζαν λέγοντας, «ἦρθες ἐδῶ πρόωρα νά μᾶς βασανίσεις;»[28]. Πῶς λοιπόν δέ φοβᾶσαι καί δέν τρέμεις, ὅταν, ἐνῶ καί οἱ δαίμονες τό ὁμολογοῦν, σύ τό ἀρνεῖσαι; Καί πῶς δέν προσέχεις τό διδάσκαλο τῶν πονηρῶν αὐτῶν δογμάτων; Γιατί ἐκεῖνος πού ἐξαπάτησε ἀπό τήν ἀρχή τόν ἄνθρωπο καί τοῦ στέρησε τά ἀγαθά πού εἶχε στά χέρια του μέ πρόταση μεγαλύτερων ἐλπίδων, αὐτός εἶναι πού καί τώρα ὑπαγορεύει καί νά λέγουν καί νά σκέπτονται αὐτά· καί γι' αὐτό πείθει μερικούς νά συμπεραίνουν ὅτι δέν ὑπάρχει γέεννα, γιά νά τούς ρίξει στή γέεννα· ἐνῶ βέβαια ὁ Θεός ἀντίθετα ἀπειλεῖ τή γέεννα καί τήν ἑτοίμασε, ὥστε, ἀφοῦ τή μάθεις, νά ζήσεις ἔτσι, γιά νά μήν πέσεις μέσα στή γέεννα. Ὅμως ἄν ὁ διάβολος σέ πείθει σ' αὐτά, ἐνῶ ὑπάρχει γέεννα, πῶς χωρίς νά ὑπάρχει θά

ἂν μὴ οὖσαν ὡμολόγησαν οἱ δαίμονες, οἷς περισπούδαστόν ἐστι μηδὲν τοιοῦτον ὑποπτεύειν ἡμᾶς, ἵνα τῇ ἀδείᾳ γενόμενοι ῥᾳθυμότεροι, μετ' αὐτῶν εἰς τὸ πῦρ ἐκεῖνο ἐμπέσωμεν; Πῶς οὖν τότε, φησίν, ὡμολόγουν; Τὴν ἀνάγκην οὐ φέροντες τὴν ἐπικειμένην αὐτοῖς.

Ἅπερ οὖν ἐννοοῦντες ἅπαντα, παυέσθωσαν καὶ ἑαυτοὺς καὶ ἑτέρους ἀπατῶντες οἱ ταῦτα λέγοντες· ἐπεὶ καὶ τῶν ῥημάτων τούτων δώσουσι δίκην, τὰ φοβερὰ διασύροντες ἐκεῖνα, καὶ πολλῶν τὸν τόνον τῶν σπουδάζειν βουλομένων ἐκλύοντες, καὶ οὐδὲ τοὺς βαρβάρους μιμούμενοι. Ἐκεῖνοι μὲν γὰρ καίτοι πάντων ὄντες ἄπειροι, ἀκούσαντες ὅτι ἡ πόλις καταστραφήσεται, οὐ μόνον οὐκ ἠπίστησαν, ἀλλὰ καὶ ἐστέναξαν, καὶ σάκκον περιεβάλοντο, καὶ συνεχύθησαν, καὶ οὐ πρότερον ἀπέστησαν πάντα ποιοῦντες, ἕως ἂν ἔλυσαν τὴν ὀργήν· σὺ δὲ ὁ τοσαύτην λαβὼν πεῖραν πραγμάτων, ῥημάτων, ἐξουθενεῖς τὰ εἰρημένα; Οὐκοῦν ἔσται τὰ ἐναντία. Ὥσπερ γὰρ ἐκεῖνοι φοβηθέντες τὰ ῥήματα, οὐχ ὑπέμειναν τὴν ἀπὸ τῶν πραγμάτων τιμωρίαν, οὕτω καὶ σὺ τῆς ἀπὸ τῶν ῥημάτων καταφρονῶν ἀπειλῆς, τὴν ἀπὸ τῶν πραγμάτων ὑποστήσῃ κόλασιν. Καὶ εἰ νῦν μῦθός σοι δοκεῖ εἶναι τὰ ῥήματα, ἀλλ' οὐχ ὅταν σε τὰ πράγματα πείθῃ τότε.

Οὐχ ὁρᾷς καὶ ἐνταῦθα τί πεποίηκε; πῶς δύο λῃστὰς λαβὼν οὐ τῶν αὐτῶν ἠξίωσεν, ἀλλὰ τὸν μὲν εἰς βασιλείαν εἰσήγαγε, τὸν δὲ εἰς γέενναν ἀπέπεμψε; Καὶ τί λέγω λῃστὴν καὶ ἀνδροφόνον; Οὐδὲ γὰρ τοῦ ἀποστόλου ἐφείσατο, ἐπειδὴ προδότης ἐγένετο, ἀλλὰ καὶ ἐπὶ βρόχον ὁρῶν ὁρμῶντα, καὶ ἀγχόμενον καὶ μέσον ῥηγνύμενον· καὶ γὰρ ἐλάκησε μέσος, καὶ τὰ σπλάγχνα αὐτοῦ ἐξεχύθη πάντα· ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδώς, εἴασε πάντα αὐτὸν ταῦτα παθεῖν, ἀπὸ τῶν παρόντων σε καὶ περὶ τῶν ἐκεῖ πιστούμενος πάντων. Μὴ τοίνυν φενακίζετε ἑαυτοὺς τῷ διαβόλῳ πειθόμενοι· ἐκείνου γὰρ ταῦτα τὰ νοήματα. Εἰ γὰρ καὶ δικασταὶ καὶ δεσπόται καὶ διδάσκαλοι καὶ βάρβαροι τοὺς μὲν ἀγαθοὺς τιμῶσι, τοὺς δὲ πονη-

29. Ἀναφέρεται στούς Νινευίτες.

ὁμολογοῦσαν οἱ δαίμονες, πού φροντίζουν πάρα πολύ νά μήν ὑποψιαζόμαστε τίποτε παρόμοιο, ὥστε, ἀφοῦ γίνουμε περισσότερο ἀδιάφοροι μέ τήν ἀφοβία, νά πέσουμε μαζί μ' αὐτούς στή φωτιά ἐκείνη; Πῶς λοιπόν, λέγει, τήν ὁμολογοῦσαν τότε; Ἐπειδή δέν ἄντεχαν τήν τιμωρία πού ἀπειλοῦνταν σ' αὐτούς.

Ἀφοῦ λοιπόν κατανοήσουμε ὅλα αὐτά, ἄς σταματήσουν ἐκεῖνοι πού τά λέγουν αὐτά νά ἐξαπατοῦν καί τόν ἑαυτό τους καί τούς ἄλλους, γιατί καί γιά τά λόγια αὐτά θά τιμωρηθοῦν, ἐπειδή περιπαίζουν τά φοβερά ἐκεῖνα καί ἐξασθενίζουν τό ἐνδιαφέρον πολλῶν πού θέλουν νά δίνουν προσοχή σ' αὐτά καί δέ μιμοῦνται οὔτε τούς βαρβάρους[29]. Γιατί ἐκεῖνοι, μολονότι ἦταν ἄπειροι ὅλων, ὅταν ἄκουσαν ὅτι θά καταστραφεῖ ἡ πόλη, ὄχι μόνο δέν ἀπίστησαν, ἀλλά καί στέναξαν, καί φόρεσαν σάκκους, καί ταράχτηκαν, καί δέ σταμάτησαν προηγουμένως νά τά κάνουν ὅλα, μέχρι πού ἀπομάκρυναν τήν ὀργή τοῦ Θεοῦ[30], ἐνῶ ἐσύ, πού γνώρισες τόσο πολλά πράγματα, μέ λόγια ἐξευτελίζεις τά προηγούμενα; Λοιπόν θά συμβοῦν τά ἀντίθετα. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι, ἐπειδή φοβήθηκαν τά λόγια, δέ δέχθηκαν τήν τιμωρία ἀπό τά πράγματα, ἔτσι καί σύ, ἐπειδή περιφρονεῖς τήν ἀπειλή ἀπό τά λόγια, θά ὑποστεῖς τήν τιμωρία ἀπό τά πράγματα. Καί ἄν τώρα σοῦ φαίνονται μύθος τά λόγια, δέ θά σοῦ φαίνονται ὅμως ὅταν τά ἴδια τά πράγματα θά σέ πείθουν τότε.

Δέ βλέπεις καί ἐδῶ τί ἔκανε; πῶς παρέλαβε δύο ληστές καί δέν τούς θεώρησε ἄξιους γιά τά ἴδια, ἀλλά τον ἕνα ὁδήγησε στή βασιλεία τῶν οὐρανῶν, ἐνῶ τόν ἄλλο τόν ἔστειλε στή γέεννα; Καί γιατί λέγω γιά τό ληστή καί δολοφόνο; Γιατί οὔτε τόν ἀπόστολο δέ λυπήθηκε, ἐπειδή ἔγινε προδότης, ἀλλά βλέποντάς τον νά ὁρμάει στό βρόχο καί νά πνίγεται καί νά ξεσχίζεται στή μέση τό σῶμα του (γιατί πραγματικά ἄνοιξε ἡ κοιλιά του καί χύθηκαν ὅλα τά σπλάχνα του), ὅμως, παρ' ὅλο πού τά γνώριζε ἀπό πρίν ὅλα, τόν ἄφησε νά τά πάθει ὅλα αὐτά, γιά νᾶ σέ πείσει ἀπό τά παρόντα καί γιά ὅλα τά ἐκεῖ. Μή λοιπόν ἐξαπατᾶτε τόν ἑαυτό σας μέ τό νά πείθεστε στό διάβολο, γιατί δικές του εἶναι αὐτές οἱ ἰδέες. Γιατί ἐάν καί δικαστές καί κύριοι καί διδάσκαλοι καί βάρβαροι τιμοῦν τούς ἀγαθούς, ἀλλά τιμωροῦν τούς κακούς, πῶς θά μποροῦσε νά ἔχει δικαιολογία νά γί-

30. Βλ. Ἰωνᾶ 3,1-10.

ρους κολάζουσι, πῶς ἂν ἔχοι λόγον παρὰ τῷ Θεῷ τἀναντία γίνεσθαι, καὶ τῶν αὐτῶν ἀξιοῦσθαι τόν τε ἀγαθὸν καὶ τὸν οὐ τοιοῦτον;

Πότε δὲ καὶ ἀπαλλαγήσονται τῆς κακίας; Ὁπότε γὰρ νῦν προσδοκῶντες κόλασιν, καὶ μεταξὺ τοσούτων ὄντες φόβων τῶν ἀπὸ τῶν δικαστῶν καὶ τῶν νόμων, οὐδὲ οὕτως ἀφίστανται τῆς πονηρίας· ὅταν ἀπελθόντες ἐκεῖ καὶ τὸν φόβον τοῦτον ἀπόθωνται, καὶ μὴ μόνον εἰς γέενναν μὴ ἐμπέσωσιν, ἀλλὰ καὶ βασιλείας ἐπιτύχωσι, πότε πονηρευόμενοι στήσονται; Τοῦτο οὖν φιλανθρωπίας, εἰπέ μοι, τὸ τὴν πονηρίαν ἐπιτρίβειν, τὸ τῇ κακίᾳ ἆθλον τιθέναι, τὸ τῶν αὐτῶν ἀξιοῦν τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, τὸν πιστὸν καὶ τὸν ἀσεβῆ, τὸν Παῦλον καὶ τὸν διάβολον; Ἀλλὰ γὰρ μέχρι τίνος καὶ ἡμεῖς ληροῦμεν; Διὸ παρακαλῶ, τῆς μανίας ἀπαλλαγέντες ταύτης, καὶ ὑμῶν αὐτῶν γενόμενοι, πείσατε τὴν ψυχὴν δεδοικέναι καὶ τρέμειν, ἵνα καὶ τῆς μελλούσης ἀπαλλαγῇ γεέννης, καὶ σωφρόνως τὸν ἐνταῦθα ζήσασα βίον, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχῃ, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νονται τά ἀντίθετα στό Θεό, καί ν' ἀξιώνονται τά ἴδια καί ὁ ἀγαθός καί ὁ πονηρός;

Πότε ὅμως θ' ἀπαλλαγοῦν ἀπό τήν κακία; Ὅταν λοιπόν τώρα πού περιμένουν τήν τιμωρία καί βρίσκονται ἀνάμεσα σε τόσο πολλούς φόβους πού προέρχονται ἀπό τούς δικαστές καί τούς νόμους, δέν ἀπομακρύνονται οὔτε ἔτσι ἀπό τήν κακία, ὅταν μεταβοῦν ἐκεῖ καί ἀποβάλουν τό φόβο αὐτό, καί ὄχι μόνο δέν πέσουν μέσα στή γέεννα, ἀλλά ἐπιτύχουν ἀκόμη καί τή βασιλεία τῶν οὐρανῶν, πότε θά σταματήσουν νά εἶναι πονηροί; Αὐτό λοιπόν πές μου, εἶναι δεῖγμα φιλανθρωπίας, τό νά μή τιμωρεῖ τήν κακία, τό νά δίνει βραβεῖο στήν κακία, τό νά θεωρεῖ ἄξιο γιά τά ἴδια τόν ἐγκρατή καί τόν ἀκόλαστο, τόν πιστό καί τόν ἀσεβή, τόν Παῦλο καί τό διάβολο; Μέχρι ποιό σημεῖο λοιπόν καί μεῖς θά μωρολογοῦμε; Γι' αὐτό παρακαλῶ, ἀφοῦ ἀπαλλαγεῖτε ἀπό τήν τρέλλα αὐτή, καί ἀφοῦ γίνετε κύριοι τοῦ ἑαυτοῦ σας, νά πείσετε τήν ψυχή σας νά φοβᾶται καί νά τρέμει, γιά ν' ἀπαλλαγεῖ καί ἀπό τή μελλοντική γέεννα καί ἀφοῦ ζήσει μέ σύνεση τήν παροῦσα ζωή, νά ἐπιτύχει καί τά μελλοντικά ἀγαθά, τά ὁποῖα εἴθε ὅλοι ἐμεῖς νά ἐπιτύχουμε, μέ τή χάρη καί φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΖ'

(Ρωμ. 14,14–23)

«Οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι' ἑαυτοῦ· εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν».

1. Πρότερον ἐπιτιμήσας τῷ κρίνοντι τὸν ἀδελφόν, καὶ ταύτῃ τῆς ἐπιπλήξεως αὐτὸν ἀποστήσας, τότε λοιπὸν καὶ περὶ τοῦ δόγματος ἀποφαίνεται, καὶ μετὰ ἡσυχίας παιδεύει τὸν ἀσθενέστερον, πολλὴν αὶ ἐνταῦθα τὴν πραότητα ἐπιδεικνύμενος. Οὐ γὰρ λέγει, ὅτι δίκην δώσει, οὐδὲ ἄλλο τι τῶν τοιούτων οὐδέν, ἀλλὰ τὸν φόβον μόνον ἐκλύει τοῦ πράγματος, ὥστε αὐτὸν εὐκολώτερον πεισθῆναι τοῖς παρ' αὐτοῦ λεγομένοις, καί φησιν· «οἶδα καὶ πέπεισμαι». Εἶτα, ἵνα μὴ λέγῃ τις τῶν οὐ πιστῶν, καὶ τί πρὸς ἡμᾶς, εἰ σὺ πέπεισαι; Οὐδὲ γὰρ ἀξιόπιστος εἶ ἀντικαταστῆναι νόμῳ τοσούτῳ καὶ χρησμοῖς ἄνωθεν κατενεχθεῖσιν, ἐπάγει, «ἐν Κυρίῳ»· τουτέστιν, ἐκεῖθεν μαθών, καὶ παρ' αὐτοῦ πληροφορηθείς. Οὐκ ἄρα ἀνθρωπίνης διανοίας ἡ ψῆφος. Τί τοίνυν πέπεισαι καὶ οἶδας; Εἰπέ. «Ὅτι οὐδὲν κοινὸν δι' αὐτοῦ». Τῇ φύσει, φησίν, οὐδὲν ἀκάθαρτον, ἀλλ' ἀπὸ τῆς προαιρέσεως γίνεται τοῦ μετιόντος· ἐκείνῳ γοῦν μόνῳ γίνεται, καὶ οὐχὶ πᾶσι. «Τῷ γὰρ λογιζομένῳ», φησί, «κοινόν, ἐκείνῳ κοινόν».

ΟΜΙΛΙΑ ΚΖ'

(Ρωμ. 14,14-23)

«Τό ξέρω καί ἔχω πεποίθηση ἀπό τήν ἕνωσή μου μέ τόν Κύριο Ἰησοῦ, ὅτι κανένα πράγμα δέν εἶναι ἀπό μόνο του ἀκάθαρτο, ἀλλά μόνο σ' ἐκεῖνον πού θεωρεῖ ἕνα πράγμα ἀκάθαρτο, σ' ἐκεῖνον μόνο αὐτό εἶναι ἀκάθαρτο».

1. Ἀφοῦ πρῶτα ἐπιτίμησε ἐκεῖνον πού κρίνει τόν ἀδελφό του καί ἀφοῦ τόν ἀπομάκρυνε ἔτσι ἀπό τήν ἐπίπληξη, τότε πλέον μιλάει καί γιά τό δόγμα, καί μέ ἡσυχία διδάσκει τόν πιό ἀδύνατο στήν πίστη, δείχνοντας καί ἐδῶ πολλή πραότητα. Γιατί δέ λέγει, ὅτι 'θά τιμωρηθεῖ', οὔτε τίποτε ἄλλο ἀπ' αὐτά, ἀλλά τό φόβο μόνο διαλύει τοῦ πράγματος, ὥστε νά πεισθεῖ αὐτός πιό εὔκολα στά λεγόμενά του, καί λέγει· «τό ξέρω καί ἔχω πεποίθηση». Ἔπειτα, γιά νά μή λέγει κάποιος ἀπό τούς ἄπιστους, 'καί τί μᾶς ἐνδιαφέρει ἐμᾶς, ἄν ἐσύ ἔχεις πεποίθηση; γιατί δέν εἶσαι ἀξιόπιστος ἀντικαθιστώντας ἕνα τόσο μεγάλο νόμο καί χρησμούς πού κατέβηκαν ἀπό τόν οὐρανό;', προσθέτει, «ἀπό τήν ἕνωσή μου μέ τόν Κύριο», δηλαδή, ἀπό ἐκεῖ τά ἔμαθα καί ἀπ' αὐτόν τά πληροφορήθηκα. Ἐπομένως ἡ ἀπόφαση δέν ἀνήκει σ' ἀνθρώπινη σκέψη. Πές λοιπόν ποιά εἶναι ἡ πεποίθησή σου καί τί ξέρεις; «Ὅτι κανένα πράγμα δέν εἶναι ἀπό μόνο του ἀκάθαρτο». Ἀπό τή φύση του, λέγει, τίποτε δέν εἶναι ἀκάθαρτο, ἀλλά γίνεται ἀπό τήν προαίρεση ἐκείνου πού τό ἐξετάζει· σ' ἐκεῖνον λοιπόν γίνεται μόνο καί ὄχι σέ ὅλους. Γιατί λέγει, «ἀκάθαρτο εἶναι ἕνα πράγμα μόνο γιά ἐκεῖνον πού τό θεωρεῖ ἀκάθαρτο».

Γιατί λοιπόν δέ διορθώνεις τόν ἀδελφό, γιά νά μή τό θεωρεῖ

Τί οὖν οὐ διορθοῦσαι τὸν ἀδελφόν, ἵνα μὴ νομίζῃ ἀκάθαρτον; Τί δὲ οὐκ ἀπάγεις τῆς τοιαύτης συνηθείας καὶ ὑπολήψεως μετ' ἐξουσίας ἁπάσης, ἵνα μὴ ποιῇ αὐτὸ κοινόν; Φοβοῦμαι, φησί, μὴ λυπήσω αὐτόν. Διὸ ἐπήγαγεν· «εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς». Εἶδες πῶς τέως αὐτὸν ᾠκειώσατο, δείξας ὅτι τοσοῦτον αὐτοῦ ποιεῖται λόγον, ὡς ὑπὲρ τοῦ μὴ λυπῆσαι αὐτόν, μηδὲ ἐπιτάξαι τέως τολμᾶν τὰ σφόδρα ἀναγκαῖα, ἀλλὰ τῇ συγχωρήσει μᾶλλον αὐτὸν ἐφέλκεσθαι, καὶ τῇ ἀγάπῃ; Οὐδὲ γὰρ μετὰ τὸ λῦσαι τὸν φόβον ἕλκει καὶ βιάζεται, ἀλλ' ἀφίησιν αὐτὸν ἑαυτοῦ κύριον. Οὐ γάρ ἐστιν ἴσον βρώματος ἀπαγαγεῖν, καὶ λύπῃ περιβαλεῖν. Ὁρᾷς πόσην σπουδὴν ποιεῖται τῆς ἀγάπης; Οἶδε γὰρ ὅτι πάντα αὕτη κατορθῶσαι δύναται. Διὸ καὶ μεῖζον ἐνταῦθά τι παρ' αὐτῶν ἀπαιτεῖ. Οὐ γὰρ μόνον, φησίν, αὐτοὺς οὐ χρὴ πρὸς ἀνάγκην ἀπαγαγεῖν, ἀλλ' εἰ δεῖ καὶ συγκαταβαίνειν, μηδὲ τοῦτο ὀκνεῖν. Διὸ καὶ ἐπάγει λέγων· «μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν».

Ἢ οὐδὲ τοσούτου ἄξιον εἶναι ἡγῇ τὸν ἀδελφόν, ὡς μηδὲ ἀποχῇ βρωμάτων ὠνήσασθαι αὐτοῦ τὴν σωτηρίαν; Καὶ ὁ μὲν Χριστὸς οὐδὲ δοῦλος γενέσθαι, οὐδὲ ἀποθανεῖν παρῃτήσατο δι' αὐτόν, σὺ δὲ οὐδὲ βρωμάτων καταφρονεῖς, ἵνα αὐτὸν διασώσῃς; Καίτοιγε οὐ πάντως ἅπαντας κερδαίνειν ἔμελλεν ὁ Χριστός, ἀλλ' ὅμως ὑπὲρ ἁπάντων ἀπέθανε, τὸ αὐτοῦ πληρῶν. Σὺ δὲ οἶδας ὅτι διὰ βρῶμα ἀνατρέπεις αὐτὸν ἐν τοῖς μείζοσι, καὶ ἔτι φιλονεικεῖς; καὶ τὸν οὕτω περισπούδαστον τῷ Χριστῷ, οὕτως εὐκαταφρόνητον εἶναι νομίζεις, καὶ ὃν ἐκεῖνος ἐφίλησεν, ἀτιμάζεις; Κἀκεῖνος οὐχ ὑπὲρ ἀσθενοῦντος μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐχθροῦ ἀπέθανε· σὺ δὲ οὐδὲ ὑπὲρ ἀσθενοῦντος ἀπέχῃ βρωμάτων; Καὶ ὁ μὲν Χριστὸς καὶ τὸ μέγιστον

ἀκάθαρτο; καί γιατί δέν τόν ἀπομακρύνεις ἀπό μιά τέτοια συνήθεια καί ἀντίληψη μέ ὅλο τό δικαίωμα πού ἔχεις, γιά νά μήν κάνει αὐτό ἀκάθαρτο; Φοβᾶμαι, λέγει, μήπως τόν λυπήσω. Γι' αὐτό πρόσθεσε· «ἐάν ὅμως ὁ ἀδελφός σου λυπᾶται γιά κάποιο φαγητό, δέ συμπεριφέρεσαι πιά μέ ἀγάπη». Εἶδες πῶς πρῶτα ἀπέσπασε τήν εὔνοιά του, δείχνοντας πώς τόσο μιλάει γι' αὐτόν, ὥστε νά μήν τόν λυπήσει, οὔτε νά τόν διατάξει πρῶτα νά τολμάει τά πάρα πολύ ἀναγκαῖα, ἀλλά νά τόν προσελκύει περισσότερο μέ τή συγχώρηση καί τήν ἀγάπη; Γιατί δέν τόν ἕλκει καί δέν τόν ἐξαναγκάζει μετά τή διάλυση τοῦ φόβου του, ἀλλά τόν ἀφήνει κύριο τοῦ ἑαυτοῦ του. Οὔτε βέβαια εἶναι ἴσο νά τόν ἀπομακρύνει ἀπό φαγητό καί νά τόν περιβάλλει μέ λύπη. Βλέπεις πόσο ἐνδιαφέρεται γιά τήν ἀγάπη; Γιατί ξέρει ὅτι αὐτή μπορεῖ νά τά κατορθώσει ὅλα. Γι' αὐτό καί ἐδῶ ζητάει ἀπ' αὐτούς κάτι μεγαλύτερο. Γιατί ὄχι μόνο λέγει, δέν πρέπει νά τούς ἀπομακρύνετε ἀναγκαστικά,ἀλλ' ἄν χρειάζεται νά δείχνετε καί συγκατάβαση, οὔτε καί γι' αὐτό νά διστάζετε. Γι' αὐτό καί προσθέτει λέγοντας· «μήν καταστρέφεις μέ τήν τροφή σου ἐκεῖνον, πρός χάρη τοῦ ὁποίου πέθανε ὁ Χριστός».

Ἤ δέ νομίζεις πώς ὁ ἀδελφός σου εἶναι ἄξιος γιά τό τόσο μεγάλο αὐτό πράγμα, ὥστε νά μήν ἐξαγοράσεις τή σωτηρία του οὔτε μέ τήν ἀποχή σου ἀπό φαγητά; Καί ὁ Χριστός βέβαια δέν ἀπέφυγε οὔτε δοῦλος νά γίνει οὔτε νά πεθάνει γιά χάρη του, ἐσύ ὅμως οὔτε τά φαγητά περιφρονεῖς, γιά νά τόν σώσεις; Ἄν καί βέβαια δέν ἐπρόκειτο νά τούς κερδίσει ὁ Χριστός ὁπωσδήποτε ὅλους, ἀλλ' ὅμως πέθανε γιά ὅλους, ἐκπληρώνοντας αὐτό πού ἐξαρτῶταν ἀπ' αὐτόν. Ἐνῶ σύ γνωρίζεις ὅτι ἐξ αἰτίας τῆς τροφῆς τόν ἀνατρέπεις ἀπό τά μεγαλύτερα, καί ἀκόμη φιλονεικεῖς; Καί ἐκεῖνον πού εἶναι τόσο σπουδαῖος γιά τό Χριστό, τόν θεωρεῖς τόσο εὐκαταφρόνητο, καί αὐτόν πού ἀγάπησε ἐκεῖνος, ἐσύ τόν περιφρονεῖς; Καί ἐκεῖνος πέθανε ὄχι μόνο γιά τόν ἀσθενή ἀλλά καί γιά τόν ἐχθρό, ἐνῶ σύ οὔτε γιά τόν ἀσθενή στήν πίστη δέν ἀπέχεις ἀπό φαγητά; Καί ὁ Χριστός βέβαια ἔδειξε καί τό μέγιστο, ἐνῶ σύ δέ δείχνεις οὔτε τό

ἐπεδείξατο, σὺ δὲ οὐδὲ τὸ ἔλαττον; Καίτοι ὁ μὲν δεσπότης, σὺ δὲ ἀδελφός. Ταῦτα δὲ καὶ ἐκεῖνον ἱκανὰ ἐπιστῦψαι τὰ ῥήματα· δείκνυσι γὰρ αὐτὸν μικρόψυχον ὄντα, καὶ μεγάλων ἀπολελαυκότα παρὰ τοῦ Θεοῦ, καὶ οὐδὲ μικρὰ ἀντιδιδόντα.

2. «Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν· οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις». Τὸ ἀγαθὸν ἐνταῦθα ἢ τὴν πίστιν φησίν, ἢ τὴν μέλλουσαν ἐλπίδα τῶν ἐπάθλων, ἢ τὴν ἀπηρτισμένην εὐσέβειαν. Οὐ γὰρ μόνον, φησί, τὸν ἀδελφὸν οὐκ ὠφελεῖς, ἀλλὰ καὶ αὐτὸ τὸ δόγμα, καὶ τὴν χάριν τοῦ Θεοῦ, καὶ τὴν δωρεὰν βλασφημεῖσθαι ποιεῖς. Ὅταν γὰρ μάχῃ, ὅταν φιλονεικῇς, ὅταν λυπῇς, ὅταν σχίζῃς τὴν ἐκκλησίαν, καὶ λοιδορῇς τὸν ἀδελφόν, καὶ ἀπεχθῶς ἔχῃς πρὸς αὐτόν, βλασφημοῦσιν οἱ ἔξωθεν· ὥστε οὐ μόνον οὐδὲν ἐντεῦθεν κατορθοῦται, ἀλλὰ τοὐναντίον ἅπαν. Τὸ γὰρ ἀγαθὸν ὑμῶν ἡ ἀγάπη, ἡ φιλαδελφία, τὸ ἡνῶσθαι, τὸ συνδεδέσθαι, τὸ μετ᾽ εἰρήνης, τὸ μετ᾽ ἐπιεικείας ζῆν. Εἶτα πάλιν ἐκλύων αὐτοῦ τὸν φόβον καὶ τὴν ἐκείνου φιλονεικίαν, φησίν· «οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις». Μὴ γὰρ ἀπὸ τούτων εὐδοκιμῆσαι ἔχομεν; Ὅπερ καὶ ἀλλαχοῦ φησιν· «οὔτε, ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε, ἐὰν μὴ φάγωμεν, ὑστεροῦμεν»[1]. Καὶ οὐδὲ κατασκευῆς δεῖται, ἀλλ᾽ ἀρκεῖται τῇ ἀποφάσει. Ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ γάρ, ἐὰν φάγῃς, τοῦτό σε εἰς βασιλείαν εἰσάγει; Διὸ καὶ διασύρων αὐτούς, ὡς μέγα ἐπὶ τούτῳ φρονοῦντας, οὐχὶ βρῶσιν εἶπε μόνον, ἀλλὰ καὶ πόσιν.

Τίνα οὖν ἐστι τὰ εἰσάγοντα; Δικαιοσύνη καὶ εἰρήνη καὶ χαρά, ὁ ἐνάρετος βίος, ἡ πρὸς τὸν ἀδελφὸν εἰρήνη, ᾗ ἐναντιοῦται αὕτη ἡ φιλονεικία· ἡ ἐκ τῆς ὁμονοίας χαρά, ἣν ἀναιρεῖ αὕτη ἡ ἐπίπληξις. Ταῦτα δὲ οὐχὶ θατέρῳ μόνον, ἀλλ᾽ ἑκατέροις ἔλεγε· καὶ γὰρ πρὸς ἑκατέρους εἰρῆσθαι καιρὸν εἶχεν. Εἶτα, ἐπειδὴ εἶπεν εἰρήνην καὶ χαράν, ἔστι δὲ εἰρήνη καὶ χαρὰ καὶ ἐπὶ πονηρῶν πραγμάτων, ἐπήγαγεν, «ἐν πνεύματι ἁγίῳ». Ὡς ὅ γε ἀπολλὺς τὸν ἀδελφὸν καὶ εἰρήνην ἀνέτρεψε καὶ τὴν χαρὰν ἠδίκησε πλέον ἢ ὁ τὰ χρήματα ἁρπά-

1. Α΄ Κορ. 8,8.

μικρότερο; ἄν καί βέβαια αὐτός εἶναι κύριος, ἐνῶ σύ εἶσαι ἀδελφός. Αὐτά τά λόγια ἦταν ἀρκετά καί ἐκεῖνον νά ψέξουν· γιατί δείχνουν πώς αὐτός εἶναι μικρόψυχος καί ὅτι ἐνῶ ἔχει ἀπολαύσει μεγάλα ἀπό τό Θεό, ὅμως δέν ἀνταπέδωσε οὔτε μικρά.

2. «῞Ας μή γίνεται λοιπόν ἀντικείμενο δυσφημήσεως ἐκεῖνο πού γιά σᾶς εἶναι ἀγαθό. Γιατί ἡ βασιλεία τοῦ Θεοῦ δέν εἶναι φαγητά καί πιοτά». Ἀγαθό ἐδῶ ἐννοεῖ ἤ τήν πίστη, ἤ τή μελλοντική ἐλπίδα τῶν ἐπάθλων, ἤ τήν τέλεια εὐσέβεια. Ὄχι λοιπόν μόνο τόν ἀδελφό, λέγει, δέν ὠφελεῖς, ἀλλά κάνεις νά κακολογεῖται καί ἡ ἴδια ἡ πίστη καθώς καί ἡ χάρη τοῦ Θεοῦ καί ἡ δωρεά του. Γιατί ὅταν μάχεσαι, ὅταν φιλονεικεῖς, ὅταν προκαλεῖς λύπη, ὅταν διαιρεῖς τήν Ἐκκλησία καί ὅταν βρίζεις τόν ἀδελφό καί τόν ἀπεχθάνεσαι, βλασφημοῦν οἱ ἐκτός τῆς Ἐκκλησίας. Ἑπομένως ὄχι μόνο δέν κατορθώνεται τίποτε ἀπὸ ἐδῶ, ἀλλά τό ἀντίθετο ἐντελῶς. Γιατί τό ἀγαθό γιά σᾶς εἶναι ἡ ἀγάπη, ἡ φιλαδελφία, ἡ ἑνότητα, ἡ σύνδεση μεταξύ σας, τό νά ζεῖτε μέ εἰρήνη, μέ ἐπιείκεια. Στή συνέχεια πάλι διαλύοντας τό φόβο αὐτοῦ καί τήν ἔχθρα ἐκείνου, λέγει· «γιατί ἡ βασιλεία τοῦ Θεοῦ δέν εἶναι φαγητά καί πιοτά». Μήπως λοιπόν μποροῦμε νά εὐδοκιμήσουμε ἀπ' αὐτά; Αὐτό ἀκριβῶς καί ἀλλοῦ λέγει· «οὔτε ἄν φᾶμε, πλεονεκτοῦμε σέ κάτι, οὔτε ἄν δέ φᾶμε, ὑστεροῦμε»[1]. Καί οὔτε ἔχει ἀνάγκη ἀπό ἀπόδειξη, ἀλλ' ἀρκεῖται στήν ἀπόφαση. Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· μήπως λοιπόν, ἄν φάγεις, αὐτό σέ ὁδηγεῖ στή βασιλεία τοῦ Θεοῦ; Γι' αὐτό καί διασύροντας αὐτούς, ἐπειδή ὑπερηφανεύονταν γ' αὐτό, δέν εἶπε μόνο φαγητά ἀλλά καί πιοτά.

Ποιά λοιπόν εἶναι ἐκεῖνα πού ὁδηγοῦν στή βασιλεία; Ἡ δικαιοσύνη, ἡ εἰρήνη καί ἡ χαρά, ἡ ἐνάρετη ζωή, ἡ εἰρήνη πρός τόν ἀδελφό, στήν ὁποία ἐναντιώνεται αὐτή ἡ ἔχθρα, ἡ χαρά ἀπό τήν ὁμόνοια, τήν ὁποία καταστρέφει αὐτή ἡ ἐπίπληξη. Αὐτά ὅμως δέν τά ἔλεγε μόνο στόν ἕνα, ἀλλά καί στούς δύο, γιατί καί πρός τούς δύο εἶχε εὐκαιρία νά τά πεῖ. Ἔπειτα, ἐπειδή μίλησε γιά εἰρήνη καί χαρά, ὑπάρχει ὅμως εἰρήνη καί χαρά ἀκόμη καί στά πονηρά πράγματα, πρόσθεσε, «πού χορηγεῖ τό ἅγιο Πνεῦμα». Ὥστε ἐκεῖνος πού καταστρέφει τόν ἀδελφό του, καί τήν εἰρήνη ἀνέτρεψε καί τή χαρά

ζων· καὶ τὸ δὴ χεῖρον, ὅτι ἄλλος ἔσωσε, καὶ σὺ ἀδικεῖς καὶ ἀπολλύεις. Ὅταν οὖν ταῦτα μὲν μὴ εἰσάγῃ ἡ βρῶσις καὶ ἡ δοκοῦσα τελειότης, τὰ δὲ ἀνατρέποντα αὐτὰ εἰσάγῃ, πῶς οὐ χρὴ καταφρονεῖν τῶν μικρῶν, ὥστε τὰ μεγάλα πῆξαι; Εἶτα, ἐπειδὴ καὶ ἀπὸ κενοδοξίας ἠρέμα τοῦτο ἐγίνετο τὸ ἐπιτιμᾶν, ἐπάγει λέγων· «ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ Θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις». Οὐ γὰρ οὕτω σε θαυμάσονται τῆς τελειότητος, ὡς τῆς εἰρήνης καὶ τῆς ὁμονοίας πάντες. Τούτου μὲν γὰρ τοῦ καλοῦ πάντες ἀπολαύσονται, ἐκείνου δὲ οὐδὲ εἷς.

3. *«Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους». Τοῦτο πρὸς ἐκεῖνον, ἵνα εἰρηνεύῃ· τοῦτο πρὸς τοῦτον, ἵνα μὴ καταλύῃ τὸν ἀδελφόν. Ἀλλ' ὅμως κοινὰ πάλιν ταῦτα ἀμφότερα πεποίηκεν εἰπών, «τῆς εἰς ἀλλήλους», καὶ δείξας ὅτι χωρὶς εἰρήνης οὐκ εὔκολον οἰκοδομεῖν. «Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ»· τὴν σωτηρίαν τοῦ ἀδελφοῦ οὕτω καλῶν, καὶ πολὺν ἐπιτείνων τὸν φόβον, καὶ δεικνὺς ὅτι τοὐναντίον οὗ σπουδάζει ποιεῖ. Οὐ γὰρ μόνον οὐκ οἰκοδομεῖς, φησίν, ὃ νομίζεις, ἀλλὰ καὶ καταλύεις, καὶ οἰκοδομὴν οὐκ ἀνθρωπίνην, ἀλλὰ Θεοῦ, καὶ οὐδὲ μεγάλου τινὸς ἕνεκεν, ἀλλὰ πράγματος εὐτελοῦς· «ἕνεκεν γὰρ βρώματος», φησίν. Εἶτα, ἵνα μὴ αἱ τοσαῦται συγχωρήσεις βεβαιώσωσι τὸν ἀσθενέστερον ἐν τῇ πονηρᾷ ὑπολήψει, δογματίζει πάλιν οὕτω λέγων· «πάντα μὲν καθαρά· ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι»· τῷ μετὰ συνειδότος πονηροῦ.*

Ὥστε κἂν ἀναγκάσῃς, καὶ φάγῃ, τὸ ὄφελος οὐδέν· οὐ γὰρ τὸ φαγεῖν ποιεῖ ἀκάθαρτον, ἀλλ' ἡ γνώμη μεθ' ἧς ἐσθίει. Ἂν τοίνυν ἐκείνην μὴ διορθώσῃ, πάντα εἰκῇ πεποίηκας, καὶ μᾶλλον ἔβλαψας· οὐ γάρ ἐστιν ἴσον ἀκάθαρτόν τι νομίζειν, καὶ νομίζοντα ἀκάθαρτον ἀπογεύεσθαι. Δύο τοίνυν ἐνταῦθα ἁμαρτάνεις, καὶ τὴν πρόληψιν

ἀδίκησε, καί πολύ περισσότερο παρά αὐτός πού ἁρπάζει τά χρήματα. Καί τό πιό χειρότερο, ὅτι ἄλλος ἔσωσε, καί σύ ἀδικεῖς καί καταστρέφεις. Ὅταν λοιπόν αὐτά δέν τά εἰσάγουν τά φαγητά καί ἡ φαινομενική τελειότητα, ἀλλ' εἰσάγουν ἐκεῖνα πού ἀνατρέπουν αὐτά, πῶς δέν πρέπει νά περιφρονοῦμε τά μικρά, ὥστε νά στερεώσουμε τά μεγάλα; Ἔπειτα, ἐπειδή αὐτή ἡ ἐπιτίμηση γινόταν σιγά σιγά καί ἀπό ματαιοδοξία, προσθέτει λέγοντας· «γιατί ἐκεῖνος πού μ' αὐτόν τόν τρόπο ὑπηρετεῖ τό Χριστό εἶναι εὐάρεστος στό Θεό καί ἐπιδοκιμάζεται ἀπό τούς ἀνθρώπους». Γιατί ὅλοι δέ θά σέ θαυμάσουν τόσο γιά τήν τελειότητα, ὅσο γιά τήν εἰρήνη καί τήν ὁμόνοια. Αὐτό βέβαια τό καλό θά τό ἀπολαύσουν ὅλοι, ἐνῶ ἐκεῖνο οὔτε ἕνας.

3. «Ἄς ἐπιδιώκουμε λοιπόν αὐτά πού συντελοῦν στήν εἰρήνη καί στήν ἀναμεταξύ μας οἰκοδομή». Τό ἕνα ἀπευθύνεται σ' ἐκεῖνον, γιά νά εἰρηνεύει, καί τό ἄλλο σ' αὐτόν, γιά νά μήν καταστρέφει τόν ἀδελφό του. Ἀλλ' ὅμως καί τά δύο αὐτά τά ἔκανε κοινά πάλι, λέγοντας, «στήν ἀναμεταξύ μας», καί ἔδειξε ὅτι χωρίς εἰρήνη δέν εἶναι εὔκολο νά οἰκοδομοῦμε. «Μήν καταστρέφεις τό ἔργο τοῦ Θεοῦ ἐξ αἰτίας κάποιου φαγητοῦ», καλώντας ἔτσι τή σωτηρία τοῦ ἀδελφοῦ καί μεγαλώνοντας πολύ τό φόβο καί δείχνοντας ὅτι κάνει τό ἀντίθετο ἀπ' αὐτό πού ἐπιδιώκει. Γιατί ὄχι μόνο δέν οἰκοδομεῖς, λέγει, αὐτό πού νομίζεις, ἀλλά καί καταστρέφεις, καί μάλιστα ὄχι ἀνθρώπινη οἰκοδομή ἀλλά τοῦ Θεοῦ, καί ὄχι ἐξ αἰτίας κάποιου μεγάλου πράγματος ἀλλ' ἀσήμαντου· «ἐξ αἰτίας κάποιου φαγητοῦ», λέγει. Ἔπειτα, γιά νά μήν σταθεροποιήσουν οἱ τόσο πολλές συγχωρήσεις τόν πιό ἀδύνατο στήν κακή ἀντίληψη, δογματίζει πάλι λέγοντας τά ἑξῆς· «ὅλα βέβαια εἶναι καθαρά, ἀλλά εἶναι κακό γιά ἕναν ἄνθρωπο πού μέ τό φαγητό του γίνεται ἀφορμή νά πέσει ὁ ἀδελφός του»· γιά ἐκεῖνον δηλαδή πού τρώει μέ κακή συνείδηση.

Ὥστε καί ἄν ἀκόμη τόν ἐξαναγκάσεις καί φάγει, τό ὄφελος εἶναι μηδέν. Γιατί δέν κάνει κάποιον ἀκάθαρτο τό νά φάγει, ἀλλ' ἡ διάθεση μέ τήν ὁποία τρώγει. Ἄν λοιπόν δέν διορθώσεις αὐτή, ὅλα τά ἔκανες στά χαμένα καί ἔβλαψες πολύ περισσότερο. Γιατί δέν εἶναι τό ἴδιο νά νομίζεις κάτι ἀκάθαρτο, καί παρ' ὅλο πού τό νομίζεις ἀκάθαρτο νά τό τρῶς. Δύο λοιπόν ἁμαρτίες κάνεις ἐδῶ, αὐξάνοντας

ἐπιτείνων τῇ φιλονεικίᾳ, καὶ ἀκαθάρτου ποιῶν ἀπογεύεσθαι. Ὥστε ἕως ἂν μὴ πείσῃς, μὴ ἀναγκάσῃς. «Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ». Πάλιν τὸ πλέον ἀπαιτεῖ, ὥστε μὴ μόνον μὴ ἀναγκάζειν, ἀλλὰ καὶ συγκαταβαίνειν αὐτῷ. Καὶ γὰρ καὶ αὐτὸς αὐτὸ πολλαχοῦ ἐποίησεν· ὡς ὅτε περιέτεμεν, ὡς ὅτε ἐξυρᾶτο, ὅτε ἔθυε τὴν Ἰουδαϊκὴν θυσίαν ἐκείνην. Καὶ οὐ λέγει αὐτῷ, ὅτι ποίησον, ἀλλ' ἐν τάξει γνώμης αὐτὸ τίθησιν, ἵνα μὴ ἐκεῖνον πάλιν ῥᾳθυμότερον ποιήσῃ τὸν ἀσθενέστερον. Καὶ τί φησι; «Καλὸν τὸ μὴ φαγεῖν κρέας». Καὶ τί λέγω κρέας; Κἂν οἶνος ᾖ, κἂν ἄλλ' ὁτιοῦν τοιοῦτον σκανδαλίζον, ἀπέχου.

Οὐδὲν γὰρ ἴσον τῆς σωτηρίας τοῦ ἀδελφοῦ. Καὶ τοῦτο δηλοῖ ὁ Χριστός, καὶ ἐξ οὐρανῶν παραγενόμενος, καὶ πάντα παθὼν δι' ἡμᾶς, ἅπερ ἔπαθε. Σκόπει δέ μοι πῶς κἀκείνου καθικνεῖται, λέγων· «προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ». Μὴ γάρ μοι λέγε, φησίν, ὅτι ἀλόγως, ἀλλ' ὅτι δύνασαι κατορθῶσαι. Καὶ γὰρ ἀρκοῦν ἔχει δικαίωμα εἰς τὸ βοηθεῖσθαι τὴν ἀσθένειαν ἐκεῖνος, καὶ σοὶ βλάβη οὐδεμία· οὐδὲ γὰρ ὑπόκρισις τὸ πρᾶγμά ἐστιν, ἀλλ' οἰκοδομὴ καὶ οἰκονομία. Ἂν μὲν γὰρ ἀναγκάσῃς, καὶ καταλύεται, καὶ σοῦ καταγνώσεται, καὶ μᾶλλον οἰκοδομηθήσεται εἰς τὸ μὴ ἐσθίειν· ἐὰν δὲ συγκαταβῇς, τέως σε ἀγαπήσει, καὶ οὐχ ἕξει σε ἐν ὑποψίᾳ διδάσκοντα, καὶ λήψῃ λοιπὸν ἐξουσίαν ἀνεπεισθήτως σπείρειν ἐν αὐτῷ τὰ ὀρθὰ δόγματα. Ἂν δὲ ἅπαξ σε μισήσῃ, καὶ τὴν εἴσοδον ἀπέφραξας τῷ λόγῳ. Μὴ τοίνυν ἀνάγκαζε ἐκεῖνον, ἀλλὰ καὶ αὐτὸς ἀπέχου δι' ἐκεῖνον, οὐχ ὡς ἀκαθάρτου ἀπεχόμενος, ἀλλ' ἐπειδὴ σκανδαλίζεται ἐκεῖνος, καὶ μᾶλλόν σε ἀγαπήσει. Οὕτω καὶ ὁ Παῦλος ἐκέλευσεν εἰπών, «καλὸν τὸ μὴ φαγεῖν κρέας», οὐκ ἐπειδὴ ἀκάθαρτον, ἀλλ' ἐπειδὴ σκανδαλίζεται καὶ ἀσθενεῖ ὁ ἀδελφός.

καί τήν πρόληψη μέ τή φιλονεικία, καί κάνοντάς τον νά τρώει ἀκάθαρτο φαγητό. Ἑπομένως μέχρι πού νά τόν πείσεις, μήν ἐξαναγκάσεις τόν ἀδελφό σου. «Καλό εἶναι νά μή φᾶς κρέας, οὔτε νά πιεῖς κρασί, οὔτε νά κάμεις κάτι, στό ὁποῖο ὁ ἀδελφός σου σκοντάφτει ἤ σκανδαλίζεται ἤ δείχνει ἀδυναμία». Πάλι ἀπαιτεῖ τό περισσότερο, ὥστε ὄχι μόνο νά μή τόν ἐξαναγκάζεις, ἀλλά καί νά δείχνεις συγκατάβαση πρός αὐτόν. Καθόσον καί αὐτός πολλές φορές τό ἔκαμε αὐτό, ὅπως ὅταν ἔκαμε περιτομή, ὅπως ὅταν ξυριζόταν, ὅταν πρόσφερε ἐκείνη τήν ἰουδαϊκή θυσία. Καί δέ λέγει σ' αὐτόν, κάνε το αὐτό, ἀλλ' ἀναφέρει αὐτό σάν γνώμη, γιά νά μήν κάμει πάλι περισσότερο ἀδιάφορο ἐκεῖνον τόν πιό ἀδύνατο στή πίστη. Καί τί λέγει; «Καλό εἶναι νά μή φᾶς κρέας». Καί γιατί λέγω κρέας; Εἴτε εἶναι κρασί, εἴτε ὁτιδήποτε ἄλλο τέτοιο πού σκανδαλίζει, νά τό ἀποφεύγεις.

Τίποτε λοιπόν δέν εἶναι ἴσο μέ τή σωτηρία τοῦ ἀδελφοῦ. Καί αὐτό τό φανερώνει ὁ Χριστός, ἀφοῦ ἦρθε ἀπό τούς οὐρανούς καί ἔπαθε γιά μᾶς ὅλα, ὅσα ἔπαθε. Πρόσεχε ὅμως, σέ παρακαλῶ, πῶς φθάνει καί σ' ἐκεῖνο λέγοντας· «σκοντάφτει ἤ σκανδαλίζεται ἤ δείχνει ἀδυναμία». Γιατί μή μοῦ πεῖς, λέγει ὅτι εἶναι παράλογα, ἀλλ' ὅτι μπορεῖς νά τά κατορθώσεις. Καθόσον ἐκεῖνος ἔχει ἀρκετό δικαίωμα γιά νά βοηθεῖται στήν ἀδυναμία του, καί σέ σένα δέν ὑπάρχει καμιά βλάβη· οὔτε βέβαια τό πράγμα εἶναι ὑποκρισία, ἀλλά οἰκοδομή καί οἰκονομία. Γιατί ἄν τόν ἐξαναγκάσεις, καί καταστρέφεται, καί σένα θά κατηγορήσει, καί περισσότερο θά πάρει θάρρος στό νά μήν τρώγει, ἐνῶ ἄν δείξεις συγκατάβαση, πρῶτα θά σ' ἀγαπήσει, καί δέ θά σέ ὑποψιάζεται ὅταν διδάσκεις, καί θά λάβεις τήν ἐξουσία στό ἑξῆς ἀνεπαίσθητα νά σπέρνεις μέσα του τά ὀρθά δόγματα. Ἄν ὅμως σέ μισήσει μιά φορά, ἔκλεισες καί τήν εἴσοδο στό λόγο. Μή λοιπόν τόν ἐξαναγκάζεις, ἀλλά καί σύ ὁ ἴδιος ν' ἀπέχεις ἐξ αἰτίας του, ἀπέχοντας ὄχι ἐπειδή εἶναι ἀκάθαρτο, ἀλλ' ἐπειδή σκανδαλίζεται αὐτός, καί περισσότερο θά σ' ἀγαπήσει. Αὐτή τήν ἐντολή ἔδωσε καί ὁ Παῦλος, λέγοντας, «καλό εἶναι νά μή φᾶς κρέας», ὄχι ἐπειδή εἶναι ἀκάθαρτο, ἀλλ' ἐπειδή σκανδαλίζεται καί δείχνει ἀδυναμία ὁ ἀδελφός σου.

4. «Σὺ πίστιν ἔχεις; Κατὰ σεαυτὸν ἔχε». Ἐνταῦθά μοι δοκεῖ ἠρέμα καὶ εἰς κενοδοξίαν αἰνίττεσθαι τὸν τελειότερον. Ὃ δὲ λέγει, τοῦτό ἐστι· θέλεις μοι δεῖξαι, ὅτι τέλειος εἶ καὶ ἀπηρτισμένος; Μὴ ἐμοὶ δείκνυε, ἀλλ' ἀρκείτω σοι τὸ συνειδός. Πίστιν δὲ ἐνταῦθα οὐ τὴν περὶ δογμάτων, ἀλλὰ τὴν περὶ τῆς προκειμένης ὑποθέσεως λέγει. Περὶ γὰρ ἐκείνης φησί· «στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν»· καί, «ὃς ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγώ». Ἐκείνη μὲν γὰρ μὴ ὁμολογουμένη καταστρέφει, αὕτη δε ὁμολογουμένη ἀκαίρως. «Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει». Πάλιν τὸν ἀσθενέστερον πλήττει, καὶ δίδωσι τούτῳ ἀρκοῦντα στέφανον τὸν τοῦ συνειδότος. Κἂν γὰρ ἄνθρωπος μὴ ἴδῃ, ἀρκεῖς σὺ σαυτῷ εἰς τὸ γενέσθαι μακάριος. Ἐπειδὴ γὰρ εἶπε, καθ' ἑαυτὸν ἐχέτω, ἵνα μὴ νομίσῃς μικρὸν τὸ δικαστήριον τοῦτο, λέγει, τῆς οἰκουμένης σοι τοῦτο βέλτιον. Κἂν πάντες σου κατηγορῶσι, σὺ δὲ σαυτὸν μὴ κατακρίνῃς, μηδὲ τὸ συνειδὸς ἐπιλάβηται, μακάριος εἶ. Οὐχ ἁπλῶς δὲ περὶ πάντων λέγων τοῦτο τέθεικεν. Εἰσὶ γὰρ πολλοὶ μὴ κατακρίνοντες ἑαυτούς, καὶ σφόδρα πλημμελοῦντες, οἳ πάντων εἰσὶν ἀθλιώτεροι· ἀλλὰ τέως τῆς προκειμένης ὑποθέσεως ἔχεται.

«Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται». Πάλιν παρακαλῶν αὐτὸν φείσασθαι τοῦ ἀσθενεστέρου τοῦτό φησι. Τί γὰρ ὄφελος, ἐὰν φάγῃ διακρινόμενος, καὶ κατακρίνῃ ἑαυτόν; Ἐγὼ γὰρ ἐκεῖνον ἀποδέχομαι τὸν καὶ ἐσθίοντα καὶ μὴ μετὰ ἀμφιβολίας. Ὁρᾷς πῶς αὐτὸν ἐνάγει οὐκ εἰς τὸ φαγεῖν μόνον, ἀλλὰ καὶ εἰς τὸ καθαρῷ συνειδότι φαγεῖν; Εἶτά φησι καὶ τὴν αἰτίαν, δι' ἣν κατακέκριται, ἐπάγων καὶ λέγων, «ὅτι οὐκ ἐκ πίστεως»· οὐκ ἐπειδὴ ἀκάθαρτον, ἀλλ' ἐπειδὴ οὐκ ἐκ πίστεως· οὐ γὰρ ἐπίστευσεν ὅτι καθαρόν ἐστιν, ἀλλ' ὡς ἀκαθάρτου ἥψατο. Διὰ δὲ τούτων δείκνυσιν αὐ-

2. Ρωμ. 10,10.
3. Λουκᾶ 9,26.

4. «Ἔχεις πίστη; Κράτησέ την γιά τόν ἑαυτό σου». Ἐδῶ μοῦ φαίνεται ὅτι μέ τρόπο ἤρεμο κάνει ὑπαινιγμό γιά τή ματαιοδοξία τοῦ τελειότερου στήν πίστη. Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· θέλεις νά μοῦ δείξεις, ὅτι εἶσαι τέλειος καί ὁλοκληρωμένος; Μή τό δείχνεις σ' ἐμένα, ἀλλ' ἄς ἀρκεῖσαι στή συνείδησή σου. Πίστη ὅμως ἐδῶ δέν ἐννοεῖ τήν πίστη γιά τά δόγματα, ἀλλά τήν πίστη γιά τήν ὑπόθεση περί τῆς ὁποίας γίνεται ὁ λόγος. Γιατί γιά τήν πίστη ἐκείνη λέγει· «μέ τό στόμα ὅμως ὁμολογεῖ ὅ,τι ὁδηγεῖ στή σωτηρία»[2]· καί, «ὅποιος θά μέ ἀρνηθεῖ μπροστά στούς ἀνθρώπους, θά τόν ἀρνηθῶ καί ἐγώ»[3]. Γιατί ἐκείνη ὅταν δέν ὁμολογεῖται καταστρέφει, ἐνῶ αὐτή ὅταν ὁμολογεῖται ἄκαιρα. «Μακάριος ἐκεῖνος πού δέν καταδικάζει τόν ἑαυτό του γιά ἐκεῖνα πού ἐπιδοκιμάζει». Πάλι τόν πιό ἀδύνατο πλήττει καί τοῦ δίδει ἱκανοποιητικό στεφάνι, τό στεφάνι τῆς συνειδήσεώς του. Γιατί καί ἄν ἀκόμη δέ σέ δεῖ ἄνθρωπος, σοῦ εἶναι ἀρκετός ὁ ἑαυτός σου γιά νά γίνεις μακάριος. Ἐπειδή λοιπόν εἶπε, «κράτησέ την γιά τόν ἑαυτό σου, γιά νά μή θεωρήσεις μικρό τό δικαστήριο αὐτό, αὐτό, λέγει, γιά σένα εἶναι καλύτερο ἀπό τήν οἰκουμένη. Καί ἄν ἀκόμη σέ κατηγοροῦν ὅλοι, ἀλλά σύ δέν κατακρίνεις τόν ἑαυτό σου καί ἡ συνείδησή σου δέ σέ βασανίζει, εἶσαι μακάριος. Δέν τό ἀνέφερε αὐτό μιλώντας γενικά γιά ὅλους. Γιατί ὑπάρχουν πολλοί πού δέν κατακρίνουν τόν ἑαυτό τους ἄν καί κάνουν πάρα πολλά σφάλματα, οἱ ὁποῖοι εἶναι πιό δυστυχισμένοι ἀπ' ὅλους. Ἀλλά πρῶτα ἀναφέρεται στήν ὑπόθεση γιά τήν ὁποία γίνεται ὁ λόγος.

«Ἐκεῖνος ὅμως πού ἔχει ἀμφιβολίες, ἄν φάγει καταδικάζεται». Πάλι αὐτό τό λέγει παρακαλώντας αὐτόν νά λυπηθεῖ τόν πιό ἀδύνατο. Γιατί ποιό τό ὄφελος, ἄν φάγει ἔχοντας ἀμφιβολίες καί καταδικάζει τόν ἑαυτό του; Γιατί ἐγώ ἐκεῖνον δέχομαι ὁ ὁποῖος καί τρώει καί μάλιστα ὄχι μέ ἀμφιβολία. Βλέπεις πῶς τόν προτρέπει ὄχι μόνο νά φάγει, ἀλλά καί νά φάγει μέ καθαρή συνείδηση; Στή συνέχεια λέγει καί τήν αἰτία, γιά τήν ὁποία ἔχει καταδικασθεῖ, προσθέτοντας καί λέγοντας, «γιατί κάνει κάτι πού δέν προέρχεται ἀπό πίστη». Ὄχι ἐπειδή εἶναι ἀκάθαρτο, ἀλλ' ἐπειδή δέν προέρχεται ἀπό πίστη· γιατί δέν πίστεψε ὅτι εἶναι καθαρό, ἀλλά τό ἔφαγε ὡς ἀκάθαρτο. Μ' αὐτά ὅμως τούς δείχνει καί πόση βλάβη προκαλοῦν ὅταν

τοῖς καὶ τὴν βλάβην ὅσην ἐργάζονται, ἀναγκάζοντες καὶ μὴ πείθοντες ἅπτεσθαι τῶν τέως δοκούντων αὐτοῖς ἀκαθάρτων εἶναι, ἵνα κἂν διὰ τοῦτο ἀπόσχωνται τοῦ ἐπιπλήττειν. «Πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία». Ὅταν γὰρ μὴ θαρρῇ, φησί, μηδὲ πιστεύῃ ὅτι καθαρόν, πῶς οὐχ ἥμαρτε; Ταῦτα δὲ πάντα περὶ τῆς προκειμένης ὑποθέσεως εἴρηται τῷ Παύλῳ, οὐ περὶ πάντων. Καὶ σκόπει πόσην ποιεῖται τοῦ μὴ σκανδαλίζειν πρόνοιαν. Καὶ γὰρ ἀνωτέρω ἔλεγεν· «εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς». Εἰ δὲ λυπεῖν οὐ δεῖ, πόσῳ μᾶλλον σκανδαλίζειν οὐ δεῖ. Καὶ πάλιν, «μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ». Εἰ γὰρ ἐκκλησίαν κατασκάψαι χαλεπὸν καὶ ἀνόσιον, πολλῷ μᾶλλον ναὸν πνευματικόν· καὶ γὰρ ἄνθρωπος σεμνότερον ἐκκλησίας. Οὐ γὰρ διὰ τοὺς τοίχους ὁ Χριστὸς ἀπέθανεν, ἀλλὰ διὰ τοὺς ναοὺς τούτους.

5. *Πάντοθεν τοίνυν τὰ καθ' ἑαυτοὺς περισκοπῶμεν, καὶ μηδὲ μικρὰν μηδενὶ παρέχωμεν λαβήν. Καὶ γὰρ στάδιον ὁ παρὼν βίος, καὶ μυρίους πάντοθεν ὀφθαλμοὺς ἔχειν δεῖ, μηδὲ νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν τὴν ἄγνοιαν. Ἔστι γάρ, ἔστι καὶ ἀγνοίας δοῦναι δίκην, ὅταν ἡ ἄγνοια ἀσύγγνωστος ᾖ· ἐπεὶ καὶ Ἰουδαῖοι ἠγνόησαν, ἀλλ' οὐ συγγνώμης ἄξια ἠγνόησαν· καὶ Ἕλληνες ἠγνόησαν, ἀλλ' ἀπολογίαν οὐκ ἔχουσιν. Ὅταν μὲν γὰρ ταῦτα ἀγνοῇς, ἃ μὴ δυνατὸν εἰδέναι, οὐδὲν ἔγκλημα ὑποστήσῃ, ὅταν δὲ τὰ ῥᾴδια καὶ δυνατὰ γνωσθῆναι, τὴν ἐσχάτην δώσεις δίκην. Ἄλλως δέ, ἂν μὴ σφόδρα ὦμεν ἀναπεπτωκότες, ἀλλὰ τὰ παρ' ἑαυτῶν συνεισενέγκωμεν ἅπαντα, καὶ ἐν τοῖς ἀγνοουμένοις χεῖρα ἡμῖν ὁ Θεὸς ὀρέξει· ὃ καὶ Φιλιππησίοις ἔλεγε Παῦλος· «καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει». Ὅταν δὲ μηδὲ ὧν ἐσμεν κύριοι, βουλώμεθα ἀνύειν, οὐδὲ ἐν ἐκείνοις ἀπολαύσομεν συμμαχίας· ὃ καὶ ἐπὶ Ἰουδαίων γέγονε. «Διὰ τοῦτο γὰρ ἐν παραβολαῖς αὐτοῖς λαλῶ»,*

---

4. Φιλιπ. 3,15.

ἐξαναγκάζουν καί δέν πείθουν νά τρώγουν ἐκεῖνα πού πρῶτα φαίνονται σ' αὐτούς ὅτι εἶναι ἀκάθαρτα, γιά ν' ἀποφύγουν τουλάχιστο ἀπ' αὐτό τήν ἐπίπληξη. «Καί κάθε πράγμα πού δέν προέρχεται ἀπό πίστη, εἶναι ἁμαρτία». Ὅταν λοιπόν, λέγει, δέν ἔχει πεποίθηση, οὔτε πιστεύει ὅτι εἶναι καθαρό, πῶς δέν ἔκανε ἁμαρτία; Ὅλα αὐτά τά εἶπε ὁ Παῦλος γιά τήν ὑπόθεση πού γίνεται ὁ λόγος καί ὄχι γιά ὅλους. Καί πρόσεχε πόσο φροντίζει γιά νά μή σκανδαλίζει. Γιατί καί παραπάνω ἔλεγε· «ἐάν ὁ ἀδελφός σου λυπᾶται γιά φαγητό, δέ συμπεριφέρεσαι πιά μέ ἀγάπη». Ἐάν ὅμως δέν πρέπει νά προκαλεῖς λύπη, πόσο μᾶλλον δέν πρέπει νά σκανδαλίζεις. Καί πάλι, «μήν καταστρέφεις τό ἔργο τοῦ Θεοῦ ἐξ αἰτίας τροφῆς». Γιατί, ἄν εἶναι φοβερό καί ἀνόσιο νά γκρεμίσεις ἐκκλησία, πολύ περισσότερο εἶναι νά καταστρέφεις ναό πνευματικό· καθόσον ὁ ἄνθρωπος εἶναι πιό σεβαστό πράγμα ἀπό τήν ἐκκλησία. Γιατί ὁ Χριστός δέν πέθανε γιά τούς τοίχους, ἀλλά γι' αὐτούς τούς ναούς.

5. Ἀπό παντοῦ λοιπόν ἄς ἐξετάζουμε τά δικά μας καί σέ κανέναν ἄς μή δίνουμε τήν παραμικρή ἀφορμή. Καθόσον ἡ παρούσα ζωή εἶναι στάδιο καί πρέπει νά ἔχουμε ἀπό παντοῦ ἄπειρα μάτια, καί νά μή νομίζουμε πώς εἶναι ἀρκετή γιά δικαιολογία ἡ ἄγνοια. Γιατί εἶναι δυνατό, ναί εἶναι δυνατό νά τιμωρηθοῦμε καί γιά τήν ἄγνοια, ὅταν ἡ ἄγνοια εἶναι ἀσυγχώρητη· καθόσον καί οἱ Ἰουδαῖοι ἔδειξαν ἄγνοια, ἀλλ' ἡ ἄγνοιά τους δέν ἦταν ἄξια γιά συγγνώμη· καί οἱ Ἕλληνες ἀγνόησαν, ἀλλά δέν ἔχουν δικαιολογία. Γιατί βέβαια ὅταν ἀγνοεῖς ἐκεῖνα, πού δέν εἶναι δυνατό νά γνωρίζεις, δέ θά κατηγορηθεῖς γιά τίποτε, ὅταν ὅμως ἀγνοεῖς τά εὔκολα καί ἐκεῖνα πού εἶναι δυνατά νά γίνουν γνωστά, θά τιμωρηθεῖς μέ τή χειρότερη τιμωρία. Ἄλλωστε, ἄν δέν μᾶς λείπει τελείως τό θάρρος, ἀλλά προσφέρουμε ὅλα τά δικά μας, ὁ Θεός θά μᾶς ἁπλώσει τό χέρι του καί σ' ἐκεῖνα πού ἀγνοοῦμε, πράγμα πού καί ὁ Παῦλος ἔλεγε στούς Φιλιππησίους· «καί ἄν σεῖς σκέπτεσθε γιά κάτι διαφορετικά, ὁ Θεός θά σᾶς τό φανερώσει καί αὐτό»[4]. Ὅταν ὅμως δέ θέλουμε νά κατορθώνουμε τίποτε ἀπό ἐκεῖνα πού ἐξουσιάζουμε, οὔτε σ' ἐκεῖνα θ' ἀπολαύσουμε συμμαχία, πράγμα πού καί στούς Ἰουδαίους ἔγινε. «Γι' αὐτό τούς

φησίν, «ὅτι βλέποντες οὐ βλέπουσι». Πῶς βλέποντες οὐκ ἔβλεπον; Ἑώρων δαίμονας ἐλαυνομένους, καὶ ἔλεγον ὅτι δαιμόνιον ἔχει· ἑώρων νεκροὺς ἐγειρομένους, καὶ οὐ προσεκύνουν, ἀλλ' ἀνελεῖν αὐτὸν ἐπεχείρουν. Ἀλλ' οὐχ ὁ Κορνήλιος τοιοῦτος. Διά τοι τοῦτο, ἐπειδὴ πάντα τὰ παρ' ἑαυτοῦ μετὰ σπουδῆς ἔπραττε, καὶ τὸ λεῖπον αὐτῷ προσέθηκεν ὁ Θεός.

Μὴ τοίνυν λέγε, πῶς τὸν δεῖνα ἄπλαστον ὄντα καὶ χρηστὸν περιεῖδεν ὁ Θεός, Ἕλληνα ὄντα; Πρῶτον μὲν γάρ, εἴ τις ἄπλαστος, οὐκ ἀνθρώποις δυνατὸν εἰδέναι σαφῶς, ἀλλὰ τῷ πλάσαντι κατὰ μόνας τὰς καρδίας· ἔπειτα κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι οὐκ ἐφρόντισε πολλάκις, οὐδὲ ἐσπούδασε. Καὶ πῶς, φησίν, ἠδύνατο, σφόδρα ἄπλαστος ὤν; Οὐκοῦν τὸν ἁπλοῦν τοῦτον καὶ ἀφελῆ σκόπει μοι, καὶ καταμάνθανε ἐπὶ τῶν βιωτικῶν, καὶ ὄψει πολλὴν ἀκρίβειαν ἐπιδεικνύμενον, ἣν εἴγε ἐβούλετο καὶ ἐπὶ τῶν πνευματικῶν ἐπιδείκνυσθαι, οὐκ ἂν παρώφθη. Καὶ γὰρ ἡλίου φανότερα τὰ τῆς ἀληθείας· καὶ ὅπουπερ ἂν ἀφίκηταί τις, ῥαδίως ἐπιλήψεται τῆς ἑαυτοῦ σωτηρίας, εἴγε βουληθείη προσέχειν, καὶ μὴ πάρεργον τοῦτο ἡγεῖσθαι. Μὴ γὰρ ἐν Παλαιστίνῃ τὰ πράγματα συνεκλείσθη; μὴ γὰρ ἐν γωνίᾳ μικρᾷ τῆς οἰκουμένης; Οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος, ὅτι «πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου»; οὐχ ὁρᾷς τὰ πράγματα ἀληθεύοντα; Πῶς οὖν ἂν ἔχοιεν οὗτοι συγγνώμην, ὁρῶντες τὸ δόγμα τῆς ἀληθείας ἐκτεταμένον, καὶ μὴ περιεργαζόμενοι, μηδὲ φροντίζοντες μαθεῖν;

Καὶ ταῦτα παρὰ ἀγροίκου καὶ βαρβάρου, φησίν, ἀπαιτεῖς; Οὐ παρὰ ἀγροίκου καὶ βαρβάρου μόνον, ἀλλὰ καὶ εἴ τις τῶν νῦν ὄντων βαρβαρικώτερος. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἐπὶ μὲν τῶν βιωτικῶν καὶ ἀντειπεῖν οἶδεν ἀδικούμενος, καὶ ἀντιστῆναι βιαζόμενος, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε μηδὲ μικρὸν ἐπηρεασθῆναί ποτε, ἐπὶ δὲ τῶν πνευματικῶν οὐ κέχρηται τῇ αὐτῇ ταύτῃ συνέ-

---

5. Ματθ. 13,13.
6. Ἱερ. 38,34.

μιλάω μέ παραβολές», λέγει, «γιατί, παρ' ὅλο πού βλέπουν, στήν πραγματικότητα δέ βλέπουν»[5]. Πῶς ἐνῶ ἔβλεπαν δέν ἔβλεπαν; Ἔβλεπαν πώς διώχνονταν οἱ δαίμονες, καί ἔλεγαν ὅτι ἔχει δαιμόνιο· ἔβλεπαν πώς ἀνασταίνονταν νεκροί, καί δέν τόν προσκυνοῦσαν, ἀλλά προσπαθοῦσαν νά τόν θανατώσουν. Ὁ Κορνήλιος ὅμως δέν ἦταν τέτοιος. Γι' αὐτό ἀκριβῶς, ἐπειδή ἔκανε μέ προθυμία ὅλα ἐκεῖνα πού ἐξαρτῶταν ἀπό τόν ἑαυτό του, καί τό ὑπόλοιπο τοῦ πρόσθεσε ὁ Θεός.

Νά μή λέγεις λοιπόν, πῶς τόν τάδε τόν ἐπέτρεψε ὁ Θεός νά εἶναι ἁπλός καί ἀγαθός, παρ' ὅλο πού ἦταν εἰδωλολάτρης; Γιατί κατά πρῶτο, ἄν κανείς εἶναι ἁπλός, δέν εἶναι δυνατό στούς ἀνθρώπους νά τό ξέρουν αὐτό καλά, ἀλλά σ' ἐκεῖνον πού δημιούργησε μόνος τίς καρδιές. Ἔπειτα καί αὐτό μποροῦμε νά ποῦμε, ὅτι δέ φρόντισε πολλές φορές, οὔτε προσπάθησε. Καί πῶς, λέγει, μποροῦσε, ἐνῶ ἦταν πάρα πολύ ἁπλοϊκός; Πρόσεχε λοιπόν, παρακαλῶ, αὐτόν τόν ἁπλό καί ἀφελή καί παρατήρησέ τον καλά στά βιωτικά, καί θά δεῖς νά δείχνει πολλή ἀκρίβεια, τήν ὁποία ἄν βέβαια ἤθελε νά δείξει καί στά πνευματικά πράγματα, δέ θά τά παρέβλεπε. Καθόσον αὐτά πού συγκροτοῦν τήν ἀλήθεια εἶναι πιό φωτεινά ἀπό τόν ἥλιο καί ὁπουδήποτε καί ἄν φθάσει κανείς, εὔκολα θά ἐπιτύχει τή σωτηρία του, ἄν βέβαια θελήσει νά προσέξει καί δέν τό θεωρήσει αὐτό πάρεργο. Μήπως λοιπόν τά πράγματα περιορίσθηκαν στήν Παλαιστίνη; μήπως σέ μιά μικρή γωνιά τῆς οἰκουμένης; Δέν ἄκουσες τόν προφήτη πού λέγει, «ὅλοι θά μέ γνωρίσουν ἀπό τόν μικρό μέχρι τόν μεγάλο»[6]; Δέ βλέπεις ὅτι τά πράγματα ἐπαληθεύονται; Πῶς λοιπόν αὐτοί θά ἔχουν συγγνώμη, ὅταν βλέπουν τό δόγμα τῆς ἀλήθειας ἁπλωμένο παντοῦ καί δέν ἀσχολοῦνται μέ αὐτό, οὔτε φροντίζουν νά τό μάθουν;

Καί αὐτά, λέγει, τά ζητᾶς ἀπό ἀγροῖκο καί βάρβαρο; Ὄχι μόνο ἀπό ἀγροῖκο καί βάρβαρο, ἀλλά καί ἄν ἀκόμη κάποιος εἶναι περισσότερο βάρβαρος ἀπ' αὐτούς πού εἶναι τώρα. Γιατί, πές μου, γιά ποιό λόγο στά βιωτικά γνωρίζει νά ἀντιλέγει ὅταν ἀδικεῖται καί νά ἀντιστέκεται ὅταν ἀναγκάζεται νά κάνει κάτι, καί ὅλα τά κάνει καί τά ἐπιχειρεῖ, ὥστε οὔτε γιά λίγο νά μή ζημιωθεῖ ποτέ, ἐνῶ στά πνευματικά δέν ἐνεργεῖ μέ τήν ἴδια ἀκριβῶς σύνεση; Καί ὅταν προ-

σει; Καὶ ὅταν μὲν λίθον προσκυνῇ, καὶ Θεὸν ἡγεῖται, καὶ ἑορτὰς ἐπιτελεῖ, καὶ χρήματα δαπανᾷ, καὶ πολὺν ἐπιδείκνυται φόβον, καὶ οὐδαμοῦ ῥᾴθυμος ἀπὸ τῆς ἀφελείας γίνεται, ὅταν δὲ τὸν ὄντως ὄντα Θεὸν ἐπιζητῆσαι δέῃ, τότε μοι ἀφελείας καὶ ἁπλότητος μέμνησαι. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· ῥᾳθυμίας γὰρ μόνης τὰ ἐγκλήματα. Τίνας γὰρ ἁπλουστέρους καὶ ἀγροικοτέρους εἶναι νομίζεις, τοὺς ἐπὶ τοῦ Ἀβραὰμ ἢ τοὺς νῦν; Εὔδηλον ὅτι ἐκείνους. Πότε δὲ εὐκολώτερον εἶναι τὴν εὐσέβειαν εὑρεῖν, νῦν ἢ τότε; Εὔδηλον ὅτι νῦν. Νῦν μὲν γὰρ παρὰ πᾶσι καὶ τοῦ Θεοῦ τὸ ὄνομα βεβόηται, καὶ προφῆται ἀνεκήρυξαν, καὶ τὰ πράγματα ἐξέβη, καὶ τὰ Ἑλλήνων ἐλήλεγκται· τότε δὲ ἔτι ἀδιδάκτως εἶχον οἱ πλείους, καὶ ἡ ἁμαρτία ἐκράτει, καὶ οὔτε νόμος ἦν παιδεύων, οὐ προφήτης, οὐ θαύματα, οὐ διδασκαλία, οὐ τὸ πλῆθος τῶν ἐπιγινωσκόντων, οὐκ ἄλλο τοιοῦτον οὐδέν, ἀλλ' ὡς ἐν σκότῳ βαθεῖ καὶ ἀσελήνῳ καὶ χειμερίῳ νυκτὶ τὰ πράγματα διέκειτο ἅπαντα.

Ἀλλ' ὅμως ὁ θαυμαστὸς ἐκεῖνος καὶ γενναῖος ἀνὴρ, καὶ τοσούτων ὄντων κωλυμάτων, καὶ τὸν Θεὸν ἐπέγνω, καὶ τὴν ἀρετὴν ἤσκησε, καὶ πολλοὺς εἰς τὸν ἴσον ἤγαγε ζῆλον, καὶ ταῦτα οὐδὲ τῆς ἔξωθεν σοφίας ἔμπειρος ὤν· πῶς γάρ, ὅπου γε οὐδὲ γράμματα πώποτε ἦν εὑρεθέντα; Ἀλλ' ὅμως ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, καὶ ὁ Θεὸς τὰ ἑαυτοῦ λοιπὸν συνεισήνεγκεν. Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὅτι παρὰ πατέρων ἐδέξατο τὴν εὐσέβειαν ὁ Ἀβραάμ· καὶ γὰρ εἰδωλολάτρης ἦν ἐκεῖνος· ἀλλ' ὅμως καὶ προγόνων γενόμενος τοιούτων, καὶ βάρβαρος ὢν μέσον βαρβάρων τραφείς, καὶ διδάσκαλον οὐδένα ἔχων εὐσεβείας, καὶ τὸν Θεὸν ἐπέγνω, καὶ τῶν ἐκγόνων τῶν ἑαυτοῦ πάντων τῶν καὶ νόμου καὶ προφητῶν ἀπολελαυκότων τοσοῦτον ηὐδοκίμησε μᾶλλον, ὅσον οὐδὲ ἔστιν εἰπεῖν. Τί δήποτε; Ὅτι ἐν μὲν τοῖς βιωτικοῖς οὐ σφόδρα ἦν μεμεριμνημένος, ἐν δὲ τοῖς πνευματικοῖς ὅλον ἑαυτὸν συνέτεινε. Τί δὲ ὁ Μελχισεδέκ; οὐχὶ καὶ αὐτὸς κατ' ἐκείνους τοὺς χρόνους

σκυνάει κάποια πέτρα, καί τή θεωρεῖ θεό, καί ἑορτές κάνει, καί χρήματα δαπανάει, καί φόβο δείχνει πολύ, καί πουθενά δέ δείχνει ἀδιαφορία ἀπό τήν ἀφέλειά του, ὅταν ὅμως πρέπει νά ἐπιζητήσεις τόν ἀληθινό Θεό, τότε μοῦ ἀναφέρεις τήν ἀφέλεια καί τήν ἁπλότητα. Δέν εἶναι σωστά αὐτά, δέν εἶναι, οἱ κατηγορίες ἀνήκουν μόνο στήν ἀδιαφορία. Γιατί ποιούς θεωρεῖς πώς εἶναι οἱ περισσότεροι ἁπλοϊκοί καί ἀγροῖκοι, ἐκεῖνοι πού ζοῦσαν στήν ἐποχή τοῦ Ἀβραάμ ἤ οἱ σημερινοί; Εἶναι ὁλοφάνερο ὅτι θεωρεῖς ἐκείνους. Πότε εἶναι εὐκολότερο νά βρεῖς τήν εὐσέβεια, τώρα ἤ τότε; Εἶναι ὁλοφάνερο ὅτι τώρα. Γιατί τώρα καί τό ὄνομα τοῦ Θεοῦ τό φωνάζουν ὅλοι, καί προφῆτες κήρυξαν, καί τά πράγματα ἐκπληρώθηκαν, καί οἱ ἀντιλήψεις τῶν Ἑλλήνων ἀναιρέθηκαν, ἐνῶ τότε οἱ περισσότεροι ἦταν ἀκόμη ἀγράμματοι, καί ἡ ἁμαρτία ἐπικρατοῦσε, καί δέν ὑπῆρχε οὔτε νόμος νά διδάσκει, οὔτε προφήτης, οὔτε θαύματα, οὔτε διδασκαλία, οὔτε τό πλῆθος ἐκεῖνο πού γνώριζε πολύ καλά τά πράγματα, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλ' ὅλα τά πράγματα βρίσκονταν σάν μέσα σέ βαθύ σκοτάδι καί σέ ἀσέληνη καί χειμωνιάτικη νύχτα.

Ἀλλ' ὅμως ὁ θαυμαστός ἐκεῖνος καί γενναῖος ἄνδρας, ἄν καί ὑπῆρχαν τόσα πολλά ἐμπόδια, καί τό Θεό γνώρισε, καί τήν ἀρετή ἄσκησε, καί πολλούς ὁδήγησε στόν ἴσο ζῆλο, καί ἔγιναν αὐτά χωρίς νά γνωρίζει τήν ἀνθρώπινη σοφία· γιατί πῶς θά τή γνώριζε, τή στιγμή πού δέν εἶχαν βρεθεῖ ἀκόμη τά γράμματα; Ἀλλ' ὅμως, ἐπειδή πρόσφερε ὅλα ὅσα ἐξαρτῶνταν ἀπ' αὐτόν, τοῦ πρόσφερε στή συνέχεια καί ὁ Θεός τά δικά του. Οὔτε βέβαια θά μπορέσεις νά πεῖς αὐτό, ὅτι δηλαδή ὁ Ἀβραάμ δέχθηκε τήν εὐσέβεια ἀπό τούς πατέρες του, γιατί εἰδωλολάτρης ἦταν καί ἐκεῖνος. Ἀλλ' ὅμως, ἄν καί γεννήθηκε ἀπό τέτοιους προγόνους καί ἦταν βάρβαρος καί τράφηκε ἀνάμεσα σέ βαρβάρους καί δέν εἶχε κανένα διδάσκαλο γιά τήν εὐσέβεια, γνώρισε τό Θεό, καί ἀπό ὅλους τούς ἀπογόνους του πού εἶχαν ἀπολαύσει καί τό νόμο καί τούς προφῆτες εὐδοκίμησε τόσο περισσότερο, ὅσο δέν εἶναι δυνατό νά λεχθεῖ. Γιατί ἄραγε; Γιατί δέ φρόντιζε ὑπερβολικά γιά τά βιωτικά, ἀλλ' ἀφιέρωνε ὅλο τόν ἑαυτό του στά πνευματικά. Καί ὁ Μελχισεδέκ πάλι τί; Δέ γεννήθηκε καί αὐτός σ' ἐκείνους τούς χρόνους καί δέ διακρίθηκε τόσο πολύ, ὥστε

ἐγένετο, καὶ τοσοῦτον ἔλαμψεν, ὡς καὶ ἱερεὺς τοῦ Θεοῦ χρηματίσαι; Καὶ γὰρ ἀμήχανον, καὶ σφόδρα ἀμήχανον, τὸν νήφοντα περιοφθῆναί ποτε.

Μὴ δὴ ταῦτα ὑμᾶς θορυβείτω, ἀλλ' εἰδότες, ὅτι πανταχοῦ τῆς γνώμης ἐστὶ τὸ κῦρος, τὰ ἡμέτερα αὐτῶν περισκοπῶμεν, ὅπως γενοίμεθα βελτίους. Μὴ τὸν Θεὸν ἀπαιτῶμεν εὐθύνας, μηδὲ ἐξετάζωμεν, διὰ τί τὸν δεῖνα εἴασε, καὶ τὸν δεῖνα ἐκάλεσε. Καὶ γὰρ ταὐτὸν ποιοῦμεν, οἷον ἂν εἴ τις οἰκέτης προσκεκρουκὼς περιεργάζοιτο τὴν οἰκονομίαν τοῦ δεσπότου. Ἄθλιε καὶ ταλαίπωρε, δέον φροντίζειν ὑπὲρ τῶν σῶν εὐθυνῶν, καὶ πῶς καταλλάξεις τὸν δεσπότην, εὐθύνας ἀπαιτεῖς ὧν οὐ μέλλεις παρέχειν εὐθύνας, ἐκεῖνα παρατρέχων, ὧν ὀφείλεις δοῦναι λόγον.

6. *Τί οὖν πρὸς τὸν Ἕλληνα εἴπω, φησί; Ταῦτα τὰ εἰρημένα. Καὶ σκόπει μὴ τί εἴπῃς πρὸς τὸν Ἕλληνα μόνον, ἀλλὰ καὶ πῶς αὐτὸν διορθώσῃ. Ὅταν σου τὸν βίον ἐξετάζων σκανδαλίζηται ἐκεῖθεν, ἐνταῦθα φρόντισον τί εἴπῃς. Ὑπὲρ μὲν γὰρ ἐκείνου, κἂν σκανδαλίζηται, σὺ λόγον οὐ δώσεις, ἀπὸ δὲ τοῦ βίου τοῦ σοῦ ἐὰν βλαβῇ, κίνδυνον ὑποστήσῃ τὸν ἔσχατον. Ὅταν ἴδῃ σε περὶ βασιλείας φιλοσοφοῦντα, καὶ πρὸς τὰ παρόντα ἐπτοημένον, καὶ περὶ γεέννης δεδοικότα, καὶ τὰ ἐνταῦθα τρέμοντα δεινά, τότε φρόντισον. Ὅταν ταῦτα ὁρῶν ἐγκαλῇ, καὶ λέγῃ, εἰ βασιλείας ὀρᾷς, τί τῶν παρόντων οὐχ ὑπερορᾷς; εἰ δικαστήριον προσδοκᾷς φοβερόν, τί τῶν ἐνταῦθα δεινῶν οὐ καταφρονεῖς; εἰ ἀθανασίαν ἐλπίζεις, τί τοῦ θανάτου οὐ καταγελᾷς; Ὅταν ταῦτα λέγῃ, μερίμνησον τί ἀπολογήσῃ. Ὅταν ἴδῃ σε τρέμοντα ζημίαν χρημάτων τὸν τοὺς οὐρανοὺς προσδοκῶντα, καὶ περιχαρῆ γενόμενον ὑπὲρ ἑνὸς ὀβολοῦ, καὶ τὴν ψυχὴν πάλιν προέμενον ὑπὲρ ἀργυρίου ὀλίγου, τότε φρόντισον· ταῦτα γάρ ἐστι, ταῦτα τὰ τὸν Ἕλληνα σκανδαλίζοντα.*

Ὥστε εἰ φροντίζεις αὐτοῦ τῆς σωτηρίας, ὑπὲρ τούτων ἀπολογοῦ, μὴ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων. Δι' ἐκεῖνο μὲν γὰρ τὸ ζήτημα οὐδείς ποτε ἐβλασφήμησε τὸν Θεόν, διὰ δὲ τὸν πονηρὸν βίον μυρίαι πανταχοῦ βλασφημίαι. Τοῦτον τοίνυν διόρθου· ἐπεὶ πά-

νά χρηματίσει καί ἱερεύς τοῦ Θεοῦ; Καθόσον εἶναι ἀδύνατο, καί μάλιστα ὑπερβολικά ἀδύνατο, νά παραβλεφθεῖ ποτέ ὁ νηφάλιος ἄνθρωπος.

Ἄς μή σᾶς ἀνησυχοῦν λοιπόν αὐτά, ἀλλά γνωρίζοντας ὅτι παντοῦ ἡ ἀξία ἀνήκει στή διάθεση, ἄς ἐξετάζουμε τά δικά μας, γιά νά γίνουμε καλύτεροι. Ἄς μή ζητᾶμε εὐθύνες ἀπό τό Θεό, οὔτε νά ἐξετάζουμε, γιατί παραμέρισε τόν τάδε καί κάλεσε τόν τάδε. Καθόσον κάμνουμε τό ἴδιο, ὅπως θά ἔκαμνε κάποιος ὑπηρέτης ἄν περιεργαζόταν τήν οἰκονομία τοῦ κυρίου του, ἐπειδή ὀργίσθηκε ἐναντίον του. Ἄθλιε καί ταλαίπωρε, ἐνῶ ἔπρεπε νά φροντίζεις γιά τίς δικές σου εὐθύνες καί πῶς νά συμφιλιώσεις τόν Κύριο, ζητᾶς εὐθύνες γιά ἐκεῖνα γιά τά ὁποῖα δέν πρόκειται νά λογοδοτήσεις, παρατρέχοντας ἐκεῖνα γιά τά ὁποῖα εἶσαι ὑποχρεωμένος νά δώσεις λόγο.

6. Τί λοιπόν θά πῶ, λέγει, πρός τόν εἰδωλολάτρη; Αὐτά πού λέχθηκαν. Καί πρόσεχε ὄχι μόνο τί θά πεῖς στόν εἰδωλολάτρη, ἀλλά καί πῶς θά διορθώσεις τόν ἑαυτό σου. Ὅταν σκανδαλίζεται ἐξετάζοντας τή ζωή σου, ἐδῶ σκέψου τί θά πεῖς. Γιατί βέβαια ἐσύ δέ θά δώσεις λόγο γιά ἐκεῖνον, καί ἄν ἀκόμη σκανδαλίζεται, ἐνῶ ἄν ζημιωθεῖ ἀπό τή δική σου ζωή, θά ὑποστεῖς τόν πιό φοβερότερο κίνδυνο. Ὅταν δεῖ ὅτι φιλοσοφεῖς γιά τή βασιλεία τῶν οὐρανῶν, καί ὅτι τρέμεις τά ἐδῶ δεινά, τότε πρόσεξε. Ὅταν βλέποντας αὐτά κατηγορεῖ καί λέγει, ἄν ἀγαπᾶς τή βασιλεία, γιατί δέν περιφρονεῖς τά παρόντα; ἄν περιμένεις τό φοβερό δικαστήριο, γιατί δέν καταφρονεῖς τά ἐδῶ δεινά; ἄν ἐλπίζεις στήν ἀθανασία, γιατί δέν περιγελᾶς τό θάνατο; ὅταν λοιπόν λέγει αὐτά, φρόντισε τί θ' ἀπολογηθεῖς. Ὅταν δεῖ ὅτι τρέμεις τή ζημία τῶν χρημάτων ἐσύ πού προσμένεις τούς οὐρανούς, καί ὅτι χαίρεσαι πάρα πολύ γιά ἕναν ὀβολό καί ὅτι παραδίνεις πάλι τήν ψυχή σου γιά λίγα χρήματα, τότε σκέψου· γιατί αὐτά, ναί αὐτά εἶναι ἐκεῖνα πού σκανδαλίζουν τόν εἰδωλολάτρη.

Ἐπομένως ἄν φροντίζεις γιά τή σωτηρία του, νά ἀπολογεῖσαι γι' αὐτά, ὄχι μέ λόγια, ἀλλά μέ πράξεις. Γιατί ἐξ αἰτίας τοῦ ζητήματος ἐκείνου κανείς δέ βλασφήμησε ποτέ τό Θεό, ἐνῶ ἐξ αἰτίας τῆς κακῆς ζωῆς παντοῦ ὑπάρχουν ἄπειρες βλασφημίες. Αὐτόν λοιπόν

λιν ἐρεῖ σοι ὁ Ἕλλην· πόθεν μάθω ὅτι δυνατὰ ἐπέταξεν ὁ Θεός; Ἰδοὺ γὰρ σὺ Χριστιανὸς ὢν ἐκ προγόνων, καὶ ἐντρεφόμενος τῇ καλῇ ταύτῃ θρησκείᾳ, οὐδὲν τοιοῦτον ποιεῖς. Τί οὖν ἐρεῖς; Πάντως ἐρεῖς, δείξω σοι ἑτέρους ποιοῦντας, μοναχοὺς ἐν ἐρημίαις καθημένους. Εἶτα οὐκ αἰσχύνῃ Χριστιανὸς μὲν εἶναι ὁμολογῶν, πρὸς δὲ ἑτέρους πέμπων, ὡς οὐ δυνάμενος δεῖξαι ὅτι τὰ Χριστιανῶν ἐπιδείκνυσαι; Καὶ γὰρ καὶ ἐκεῖνος εὐθέως ἐρεῖ· οὐκοῦν ποία μοι ἀνάγκη βαδίζειν ἐπὶ τὰ ὄρη, καὶ τὰς ἐρημίας διώκειν; Εἰ γὰρ μὴ δυνατὸν ἐν μέσαις στρεφόμενον πόλεσι φιλοσοφεῖν, πολλὴ τῆς πολιτείας ταύτης ἡ κατηγορία γένοιτ' ἄν, εἰ μέλλοιμεν τὰς πόλεις ἐκλιπόντες, ἐπὶ τὰς ἐρήμους τρέχειν. Ἀλλὰ δεῖξόν μοι ἄνθρωπον γυναῖκα ἔχοντα καὶ παιδία καὶ οἰκίαν, καὶ φιλοσοφοῦντα. Τί οὖν πρὸς ταῦτα ἐροῦμεν; οὐκ ἀνάγκη κάτω κύπτειν καὶ αἰσχύνεσθαι; Οὐδὲ γὰρ ὁ Χριστὸς οὕτως ἐκέλευσεν· ἀλλὰ πῶς; «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων», οὐχὶ τῶν ὀρέων, οὐδὲ τῆς ἐρημίας καὶ τῆς ἀβάτου.

Καὶ ταῦτα λέγω, οὐ κακίζων τοὺς κατειληφότας τὰ ὄρη, ἀλλὰ θρηνῶν τοὺς οἰκοῦντας τὰς πόλεις, ὅτι τὴν ἀρετὴν ἐντεῦθεν ἐξήλασαν. Διό, παρακαλῶ, τὴν φιλοσοφίαν τὴν ἐκεῖθεν καὶ ἐνταῦθα εἰσαγάγωμεν, ἵνα αἱ πόλεις γένωνται πόλεις. Ταῦτα τὸν Ἕλληνα ὀρθῶσαι δύναται, ταῦτα μυρίων ἀπαλλάξαι σκανδάλων. Ὥστε εἰ βούλει κἀκεῖνον ἐλευθερῶσαι σκανδάλου, καὶ αὐτὸς μυρίων ἀπολαῦσαι μισθῶν, τὸν βίον διόρθου τὸν ἑαυτοῦ, καὶ πάντοθεν ἀπολάμπειν ποίει, «ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάζωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Οὕτω γὰρ καὶ ἡμεῖς τῆς ἀπορρήτου καὶ μεγάλης ἐκείνης ἀπολαυσόμεθα δόξης, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

7. Ματθ. 5,16.

διόρθωνε, γιατί πάλι θά σοῦ πεῖ ὁ εἰδωλολάτρης, ἀπό ποῦ νά μάθω ὅτι ὁ Θεός πρόσταξε πράγματα πού μποροῦν νά γίνουν; γιατί νά ἐσύ, ἐνῶ εἶσαι Χριστιανός ἀπό προγόνους καί ἀνατρέφεσαι μέ στήν καλή αὐτή θρησκεία, δέν κάνεις τίποτε τέτοιο. Τί λοιπόν θ' ἀπαντήσεις; Ὁπωσδήποτε θ' ἀπαντήσεις, 'θά σοῦ δείξω ἄλλους πού κάνουν αὐτά, τούς μοναχούς πού ζοῦν στίς ἐρήμους'. Ἔπειτα δέν ντρέπεσαι νά ὁμολογεῖς βέβαια ὅτι εἶσαι Χριστιανός, ἀλλά νά τόν στέλνεις σ' ἄλλους, ἐπειδή δέν μπορεῖς νά δείξεις συμπεριφορά ὅμοια μέ τῶν Χριστιανῶν; Καθόσον καί ἐκεῖνος ἀμέσως θά πεῖ· λοιπόν ποιά ἀνάγκη ὑπάρχει νά βαδίζω στά ὄρη καί νά ἐπιδιώκω τίς ἐρήμους; Ἐάν λοιπόν δέν εἶναι δυνατό νά πιστεύει κανείς ζώντας μέσα στίς πόλεις, θά ἦταν μεγάλη ἡ κατηγορία γιά τή ζωή αὐτή, ἄν πρόκειται νά τρέχουμε στίς ἐρήμους ἐγκαταλείποντας τίς πόλεις. Ἀλλά δεῖξε μου κάποιον μέ γυναῖκα καί παιδιά καί σπίτι, πού νά ζεῖ μέ εὐσέβεια. Τί λοιπόν θ' ἀπαντήσουμε σ' αὐτά; δέν πρέπει νά σκύβουμε κάτω τό κεφάλι καί νά ντρεπόμαστε; Οὔτε ὁ Χριστός διέταξε αὐτά, ἀλλά τί; «Ἄς λάμψει τό φῶς σας μπροστά στούς ἀνθρώπους»[7], ὄχι στά ὄρη, οὔτε στήν ἔρημο καί στά ἀπρόσιτα μέρη.

Καί τά λέγω αὐτά, ὄχι γιά νά κακίσω ἐκείνους πού ἔχουν καταλάβει τά ὄρη, ἀλλά γιά νά θρηνήσω αὐτούς πού κατοικοῦν στίς πόλεις, γιατί ἔδιωξαν τήν ἀρετή ἀπό ἐδῶ. Γι' αὐτό, παρακαλῶ, ἄς φέρουμε καί ἐδῶ τήν εὐσέβεια πού ὑπάρχει ἐκεῖ, γιά νά γίνουν οἱ πόλεις πραγματικά πόλεις. Αὐτά μποροῦν νά διορθώσουν τόν εἰδωλολάτρη, αὐτά μποροῦν νά τόν ἀπαλλάξουν ἀπό ἄπειρα σκάνδαλα. Ὥστε, ἄν θέλεις καί ἐκεῖνον νά ἐλευθερώσεις ἀπό τό σκάνδαλο, καί σύ ὁ ἴδιος ν' ἀπολαύσεις ἄπειρους μισθούς, νά διορθώνεις τή δική σου ζωή καί νά τήν κάνεις νά λάμπει ἀπό παντοῦ, «γιά νά δοῦν οἱ ἄνθρωποι τά καλά σας ἔργα καί νά δοξάσουν τόν Πατέρα σας πού εἶναι στούς οὐρανούς»[7]. Γιατί ἔτσι θ' ἀπολαύσουμε καί μεῖς τήν ἀπόρρητη καί μεγάλη ἐκεινη δόξα, τήν ὁποία εἴθε νά ἐπιτύχουμε ὅλοι μας, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στούς αἰῶνες. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΗ'

(Ρωμ. 14,24–15,7)

«Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος· μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν».

1. Ἔθος ἀεὶ τῷ Παύλῳ εἰς εὐχὰς καὶ δοξολογίας κατακλείειν τὴν παραίνεσιν· οἶδε γὰρ οὐ μικρὰν τὸ πρᾶγμα ἔχον ῥοπήν. Τοῦτο δὲ ἀπὸ φιλοστοργίας καὶ εὐλαβείας ποιεῖν εἴωθε. Καὶ γὰρ φιλόπαιδος καὶ φιλοθέου διδασκάλου τὸ μὴ μόνον λόγῳ παιδεύειν, ἀλλὰ καὶ δι' εὐχῶν τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν τοῖς διδασκομένοις εἰσάγειν· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. Ἡ δὲ ἀκολουθία αὕτη ἐστί. «Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν». Πάλιν γὰρ ἐκείνων ἔχεται τῶν ἀσθενῶν, καὶ πρὸς αὐτοὺς τρέπει τὸν λόγον. Ὅτε μὲν γὰρ ἐπετίμα, κοινὴν ἐποιεῖτο τὴν ἐπιτίμησιν, νυνὶ δὲ εὐχόμενος, ὑπὲρ τούτων τίθησι τὴν ἱκετηρίαν. Εἰπὼν δέ, «στηρίξαι», ἐπάγει καὶ κατὰ ποῖον τρόπον, «κατὰ τὸ εὐαγγέλιόν μου». Τοῦτο δὲ δηλοῦντος ἦν, ὅτι οὔπω ἦσαν βεβαιωθέντες, ἀλλ' εἱστήκεισαν

ΟΜΙΛΙΑ ΚΗ'

(Ρωμ. 14,24-15,7)

«Σ' ἐκεῖνον ὅμως πού ἔχει τή δύναμη νά σᾶς στηρίξει σύμφωνα μέ τό εὐαγγέλιό μου καί τό κήρυγμα τοῦ Ἰησοῦ Χριστοῦ, σύμφωνα μέ τήν φανέρωση τοῦ μυστηρίου πού φυλαγόταν μυστικό γιά πολλούς αἰῶνες, ἀλλά φανερώθηκε τώρα, καί μέ τίς προφητικές γραφές, ὕστερα ἀπό ἐντολή τοῦ αἰώνιου Θεοῦ, ἔγινε γνωστό σέ ὅλα τά ἔθνη, ὥστε νά ὑπακούσουν στήν πίστη· σ' αὐτόν λοιπόν τό μόνο σοφό Θεό ἀνήκει ἡ δόξα μέσω τοῦ Ἰησοῦ Χριστοῦ στούς αἰῶνες. Ἀμήν».

1 Πάντοτε συνηθίζει ὁ Παῦλος νά τελειώνει τήν παραίνεση σ' εὐχές καί δοξολογίες, γιατί ξέρει πώς τό πράγμα ἔχει μεγάλο ἀποτέλεσμα. Καί συνήθιζε νά τό κάνει αὐτό ἀπό φιλοστοργία καί εὐλάβεια. Καθόσον γνώρισμα τοῦ διδασκάλου πού ἀγαπάει τά παιδιά καί τό Θεό εἶναι τό νά μή διδάσκει μόνο μέ λόγο, ἀλλά καί μ' εὐχές νά εἰσάγει στούς μαθητές τή συμμαχία ἀπό τό Θεό, πράγμα ἀκριβῶς πού κάνει καί ἐδῶ. Ἀλλ' ἡ ἀκολουθία εἶναι αὐτή. «Σ' ἐκεῖνον ὅμως πού ἔχει τή δύναμη νά σᾶς στηρίξει ἀνήκει ἡ δόξα στούς αἰῶνες. Ἀμήν». Πάλι δηλαδή ἔρχεται στούς ἀδύνατους καί σ' αὐτούς στρέφει τό λόγο. Γιατί ὅταν ἐπιτιμοῦσε, ἔκανε κοινή τήν ἐπιτίμηση, ἀλλά τώρα ὅταν εὔχεται, γι' αὐτούς ἀναφέρει τήν ἱκεσία. Ἀφοῦ ὅμως εἶπε, «νά στηρίξει», προσθέτει καί μέ ποιόν τρόπο, «σύμφωνα μέ τό εὐαγγέλιό μου». Αὐτό βέβαια σήμαινε, ὅτι δέν εἶχαν γίνει ἀκόμη σταθεροί στήν πίστη, ἀλλ' ὅτι στέκονταν βέβαια σ' αὐτήν, ἀλλά κλονίζονταν. Ἔπειτα γιά νά κάνει ἀξιόπιστο τό λόγο, πρόσθε-

μέν, ἐσαλεύοντο δέ. Εἶτα ποιῶν τὸν λόγον ἐξιόπιστον, ἐπήγαγε, «καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ»· τουτέστιν, ὃ αὐτὸς ἐκήρυξεν. Εἰ δὲ αὐτὸς ἐκήρυξεν, οὐχ ἡμέτερα τὰ δόγματα, ἀλλ' ἐκείνου οἱ νόμοι.

Φιλοσοφῶν δὲ λοιπὸν καὶ περὶ τοῦ κηρύγματος, δείκνυσιν ὅτι πολλῆς εὐεργεσίας τοῦτο τὸ δῶρον, καὶ πολλῆς τιμῆς. Καὶ πρῶτον μὲν ἀπὸ τοῦ καταγγείλαντος τοῦτο κατασκευάζει, ἔπειτα καὶ ἀπ' αὐτῶν τῶν καταγγελθέντων· εὐαγγέλια γὰρ ἦν· πρὸς τούτοις, ἀπὸ τοῦ μηδενὶ γνωρίσαι πρὸ ἡμῶν. Τοῦτο γοῦν ᾐνίξατο εἰπών, «κατὰ ἀποκάλυψιν μυστηρίου» ὅπερ μεγίστης φιλίας σημεῖόν ἐστι, τὸ μυστηρίων ποιεῖν κοινωνούς, καὶ μηδένα πρὸ ἡμῶν. «Χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν». Πάλαι μὲν γὰρ προώριστο, ἐφάνη δὲ νῦν. Πῶς ἐφάνη; «Διὰ γραφῶν προφητικῶν». Ἐνταῦθα πάλιν τὸν φόβον ἐκλύει τοῦ ἀσθενοῦς. Τί γὰρ δέδοικας; μὴ ἀποστῇς τοῦ νόμου; Τοῦτο βούλεται ὁ νόμος, τοῦτο ἄνωθεν προὔλεγεν. Εἰ δὲ ἐξετάζεις διὰ τί νῦν ἐφανερώθη, οὐκ ἀσφαλὲς πρᾶγμα ποιεῖς, μυστήρια Θεοῦ περιεργαζόμενος, καὶ εὐθύνας ἀπαιτῶν· οὐδὲ γὰρ πολυπραγμονεῖν τὰ τοιαῦτα δεῖ, ἀλλ' ἀγαπᾶν καὶ στέργειν. Διὸ καὶ αὐτὸς ἐπιστομίζων τὴν τοιαύτην γνώμην ἐπήγαγε, «κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ εἰς ὑπακοὴν πίστεως». Ὑπακοῆς γὰρ ἡ πίστις δεῖται, οὐ πολυπραγμοσύνης· καὶ ὅταν Θεὸς ἐπιτάττῃ, πείθεσθαι, οὐ περιεργάζεσθαι χρή.

Εἶτα καὶ ἑτέρωθεν αὐτοὺς παραθαρρύνει λέγων· «εἰς πάντα τὰ ἔθνη γνωρισθέντος». Οὐδὲ γὰρ σὺ μόνος, ἀλλ' ἡ οἰκουμένη πᾶσα οὕτω πιστεύει, οὐκ ἄνθρωπον, ἀλλὰ Θεὸν λαβοῦσα διδάσκαλον. Διὸ ἐπήγαγε, «διὰ Ἰησοῦ Χριστοῦ». Οὐκ ἐγνωρίσθη δὲ μόνον, ἀλλὰ καὶ ἐβεβαιώθη· ἀμφότερα δὲ αὐτοῦ ἔργα. Διὸ καὶ οὕτως ἀναγνωστέον· «τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι διὰ Ἰησοῦ Χριστοῦ». Καὶ γάρ, ὅπερ εἶπον, ἀμφότερα αὐτῷ ἀνατίθησι· μᾶλλον δὲ οὐκ ἀμφότερα μόνον, ἀλλὰ καὶ τὴν δόξαν τὴν εἰς τὸν Πατέρα. Διὸ καὶ ἔλε-

σε, «καί τό κήρυγμα τοῦ Ἰησοῦ Χριστοῦ», δηλαδή, τό κήρυγμα πού αὐτός κήρυξε. Ἐάν ὅμως αὐτός τό κήρυξε, δέν εἶναι δικές μας οἱ διδασκαλίες, ἀλλά δικοί του εἶναι οἱ νόμοι.

Φιλοσοφώντας ὅμως στή συνέχεια καί γιά τό κήρυγμα, δείχνει ὅτι τό δῶρο αὐτό εἶναι ἀπόδειξη μεγάλης εὐεργεσίας καί πολλῆς τιμῆς. Καί πρῶτα τό ἀποδεικνύει αὐτό ἀπό ἐκεῖνον πού τό κήρυξε, ἔπειτα καί ἀπό τά ἴδια πού κηρύχτηκαν (γιατί ἦταν εὐαγγέλια), καί ἀκόμη, ἀπό τό ὅτι δέν τό γνώρισε σέ κανέναν πρίν ἀπό μᾶς. Καί αὐτό τό ὑπαινίχθηκε λέγοντας «σύμφωνα μέ τή φανέρωση τοῦ μυστηρίου», πράγμα πού εἶναι ἀπόδειξη πάρα πολύ μεγάλης ἀγάπης, τό νά μᾶς κάνει δηλαδή μέτοχους στά μυστήρια καί κανέναν πρίν ἀπό μᾶς. «Τό ὁποῖο φυλασσόταν μυστικό γιά πολλούς αἰῶνες, ἀλλά φανερώθηκε τώρα». Ἀπό παλιά δηλαδή εἶχε προαποφασισθεῖ, ἀλλά τώρα φανερώθηκε. Πῶς φανερώθηκε; «Μέ τίς προφητικές γραφές». Ἐδῶ πάλι διαλύει τό φόβο τοῦ ἀδύνατου στήν πίστη. Τί λοιπόν φοβᾶσαι; μήπως ἀπομακρυνθεῖς ἀπό τό νόμο; Αὐτό θέλει ὁ νόμος, αὐτό διακήρυττε ἀπό τήν ἀρχή. Ἐάν ὅμως ἐξετάζεις γιατί φανερώθηκε τώρα, κάνεις πράγμα ἐπικίνδυνο, μέ τό νά περιεργέζεσαι τά μυστήρια τοῦ Θεοῦ καί νά ζητᾶς ἀπ' αὐτόν εὐθύνες. Γιατί δέν πρέπει νά πολυεξετάζουμε τά παρόμοια, ἀλλά νά τά ἀγαποῦμε καί νά τά δεχόμαστε μέ χαρά. Γι' αὐτό καί ὁ Παῦλος ἐμποδίζοντας τήν ἐπιθυμία αὐτή πρόσθεσε, «σύμφωνα μέ τήν ἐντολή τοῦ αἰώνιου Θεοῦ, ὥστε νά ὑπακούσουν στήν πίστη». Γιατί ἡ πίστη χρειάζεται ὑπακοή ὄχι πολυπραγμοσύνη, καί ὅταν ὁ Θεός προστάζει, πρέπει νά ὑπακοῦμε, ὄχι νά πολυπραγμονοῦμε.

Στή συνέχεια καί ἀπ' ἀλλοῦ τούς δίνει θάρρος λέγοντας· «τό ὁποῖο ἔγινε γνωστό σέ ὅλα τά ἔθνη». Ὄχι δηλαδή ἐσύ μόνος, ἀλλ' ἡ οἰκουμένη ὁλόκληρη πιστεύει ἔτσι, ἐπειδή ἔλαβε διδάσκαλο ὄχι κάποιον ἄνθρωπο, ἀλλά τό Θεό. Γι' αὐτό πρόσθεσε, «μέσω τοῦ Ἰησοῦ Χριστοῦ». Καί ὄχι μόνο ἔγινε γνωστό, ἀλλά καί ἐπιβεβαιώθηκε ἀκόμη. Γι' αὐτό πρέπει νά διαβαστεῖ καί ἔτσι· «σ' ἐκεῖνον ὅμως πού ἔχει τή δύναμη νά σᾶς στηρίξει διά μέσου τοῦ Ἰησοῦ Χριστοῦ». Γιατί, ὅπως προανέφερα, καί τά δύο τά ἀναφέρει σ' αὐτόν, ἤ καλύτερα, ὄχι μόνο καί τά δύο, ἀλλά καί τή δόξα πού ἀπευθύνεται στόν

γεν, «ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν». Δοξάζει δὲ πάλιν, τὸ ἀκατάληπτον τῶν μυστηρίων τούτων ἐκπληττόμενος. Οὐδὲ γὰρ νῦν ὅτε ἐφάνη, λογισμοῖς αὐτὰ δυνατὸν καταλαβεῖν, ἀλλὰ διὰ πίστεως ἐπιγνῶναι χρή· ἄλλως γὰρ οὐκ ἔνι. Καὶ καλῶς εἶπε, «μόνῳ σοφῷ Θεῷ». Ὅταν γὰρ ἐννοήσῃς, πῶς τὰ ἔθνη εἰσήγαγε καὶ ἀνεκέρασε τοῖς πάλαι κατωρθωκόσι, πῶς ἀπεγνωσμένους ἔσωσε, πῶς τῆς γῆς ἀναξίους ὄντας εἰς οὐρανοὺς ἀνήγαγε, καὶ τῆς παρούσης ζωῆς ἐκπεπτωκότας εἰς τὴν ἀθάνατον καὶ ἀπόρρητον ἐκείνην εἰσήγαγε, καὶ ὑπὸ δαιμόνων πατουμένους ἀγγέλους ἐφαμίλλους ἐποίησε, καὶ παράδεισον ἠνέῳξε, καὶ τὰ παλαιὰ κακὰ ἅπαντα ἔλυσε, καὶ ταῦτα ἐν χρόνῳ βραχεῖ, καὶ δι' ὁδοῦ ῥᾳδίας καὶ συντομωτάτης, τότε γνώσῃ τὴν σοφίαν, ὅταν ἴδῃς, ὃ μήτε ἄγγελοι μήτε ἀρχάγγελοι ᾔδεσαν, τοῦτο ἐξαίφνης τοὺς ἐξ ἐθνῶν μεμαθηκότας διὰ Ἰησοῦ.

Δέον οὖν θαυμάζειν αὐτὸν τῆς σοφίας, καὶ δοξάζειν αὐτόν, σὺ δὲ περὶ μικρὰ στρέφῃ, τῇ σκιᾷ προσεδρεύων ἔτι· ὅπερ οὐ σφόδρα ἐστὶ δοξάζοντος. Ὁ γὰρ μὴ θαρρῶν αὐτῷ, μηδὲ τῇ πίστει πεποιθώς, οὐ μαρτυρεῖ τῷ μεγέθει τῶν γενομένων. Ἀλλ' αὐτὸς τὴν ὑπὲρ ἐκείνων δόξαν ἀνήνεγκε, κἀκείνους εἰς τὸν αὐτὸν ζῆλον ἐνάγων. Ὅταν δὲ ἀκούσῃς αὐτοῦ λέγοντος, «μόνῳ σοφῷ Θεῷ», μὴ πρὸς ἀθέτησιν τοῦ Υἱοῦ τοῦτο νόμιζε λέγεσθαι. Εἰ γὰρ ἅπαντα ταῦτα, ἀφ' ὧν ἡ σοφία αὐτοῦ δείκνυται, διὰ Χριστοῦ γέγονε, καὶ χωρὶς αὐτοῦ οὐδὲ ἓν γέγονεν, εὔδηλον ὅτι καὶ τὰ τῆς σοφίας ἴσα. Τίνος οὖν ἕνεκεν, «μόνῳ», εἴρηκε; Πρὸς ἀντιδιαστολὴν τῆς κτίσεως ἁπάσης.

2. *Ἀποδοὺς τοίνυν τὴν δοξολογίαν, πάλιν ἀπὸ τῆς εὐχῆς ἐπὶ παραίνεσιν χωρεῖ, πρὸς τοὺς ἰσχυροτέρους τρέπων τὸν λόγον, καὶ λέ-*

Πατέρα. Γι' αὐτό καί ἔλεγε, «στόν ὁποῖον ἀνήκει ἡ δόξα στούς αἰῶνες. 'Αμήν». Δοξάζει καί πάλι, θαυμάζοντας τό ἀκατάληπτο τῶν μυστηρίων αὐτῶν. Γιατί οὔτε τώρα πού φανερώθηκε, εἶναι δυνατό νά τά κατανοήσουμε αὐτά μέ συλλογισμούς, ἀλλά πρέπει νά τά γνωρίσουμε μέ τήν πίστη, γιατί διαφορετικά δέν εἶναι δυνατό. Καί πολύ καλά εἶπε, «στό μόνο σοφό Θεό». Ὅταν δηλαδή κατανοήσεις, πῶς ὁδήγησε τούς ἐθνικούς καί τούς ἀνέμειξε μ' ἐκείνους πού πρίν ἀπό πολλά χρόνια ἔχουν πράξει τό ὀρθό, πῶς ἐνῶ ἦταν ἀπελπισμένοι τούς ἔσωσε, πῶς ἐνῶ ἦταν ἀνάξιοι τῆς γῆς τούς ἀνέβασε στούς οὐρανούς, καί ἐνῶ εἶχαν ἐκπέσει τῆς παρούσας ζωῆς τοὺς ὁδήγησε στήν ἀθάνατη καί ἀπόρρητη ἐκείνη, καί ἐνῶ τούς καταπατοῦσαν οἱ δαίμονες τούς ἔκαμε ἰσάξιους μέ τοὺς ἀγγέλους, καί τόν παράδεισο ἄνοιξε, καί ὅλα τά παλαιά κακά ἐξαφάνισε, καί αὐτά ἔγιναν σέ μικρό χρόνο καί μέ δρόμο εὔκολο καί πάρα πολύ σύντομο, τότε θά γνωρίσεις τή σοφία· ὅταν δεῖς ἐκεῖνο πού οὔτε οἱ ἄγγελοι οὔτε οἱ ἀρχάγγελοι γνώρισαν, αὐτό νά τό ἔχουν μάθει ξαφνικά αὐτοί πού προέρχονται ἀπό τούς ἐθνικούς διά μέσου τοῦ Ἰησοῦ.

Ἐνῶ λοιπόν πρέπει νά τόν θαυμάζεις γιά τή σοφία του καί νά τόν δοξάζεις, ἐσύ ὅμως περιστρέφεσαι γύρω ἀπό τά μικρά καί κάθεσαι ἀκόμη στή σκιά, πράγμα πού δέν εἶναι γνώρισμα ἐκείνου πού δοξάζει πραγματικά. Γιατί ἐκεῖνος πού δέν ἔχει ἐμπιστοσύνη σ' αὐτόν καί πού δέν ἔχει πεποίθηση στήν πίστη, δέν ἐπιβεβαιώνει τό μέγεθος τῶν γεγονότων. 'Αλλ' αὐτός ἀνέφερε γιά χάρη τους τή δόξα προτρέποντας καί αὐτούς στόν ἴδιο ζῆλο. Ὅταν ὅμως τόν ἀκούσεις νά λέγει, «στό μόνο σοφό Θεό», νά μή νομίζεις πώς αὐτό λέγεται γιά ἀπόρριψη τοῦ Υἱοῦ. Γιατί ἄν ὅλα αὐτά, ἀπό τά ὁποῖα ἀποδεικνύεται ἡ σοφία του, ἔχουν γίνει διά τοῦ Χριστοῦ, καί χωρίς αὐτόν δέν ἔγινε οὔτε ἕνα, εἶναι ὁλοφάνερο ὅτι καί ἡ σοφία του εἶναι ἴση. Γιά ποιό λοιπόν λόγο εἶπε, «στό μόνο»; Πρός διάκριση ὁλόκληρης τῆς δημιουργίας.

2. 'Αφοῦ λοιπόν ἀπέδωσε τή δοξολογία, πάλι ἀπό τήν εὐχή προχωρεῖ σέ παραίνεση, στρέφοντας τό λόγο στούς πιό δυνατούς κατά

γων οὕτως· «ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοί». Ὀφείλομεν, οὐ χαριζόμεθα. Τί ὀφείλομεν; «Τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν». Εἶδες πῶς ἐπῆρεν αὐτοὺς τοῖς ἐγκωμίοις, οὐχὶ τῷ δυνατοὺς μόνον εἰπεῖν, ἀλλὰ καὶ τῷ μεθ' ἑαυτοῦ τάξαι ἐκείνους; Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ χρησίμῳ πάλιν αὐτοὺς ἐπισπᾶται, καὶ ἀνεπαχθεῖ. Σὺ μὲν γὰρ δυνατὸς εἶ, φησί, καὶ καταβαίνων οὐδὲν βλάπτῃ· ἐκείνῳ δὲ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος, ἂν μὴ διαβαστάζηται. Καὶ οὐκ εἶπε, τοὺς ἀσθενεῖς, ἀλλά, «τὰ ἀσθενήματα τῶν ἀδυνάτων», εἰς ἔλεον αὐτὸν ἐπισπώμενος καὶ ἐπικλῶν· ὡς καὶ ἀλλαχοῦ φησιν, «ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον». Δυνατὸς γέγονας; Ἀπόδος τῷ Θεῷ τὴν ἀμοιβὴν τῷ ποιήσαντί σε τοιοῦτον· ἀποδώσεις δέ, τὴν ἀσθένειαν τοῦ ἀρρώστου διορθούμενος. Καὶ γὰρ καὶ ἡμεῖς ἀσθενεῖς ἦμεν, ἀλλ' ὑπὸ τῆς χάριτος ἐγενόμεθα δυνατοί. Τοῦτο δὲ οὐκ ἐνταῦθα δεῖ μόνον ποιεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλως ἀσθενούντων· οἷον ἂν ἀκρόχολός τις ᾖ, ἂν ὑβριστής, ἂν ἄλλο τι τοιοῦτον ἔχων ἐλάττωμα, διαβάσταζε.

Πῶς δ' ἂν τοῦτο γένοιτο, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γάρ, «ὀφείλομεν βαστάζειν», ἐπήγαγε, «καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθόν, πρὸς οἰκοδομήν». Ὃ δὲ λέγει, τοῦτό ἐστι· δυνατὸς εἶ; Λαμβανέτω σου πεῖραν τῆς δυνάμεως ὁ ἀσθενής· ἐκεῖνος μανθανέτω σου τὴν ἰσχύν, ἐκείνῳ ἄρεσον. Καὶ οὐχ ἁπλῶς εἶπεν, 'ἄρεσον', ἀλλ', «εἰς τὸ ἀγαθόν»· καὶ οὐδὲ ἁπλῶς εἰς τὸ ἀγαθόν, ἵνα μὴ λέγῃ ὁ τέλειος, ἰδοὺ γὰρ εἰς τὸ ἀγαθὸν ἕλκω, ἀλλὰ προσέθηκε, «πρὸς οἰκοδομήν». Ὥστε κἂν πλουτῇς, κἂν ἐν δυναστείᾳ ᾖς, μὴ σαυτῷ, ἀλλὰ τῷ πένητι καὶ τῷ δεομένῳ ἄρεσκε· οὕτω γὰρ καὶ δόξης ἀπολαύσῃ τῆς ἀληθοῦς, καὶ ὠφέλειαν ἐργάσῃ πολλήν. Ἡ μὲν γὰρ τῶν βιωτικῶν δόξα εὐθέως

1. Γαλ. 6,1.

τήν πίστη καί λέγοντας αὐτά· «ὀφείλουμε ὅμως ἐμεῖς οἱ δυνατοί». Ὀφείλουμε, δέν κάνουμε χάρη. Τί ὀφείλουμε; «Νά βαστάζουμε τίς ἀδυναμίες τῶν ἀδυνάτων». Εἶδες πῶς ἐξύψωσε αὐτούς μέ τούς ἐπαίνους, ὄχι μέ τό νά τούς πεῖ μόνο δυνατούς, ἀλλά καί μέ τό νά τούς τοποθετήσει μαζί μέ τόν ἑαυτό του; Καί ὄχι μόνο ἔτσι, ἀλλά καί τούς παρακινεῖ πάλι μέ τό χρήσιμο καί τό εὐχάριστο. Γιατί ἐσύ βέβαια εἶσαι δυνατός, λέγει, καί ὅταν δείχνεις συγκατάβαση δέ βλάπτεσαι καθόλου, ἀλλά σ' ἐκεῖνον ὁ κίνδυνος εἶναι γιά τά χειρότερα κακά, ἄν δέ βαστάζεται. Καί δέν εἶπε, 'νά βαστάζουμε τούς ἀδυνάτους', ἀλλά «τίς ἀδυναμίες τῶν ἀδυνάτων», γιά νά παρακινήσει καί νά ὁδηγήσει τό δυνατό σέ εὐσπλαχνία, ὅπως καί ἀλλοῦ λέγει, «ἐσεῖς οἱ πνευματικοί πρέπει νά διορθώνετε αὐτόν πού παρασύρεται»[1]. Ἔγινες δυνατός; Ἀπόδωσε τήν ἀμοιβή στό Θεό πού σ' ἔκαμε τέτοιον καί θά τήν ἀποδώσεις, ἄν διορθώνεις τήν ἀσθένεια τοῦ ἀρρώστου. Καθόσον καί ἐμεῖς ἤμασταν ἀσθενεῖς, ἀλλά γίναμε δυνατοί ἀπό τή χάρη. Καί αὐτό δέν πρέπει νά τό κάνεις μόνο στήν περίπτωση αὐτή, ἀλλά καί σ' ἐκείνους πού πάσχουν ἀπό διαφορετική ἀρρώστια, ὅπως ἄν κάποιος εἶναι ὀξύθυμος, ἄν εἶναι ὑβριστής, ἄν ἔχει κάποιο ἄλλο παρόμοιο ἐλάττωμα, νά τόν βαστάζεις.

Καί πῶς θά μποροῦσε νά γίνει αὐτό, ἄκουσε τά ἑπόμενα. Γιατί, ἀφοῦ εἶπε, «ὀφείλουμε νά βαστάζουμε», πρόσθεσε, «καί νά μήν κάνουμε ὅσα ἀρέσουν στόν ἑαυτό μας. Ὁ καθένας σας δηλαδή ἄς γίνεται ἀρεστός στόν πλησίον του γιά τό καλό του καί τήν οἰκοδομή του». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· εἶσαι δυνατός; Ἄς γνωρίζει τή δύναμή σου ὁ ἀσθενής· ἐκεῖνος ἄς μαθαίνει τή δύναμή σου, σ' ἐκεῖνον νά ἀρέσεις. Καί δέν εἶπε ἁπλῶς, 'νά ἀρέσεις', ἀλλά, «γιά τό καλό του»· καί ὄχι ἁπλῶς γιά τό καλό του, γιά νά μή λέγει ὁ τέλειος, νά τόν ἕλκω στό καλό, ἀλλά πρόσθεσε, «γιά τήν οἰκοδομή του». Ἑπομένως εἴτε εἶσαι πλούσιος, εἴτε ἔχεις ἐξουσία, νά μήν κάνεις ἐκεῖνα πού ἀρέσουν στόν ἑαυτό σου, ἀλλά στό φτωχό καί σ' αὐτόν πού ἔχει ἀνάγκη. Γιατί ἔτσι καί τὴν ἀληθινή δόξα θ' ἀπολαύσεις καί πολλή ὠφέλεια θά προκαλέσεις. Γιατί ἡ δόξα τῶν κοσμι-

ἀφίπταται, ἡ δὲ τῶν πνευματικῶν μένει, ἂν πρὸς οἰκοδομὴν τοῦτο ποιῇς. Διὸ παρὰ πάντων τοῦτο ἀπαιτεῖ· οὐ γὰρ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ', «ἕκαστος ὑμῶν».

Εἶτα, ἐπειδὴ μέγα ἐπέταξε, καὶ τῆς οἰκείας ἐκέλευσε καθυφεῖναι τελειότητος εἰς τὸ διορθῶσαι τὴν ἑτέρου ἀσθένειαν, πάλιν τὸν Χριστὸν εἰς μέσον ἄγει λέγων· «καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν». ὅπερ ἀεὶ ποιεῖ. Καὶ γὰρ ὅτε περὶ ἐλεημοσύνης ἔλεγεν, αὐτὸν παρήγαγε λέγων· «γινώσκετε τὴν χάριν τοῦ Κυρίου, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν»· καὶ ὅτε εἰς ἀγάπην προέτρεπεν, ἐκεῖθεν προύτρεψεν, εἰπών· «καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς»· καὶ ὅτε περὶ τοῦ φέρειν αἰσχύνην καὶ κινδύνους συνεβούλευσεν, ἐπ' αὐτὸν κατέφυγε, λέγων· «ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας». Οὕτω καὶ ἐνταῦθα δείκνυσι καὶ αὐτὸν τοῦτο ποιήσαντα, καὶ τὸν προφήτην ἄνωθεν προαναφωνήσαντα· διὸ καὶ ἐπήγαγεν· «οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ». Τί δέ ἐστιν, «οὐχ ἑαυτῷ ἤρεσεν»; Ἐξῆν αὐτῷ μὴ ὀνειδισθῆναι, ἐξῆν μὴ παθεῖν ἅπερ ἔπαθεν, εἴγε ἤθελε τὸ ἑαυτοῦ σκοπεῖν· ἀλλ' ὅμως οὐκ ἠθέλησεν, ἀλλὰ τὸ ἡμέτερον σκοπήσας, τὸ ἑαυτοῦ παρεῖδε. Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἑαυτὸν ἐκένωσεν; Ὅτι οὐ τοῦτο ἐβούλετο δεῖξαι μόνον, ὅτι ἄνθρωπος γέγονεν, ἀλλ' ὅτι καὶ ὑβρίσθη, καὶ πονηρὰν παρὰ πολλοῖς ἔλαβε δόξαν, ἀσθενὴς εἶναι νομισθείς. «Εἰ γὰρ υἱὸς εἶ», φησί, «τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ»· καί, «ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι».

Διὸ πράγματος ἐμνημόνευσε χρησιμεύοντος αὐτῷ εἰς τὴν παροῦσαν ὑπόθεσιν, καὶ δείκνυσι πολλῷ πλέον οὗ ἐπηγγείλατο. Οὐ γὰρ τὸν Χριστὸν δείκνυσιν ὀνειδισθέντα μόνον, ἀλλὰ καὶ τὸν Πατέρα. «Οἱ ὀνειδισμοὶ γὰρ τῶν ὀνειδιζόντων σε»,φησίν, «ἐπέπεσον ἐπ' ἐμέ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐδὲν συνέβη καινόν, οὐδὲν ξένον. Οἱ γὰρ ἐπὶ τῆς παλαιᾶς μελετήσαντες αὐτὸν ὀνειδίζειν, οὗτοι

2. Β' Κορ.8,9.
3. Ἐφ. 5,25.
4. Ἑβρ. 12,2.
5. Ψαλμ. 68,9.
6. Ματθ. 28,40. 42.

κῶν πραγμάτων ἀμέσως ἐξαφανίζεται, ἐνῶ τῶν πνευματικῶν μένει, ἄν τό κάνεις αὐτό γιά τήν οἰκοδομή του. Γι' αὐτό ἀπ' ὅλους τό ζητάει αὐτό· ὄχι δηλαδή ὁ τάδε καί ὁ τάδε, ἀλλά «ὁ καθένας σας».

Στή συνέχεια, ἐπειδή διέταξε κάτι μεγάλο καί πρόσταξε ν' ἀφήσουν τή δική τους τελειότητα γιά νά διορθώσουν τήν ἀδυναμία τοῦ ἄλλου, πάλι τό Χριστό παρουσιάζει στή μέση λέγοντας· «γιατί καί ὁ Χριστός δέ ζήτησε ἐκεῖνα πού ἦταν ἀρεστά στόν ἑαυτό του», πράγμα πού πάντοτε κάνει. Καθόσον ὅταν μιλοῦσε γιά τήν ἐλεημοσύνη, αὐτόν παρουσίασε λέγοντας· «γνωρίζετε τή γενναιοδωρία τοῦ Κυρίου, γιατί γιά μᾶς ἔγινε φτωχός, ἄν καί ἦταν πλούσιος»[2]. Καί ὅταν προέτρεπε γιά ἀγάπη, ἀπό ἐκεῖ προέτρεψε, λέγοντας· «ὅπως καί ὁ Χριστός ἀγάπησε ἐμᾶς»[3]. Καί ὅταν συμβούλεψε γιά νά ὑπομένουμε τήν αἰσχύνη καί τούς κινδύνους, σ' αὐτόν κατέφυγε, λέγοντας· «ὁ ὁποῖος, ἐξ αἰτίας τῆς χαρᾶς πού τόν ἀνέμενε, ὑπέμεινε σταυρό, περιφρονώντας τήν αἰσχύνη»[4]. Ἔτσι καί ἐδῶ δείχνει ὅτι καί αὐτός τό ἔκανε αὐτό καί ὅτι ὁ προφήτης ἀπό τήν ἀρχή τό προεῖπε. Γι' αὐτό καί πρόσθεσε· «οἱ ὕβρεις τῶν ὑβριστῶν σου ἔπεσαν ἐπάνω μου»[5]. Τί ὅμως σημαίνει, «δέ ζήτησε ἐκεῖνα πού ἦταν ἀρεστά στόν ἑαυτό του»; Ἦταν δυνατό σ' αὐτόν νά μήν ἀτιμασθεῖ, ἦταν δυνατό νά μήν πάθει ἐκεῖνα πού ἔπαθε, ἄν βέβαια ἤθελε νά προσέχει τό δικό του καλό· ἀλλ' ὅμως δέ θέλησε, ἀλλά παρέβλεψε τό δικό του καλό, ἐπειδή πρόσεξε τό δικό μας. Καί γιά ποιό λόγο δέν εἶπε, 'κένωσε τόν ἑαυτό του'; Γιατί δέν ἤθελε νά δείξει αὐτό μόνο, ὅτι δηλαδή ἔγινε ἄνθρωπος, ἀλλ' ὅτι καί ἀτιμάσθηκε καί ἔλαβε ἀπό πολλούς κακή δόξα, ἐπειδή θεωρήθηκε πώς εἶναι ἀνίσχυρος. Γιατί λέγει, «ἐάν εἶσαι Υἱός τοῦ Θεοῦ, κατέβα ἀπό τό σταυρό»· καί, «ἄλλους ἔσωσε, ἀλλά τόν ἑαυτό του δέν μπορεῖ νά τόν σώσει»[6].

Γι' αὐτό ἀνέφερε πράγμα πού τοῦ χρησιμεύει στήν παρούσα ὑπόθεση καί δείχνει πολύ περισσότερο ἀπ' ἐκεῖνο πού ὑποσχέθηκε. Γιατί δέ δείχνει ὅτι ὁ Χριστός ἀτιμάσθηκε μόνο, ἀλλά καί ὁ Πατέρας. «Οἱ ὕβρεις τῶν ὑβριστῶν σου», λέγει, «ἔπεσαν ἐπάνω μου». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· δέ συνέβηκε τίποτε καινούριο, τίποτε παράξενο. Γιατί ἐκεῖνοι πού μελέτησαν νά τόν ἀτιμάζουν

καὶ κατὰ τοῦ παιδὸς ἐμάνησαν. Ταῦτα δὲ ἐγράφη, ἵνα μιμώμεθα. Ἐνταῦθα αὐτοὺς καὶ εἰς πειρασμῶν ὑπομονὴν ἀλείφει λοιπόν. «Ὅσα γὰρ προεγράφη», φησίν, «εἰς διδασκαλίαν ἡμῶν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχωμεν». Τουτέστιν, ἵνα μὴ ἐκπέσωμεν· ποικίλοι γὰρ οἱ ἀγῶνες ἔσωθεν, ἔξωθεν· ἵνα νευρούμενοι καὶ παρακαλούμενοι παρὰ τῶν Γραφῶν, ὑπομονὴν ἐπιδειξώμεθα· ἵνα ἐν ὑπομονῇ ζῶντες, μένωμεν ἐπὶ τῆς ἐλπίδος. Ταῦτα γὰρ ἀλλήλων ἐστὶ κατασκευαστικά, ἡ ὑπομονὴ τῆς ἐλπίδος, ἡ ἐλπὶς τῆς ὑπομονῆς· ἅπερ ἀμφότερα ἀπὸ τῶν Γραφῶν γίνεται.

3. Εἶτα πάλιν εἰς εὐχὴν περιτρέπει τὸν λόγον, λέγων· «ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν». Ἐπειδὴ γὰρ εἶπε τὰ παρ' ἑαυτοῦ, καὶ τὰ ὑποδείγματα ἐπήγαγε τοῦ Χριστοῦ, καὶ τὴν ἀπὸ τῶν Γραφῶν προσέθηκε μαρτυρίαν, δεικνὺς ὅτι μετὰ τῶν Γραφῶν καὶ αὐτὸς πάλιν δίδωσι τὴν ὑπομονήν, διὰ τοῦτο ἔλεγεν, «ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν». Τοῦτο γάρ ἐστιν ἀγάπης, ὃ περὶ ἑαυτοῦ τις φρονεῖ, τοῦτο καὶ περὶ τοῦ ἄλλου. Εἶτα πάλιν δεικνύς, ὅτι οὐχ ἁπλῶς ἀγάπην ζητεῖ, ἐπήγαγε, «κατὰ Χριστὸν Ἰησοῦν»· ὃ πανταχοῦ ποιεῖ, ἐπειδὴ ἔστι καὶ ἑτέρα ἀγάπη. Καὶ τί τὸ κέρδος τῆς συμφωνίας; «Ἵνα ὁμοθυμαδόν», φησίν, «ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Οὐκ εἶπεν ἁπλῶς, «ἐν ἑνὶ στόματι», ἀλλὰ καὶ μιᾷ ψυχῇ τοῦτο ποιεῖν ἐκέλευσεν.

Εἶδες πῶς τὸ σῶμα ἥνωσεν ἅπαν, καὶ πῶς τὸν λόγον κατέκλεισε πάλιν εἰς δοξολογίαν, ὅθεν καὶ ἐνάγει μάλιστα εἰς ὁμόνοιαν καὶ συμφωνίαν; Εἶτα πάλιν ἐντεῦθεν τῆς αὐτῆς παραινέσεως ἔχεται λέγων· «διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς, εἰς δόξαν Θεοῦ». Πάλιν τὸ παράδειγμα ἄνω-

στήν Παλαιά Διαθήκη, αὐτοί ὀργίσθηκαν πάρα πολύ καί ἐναντίον τοῦ Υἱοῦ. Καί αὐτά γράφθηκαν, γιά νά τόν μιμούμαστε. Ἐδῶ τούς προετοιμάζει πλέον καί γιά τήν ὑπομονή στούς πειρασμούς. «Γιατί ὅσα γράφθηκαν πρίν», λέγει, «γράφθηκαν γιά τή διδασκαλία μας, ὥστε μέ τήν ὑπομονή καί τὴν παρηγοριά πού δίνουν οἱ Γραφές νά διατηροῦμε τήν ἐλπίδα». Δηλαδή, γιά νά μήν τή χάσουμε, γιατί ποικίλοι εἶναι οἱ ἀγῶνες ἀπό μέσα καί ἀπ' ἔξω· γιά νά δείξουμε ὑπομονή παίρνοντας ἐνίσχυση καί παρηγοριά ἀπό τίς Γραφές· γιά νά μένουμε στήν ἐλπίδα, ζώντας μέ ὑπομονή. Αὐτά δηλαδή κατασκευάζουν τό ἕνα τό ἄλλο, ἡ ὑπομονή τήν ἐλπίδα, ἡ ἐλπίδα τήν ὑπομονή· αὐτά καί τά δύο προέρχονται ἀπό τίς Γραφές.

3. Ἔπειτα στρέφει τό λόγο πάλι σ' εὐχή, λέγοντας· «καί εἴθε ὁ Θεός τῆς ὑπομονῆς καί τῆς παρηγοριᾶς νά σᾶς δώσει τό ἴδιο φρόνημα μεταξύ σας κατά τό ὑπόδειγμα τοῦ Ἰησοῦ Χριστοῦ». Ἀφοῦ δηλαδή εἶπε τά δικά του, πρόσθεσε καί τό ὑπόδειγμα τοῦ Χριστοῦ καί τή μαρτυρία ἀπό τίς Γραφές, γιά νά δείξει ὅτι μαζί μέ τίς Γραφές καί αὐτός πάλι δίνει τήν ὑπομονή, καί γι' αὐτό ἔλεγε, «καί εἴθε ὁ Θεός τῆς ὑπομονῆς καί τῆς παρηγοριᾶς νά σᾶς δώσει τό ἴδιο φρόνημα μεταξύ σας κατά τό ὑπόδειγμα τοῦ Ἰησοῦ Χριστοῦ». Γιατί αὐτό εἶναι ἀπόδειξη ἀγάπης, ἐκεῖνο πού φρονεῖ κανείς γιά τόν ἑαυτό του, αὐτό νά φρονεῖ καί γιά τόν ἄλλο. Ἔπειτα πάλι γιά νά δείξει, ὅτι δέ ζητάει ἁπλῶς ἀγάπη, πρόσθεσε, «κατά τό ὑπόδειγμα τοῦ Ἰησοῦ Χριστοῦ», πράγμα πού κάνει παντοῦ, ἐπειδή ὑπάρχει καί ἄλλη ἀγάπη. Καί ποιό εἶναι τό κέρδος τῆς ὁμοφροσύνης; «Ὥστε μέ μιά ψυχή», λέγει, «καί μ' ἕνα στόμα νά δοξάζετε τό Θεό καί Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Δέν εἶπε ἁπλῶς, «μ' ἕνα στόμα», ἀλλά πρόσταξε νά τό κάμνουν αὐτό καί «μέ μιά ψυχή».

Εἶδες πῶς ἕνωσε ὁλόκληρο τό σῶμα καί πῶς ἔκλεισε τό λόγο πάλι σέ δοξολογία, μέ τήν ὁποία προτρέπει ὅλως ἰδιαίτερα γιά ὁμόνοια καί ὁμοφροσύνη; Στή συνέχεια πάλι ἔρχεται ἀπό ἐδῶ στήν ἴδια παραίνεση λέγοντας· «γι' αὐτό ὁ ἕνας νά δέχεται τόν ἄλλο, ὅπως σᾶς δέχθηκε καί ὁ Χριστός γιά τή δόξα τοῦ Θεοῦ». Πάλι τό παράδειγμα ἀπό τό Θεό καί τό κέρδος ἀνέκφραστο, γιατί ἡ ὁμοφωνία

θεν, καὶ τὸ κέρδος ἄφατον· μάλιστα γὰρ τὸν Θεὸν τοῦτο δοξάζει τὸ συμπεφράχθαι. Ὥστε κἂν ἀλγῶν ὑπὲρ αὐτοῦ διαστασιάζῃς πρὸς τὸν ἀδελφόν, ἐννοήσας ὅτι καταλύσας τὴν ὀργὴν τὸν δεσπότην σου δοξάζεις, κἂν μὴ διὰ τὸν ἀδελφόν, δι' αὐτὸ γοῦν τοῦτο καταλλάγηθι· μᾶλλον δὲ διὰ τοῦτο πρῶτον. Καὶ γὰρ ὁ Χριστὸς τοῦτο ἄνω καὶ κάτω στρέφει, καὶ τῷ Πατρὶ διαλεγόμενος ἔλεγεν· «ἐν τούτῳ γνώσονται πάντες, ὅτι σύ με ἀπέστειλας, ἐὰν ὦσιν ἕν».

4. *Πειθώμεθα τοίνυν, καὶ συνάπτωμεν ἑαυτοὺς ἀλλήλοις. Ἐνταῦθα γὰρ οὐκέτι τοὺς ἀσθενεῖς, ἀλλὰ πάντας διεγείρει. Κἂν βούληταί τις ἀπορραγῆναί σου, μὴ σὺ ἀπορραγῇς, μηδὲ τὸ ψυχρὸν ἐκεῖνο φθέγξῃ ῥῆμα, ἐὰν φιλῇ με, φιλῶ· ἐὰν μὴ φιλῇ με ὁ ὀφθαλμὸς ὁ δεξιός, ἐξορύττω αὐτόν. Σατανικὰ γὰρ ταῦτα τὰ ῥήματα, καὶ τελωνῶν ἄξια, καὶ τῆς Ἑλλήνων μικροψυχίας. Σὺ δὲ ὁ πρὸς μείζονα κληθεὶς πολιτείαν καὶ εἰς τοὺς οὐρανοὺς ἐγγραφείς, μειζόνων ὑπεύθυνος εἶ νόμων. Μὴ δὴ λέγε ταῦτα, ἀλλ' ὅταν σε μὴ βούληται φιλεῖν, τότε πλείονα ἐπιδείκνυσο τὴν ἀγάπην, ἵνα αὐτὸν ἐπισπάσῃ. Καὶ γὰρ μέλος ἐστί· τὸ δὲ μέλος ὅταν ὑπό τινος ἀνάγκης ἀποσχίζηται τοῦ λοιποῦ σώματος, πάντα ποιοῦμεν ὥστε ἑνῶσαι πάλιν αὐτό, καὶ πλείονα πρόνοιαν ἐπιδεικνύμεθα τότε. Καὶ γὰρ πλείων ὁ μισθός, ὅταν μὴ βουλόμενον φιλεῖν ἐφελκύσῃ. Εἰ γὰρ ἐπὶ ἀρίστου κελεύει καλεῖν τοὺς μὴ δυναμένους ἡμῖν ἀντιδοῦναι, ἵνα αὐξηθῇ τὰ τῆς ἀντιδόσεως· πολλῷ μᾶλλον ἐπὶ φιλίας τοῦτο δεῖ ποιεῖν. Ὁ μὲν γὰρ φιλούμενος καὶ φιλῶν ἀπέδωκέ σοι τὴν ἀμοιβήν, ὁ δὲ φιλούμενος καὶ μὴ φιλῶν, τὸν Θεὸν ἀνθ' ἑαυτοῦ σοι χρεώστην κατέστησε. Καὶ χωρὶς δὲ τούτων, ὅταν μὲν φιλῇ σε, οὐ πολλῆς δεῖται τῆς σπουδῆς, ὅταν δὲ μὴ φιλῇ, τότε σου χρείαν ἔχει τῆς ἀντιλήψεως.*

Μὴ τοίνυν τὴν αἰτίαν τῆς σπουδῆς αἰτίαν ποιοῦ ῥᾳθυμίας, μηδὲ λέγε, ἐπειδὴ νοσεῖ, διὰ τοῦτο αὐτοῦ ἀμελῶ· καὶ γὰρ νόσος ἐστὶν ἡ κατάψυξις τῆς ἀγάπης· ἀλλὰ σὺ θέρμανον τὸ καταψυχθέν.

---

7. Ἰω. 17,21.

αὐτή δοξάζει πάρα πολύ τό Θεό. Ἐπομένως καί ἄν ἀκόμη διαφωνεῖς μέ τόν ἀδελφό σου, ἐπειδή λυπᾶσαι γι' αὐτόν, ἀφοῦ κατανοήσεις ὅτι δοξάζεις τόν Κύριό σου, ὅταν σταματήσεις τὴν ὀργή, ἄν ὄχι γιά τόν ἀδελφό σου, τουλάχιστον γι' αὐτό ἀκριβῶς νά συμφιλιωθεῖς, ἤ καλύτερα, πρῶτα γι' αὐτό. Καθόσον ὁ Χριστός αὐτό παντοῦ ἀναφέρει, καί, συνομιλώντας μέ τόν Πατέρα, ἔλεγε· «ἀπ' αὐτό θά γνωρίσουν ὅλοι, ὅτι ἐσύ μ' ἔστειλες, ἄν εἶναι ἕνα»[7].

4. Ἄς ὑπακοῦμε λοιπόν καί ἄς εἴμαστε ἑνωμένοι μεταξύ μας. Γιατί ἐδῶ ἡ προτροπή δέν ἀπευθύνεται πρός τούς ἀδυνάτους, ἀλλά πρός ὅλους. Καί ἄν ἀκόμη θέλει κανείς νά χωρισθεῖ ἀπό σένα, ἐσύ νά μή χωρισθεῖς, οὔτε νά πεῖς τόν ψυχρό ἐκεῖνο λόγο, 'ἄν μ' ἀγαπάει, τόν ἀγαπῶ'· 'ἄν δέ μ' ἀγαπάει τό δεξί μάτι μου, τό βγάζω'. Γιατί τά λόγια αὐτά εἶναι σατανικά καί ἁρμόζουν στούς τελῶνες καί στή μικροψυχία τῶν εἰδωλολατρῶν. Ἐσύ ὅμως, πού κλήθηκες γιά μεγαλύτερη πολιτεία καί γράφθηκες πολίτης στούς οὐρανούς, εἶσαι ὑπεύθυνος γιά μεγαλύτερους νόμους. Νά μή λές λοιπόν αὐτά τά λόγια, ἀλλ' ὅταν δέ θέλει νά σ' ἀγαπάει, τότε νά δείχνεις μεγαλύτερη τήν ἀγάπη σου, γιά νά τόν προσελκύσεις. Καθόσον εἶναι μέλος καί, ὅταν τό μέλος ἀπό κάποια ἀνάγκη χωρίζεται ἀπό τό ὑπόλοιπο σῶμα, κάνουμε τά πάντα γιά νά τό ἑνώσουμε πάλι καί δείχνουμε τότε μεγαλύτερη φροντίδα. Γιατί καί ὁ μισθός εἶναι περισσότερος, ὅταν κανείς προσελκύει κάποιον πού δέ θέλει ν' ἀγαπάει. Ἐάν λοιπόν προστάζει νά προσκαλοῦμε σέ γεῦμα ἐκείνους πού δέν μποροῦν νά μᾶς τό ἀνταποδώσουν, γιά ν' αὐξηθοῦν ὅσα προέρχονται ἀπό τήν ἀνταπόδοση, πολύ περισσότερο πρέπει νά τό κάνουμε αὐτό στήν περίπτωση τῆς ἀγάπης. Γιατί ἐκεῖνος πού ἀγαπιέται καί ἀγαπάει σοῦ ἀπέδωσε τήν ἀμοιβή, ἐνῶ ἐκεῖνος πού ἀγαπιέται καί δέν ἀγαπάει, ἔκαμε χρεώστη σου τό Θεό ἀντί γιά τόν ἑαυτό του. Ἀλλά καί ἐκτός ἀπ' αὐτά, ὅταν σέ ἀγαπάει δέ χρειάζεται πολλή φροντίδα, ὅταν ὅμως δέ σ' ἀγαπάει, τότε χρειάζεται τή βοήθειά σου.

Νά μήν κάνεις λοιπόν τήν αἰτία τῆς φροντίδας αἰτία ραθυμίας, οὔτε νά λές, ἐπειδή εἶναι ἄρρωστος, γι' αὐτό τόν παραμελῶ. Καθόσον ἀρρώστια εἶναι ἡ κατάψυξη τῆς ἀγάπης, ἀλλά σύ θέρμανε ἐκεῖ-

Τί οὖν ἂν μὴ θερμαίνηται, φησί; Μένε τὰ σαυτοῦ ποιῶν. Τί οὖν ἂν μειζόνως διαστρέφηται; Πάλιν μείζονά σοι τὴν ἀντίδοσιν προξενεῖ, καὶ τοσούτῳ μᾶλλον δείκνυσι τοῦ Χριστοῦ μιμητήν. Εἰ γὰρ τὸ ἀγαπᾶν ἀλλήλους, γνώρισμα μαθητῶν, «ἐν τούτῳ γὰρ γνώσονται», φησίν, «πάντες, ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους», τὸ τὸν μισοῦντα φιλεῖν, ἐννόησον ἡλίκον. Καὶ γὰρ ὁ δεσπότης σου μισοῦντας ἐφίλει καὶ παρεκάλει· καὶ ὅσῳ ἀσθενεῖς ἦσαν, τοσούτῳ μᾶλλον αὐτῶν ἐπεμελεῖτο, καὶ ἐβόα λέγων, «οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες»· καὶ τραπέζης ἠξίου τῆς αὐτῆς τελώνας καὶ ἁμαρτωλούς· καὶ ὅσην αὐτὸν ἠτίμασαν ἀτιμίαν ὁ τῶν Ἰουδαίων δῆμος, τοσαύτην περὶ αὐτοὺς ἐπεδείξατο τιμὴν καὶ κηδεμονίαν, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. Τοῦτον καὶ σὺ ζήλωσον. Οὐδὲ γὰρ μικρόν ἐστι τὸ κατορθούμενον, ἀλλ' οὗ χωρὶς οὐδὲ ὁ μαρτυρῶν Θεῷ σφόδρα δύναται ἀρέσαι, καθὼς ὁ Παῦλός φησι.

Μὴ τοίνυν λέγε, ὅτι μισοῦμαι, καὶ διὰ τοῦτο οὐ φιλῶ· διὰ γὰρ τοῦτο μάλιστα φιλεῖν ὀφείλεις. Ἄλλως δὲ οὐδὲ ἔνι φιλοῦντα μισεῖσθαι ταχέως, ἀλλὰ κἂν θηρίον ᾖ τις, τοὺς φιλοῦντας φιλεῖ· «τοῦτο γὰρ καὶ οἱ ἐθνικοί», φησί, «καὶ οἱ τελῶναι ποιοῦσιν». Εἰ δὲ τοὺς φιλοῦντας ἕκαστος φιλεῖ, τοὺς μετὰ τοῦ μισεῖσθαι φιλοῦντας τίς οὐκ ἂν ἀγαπήσειε; Τοῦτο τοίνυν ἐπίδειξαι, καὶ μὴ παύσῃ λέγων τουτὶ τὸ ῥῆμα, ὅτι ὅσῳ ἂν μισῇς, οὐ παύσομαί σε φιλῶν, καὶ πᾶσαν φιλονεικίαν ἐχάλασας, πᾶσαν ψῦξιν ἐξέβαλες. Ἢ γὰρ ἀπὸ φλεγμονῆς γίνεται τὸ νόσημα τοῦτο, ἢ ἀπὸ ψυχρότητος· ἀλλ' ἀμφότερα τῆς ἀγάπης ἡ δύναμις διορθοῦν εἴωθε τῇ θερμότητι. Οὐχ ὁρᾷς τοὺς αἰσχρῶς ἐρῶντας ῥαπιζομένους, ἐμπτυομένους, ὀνειδιζομένους, μυρία πάσχοντας δεινὰ ὑπὸ τῶν πορνευομένων γυναικῶν

---

8. Ἰω. 13,35.
9. Ματθ. 9,12.
10. Ματθ. 5,46.

νο πού ἔπαθε κατάψυξη. Τί λοιπόν θά κάνω, λέγει, ἄν δέ θερμαίνεται; Ἐπίμενε νά κάνεις ἐκεῖνο πού ἐξαρτᾶται ἀπό σένα. Τί λοιπόν ἄν διαστρέφεται περισσότερο; Πάλι σοῦ προξενεῖ μεγαλύτερη τήν ἀνταπόδοση καί τόσο περισσότερο σέ ἀποδεικνύει μιμητή τοῦ Χριστοῦ. Γιατί, ἄν τό νά ἔχουμε ἀγάπη μεταξύ μας εἶναι γνώρισμα μαθητῶν (γιατί λέγει, «ἀπ' αὐτό θά γνωρίσουν ὅλοι ὅτι εἶστε μαθητές μου, ἄν δηλαδή ἔχετε ἀγάπη μεταξύ σας»[8]), τό ν' ἀγαποῦμε ἐκεῖνον πού μᾶς μισεῖ, σκέψου πόσο μεγάλο θά εἶναι. Γιατί καί ὁ Κύριός σου ἀγαποῦσε καί παρηγοροῦσε ἐκείνους πού τόν μισοῦσαν, καί ὅσο πιό ἀσθενεῖς ἦταν, τόσο περισσότερο φρόντιζε γι' αὐτούς καί διακήρυττε λέγοντας, «δέν ἔχουν ἀνάγκη ἀπό ἰατρό οἱ ὑγιεῖς, ἀλλ' οἱ ἀσθενεῖς»[9], καί θεωροῦσε ἄξιους γιά τό ἴδιο τραπέζι τούς τελῶνες καί τούς ἁμαρτωλούς· καί ὅσο τόν ἀτίμασαν οἱ Ἰουδαῖοι, τόση τιμή καί φροντίδα ἔδειξε γι' αὐτούς, ἤ καλύτερα καί πολύ περισσότερη. Αὐτόν νά μιμηθεῖς καί σύ. Οὔτε βέβαια εἶναι μικρό τό κατόρθωμα, ἀλλά χωρίς αὐτό οὔτε ἐκεῖνος πού μαρτυρεῖ μπορεῖ νά γίνει πάρα πολύ ἀρεστός στό Θεό, ὅπως λέγει ὁ Παῦλος.

Μή λέγεις λοιπόν, ὅτι μέ μισοῦν, καί γι' αὐτό δέν ἀγαπῶ, γιατί γι' αὐτό πρό πάντων πρέπει ν' ἀγαπᾶς. Ἄλλωστε οὔτε εἶναι δυνατό ὅταν ἀγαπᾶς νά μισεῖσαι ἀμέσως, ἀλλά καί ἄν ἀκόμη εἶναι θηρίο κανείς, ἀγαπάει ἐκείνους πού τόν ἀγαποῦν. «Γιατί τό ἴδιο», λέγει, «κάνουν καί οἱ ἐθνικοί καί οἱ τελῶνες»[10]. Ἐάν ὅμως ὁ καθένας ἀγαπάει ἐκείνους πού ἀγαποῦν, ποιός δέ θ' ἀγαπήσει ἐκείνους πού τή στιγμή πού μισοῦνται ἀγαποῦν; Αὐτό λοιπόν νά δείξεις καί νά μή σταματήσεις νά λέγεις αὐτόν ἐδῶ τό λόγο, ὅτι δηλαδή ὅσο καί ἄν μέ μισεῖς, δέ θά σταματήσω νά σ' ἀγαπῶ, καί σταμάτησες κάθε φιλονεικία, ἀπομάκρυνες κάθε ψυχρότητα. Γιατί ἤ ἀπό φλεγμονή προέρχεται ἡ ἀρρώστια αὐτή ἤ ἀπό ψυχρότητα, ἀλλά συνήθως καί τά δύο ἡ δύναμη τῆς ἀγάπης τά διορθώνει μέ τή θερμότητα. Δέ βλέπεις ὅτι ἐκεῖνοι πού ἀγαποῦν αἰσχρά ραπίζονται, φτύονται, βρίζονται, παθαίνουν ἄπειρα κακά ἀπό τίς γυναῖκες ἐκεῖνες πού εἶναι

ἐκείνων; Τί οὖν; Ἐξέλυσε τούτων τὸν ἔρωτα τὰ τῶν ὕβρεων; Οὐδαμῶς, ἀλλὰ καὶ μᾶλλον ἀνῆψε. Καίτοιγε αἱ μὲν ταῦτα ποιοῦσαι μετὰ τοῦ πορνεύεσθαι καὶ ἀσήμου γένους εἰσὶ καὶ εὐτελοῦς, οἱ δὲ πάσχοντες πολλάκις λαμπροὺς ἔχουσι προγόνους ἀριθμεῖν, καὶ πολλὴν ἄλλην περιφάνειαν λέγειν· ἀλλ' ὅμως οὐδὲν τούτων αὐτοὺς ἐκλύει, οὐδὲ ἀφίστησι τῆς ἐρωμένης.

Εἶτα οὐκ αἰσχυνόμεθα, ὅσην ὁ τοῦ διαβόλου καὶ τῶν δαιμόνων ἔρως ἰσχὺν ἔχει, ταύτην οὐ δυνάμενοι περὶ τὴν κατὰ Θεὸν δεῖξαι φιλίαν; Οὐκ ἐννοεῖς, ὅτι τοῦτο μέγιστόν ἐστιν ὅπλον κατὰ τοῦ διαβόλου; οὐ συνορᾷς, ὅτι παρέστηκεν ὁ πονηρὸς δαίμων ἐκεῖνος, ἕλκων πρὸς ἑαυτὸν τὸν μισούμενον, καὶ βουλόμενος πλεονεκτῆσαι τὸ μέλος; σὺ δὲ παρατρέχεις καὶ τὸ ἔπαθλον προδίδως τῆς μάχης; Καὶ γὰρ ἔπαθλον ὁ ἀδελφὸς ἐν τῷ μέσῳ κεῖται· κἂν περιγένῃ, σὺ τὸν στέφανον ἔλαβες, ἂν δὲ ῥᾳθυμήσῃς, ἀστεφάνωτος ἀνεχώρησας. Παῦσαι τοίνυν τὸ σατανικὸν ἐκεῖνο φθεγγόμενος ῥῆμα, ὅτι ἐὰν ὁ ὀφθαλμός μου μισῇ με, οὐδὲ ἰδεῖν αὐτὸν δύναμαι. Οὐδὲν γὰρ αἰσχρότερον τοῦ ῥήματος τούτου, καίτοιγε εὐγενοῦς αὐτὸ ψυχῆς εἶναι δεῖγμα τίθενται οἱ πολλοί· ἀλλ' οὐδὲν τούτου δυσγενέστερον, οὐδὲν ἀνοητότερον, οὐδὲν μωρότερον. Διὸ δὴ μάλιστα καὶ πενθῶ, ὅτι τὰ τῆς κακίας ἀρετῆς εἶναι νομίζεται, καὶ τὸ ὑπερορᾶν καὶ καταφρονεῖν, λαμπρὸν ἔδοξεν εἶναι καὶ σεμνόν· ὅπερ μεγίστη παγίς ἐστι τοῦ διαβόλου, τὸ καὶ ἀγαθὴν περιτιθέναι δόξαν τῇ πονηρίᾳ· διὸ καὶ δυσεξάλειπτος γίνεται. Καὶ γὰρ πολλῶν ἔγωγε ἤκουσα σεμνυνομένων ἐπὶ τῷ μὴ προσίεσθαι τοὺς ἀποστρεφομένους αὐτούς· καίτοιγε ὁ δεσπότης σου καὶ ἐγκαλλωπίζεται τούτῳ.

Ποσάκις γοῦν αὐτὸν διέπτυσαν ἄνθρωποι; ποσάκις ἀπεστράφησαν; αὐτὸς δὲ οὐ παύεται ἐπιτρέχων. Μὴ τοίνυν λέγε, ὅτι οὐ δύ-

πόρνες; Τί λοιπόν; τερμάτισαν τόν ἔρωτά τους οἱ ὕβρεις; Καθόλου, ἀλλά καί περισσότερο τόν ἄναψαν. Ἄν καί βέβαια ἐκεῖνες πού τά κάνουν αὐτά μαζί μέ τήν πορνεία τους κατάγονται καί ἀπό ἄσημο καί ἀσήμαντο γένος, ἐνῶ αὐτοί πού τά παθαίνουν πολλές φορές μποροῦν ν' ἀπαριθμοῦν λαμπρούς προγόνους καί νά περιβάλλονται ἀπό πολλή ἄλλη ἐπισημότητα, ἀλλά τίποτε ἀπ' αὐτά δέν τούς σταματάει, οὔτε τούς ἀπομακρύνει ἀπό τήν ἐρωμένη τους.

Ἔπειτα δέν ντρεπόμαστε, ὅση δύναμη ἔχει ὁ ἔρωτας τοῦ διαβόλου καί τῶν δαιμόνων, νά μήν μποροῦμε νά τή δείξουμε γιά τήν ἀγάπη πού εἶναι σύμφωνη μέ τό θέλημα τοῦ Θεοῦ; Δέν καταλαβαίνεις, ὅτι αὐτό εἶναι πάρα πολύ μεγάλο ὅπλο ἐναντίον τοῦ διαβόλου; δέ βλέπεις ὅτι εἶναι παρών ὁ πονηρός ἐκεῖνος δαίμονας, τραβώντας πρός τόν ἑαυτό του ἐκεῖνον πού μισεῖται καί θέλοντας νά ἁρπάξει τό μέλος, ἐνῶ ἐσύ ἀδιαφορεῖς καί παραδίνεις τό ἔπαθλο τῆς μάχης; Καθόσον ὁ ἀδελφός βρίσκεται στή μέση σάν ἔπαθλο· καί ἄν νικήσεις, ἐσύ ἔλαβες τό στεφάνι, ἄν ὅμως ἀδιαφορήσεις, ἔφυγες ἀστεφάνωτος. Σταμάτησε λοιπόν νά λέγεις τόν σατανικό ἐκεῖνο λόγο, ὅτι 'ἄν μέ μισεῖ τό μάτι μου, δέν μπορῶ οὔτε νά τό δῶ'. Γιατί τίποτε δέν εἶναι πιό αἰσχρό ἀπό τό λόγο αὐτόν, παρ' ὅλο βέβαια πού οἱ περισσότεροι τόν θεωροῦν ἀπόδειξη εὐγενικῆς ψυχῆς· ἀλλά τίποτε δέν εἶναι πιό χυδαῖο ἀπ' αὐτόν, τίποτε πιό ἀνόητο, τίποτε πιό μωρό. Γι' αὐτό πρό πάντων καί πενθῶ, ἐπειδή τά πράγματα τῆς κακίας θεωροῦνται πώς εἶναι τῆς ἀρετῆς, καί ἡ καταφρόνηση καί περιφρόνηση φάνηκε πώς εἶναι πράγμα λαμπρό καί σεμνό, πράγμα πού εἶναι πάρα πολύ μεγάλη παγίδα τοῦ διαβόλου, τό νά περιβάλλει μέ ἀγαθή δόξα τήν κακία· γι' αὐτό καί δύσκολα ἐξαλείφεται. Καθόσον καί ἐγώ ἄκουσα πολλούς νά καυχιοῦνται γιά τό ὅτι δέν θέλουν νά πλησιάσουν ἐκείνους πού τούς ἀποστρέφονται, ἄν καί βέβαια ὁ Κύριός σου καί χαίρεται νά τό κάμνει αὐτό.

Πόσες φορές λοιπόν τόν περιφρόνησαν οἱ ἄνθρωποι; πόσες φορές τόν ἀποστράφηκαν; αὐτός ὅμως δέ σταματάει νά τρέχει κοντά τους. Μή λέγεις λοιπόν, ὅτι δέν μπορῶ νά πλησιάσω ἐκείνους

ναμαι προσίεσθαι τοὺς μισοῦντας, ἀλλ' εἰπέ, ὅτι οὐ δύναμαι διαπτύσαι τοὺς διαπτύοντας. Τοῦτο τοῦ μαθητοῦ τοῦ Χριστοῦ τὸ ρῆμα, ὡς τό γε ἕτερον τοῦ διαβόλου· τοῦτο λαμπροὺς ποιεῖ καὶ ἐνδόξους, ὡς τό γε ἕτερον αἰσχροὺς καὶ καταγελάστους. Διὰ τοῦτο θαυμάζομεν Μωϋσέα, ὅτι καὶ τοῦ Θεοῦ λέγοντος, «ἔασόν με, καὶ θυμωθεὶς ἐκτρίψω αὐτούς», οὐκ ἠδυνήθη διαπτύσαι τοὺς πολλάκις αὐτὸν ἀποστραφέντας, ἀλλ' ἔλεγεν, «εἰ μὲν ἀφῇ αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ κἀμὲ ἐξάλειψον». Θεοῦ γὰρ ἦν φίλος καὶ μιμητής. Μὴ δὴ σεμνυνώμεθα ἐφ' οἷς ἐγκαλύπτεσθαι δεῖ, μηδὲ λέγωμεν τὰ τῶν ἀγοραίων τούτων καὶ σεσυρμένων ἀνθρώπων, οἶδα καταπτύσαι μυρίων· ἀλλὰ κἂν ἕτερος λέγῃ, καταγελῶμεν καὶ ἐπιστομίζωμεν, ὅτι καλλωπίζεται ἐφ' οἷς αἰσχύνεσθαι ἔδει.

Τί λέγεις, εἰπέ μοι; Καταπτύεις ἀνθρώπου πιστοῦ, οὗ ἀπίστου ὄντος οὐ κατέπτυσεν ὁ Χριστός; Τί λέγω, οὐ κατέπτυσεν; Οὕτω μὲν οὖν αὐτὸν ἐφίλησεν αἰσχρὸν ὄντα καὶ δυσειδῆ, ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ. Εἶτα αὐτὸς μὲν οὕτως ἐφίλησε καὶ τοιοῦτον ὄντα, σὺ δὲ νῦν, ὅτε ὡραῖος ἐγένετο καὶ θαυμαστός, διαπτύεις, εἰπέ μοι, μέλος ὄντα Χριστοῦ, καὶ σῶμα γενόμενον δεσποτικόν; Οὐκ ἐννοεῖς τί φθέγγῃ; οὐκ αἰσθάνῃ οἷα τολμᾷς; Κεφαλὴν ἔχει τὸν Χριστόν, καὶ τράπεζαν, καὶ ἱμάτιον, καὶ ζωήν, καὶ φῶς, καὶ νυμφίον, καὶ πάντα ἐστὶν ἐκεῖνος αὐτῷ, καὶ τολμᾷς εἰπεῖν, ὅτι διαπτύω τοῦτον; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μυρίους ἑτέρους μετ' αὐτοῦ; Ἐπίσχες, ἄνθρωπε, παῦσαι τῆς μανίας· ἐπίγνωθι τὸν ἀδελφόν· μάθε ὅτι ἀνοίας ταῦτα τὰ ρήματα καὶ παραπληξίας, καὶ λέγε τἀναν-

11. Ἐξ. 32,9.

πού μέ μισοῦν, ἀλλά πές, ὅτι δέν μπορῶ νά περιφρονήσω ἐκείνους πού μέ περιφρονοῦν. Αὐτός ὁ λόγος εἶναι τοῦ μαθητῆ τοῦ Χριστοῦ, ἐνῶ ὁ ἄλλος τοῦ διαβόλου· αὐτός κάνει τούς ἀνθρώπους λαμπρούς καί ἔνδοξους, ἐνῶ ὁ ἄλλος αἰσχρούς καί καταγέλαστους. Γι' αὐτό θαυμάζουμε τό Μωϋσῆ, γιατί καί ὅταν ἀκόμη ὁ Θεός ἔλεγε, «ἄφησέ με νά τούς καταστρέψω πάνω στήν ὀργή μου»[11], δέν μπόρεσε νά περιφρονήσει ἐκείνους πού πολλές φορές τόν ἀποστράφηκαν, ἀλλ' ἔλεγε, «ἐάν λοιπόν συγχωρήσεις τήν ἁμαρτία τους, συγχώρεσέ τους· διαφορετικά ἐξάλειψε καί μένα μαζί τους»[12]. Γιατί ἦταν φίλος καί μιμητής τοῦ Θεοῦ. Ἄς μήν καυχιόμαστε λοιπόν γιά ἐκεῖνα πού πρέπει νά αἰσθανόμαστε ντροπή, οὔτε νά λέμε τά λόγια αὐτῶν τῶν χυδαίων καί πρόστυχων ἀνθρώπων τῆς ἀγορᾶς, 'εἶμαι σέ θέση νά φτύσω στά πρόσωπα ἄπειρων ἀνθρώπων', ἀλλά καί ἄν ἀκόμη ἄλλος τά λέγει, ἄς τόν περιγελοῦμε καί ἄς τόν ἀποστομώνουμε, γιατί ὑπερηφανεύεται γιά ἐκεῖνα πού ἔπρεπε νά ντρέπεται.

Τί λέγεις; πές μου· φτύνεις στό πρόσωπο ἀνθρώπου πιστοῦ, τόν ὁποῖο καί ὅταν ἦταν ἄπιστος δέν τόν ἔφτυσε ὁ Χριστός; Τί λέγω δέν τόν ἔφτυσε; Τόσο λοιπόν τόν ἀγάπησε, παρ' ὅλο πού ἦταν αἰσχρός καί ἄσχημος, ὥστε καί νά πεθάνει γιά τή σωτηρία του. Ἔπειτα, αὐτός τόσο τόν ἀγάπησε ἄν καί ἦταν τέτοιος, ἐνῶ ἐσύ τώρα πού ἔγινε ὡραῖος καί θαυμαστός τόν περιφρονεῖς, πές μου, ἐνῶ εἶναι μέλος τοῦ Χριστοῦ καί ἔγινε σῶμα τοῦ Κυρίου; Δέν καταλαβαίνεις τί λέγεις; δέν αἰσθάνεσαι αὐτά πού τολμᾶς; Κεφαλή ἔχει τό Χριστό καί τραπέζι καί ἔνδυμα καί ζωή καί φῶς καί νυμφίο καί ὅλα εἶναι ἐκεῖνος σ' αὐτόν, καί τολμᾶς νά πεῖς, ὅτι φτύνω αὐτόν; καί ὄχι μόνο αὐτό, ἀλλά καί χίλιους ἄλλους μαζί μ' αὐτόν; Στάσου, ἄνθρωπε, σταμάτησε τή μανία σου, ἀναγνώρισε τήν ἀξία τοῦ ἀδελφοῦ σου, μάθε ὅτι αὐτά τά λόγια εἶναι ἀπόδειξη ἀνοησίας καί παραφροσύνης καί λέγε τά ἀντίθετα, ὅτι καί ἄν ἀκόμη μέ φτύνει ἄπειρες φο-

12. Ἐξ. 32,32.

τία, ὅτι κἂν μυριάκις με διαπτύῃ, ἐγὼ οὐκ ἀποστήσομαι. Οὕτω καὶ τὸν ἀδελφὸν κερδανεῖς, καὶ εἰς δόξαν τοῦ Θεοῦ βιώσῃ, καὶ τῶν μελλόντων μεθέξεις ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ρές ἐγώ δέ θ' ἀπομακρυνθῶ ἀπ' αὐτόν. Ἔτσι καί τόν ἀδελφό θά κερδίσεις καί θά ζήσεις γιά τή δόξα τοῦ Θεοῦ καί θά συμμετάσχεις στά μελλοντικά ἀγαθά, τά ὁποῖα εἴθε ὅλοι μας νά ἐπιτύχουμε, μέ τή χάρη καί φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καί πάντοτε καί στούς αἰῶνες. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΘ'

(Ρωμ. 15,8–13)

«Λέγω δὲ Χριστὸν Ἰησοῦν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων».

1. Πάλιν περὶ τῆς τοῦ Χριστοῦ κηδεμονίας ἡμῖν διαλέγεται ἔτι τοῦ αὐτοῦ κεφαλαίου ἐχόμενος, καὶ δεικνὺς ὅσα ἐποίησεν ὑπὲρ ἡμῶν, καὶ ὅπως οὐχ ἑαυτῷ ἤρεσε. Καὶ μετὰ τούτου κἀκεῖνο κατασκευάζει, ὅτι μειζόνων εἰσί, οἱ ἐξ ἐθνῶν ὀφειλέται τῷ Θεῷ. Εἰ δὲ μειζόνων εἰσίν, δίκαιοι ἂν εἶεν φέρειν τοὺς ἀσθενεῖς τοὺς ἐξ Ἰουδαίων. Ἐπειδὴ γὰρ σφόδρα ἐκείνων καθήψατο, ἵνα μὴ τούτους ἐπάρῃ τοῦτο, καταστέλλει πάλιν αὐτῶν τὴν ἀπόνοιαν, ἐκείνοις μὲν ἐξ ἐπαγγελίας πατέρων δεικνὺς διδόμενα τὰ ἀγαθά, τοῖς δὲ ἐξ ἐθνῶν, ἐξ ἐλέους καὶ φιλανθρωπίας μόνης. Διὸ καὶ ἔλεγε· «τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν». Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, αὐτῶν πάλιν ἄξιον ἀκοῦσαι τῶν ῥημάτων, ἵνα μάθῃς τί ἐστι τὸ «ὑπὲρ ἀληθείας Θεοῦ γεγενῆσθαι τὸν Χριστὸν διάκονον περιτομῆς, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων».

Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; Ἐπαγγελία πρὸς τὸν Ἀβραὰμ ἦν γεγενημένη ἡ λέγουσα· «σοὶ δώσω τὴν γῆν καὶ τῷ σπέρματί σου, καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη».

ΟΜΙΛΙΑ ΚΘ'

(Ρωμ. 15,8-13)

«Μ' αὐτά πού λέγω, ἐννοῶ, ὅτι ὁ Ἰησοῦς Χριστός ἔχει γίνει ὑπηρέτης τῶν Ἰσραηλιτῶν, γιά νά φανεῖ ἡ ἀλήθεια τοῦ Θεοῦ καί νά πραγματοποιηθοῦν οἱ ὑποσχέσεις πού δόθηκαν στούς πατέρες».

1. Πάλι μᾶς μιλάει γιά τή φροντίδα τοῦ Χριστοῦ, συνεχίζοντας ἀκόμη τό ἴδιο κεφάλαιο καί δείχνοντας πόσα ἔκαμε γιά μᾶς καί πῶς δέ ζήτησε ἐκεῖνα πού ἦταν ἀρεστά στόν ἑαυτό του. Καί μαζί μ' αὐτό ἀποδεικνύει καί ἐκεῖνο, ὅτι οἱ προερχόμενοι ἀπό τά ἔθνη ὀφείλουν στό Θεό περισσότερα. Ἐάν ὅμως ὀφείλουν περισσότερα, θά ἦταν δίκαιο νά βαστάζουν τούς ἀσθενεῖς πού προέρχονται ἀπό τούς Ἰουδαίους. Ἐπειδή λοιπόν τούς κατηγόρησε ἐκείνους πάρα πολύ, γιά νά μήν τούς κάνει αὐτό νά ὑπερηφανευθοῦν, συγκρατεῖ πάλι τήν ἀλαζονεία τους, δείχνοντας ὅτι τά ἀγαθά δίνονται σ' ἐκείνους ἀπό τίς ὑποσχέσεις πού δόθηκαν στούς πατέρες τους, ἐνῶ σ' αὐτούς πού προέρχονται ἀπό τά ἔθνη δίνονται ἀπό εὐσπλαχνία καί φιλανθρωπία μόνο. Γι' αὐτό καί ἔλεγε· «τά ἔθνη ὅμως νά δοξάσουν τό Θεό γιά τήν εὐσπλαχνία του». Γιά νά γίνει ὅμως σαφέστερο τό λεγόμενο, ἀξίζει πάλι ν' ἀκούσεις αὐτά τά λόγια, γιά νά μάθεις τί σημαίνει τό «ὁ Χριστός ἔγινε ὑπηρέτης τῆς περιτομῆς, γιά νά φανεῖ ἡ ἀλήθεια τοῦ Θεοῦ καί νά πραγματοποιηθοῦν οἱ ὑποσχέσεις πού δόθηκαν στούς πατέρες».

Τί λοιπόν σημαίνει αὐτό πού λέχθηκε; Στόν Ἀβραάμ εἶχε δοθεῖ ὑπόσχεση, πού ἔλεγε· «σέ σένα καί στούς ἀπογόνους σου θά δώσω τή χώρα, καί μ' ἕναν ἀπό τούς ἀπογόνους σου θά εὐλογηθοῦν

Ἀλλ' ἐγένοντο κολάσεως ὑπεύθυνοι μετὰ ταῦτα οἱ τοῦ σπέρματος τοῦ Ἀβραὰμ ἅπαντες. Ὁ γὰρ νόμος ὀργὴν αὐτοῖς κατειργάζετο παραβαινόμενος, καὶ τῆς ἐπαγγελίας ἀπεστέρει λοιπὸν ἐκείνης τῆς τῶν πατέρων. Παραγενόμενος τοίνυν ὁ Υἱὸς συνέπραξε τῷ Πατρί, εἰς τὸ τὰς ἐπαγγελίας ἐκείνας ἀληθεῦσαι καὶ εἰς τέλος ἐξελθεῖν. Πάντα γὰρ τὸν νόμον πληρώσας, ἐν ᾧ καὶ περιτομήν, καὶ ταύτῃ καὶ διὰ τοῦ σταυροῦ τῆς κατάρας ἀπαλλάξας τῆς ἐπὶ τῇ παραβάσει, οὐκ ἀφῆκε διαπεσεῖν τὴν ἐπαγγελίαν. Ὅταν οὖν λέγῃ, «διάκονον περιτομῆς», τοῦτο λέγει, ὅτι ἐλθών, καὶ πάντα τὸν νόμον ὠσας, καὶ περιτμηθείς, καὶ γενόμενος σπέρμα τοῦ Ἀβραάμ, ἔλυσε τὴν κατάραν, ἔπαυσε τοῦ Θεοῦ τὴν ὀργήν, ἐπιτηδείους λοιπὸν ἐποίησε τοὺς μέλλοντας δέχεσθαι τὴν ἐπαγγελίαν, ἅπαξ ἀπαλλαγέντας τοῦ προσκεκρουκέναι.

Ἵν' οὖν μὴ λέγωσιν οὗτοι οἱ ἐγκαλούμενοι, πῶς οὖν ὁ Χριστὸς περιετέμνετο, καὶ πάντα ἐφύλαττε τὸν νόμον; εἰς τοὐναντίον αὐτὸ περιτρέπει. Οὐ γὰρ ἵνα μένῃ ὁ νόμος, τοῦτο ἐποίησε, φησίν, ἀλλ' ἵνα αὐτὸν λύσῃ, καὶ σὲ ἀπαλλάξῃ τῆς ἐκείνου κατάρας, καὶ ἐλευθερώσῃ καθόλου τῆς ἀρχῆς τῆς ἐκείνου. Ἐπειδὴ γὰρ σὺ παρέβης τὸν νόμον, διὰ τοῦτο ἐκεῖνος ἐπλήρωσεν, οὐχ ἵνα σὺ πληρώσῃς, ἀλλ' ἵνα σοι τὰς ἐπαγγελίας βεβαιώσῃ τὰς πρὸς τοὺς πατέρας, ἃς ὁ νόμος διαπεσεῖν ἐποίει, δεικνύς σε προσκεκρουκότα καὶ τῆς κληρονομίας ὄντα ἀνάξιον. Ὥστε καὶ σὺ κατὰ χάριν ἐσώθης· καὶ γὰρ ἀποβεβλημένος ἦς. Μὴ τοίνυν στασίαζε, μηδὲ φιλονείκει ἀντεχόμενος ἀκαίρως τοῦ νόμου, ὅς καὶ τῆς ἐπαγγελίας ἐξέβαλεν ἄν, εἰ μὴ τοσαῦτα ἔπαθεν ὑπὲρ σοῦ ὁ Χριστός. Ἔπαθε δὲ ταῦτα, οὐκ ἐπειδὴ σὺ ἄξιος σωτηρίας ἦς, ἀλλ' ὥστε ἀληθεῦσαι τὸν Θεόν.

2. *Εἶτα, ἵνα μὴ τοῦτο φυσήσῃ τὸν ἐξ ἐθνῶν, φησί· «τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν». Ὁ δὲ λέγει, τοῦτό ἐστιν· οἱ μὲν ἐξ Ἰουδαίων κἂν ἐπαγγελίας εἶχον, εἰ καὶ ἀνάξιοι ἦσαν, σὺ δὲ οὐδὲ*

1. Γεν. 12,7 · 22,18.

ὅλα τά ἔθνη»[1]. Ἀλλ᾽ οἱ ἀπόγονοι τοῦ Ἀβραάμ ὅλοι ἔγιναν ὕστερα ὑπεύθυνοι γιά τιμωρία. Γιατί ὁ νόμος, ὅταν τόν παρέβαιναν, προκαλοῦσε ἐναντίον τους ὀργή καί τούς στεροῦσε στό ἑξῆς ἐκείνη τήν ὑπόσχεση πού δόθηκε στούς πατέρες τους. Ὅταν λοιπόν ἦρθε ὁ Υἱός συνέπραξε μέ τόν Πατέρα γιά ν᾽ ἀποδειχθοῦν ἀληθινές καί νά πραγματοποιηθοῦν οἱ ὑποσχέσεις ἐκεῖνες. Γιατί, ἀφοῦ ἐκπλήρωσε ὅλο τό νόμο, μαζί μέ τόν ὁποῖο καί τήν περιτομή, καί ἀφοῦ μέ τόν τρόπο αὐτόν καί μέ τό σταυρό του τούς ἀπάλλαξε ἀπό τήν κατάρα γιά τήν παράβαση τοῦ νόμου, δέν ἄφησε νά φανεῖ ψεύτικη ἡ ὑπόσχεση. Ὅταν λοιπόν λέγει, «διάκονος τῆς περιτομῆς», αὐτό ἐννοεῖ, ὅτι δηλαδή, ἀφοῦ ἦρθε καί ἐκπλήρωσε ὅλο τό νόμο καί περιτμήθηκε καί ἔγινε ἀπόγονος τοῦ Ἀβραάμ, ἔλυσε τήν κατάρα, σταμάτησε τήν ὀργή τοῦ Θεοῦ, ἔκαμε στό ἑξῆς ἱκανούς ἐκείνους πού ἐπρόκειτο νά δεχθοῦν τήν ὑπόσχεση, ἀφοῦ ἀπαλλάχθηκαν μιά γιά πάντα ἀπό τήν ἐχθρότητά τους πρός τό Θεό.

Γιά νά μή λέγουν λοιπόν ἐκεῖνοι πού κατηγοροῦνταν, πῶς λοιπόν περιτμήθηκε ὁ Χριστός καί τηροῦσε ὅλο τό νόμο; τό στρέφει αὐτό στό ἀντίθετο. Δέν ἔκαμε λοιπόν αὐτό, λέγει, γιά νά μένει ὁ νόμος, ἀλλά γιά νά τόν λύσει καί νά σέ ἀπαλλάξει ἀπό τήν κατάρα του καί νά σέ ἐλευθερώσει τελείως ἀπό τήν ἐξουσία του. Ἐπειδή λοιπόν ἐσύ παρέβηκες τό νόμο, γι᾽ αὐτό τόν ἐκπλήρωσε ἐκεῖνος, ὄχι γιά νά τόν ἐκπληρώσεις ἐσύ, ἀλλά γιά νά πραγματοποιήσει σέ σένα τίς ὑποσχέσεις πού δόθηκαν στούς πατέρες σου, τίς ὁποῖες ὁ νόμος ἔκανε νά φανοῦν ψεύτικες, δείχνοντας ὅτι ἔχεις γίνει ἐχθρός καί ὅτι εἶσαι ἀνάξιος γιά τήν κληρονομία. Ἐπομένως καί σύ σώθηκες ἀπό χάρη, καθόσον ἤσουν ἀπορριμμένος. Μή στασιάζεις λοιπόν, οὔτε νά φιλονεικεῖς, ἐπειδή προσηλώνεσαι ἄσκοπα στό νόμο, ὁ ὁποῖος καί τήν ὑπόσχεση θά σοῦ στεροῦσε, ἄν δέν πάθαινε τόσα πολλά γιά σένα ὁ Χριστός. Καί τά ἔπαθε αὐτά, ὄχι γιατί εἶσαι ἄξιος γιά σωτηρία, ἀλλά γιά νά ἐπαληθευθεῖ ὁ Θεός.

2. Στή συνέχεια, γιά νά μή φουσκώσει αὐτό ἐκεῖνον πού προέρχεται ἀπό τά ἔθνη, λέγει· «τά ἔθνη ὅμως νά δοξάσουν τό Θεό γιά τήν εὐσπλαχνία του πρός αὐτά». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς·

τοῦτο, ἀλλ' ἀπὸ φιλανθρωπίας ἐσώθης μόνης. Εἰ καὶ τὰ μάλιστα οὐδὲ ἐκείνοις τι πλέον ἐγένετο ἀπὸ τῆς ἐπαγγελίας, εἰ μὴ παρεγένετο ὁ Χριστός· ἀλλ' ὅμως ἵνα αὐτοὺς κεράσῃ, καὶ μὴ συγχωρήσῃ κατεξανίστασθαι τῶν ἀσθενῶν, μέμνηται τῶν ἐπαγγελιῶν. Περὶ δὲ τούτων φησίν, ὅτι ἐλέῳ ἐσώθησαν μόνον. Διὸ καὶ δίκαιοι ἂν εἶεν μάλιστα δοξάζειν τὸν Θεόν. Δόξα δὲ Θεοῦ, τὸ συνῆφθαι, τὸ ἡνῶσθαι, τὸ ὁμοθυμαδὸν εὐφημεῖν, τὸ βαστάζειν τὸν ἀσθενέστερον, τὸ μὴ περιορᾶν ἀπορρηγνύμενον τὸ μέλος. Εἶτα καὶ μαρτυρίας ἐπάγει, ἐν αἷς δείκνυσιν, ὅτι δεῖ συνῆφθαι τὸν ἐξ Ἰουδαίων τοῖς ἐξ ἐθνῶν, οὕτω λέγων· «καθὼς γέγραπται· διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ»· καί, «εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ»· καί, «αἰνεῖτε πάντα τὰ ἔθνη τὸν κύριον, καὶ ἐπαινεσάτωσαν αὐτὸν πάντες οἱ λαοί»· καί, «ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι».

Ταῦτα δὲ πάντα παρήγαγε, δεικνὺς ὅτι δεῖ ἡνῶσθαι καὶ δοξάζειν τὸν Θεόν, ὁμοῦ καὶ τὸν ἐξ Ἰουδαίων καταστέλλων, ἵνα μὴ ἐπαίρηται κατὰ τούτου, τῶν προφητῶν πάντων τούτους καλούντων, καὶ τὸν ἐξ ἐθνῶν πείθων μετριάζειν, τῷ δεῖξαι πλείονος ὑπεύθυνον ὄντα χάριτος. Εἶτα πάλιν ἐπὶ εὐχὴν κατακλείει τὸν λόγον, λέγων· «ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ἐν τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος ἁγίου». Τουτέστιν, ἀπαλλαγείητε τῆς πρὸς ἀλλήλους ἀθυμίας, καὶ μη καταβληθείητέ ποτε ὑπὸ τῶν πειρασμῶν· τοῦτο δὲ ἔσται ἐν τῷ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι. Τὸ γὰρ πάντων αἴτιον τῶν ἀγαθῶν τοῦτο. Τοῦτο δὲ ἀπὸ Πνεύματος ἔσται ἁγίου. Ἀλλ' οὐχ ἁπλῶς ἀπὸ Πνεύματος, ἀλλ' ἐὰν καὶ τὰ παρ' ἡμῶν εἰσενέγκωμεν. Διὰ τοῦτό φησιν, «ἐν τῷ πιστεύειν»· οὕτω

οἱ προερχόμενοι ἀπό τούς Ἰουδαίους εἶχαν τουλάχιστο ὑποσχέσεις, ἔστω καί ἄν ἦταν ἀνάξιοι, ἐσύ ὅμως οὔτε αὐτό εἶχες, ἀλλ' ἀπό φιλανθρωπία σώθηκες μόνο. Ἄν καί βέβαια οὔτε σ' ἐκείνους γινόταν κάτι περισσότερο ἀπό τήν ὑπόσχεση, ἄν δέ ἐρχόταν ὁ Χριστός. Ἀλλ' ὅμως γιά νά τούς ἀναμείξει αὐτούς καί νά μήν τούς ἐπιτρέψει νά ἐξεγείρονται ἐναντίον τῶν ἀσθενῶν, θυμᾶται τίς ὑποσχέσεις. Καί γι' αὐτούς λέγει, ὅτι σώθηκαν μόνο ἀπό εὐσπλαγχνία. Γι' αὐτό καί θά ἦταν δίκαιο πάρα πολύ νά δοξάζουν τό Θεό. Δόξα ὅμως τοῦ Θεοῦ εἶναι τό νά εἴμαστε στενά συνδεδεμένοι, τό νά εἴμαστε ἑνωμένοι, τό νά δοξάζουμε τό Θεό ὁμόφωνα, τό νά βαστάζουμε τόν πιό ἀδύνατο, τό νά μήν περιφρονοῦμε τό μέλος μας, ὅταν ἀποκόβεται. Ἔπειτα προσθέτει καί μαρτυρίες, μέ τίς ὁποῖες δείχνει, ὅτι πρέπει νά ἑνωθεῖ ὁ προερχόμενος ἀπό τούς Ἰουδαίους μέ τούς προερχομένους ἀπό τά ἔθνη, λέγοντας αὐτά· «ὅπως εἶναι γραμμένο· Γι' αὐτό θά σέ δοξάζω, Κύριε, μεταξύ τῶν ἐθνῶν καί θά ψάλλω στό ὄνομά σου· καί, χαρῆτε ἔθνη μαζί μέ τό λαό του· καί, Δοξολογεῖτε τόν Κύριο ὅλα τά ἔθνη καί ἄς τόν ὑμνήσουν ὅλοι οἱ λαοί· καί, θά ἔρθει ἡ ρίζα τοῦ Ἰεσσαί καί ἐκεῖνος πού θά ἐμφανισθεῖ θά εἶναι ἄρχοντας τῶν ἐθνῶν καί σ' αὐτόν τά ἔθνη θά στηρίξουν τίς ἐλπίδες τους».

Ὅλα αὐτά ὅμως τά ἀνέφερε, γιά νά δείξει ὅτι πρέπει νά εἴμαστε ἑνωμένοι καί νά δοξάζομε τό Θεό, συγχρόνως καί γιά νά συγκρατήσει τόν προερχόμενο ἀπό τούς Ἰουδαίους, νά μήν ὑπερηφανεύεται ἐναντίον αὐτοῦ, ἀφοῦ ὅλοι οἱ προφῆτες τούς καλοῦν, καί γιά νά πείσει τόν προερχόμενο ἀπό τά ἔθνη νά εἶναι μετριόφρονας, μέ τό νά δείξει πώς εἶναι ὑπεύθυνος γιά περισσότερη χάρη. Ἔπειτα πάλι σ' εὐχή καταλήγει τό λόγο, λέγοντας· «εἴθε ὁ Θεός τῆς ἐλπίδας νά σᾶς γεμίσει μέ κάθε χαρά καί εἰρήνη, πού προέρχονται ἀπό τήν πίστη, ὥστε νά ἔχετε ἄφθονη τήν ἐλπίδα μέ τή δύναμη τοῦ ἁγίου Πνεύματος». Δηλαδή, εἴθε ν' ἀπαλλαγεῖτε ἀπό τή μεταξύ σας λύπη καί νά μήν καταβληθεῖτε ποτέ ἀπό τούς πειρασμούς· καί αὐτό θά συμβεῖ ὅταν θά ἔχετε ἄφθονη τήν ἐλπίδα. Γιατί τό αἴτιο ὅλων τῶν ἀγαθῶν εἶναι αὐτό. Καί αὐτό θά γίνει ἀπό τό ἅγιο Πνεῦμα. Ἀλλ' ὄχι ἁπλῶς ἀπό τό ἅγιο Πνεῦμα, ἀλλ' ἄν καί ἐμεῖς εἰσφέρουμε

γὰρ δύνασθε πληρωθῆναι χαρᾶς, ἐὰν πιστεύητε, ἐὰν ἐλπίζητε. Ἀλλ' οὐκ εἶπεν, ἐὰν ἐλπίζητε, ἀλλ' «ἐὰν περισσεύητε ἐν τῇ ἐλπίδι», ὥστε μὴ μόνον παραμυθίαν εὑρεῖν τῶν δεινῶν, ἀλλὰ καὶ χαρὰν ἔχειν διὰ τὴν περιουσίαν τῆς πίστεως καὶ τῆς ἐλπίδος. Οὕτω καὶ τὸ Πνεῦμα ἐπισπάσεσθε· οὕτω καὶ ἐκείνου παραγενομένου, τὰ ἀγαθὰ διατηρήσετε πάντα.

3. Καθάπερ γὰρ τὴν ζωὴν ἡμῶν ἡ τροφὴ διακρατεῖ, καὶ ταύτῃ τὸ σῶμα οἰκονομεῖ, οὕτως ἐὰν ἔχωμεν ἔργα ἀγαθά, τὸ Πνεῦμα ἕξομεν· κἂν τὸ Πνεῦμα σχῶμεν, καὶ ἔργα ἕξομεν ἀγαθά· ὥσπερ οὖν καὶ τοὐναντίον, ἐὰν μὴ ἔργα ἔχωμεν, τὸ Πνεῦμα ἀφίπταται· ἐὰν δὲ τοῦ Πνεύματος ἐρημωθῶμεν, καὶ περὶ τὰ ἔργα χωλεύσομεν. Ὅταν γὰρ τοῦτο ἀπέλθῃ, τὸ ἀκάθαρτον ἔρχεται· καὶ δῆλον ἀπὸ τοῦ Σαούλ. Τί γάρ, εἰ μὴ πνίγει ἡμᾶς ὥσπερ ἐκεῖνον; Ἀλλ' ἑτέρως ἀπαγχονίζει διὰ πράξεων πονηρῶν. Δεῖ τοίνυν ἡμῖν τῆς κιθάρας τοῦ Δαυΐδ, ἵνα ἐπᾴδωμεν τῇ ψυχῇ τὰς θείας ἐπῳδάς, καὶ τὰς ἐντεῦθεν καὶ τὰς ἀπὸ τῶν ἀγαθῶν πράξεων· ὡς ἂν θάτερον μόνον ποιῶμεν, καὶ τῆς ᾠδῆς ἀκούοντες, τῷ ταῦτα ἐπᾴδοντι πολεμῶμεν διὰ τῶν ἔργων, καθάπερ ἐκεῖνος τότε· καὶ εἰς κρίμα ἡμῖν ἔσται τὸ φάρμακον, καὶ ἀγριωτέρα ἡ μανία γενήσεται. Πρὸ μὲν γὰρ τοῦ ἀκοῦσαι, δέδοικεν ὁ πονηρὸς δαίμων, μήποτε ἀκούσαντες κατορθώσωμεν, ὅταν δὲ καὶ ἀκούσαντες οἱ αὐτοὶ μένωμεν, καὶ τοῦτο ἐξαιρεῖται τὸ δέος αὐτοῦ.

Ψάλλωμεν τοίνυν τὴν ἀπὸ τῶν πράξεων ᾠδήν, ἵνα τὴν δαίμονος χαλεπωτέραν ἐκβάλωμεν ἁμαρτίαν. Δαίμων μὲν γὰρ οὐ πάντως ἀποστερεῖ τῶν οὐρανῶν, ἀλλ' ἔστιν ὅπου καὶ συμπράττει τῷ νήφοντι· ἁμαρτία δὲ πάντως ἐκβάλλει. Δαίμων γάρ ἐστιν ἑκούσιος αὕτη, καὶ μανία αὐθαίρετος· διόπερ οὐδὲ τοὺς ἐλεοῦντας ἔχει καὶ συγγινώσκοντας. Ἐπᾴδωμεν τοίνυν τῇ οὕτω διακειμένῃ ψυχῇ καὶ ἀπὸ τῶν ἄλλων Γραφῶν, καὶ ἀπὸ τοῦ μακαρίου Δαυΐδ· καὶ ψαλλέ-

τά δικά μας. Γι' αὐτό λέγει, «πού προέρχεται ἀπό τήν πίστη», γιατί ἔτσι μπορεῖτε νά γεμίσετε μέ χαρά, ἄν πιστεύετε, ἄν ἐλπίζετε. Ἀλλά δέν εἶπε, 'ἄν ἐλπίζετε', ἀλλά «ἄν ἔχετε ἄφθονη τήν ἐλπίδα», ὥστε νά μή βρεῖτε μόνο παρηγοριά τῶν δεινῶν, ἀλλά καί χαρά νά ἔχετε ἐξ αἰτίας τῆς ἀφθονίας τῆς πίστεως καί τῆς ἐλπίδας. Ἔτσι καί τό ἅγιο Πνεῦμα θά προσελκύσετε· ἔτσι, καί ὅταν ἔρθει ἐκεῖνος, θά διατηρήσετε ὅλα τά ἀγαθά.

3. Ὅπως ἀκριβῶς λοιπόν ἡ τροφή διατηρεῖ τή ζωή μας καί μέ τόν τρόπο αὐτό συγκρατεῖ τό σῶμα, ἔτσι ἄν ἔχουμε ἔργα ἀγαθά, θά ἔχουμε τό ἅγιο Πνεῦμα, καί ἄν ἀποκτήσουμε τό ἅγιο Πνεῦμα, θά ἔχουμε καί ἔργα ἀγαθά· ὅπως ἀκριβῶς βέβαια συμβαίνει τό ἀντίθετο, ἄν δέν ἔχουμε ἔργα, τό Πνεῦμα ἐξαφανίζεται, καί ἄν στερηθοῦμε τό Πνεῦμα, θά εἴμαστε ἐλλιπεῖς ἀπό ἔργα. Γιατί ὅταν αὐτό φύγει, ἔρχεται τό ἀκάθαρτο πνεῦμα· καί αὐτό εἶναι φανερό ἀπό τό Σαούλ. Γαιτί τί καί ἄν δέ μᾶς πνίγει ὅπως ἐκεῖνον; Ἀλλά μᾶς ἀπαγχονίζει διαφορετικά μέ πράξεις κακές. Μᾶς χρειάζεται λοιπόν ἡ κιθάρα τοῦ Δαβίδ, γιά νά ψάλλουμε πρός τήν ψυχή τίς θεῖες ἐπωδές, καί ἐκεῖνες πού προέρχονται ἀπό ἐδῶ καί ἐκεῖνες πού προέρχονται ἀπό τίς ἀγαθές πράξεις· ἐνῶ ἄν κάνουμε τό ἕνα μόνο ἀπό τά δύο, ἔστω καί ἄν ἀκοῦμε τήν ᾠδή, μέ τίς πράξεις πολεμοῦμε ἐκεῖνον πού ψάλλει αὐτά, ὅπως ἀκριβῶς ἐκεῖνος τότε, καί τό φάρμακο θ' ἀποβεῖ σέ καταδίκη μας καί ἡ μανία θά γίνει πιό ἄγρια. Γιατί προτοῦ ἀκούσουμε φοβᾶται ὁ πονηρός δαίμονας, μήπως ἀκούοντας κατορθώσουμε ἔργα ἀγαθά, ἐνῶ ὅταν μένουμε οἱ ἴδιοι, παρ' ὅλο πού ἀκούσαμε, ἐξαφανίζεται καί ὁ φόβος του αὐτός.

Ἄς ψάλλουμε λοιπόν τήν ᾠδή πού προέρχεται ἀπό τίς πράξεις, γιά ν' ἀπομακρύνουμε τήν πιό φοβερή ἀπό τό δαίμονα ἁμαρτία. Ὁ δαίμονας βέβαια δέ μᾶς στερεῖ ὁπωσδήποτε τούς οὐρανούς, ἀλλά πολλές φορές καί συμπράττει ἀκόμη μέ τόν νηφάλιο, ἐνῶ ἡ ἁμαρτία ὁπωσδήποτε ἀπομακρύνει. Γιατί αὐτή εἶναι δαίμονας ἑκούσιος καί μανία αὐθαίρετη· γι' αὐτό ἀκριβῶς δέ γνωρίζει οὔτε ἐκείνους πού ἐλεοῦν καί πού συγχωροῦν. Ἄς ψάλλουμε λοιπόν πρός τήν ψυχή πού ἔχει τέτοια διάθεση, καί ἀπό τίς ἄλλες Γραφές καί ἀπό τό μα-

τω τὸ στόμα καὶ παιδευέσθω ὁ νοῦς. Οὐκ ἔστιν οὐδὲ αὐτὸ τοῦτο μικρόν. Ἂν γὰρ παιδεύσωμεν τὴν γλῶτταν ψάλλειν, αἰσχυνθήσεται ἡ ψυχὴ ταύτης ψαλλούσης τἀναντία βουλευομένη. Οὐ τοῦτο δὲ μόνον καρπωσόμεθα τὸ καλόν, ἀλλ' ὅτι καὶ πολλὰ εἰσόμεθα τῶν ἡμῖν διαφερόντων. Καὶ γὰρ καὶ περὶ τῶν παρόντων καὶ τῶν μελλόντων σοι διαλέγεται, καὶ περὶ τῶν ὁρωμένων, καὶ περὶ τῆς ἀοράτου κτίσεως.

Κἂν περὶ οὐρανοῦ θέλῃς μαθεῖν, πότερον μένει τοιοῦτος ἢ μεταβάλλεται, σαφῶς ἀποκρίνεταί σοι καὶ ἐρεῖ, ὅτι «οἱ οὐρανοί ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς ὁ Θεός, καὶ ἀλλαγήσονται». Καὶ περὶ τοῦ σχήματος ἂν ἐθέλῃς ἀκοῦσαι, ἀκούσῃ πάλιν· «ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν». Κἂν περὶ τῶν νώτων αὐτοῦ βουληθῇς τί πλέον εἰδέναι, ἐρεῖ σοι πάλιν· «ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ». Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ περὶ τοῦ πλάτους καὶ τοῦ ὕψους σοι διαλέγεται, δεικνὺς ταῦτα ἰσόμετρα ὄντα. «Καθ' ὅσον γάρ», φησίν, «ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν». Κἂν τῆς γῆς τὰ θεμέλια περιεργάσῃ, οὐδὲ ταῦτά σε ἀποκρύψει, ἀλλ' ἀκούσῃ ψάλλοντος αὐτοῦ καὶ λέγοντος, ὅτι «ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν». Κἂν περὶ τῶν σεισμῶν θέλῃς μαθεῖν πόθεν γίνονται, ἀπαλλάξει σε πάσης ἀπορίας, οὕτω λέγων· «ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν». Κἂν τῆς νυκτὸς ζητῇς τὴν χρείαν, καὶ ταύτην εἴσῃ παρ' αὐτοῦ μαθών, ὅτι «ἐν αὐτῇ διελεύσεται πάντα τὰ θηρία τοῦ δρυμοῦ».

Καὶ τὰ ὄρη ποῦ χρήσιμα, ἀποκρίνεταί σοι· «ὄρη τὰ ὑψηλὰ τοῖς ἐλάφοις». Καὶ διὰ τί αἱ πέτραι; «Πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις». Διὰ τί τὰ ἄκαρπα δένδρα; «Ἐκεῖ στρουθία ἐννοσσεύσουσι». Διὰ τί ἐν ἐρήμοις πηγαί; «Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ

---

2. Ψαλμ. 101,27.
3. Ψαλμ. 103,2.
4. Ψαλμ. 103,3.
5. Ψαλμ. 102,12. 11.
6. Ψαλμ. 23,2.
7. Ψαλμ. 103,32.

κάριο Δαβίδ· καί ἄς ψάλλει τό στόμα καί ἄς διδάσκεται ὁ νοῦς. Δέν εἶναι αὐτό τό πράγμα μικρό. Γιατί ἄν διδάξουμε τή γλώσσα νά ψάλλει, θά ντρέπεται ἡ ψυχή, ὅταν αὐτή ψάλλει, ν' ἀποφασίζει τά ἀντίθετα. Καί ὄχι μόνο θά κερδίσουμε αὐτό τό καλό, ἀλλ' ὅτι θά γνωρίσουμε καί πολλά ἀπό ἐκεῖνα πού μᾶς ἐνδιαφέρουν. Καθόσον σοῦ μιλάει καί γιά τά παρόντα καί γιά τά μελλοντικά, καί γιά τά ὁρατά καί γιά τήν ἀόρατη κτίση.

Καί ἄν θέλεις νά μάθεις γιά τόν οὐρανό, ποιό ἀπό τά δύο, παραμένει τέτοιος ἤ μεταβάλλεται, σοῦ ἀπαντάει καθαρά καί λέγει, «οἱ οὐρανοί θά παλιώσουν σάν ἔνδυμα καί σάν πανωφόρι θά τούς γυρίσεις, Θεέ, καί θ' ἀλλάξουν»[2]. Καί ἄν θέλεις ν' ἀκούσεις γιά τό σχῆμα του, θ' ἀκούσεις πάλι· «ἐσύ ἁπλώνεις τόν οὐρανό σάν δερμάτινο κάλυμμα»[3]. Καί ἄν θελήσεις νά γνωρίσεις κάτι περισσότερο γιά τό ἐπάνω μέρος του, θά σοῦ πεῖ πάλι· «ἐσύ στεγάζεις τά ἀνώτερα στρώματα τοῦ οὐρανοῦ μέ νερά»[4]. Καί δέ σταματάει ἐδῶ, ἀλλά σοῦ μιλάει καί γιά τό πλάτος καί τό ὕψος του, δείχνοντας πώς αὐτά ἔχουν τό ἴδιο μέγεθος. Γιατί λέγει, «ὅσο ἀπέχει ἡ ἀνατολή ἀπό τή δύση, τόσο ἀπομάκρυνε ὁ Θεός τίς ἁμαρτίες μας ἀπό μᾶς. Ὅσο εἶναι τό ὕψος τοῦ οὐρανοῦ ἀπό τή γῆ, τόσο μεγάλο εἶναι τό ἔλεός του σ' ἐκείνους πού τόν φοβοῦνται»[5]. Καί ἄν ἔχεις περιέργεια γιά τά θεμέλια τῆς γῆς, οὔτε αὐτά θά σοῦ ἀποκρύψει, ἀλλά θά τόν ἀκούσεις νά ψάλλει καί νά λέγει, «ἐπάνω στίς θάλασσες θεμελίωσες τή γῆ»[6]. Καί ἄν θέλεις νά μάθεις γιά τούς σεισμούς ἀπό ποιά αἰτία γίνονται, θά σ' ἀπαλλάξει ἀπό κάθε ἀπορία, λέγοντας ἔτσι· «ὅταν βλέπεις στή γῆ τήν κάνεις νά τρέμει»[7]. Καί ἄν ζητᾶς τήν ἀνάγκη τῆς νύχτας, καί αὐτή θά τή γνωρίσεις μαθαίνοντας ἀπ' αὐτόν, ὅτι «στή διάρκεια τῆς νύχτας θά τριγυρίζουν ὅλα τά ἄγρια ζῶα τοῦ δάσους»[8].

Καί ποῦ εἶναι χρήσιμα τά βουνά, σοῦ ἀπαντάει· «τά ψηλά βουνά ὅρισε ὁ Θεός γιά τά ἐλάφια»[9]. Γιατί ὑπάρχουν τά ἄκαρπα δένδρα; «Ἐκεῖ οἱ μικροί σπουργίτες θά κάνουν τίς φωλιές τους»[10]. Γιατί ὑπάρχουν πηγές στίς ἐρήμους; «Ἐπάνω στά δένδρα, πού φυτρώνουν κοντά στά νερά, θά κτίζουν τίς φωλιές τους τά πτηνά τοῦ οὐρανοῦ, καί τά νερά αὐτά θά ποτίζουν τά θηρία τῆς ὑπαίθρου»[11]. Για-

8. Ψαλμ. 103,20.
9. Ψαλμ. 103,18.
10. Ψαλμ. 103,17.
11. Ψαλμ. 103.12. 11.

κατασκηνώσει, καὶ τὰ θηρία τοῦ ἀγροῦ». Διὰ τί οἶνος; Οὐχ ἵνα πίνῃς μόνον, ἐπεὶ ἤρκει καὶ ἡ τοῦ ὕδατος φύσις, ἀλλ' ἵνα καὶ ἡσθῇς· «οἶνος γὰρ εὐφραίνει καρδίαν ἀνθρώπου». Τοῦτο δὲ μαθών, εἴσῃ καὶ μέχρι ποῦ τῷ οἴνῳ χρῆσθαι δεῖ. Πόθεν τρέφεται τὰ πετεινὰ καὶ τὰ ἄγρια θηρία; Ἀκούσῃ λέγοντος· «πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον». Κἂν εἴπῃς, διὰ τί τὰ κτήνη; ἀποκρίνεταί σοι, ὅτι καὶ ταῦτα διὰ σέ· «ὁ ἐξανατέλλων γάρ», φησί, «χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων». Τίς τῆς σελήνης ἡ χρεία; Ἄκουσον αὐτοῦ λέγοντος· «ἐποίησε σελήνην εἰς καιρούς». Καὶ ὅτι γενητὰ πάντα τὰ ὁρώμενα καὶ τὰ μὴ ὁρώμενα, καὶ τοῦτο σαφῶς ἐδίδαξεν εἰπών· «αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν».

Καὶ ὅτι θανάτου λύσις ἔσται, καὶ τοῦτο διδάσκει λέγων· «ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με». Πόθεν τὸ σῶμα ἡμῶν γέγονε; Καὶ τοῦτο λέγει· «ἐμνήσθη ὅτι χοῦς ἐσμεν». Ποῦ πάλιν ἀπέρχεται; «Ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ». Διὰ τί ταῦτα πάντα; Διὰ σέ. «Δόξῃ γὰρ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου». Ἔχομέν τι κοινὸν πρὸς τοὺς ἀγγέλους οἱ ἄνθρωποι; Καὶ τοῦτο λέγει ψάλλων οὕτως· «ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους». Περὶ τῆς ἀγάπης τοῦ Θεοῦ· «καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν». Περὶ τῶν μετὰ ταῦτα διαδεξομένων ἡμᾶς, καὶ τῆς ἀταράχου λήξεως ἐκείνης· «ἐπίστρεψον», φησί, «ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου». Διὰ τί οὕτω μέγας ὁ οὐρανός; Καὶ τοῦτο ἐρεῖ· ὅτι «οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ». Διὰ τί νὺξ καὶ ἡμέρα ἐγένετο; Οὐχ ἵνα φαίνωσι καὶ ἀναπαύωσι μόνον, ἀλλ' ἵνα καὶ παιδεύωσιν. «Οὐ γάρ εἰσι λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν». Πῶς ἡ θάλασσα περίκειται τῇ γῇ;

12. Ψαλμ. 103,15.
13. Ψαλμ. 103,27.
14. Ψαλμ. 103,14.
15. Ψαλμ. 103,19.
16. Ψαλμ. 32,9.
17. Ψαλμ. 48,16.
18. Ψαλμ. 102,14.
19. Ψαλμ. 103,29.
20. Ψαλμ. 8,6. 7.

τί τό κρασί; Ὄχι γιά νά πίνεις μόνο, ἐπειδή ἦταν ἀρκετό καί τό νερό, ἀλλά καί γιά νά εὐφραίνεσαι· «τό κρασί εὐφραίνει τήν καρδιά τοῦ ἀνθρώπου»[12]. Καί ὅταν μάθεις αὐτό, θά ξέρεις καί μέχρι ποιό σημεῖο πρέπει νά χρησιμοποιεῖς τό κρασί. Ἀπό ποῦ τρέφονται τά πτηνά καί τά ἄγρια θηρία; Θ' ἀκούσεις νά λέγει· «ὅλα ἀπό σένα περιμένουν νά δώσεις τήν τροφή τους στήν κατάλληλη ὥρα»[13]. Καί ἄν ἐρωτήσεις, γιατί τά κατοικίδια ζῶα; σοῦ ἀπαντάει, ὅτι καί αὐτά γιά σένα ἔγιναν. Γιατί λέγει, «ὁ Θεός εἶναι πού βλασταίνει χορτάρι γιά τά κατοικίδια ζῶα καί χλόη γιά τήν ἐξυπηρέτηση τῶν ἀνθρώπων»[14]. Ποιά εἶναι ἡ ἀνάγκη τῆς σελήνης; Ἄκουσέ τον νά λέγει· «δημιούργησε τή σελήνη γιά νά προσδιορίζει τίς ἐποχές»[15]. Καί ὅτι ὅλα τά ὁρατά καί τά ἀόρατα εἶναι γενητά, καί αὐτό τό δίδαξε καθαρά λέγοντας· «αὐτός εἶπε, καί ἔγιναν· αὐτός ἔδωσε ἐντολή καί κτίσθηκαν»[16].

Καί ὅτι θά ὑπάρξει ἀπαλλαγή ἀπό τό θάνατο, καί αὐτό τό διδάσκει λέγοντας· «ὁ Θεός θά ἐλευθερώσει τήν ψυχή μου ἀπό τήν ἐξουσία τοῦ ἅδη, ὅταν θά μέ πάρει ἀπό τήν παροῦσα ζωή»[17]. Ἀπό ποῦ ἔγινε τό σῶμα μας; καί αὐτό τό λέγει· «θυμήθηκε ὅτι εἴμαστε χῶμα»[18]. Ποῦ πηγαίνει πάλι; «Θά ἐπιστρέψει στό χῶμα, ἀπό τό ὁποῖο δημιουργήθηκε»[19]. Γιατί ὅλα αὐτά; Γιά σένα. «Μέ δόξα καί τιμή στεφάνωσες τόν ἄνθρωπο καί τόν τοποθέτησες ἐπάνω στά ἔργα τῶν χεριῶν σου»[20]. Ἔχουμε ἐμεῖς οἱ ἄνθρωποι κάτι κοινό μέ τούς ἀγγέλους; Καί αὐτό τό λέγει ψάλλοντας ἔτσι· «τόν δημιούργησες λίγο κατώτερο ἀπό τούς ἀγγέλους». Γιά τήν ἀγάπη τοῦ Θεοῦ λέγει· «ὅπως εὐσπλαχνίζεται ὁ πατέρας τά παιδιά του, ἔτσι καί ὁ Κύριος εὐσπλαχνίζεται ἐκείνους πού τόν φοβοῦνται»[21]. Γιά ἐκεῖνα πού θά μᾶς διαδεχθοῦν ὕστερα ἀπ' αὐτά καί γιά τό ἀτάραχο ἐκεῖνο τέλος λέγει· «ξαναγύρισε, ψυχή μου, στήν ἀνάπαυσή σου»[22]. Γιατί εἶναι τόσο μεγάλος ὁ οὐρανός; Καί αὐτό θά τό πεῖ· «οἱ οὐρανοί διηγοῦνται τή δόξα τοῦ Θεοῦ»[23]. Γιατί ἔγιναν ἡ νύχτα καί ἡ ἡμέρα; Ὄχι γιά νά φωτίζουν καί νά ξεκουράζουν μόνο, ἀλλά καί γιά νά διδάσκουν. «Γιατί δέν ὑπάρχουν ὁμιλίες οὔτε λόγοι ἀπό ἐκείνους πού δέν ἀκούονται οἱ φωνές τους»[24]. Πῶς ἡ θάλασσα βρίσκεται γύρω

21. Ψαλμ. 102,13.
22. Ψαλμ. 114,7.
23. Ψαλμ. 18,2.
24. Ψαλμ. 18,4.

«Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτῆς»· οὕτω γὰρ τὸ Ἑβραϊκὸν ἔχει.

Ἀπὸ δὲ τῶν εἰρημένων ἀρχὴν λαβόντες, καὶ τὰ ἄλλα πάντα εἴσεσθε, τὰ περὶ Χριστοῦ, τὰ περὶ ἀναστάσεως, τὰ περὶ τῆς μελλούσης ζωῆς, τὰ περὶ ἀναπαύσεως, τὰ περὶ κολάσεως, τὰ κατὰ τὸν ἠθικὸν λόγον, τὰ περὶ τῶν δογμάτων ἅπαντα, καὶ μυρίων ἀγαθῶν τὸ βιβλίον ἐμπεπλησμένον εὑρήσετε. Κἂν εἰς πειρασμοὺς ἐμπέσῃς, πολλὴν ἐντεῦθεν λήψῃ παραμυθίαν· κἂν εἰς ἁμαρτήματα, μυρία φάρμακα κείμενα ἐντεῦθα εὑρήσεις· ἂν εἰς πενίαν, ἂν εἰς θλῖψιν, πολλοὺς τοὺς λιμένας ὄψει· κἂν δίκαιος ᾖς, πολλὴν ἀσφάλειαν ἐκεῖθεν καρπώσῃ· κἂν ἁμαρτωλὸς ᾖς, πολλὴν τὴν παραμυθίαν. Ἄν τε γὰρ δίκαιος ᾖς, καὶ πάσχῃς δεινά, ἀκούσῃ λέγοντος, ὅτι «ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ταῦτα πάντα ἐπῆλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου». Κἂν ἐπάρῃ σε τὰ κατορθώματα, ἀκούσῃ λέγοντος, «μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν», καὶ εὐθέως ταπεινωθήσῃ. Κἂν ἁμαρτωλὸς ᾖς καὶ ἀπεγνωκὼς ἑαυτοῦ, ἀκούσῃ συνεχῶς ἐπᾴδοντος, «σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ», καὶ ἀναστήσῃ ταχέως. Κἂν διάδημα ἔχῃς ἐπὶ τῆς κεφαλῆς καὶ μέγα φρονῇς, μαθήσῃ ὅτι, «οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ», καὶ δυνήσῃ μετριάζειν.

Ἐὰν πλούσιος ᾖς καὶ ἐπίδοξος, πάλιν ἀκούσῃ ψάλλοντος, «οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι», καὶ ὅτι «ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ», καὶ ὅτι «οὐ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ», καὶ οὐδὲν ἡγήσῃ μέγα εἶναι τῶν ἐπὶ τῆς γῆς. Τὸ γὰρ πάντων λαμπρότερον, ἡ δόξα καὶ ἡ δυναστεία, ὅταν οὕτως εὐτελὲς

---

25. Ψαλμ. 103,6.
26. Ψαλμ. 43,23. 18.
27. Ψαλμ. 142,2.
28. Ψαλμ. 94,8.
29. Ψαλμ. 32,16.
30. Ψαλμ. 48,7.
31. Ψαλμ. 102,15.
32. Ψαλμ. 48,18.

ἀπό τή γῆ; «Ἄβυσσος τή σκεπάζει σάν ἱμάτιο»[25]· γιατί ἔτσι λέγει τό ἑβραϊκό κείμενο.

Ἀρχίζοντας ὅμως ἀπό τά προηγούμενα, θά γνωρίσετε καί ὅλα τά ἄλλα, τά σχετικά μέ τό Χριστό, τήν ἀνάσταση, τή μέλλουσα ζωή, τήν ἀνάπαυση, τήν κόλαση, τά ἠθικά ζητήματα, ὅλα τά σχετικά μέ τά δόγματα, καί θά βρεῖτε τό βιβλίο νά εἶναι γεμάτο ἀπό ἄπειρα ἀγαθά. Καί ἄν ἀκόμη πέσεις σέ πειρασμούς, θά πάρεις ἀπό ἐδῶ πολλή παρηγοριά· καί ἄν πέσεις σέ ἁμαρτήματα, θά βρεῖς νά ὑπάρχουν ἐδῶ ἄπειρα φάρμακα· ἄν πέσεις σέ φτώχεια, ἄν σέ θλίψη, θά δεῖς πολλά τά λιμάνια· καί ἄν ἀκόμη εἶσαι δίκαιος, θά κερδίσεις ἀπό ἐκεῖ πολλή ἀσφάλεια· καί ἄν εἶσαι ἁμαρτωλός, πολλή παρηγοριά. Γιατί ἄν εἶσαι δίκαιος καί πάσχεις κακά, θ' ἀκούσεις νά λέγει· «γιά χάρη σου παθαίνουμε θανάσιμα μαρτύρια ὅλη τήν ἡμέρα, θεωρηθήκαμε σάν πρόβατα πού προορίζονται γιά σφαγή. Ὅλα αὐτά ξέσπασαν ἐναντίον μας, καί ὅμως ἐμεῖς δέ σέ ξαχάσαμε»[26]. Καί ἄν σέ κάνουν νά ὑπερηφανευθεῖς τά κατορθώματα, θ' ἀκούσεις νά λέγει, «μή θελήσεις νά ἐξατάσεις τή ζωή τοῦ δούλου σου, γιατί κανείς ζωντανός ἄνθρωπος δέ θά βρεθεῖ δίκαιος ἐνώπιόν σου»[27], καί ἀμέσως θά ταπεινωθεῖς. Καί ἄν εἶσαι ἁμαρτωλός καί βρίσκεσαι σ' ἀπόγνωση, θ' ἀκούσεις συνέχεια νά ψάλλει, «σήμερα, ἄν ἀκούσετε τή φωνή του, μήν κάνετε σκληρές τίς καρδιές σας, ὅπως τόν καιρό τῆς ἀνταρσίας»[28], καί θά σταθεῖς γρήγορα ὄρθιος. Καί ἄν ἔχεις στέμμα στό κεφάλι σου καί ἔχεις μεγάλη ἰδέα γιά τόν ἑαυτό σου, θά μάθεις ὅτι, «κανένας βασιλιάς δέ σώζεται ἀπό τή μεγάλη του δύναμη καί κανένας γίγαντας δέ θά σωθεῖ μέ τή μεγάλη δύναμη πού διαθέτει»[29], καί θά μπορέσεις νά γίνεις μετριόφρονας.

Ἄν εἶσαι πλούσιος καί δοξασμένος, πάλι θ' ἀκούσεις νά ψάλλει· «ἀλλοίμονο σ' ἐκείνους πού ἔχουν πεποίθηση στή δύναμή τους καί καυχιένται γιά τόν πολύ τους πλοῦτο»[30]·καί «οἱ ἡμέρες τοῦ ἀνθρώπου εἶναι σάν τό χορτάρι»[31]·καί «ἡ δόξα του δέ θά κατεβεῖ μαζί του στόν ἅδη[32]· καί τίποτε δέ θά θεωρήσεις πώς εἶναι μεγάλο ἀπό τά γήινα. Γιατί ὅταν τό πιό λαμπρό ἀπ' ὅλα, ἡ δόξα καί ἡ ἐξουσία, εἶναι τόσο ἀσήμαντα, ποιό ἄλλο ἀπό τά γήινα θά μποροῦσε νά εἶναι

ἤ, τί ἕτερον ἄξιον ἂν εἴη λόγου τῶν ἐπὶ τῆς γῆς; Ἀλλ' ἐν ἀθυμίᾳ κατέστης; Ἄκουσον αὐτοῦ λέγοντος· «ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ». Ἀλλ' ὁρᾷς εὐδοκιμοῦντας παρ' ἀξίαν; «Μὴ παραζήλου ἐν πονηρευομένοις, ὅτι ὡσεὶ χόρτος ξηρανθήσονται καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται». Ὁρᾷς καὶ δικαίους καὶ ἁμαρτωλοὺς κολαζομένους; Ἄκουσον ὅτι οὐχ ἡ αὐτὴ αἰτία· «πολλαί», γάρ φησι, «αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ». Ἐπὶ δὲ τῶν δικαίων οὐκ εἶπεν, αἱ μάστιγες, ἀλλά, «πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος»· καὶ πάλιν, «θάνατος ἁμαρτωλῶν πονηρός», καί, «τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ».

Ταῦτα λέγε συνεχῶς, ἐντεῦθεν παιδεύου· τούτων γὰρ ἕκαστον τῶν ῥημάτων πέλαγος ἀχανὲς ἔχει νοημάτων. Ἡμεῖς γὰρ ἁπλῶς αὐτὰ παρεδράμομεν· εἰ δὲ βουληθείητε μετὰ ἀκριβείας διερευνᾶσθαι τὰ εἰρημένα, πολὺν ὄψεσθε τὸν πλοῦτον. Ἀλλὰ τέως καὶ ἐκ τῶν εἰρημένων δυνατὸν καθαίρεσθαι τῶν ἐπικειμένων παθῶν· ὅταν γὰρ μὴ φθονεῖν ἐᾷ, μὴ λυπεῖσθαι καὶ ἀθυμεῖν ἀκαίρως, μήτε ἡγεῖσθαί τι πλοῦτον , μὴ θλῖψιν, μὴ πενίαν, μηδὲ αὐτὴν τὴν ζωὴν νομίζειν τι εἶναι, πάντων σε ἀπαλλάττει τῶν παθῶν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ καὶ τὸν θησαυρὸν μεταχειριζώμεθα, «ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχωμεν», καὶ τῶν μελλόντων ἀπολαύσωμαν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

33. Ψαλμ. 41,12.
34. Ψαλμ. 36,1. 2.
35. Ψαλμ. 31,10.
36. Ψαλμ. 33,20.
37. Ψαλμ. 33,22.
38. Ψαλμ. 115,6.
39. Ρωμ. 15,4.

ἀξιόλογο; Μήπως στενοχωρέθηκες; Ἄκουσέ τον πού λέγει· «γιατί εἶσαι τόσο λυπημένη, ψυχή μου, καί γιατί μέ συγκλονίζεις; Στήριξε τήν ἐλπίδα σου στό Θεό, γιατί θά τόν δοξολογήσω»[33]. Μήπως βλέπεις ὅτι εὐημεροῦν ἄνθρωποι χωρίς ν' ἀξίζουν; «Μή ζηλεύεις ἐκείνους πού σκέπτονται τό πονηρό, γιατί αὐτοί σάν τό χορτάρι θά ξεραθοῦν καί σάν τήν πράσινη χλόη θά πέσουν γρήγορα στό ἔδαφος»[34]. Βλέπεις ὅτι τιμωροῦνται καί δίκαιοι καί ἁμαρτωλοί; Ἄκουσε πώς δέν εἶναι ἡ ἴδια αἰτία, γιατί λέγει· «πολλές εἶναι οἱ μάστιγες τοῦ ἁμαρτωλοῦ»[35]. Στήν περίπτωση ὅμως τῶν δικαίων δέν εἶπε, οἱ μάστιγες, ἀλλά, «πολλές εἶναι οἱ θλίψεις τῶν δικαίων, καί ἀπ' ὅλες αὐτές θά τούς γλυτώσει ὁ Κύριος»[36]· καί πάλι, «ὁ θάνατος τῶν ἁμαρτωλῶν εἶναι κακός»[37]· καί «ὁ Κύριος τιμάει τό θάνατο τῶν ἀφοσιωμένων σ' αὐτόν»[38].

Αὐτά νά λέγεις συνέχεια, ἀπό ἐδῶ νά διδάσκεσαι, γιατί καθένα ἀπό τά λόγια αὐτά περιέχει ἄπειρο πλῆθος νοημάτων. Ἐμεῖς τά περάσαμε ἁπλῶς μέ πολλή συντομία, ἐσεῖς ὅμως ἄν θελήσετε νά ἐξετάσετε μέ ἀκρίβεια αὐτά πού λέχθηκαν, θά δεῖτε πολύ πλοῦτο. Ἀλλ' ἀκόμη καί ἀπό τά προηγούμενα εἶναι δυνατό ν' ἀπαλλάσσεσαι ἀπό τά ἐπικείμενα πάθη. Γιατί ὅταν δέ σ' ἀφήνει νά φθονεῖς, νά λυπᾶσαι καί νά στενοχωριέσαι ἄκαιρα, οὔτε νά θεωρεῖς κάτι πλοῦτο, οὔτε θλίψη, οὔτε φτώχεια, οὔτε νά νομίζεις πώς καί ἡ ἴδια ἡ ζωή εἶναι κάτι, σ' ἀπαλλάσσει ἀπ' ὅλα τά πάθη. Γιά ὅλα αὐτά λοιπόν ἄς εὐχαριστήσουμε τό Θεό καί ἄς μεταχειριζόμαστε τό θησαυρό, «ὥστε μέ τήν ὑπομονή καί τήν παρηγορία πού δίνουν οἱ Γραφές νά διατηροῦμε τήν ἐλπίδα»[39] καί ν' ἀπολαύσουμε τά μελλοντικά ἀγαθά, τά ὁποῖα εἴθε ὅλοι ἐμεῖς νά ἐπιτύχουμε, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διά μέσου τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Λ'

(Ρωμ. 15,14–24)

«Πέπεισμαι, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν».

1. *Εἶπεν, ὅτι «ἐφ' ὅσον εἰμὶ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω»· εἶπεν, ὅτι «μή πως οὐδὲ σοῦ φείσεται»· εἶπε, «μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς»· καὶ πάλιν, «σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου;», καί, «σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;», καὶ ἕτερα πολλῷ πλείω τοιαῦτα. Ἐπεὶ οὖν πολλαχοῦ τραχύτερον τὸν λόγον ἐποίησε, θεραπεύει λοιπόν· καὶ ὅπερ ἀρχόμενος ἔλεγε, τοῦτο καὶ τελευτῶν. Ἀρχόμενος μὲν ἔλεγεν, «εὐχαριστῶ τῷ Θεῷ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ», ἐνταῦθα δέ, «πέπεισμαι», φησίν, «ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, δυνάμενοι καὶ ἄλλους νουθετεῖν», ὅπερ πλέον ἐστὶν ἐκείνου. Καὶ οὐκ εἶπεν, ἤκουσα, ἀλλά, «πέπεισμαι», καὶ οὐ δέομαι παρ' ἑτέρου μαθεῖν· καί, «αὐτὸς ἐγώ», τουτέστιν, ὁ ἐπιτιμῶν, ὁ ἐγκαλῶν. «Ὅτι μεστοί ἐστε ἀγαθωσύνης». Τοῦτο πρὸς τὴν ἔναγχος γενομένην παραίνεσιν· ὡσανεὶ ἔλεγεν, ὅτι οὐχ ὡς ὠμοῖς*

1. Ρωμ. 11,13.
2. Ρωμ. 11,21.
3. Ρωμ. 12,16.
4. Ρωμ. 14,10. 4.

ΟΜΙΛΙΑ Λ'

(Ρωμ. 15,14-24)

«Εἶμαι πεπεισμένος, ἀδελφοί μου, καί ἐγώ ὁ ἴδιος γιά σᾶς, ὅτι εἶστε γεμάτοι ἀπό καλωσύνη, γεμάτοι ἀπό κάθε γνώση, ὥστε νά μπορεῖτε νά νουθετεῖτε καί ἄλλους».

1. Εἶπε, «ἀφοῦ εἶμαι ἀπόστολος τῶν ἐθνῶν, τιμῶ τήν ὑπηρεσία μου»[1], εἶπε, «μήπως δέ λογαριάσει οὔτε σένα»[2]· εἶπε, «μή θεωρεῖτε τούς ἑαυτούς σας σοφούς»[3]· καί πάλι, «ἐσύ γιατί κρίνεις τόν ἀδελφό σου;»· καί, «ποιός εἶσαι σύ πού κατακρίνεις ξένο δοῦλο;»[4], καί ἄλλα πολύ περισσότερα τέτοια. Ἐπειδή λοιπόν σέ πολλά σημεῖα ἔκαμε πιό σκληρό τό λόγο, τόν μαλακώνει στή συνέχεια, καί ἐκεῖνο πού ἔλεγε, ὅταν ἄρχιζε, αὐτό λέγει καί τώρα πού τελειώνει. Ὅταν ἄρχιζε ἔλεγε, «εὐχαριστῶ τό Θεό γιά ὅλους σας, γιατί ἡ πίστη σας διαλαλεῖται σέ ὅλο τόν κόσμο»[5], ἐνῶ ἐδῶ λέγει, «εἶμαι πεπεισμένος ὅτι καί σεῖς εἶστε γεμάτοι ἀπό καλωσύνη, ὥστε νά μπορεῖτε νά νουθεῖτε καί ἄλλους», πράγμα πού εἶναι περισσότερο ἀπό ἐκεῖνο. Καί δέν εἶπε, 'ἄκουσα', ἀλλά, «εἶμαι πεπεισμένος» καί δέν ἔχω ἀνάγκη νά μάθω ἀπ' ἄλλον· καί «ἐγώ ὁ ἴδιος», δηλαδή, ἐγώ πού ἐπικρίνω, πού κατηγορῶ. «Γιατί εἶστε γεμάτοι ἀπό καλωσύνη». Αὐτό ἔχει σχέση μέ τήν προηγούμενη παραίνεση πού ἔγινε· σάν νά ἔλεγε, ὅτι αὐτά δέν τά συμβούλευσα σάν πρός σκληρούς οὔτε σάν πρός μι-

---

5. Ρωμ. 1,8.

οὐδὲ μισαδέλφοις ταῦτα παρῄνεσα, προσλαμβάνεσθαι, καὶ μὴ ἐᾶν, μηδὲ καταλύειν τὸ ἔργον τοῦ Θεοῦ· οἶδα γάρ, «ὅτι μεστοί ἐστε ἀγαθωσύνης».

Δοκεῖ δέ μοι ἐνταῦθα καὶ ὁλόκληρον τὴν ἀρετὴν οὕτω καλεῖν. Καὶ οὐκ εἶπεν, ʼἔχετεʼ, ἀλλά, «μεστοί ἐστε». Καὶ τὸ ἑξῆς μετὰ τῆς αὐτῆς ἐπιτάσεως· «πεπληρωμένοι πάσης γνώσεως». Τί γὰρ εἰ φιλόστοργοι μὲν ἦσαν, οὐκ ᾔδεσαν δὲ πῶς δεῖ τοῖς φιλουμένοις κεχρῆσθαι; Διὰ τοῦτο προσέθηκε, «πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν»· οὐχὶ μόνον μανθάνειν, ἀλλὰ καὶ διδάσκειν. «Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους». Ὅρα Παύλου ταπεινοφροσύνην, ὅρα σοφίαν, πῶς καὶ βαθεῖαν ἔδωκε τὴν τομὴν ἐν τοῖς ἔμπροσθεν, καὶ ἐπειδὴ κατώρθωσαν ὅπερ ἐβούλετο, πολλῇ κέχρηται τῇ θεραπείᾳ πάλιν. Ἱκανὸν γὰρ καὶ χωρὶς τῶν εἰρημένων αὐτὸ τοῦτο τὸ ὁμολογῆσαι τετολμηκέναι, χαλάσαι αὐτῶν τὸν τόνον. Τοῦτο καὶ Ἑβραίοις ἐπιστέλλων ποιεῖ, λέγων οὕτω· «πέπεισμαι δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν». Καὶ Κορινθίοις πάλιν· «ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα τὰς παραδόσεις, οὕτω κατέχετε». Καὶ Γαλάταις δὲ ἐπιστέλλων ἔλεγε, «πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε». Καὶ πανταχοῦ δὲ τῶν ἐπιστολῶν τοῦτο εὕροι τις ἂν τὸ θεώρημα δαψιλές· ἐνταῦθα δὲ καὶ μειζόνως.

Καὶ γὰρ ἐν ἀξιώματι ἦσαν πλείονι, καὶ ἔδει φλεγμαίνουσαν αὐτῶν τὴν διάνοιαν καταστέλλειν, μὴ τῷ στύφειν μόνον, ἀλλὰ καὶ τῷ χαλᾶν· καὶ γὰρ διαφόρως αὐτὸ ποιεῖ. Διὸ καὶ ἐνταῦθά φησι, «τολμηρότερον ὑμῖν ἔγραψα». Καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ προσέθηκεν, «ἀπὸ μέρους», τουτέστιν, ἠρέμα. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ τί φησιν; «Ὡς ἐπαναμιμνήσκων ὑμᾶς». Οὐκ εἶπε, ʼδιδάσκωνʼ, οὐδέ, ʼἀναμιμνήσκωνʼ, ἀλλʼ «ἐπαναμιμνήσκων», τουτέστι, μικρόν τι ἀναμιμνήσκων. Ὁρᾷς τὸ τέλος τῷ προοιμίῳ συμβαῖνον;

---

6. Ἑβρ. 6,9.
7. Α΄ Κορ. 11,2.
8. Γαλ. 5,10.

σανθρώπους, δηλαδή νά δέχεσθε τούς ἀδελφούς καί νά μήν τούς ἐγκαταλείπετε, οὔτε νά καταλύετε τό ἔργο τοῦ Θεοῦ, γιατί γνωρίζω, ὅτι εἶστε γεμάτοι ἀπό καλωσύνη.

Μοῦ φαίνεται ἐδῶ πώς καί ὁλόκληρη τήν ἀρετή τήν ὀνομάζει ἔτσι. Καί δέν εἶπε, 'ἔχετε', ἀλλά, «εἶστε γεμάτοι». Καί τό ἑπόμενο μέ τήν ἴδια ἔμφαση τό εἶπε· «γεμάτοι ἀπό κάθε γνώση». Τί λοιπόν ἄν ἦταν φιλόστοργοι, ἀλλά δέν ἤξεραν πῶς πρέπει νά μεταχειρίζονται ἐκείνους πού ἀγαποῦσαν; Γι' αὐτό πρόσθεσε, «ἀπό κάθε γνώση, ὥστε νά μπορεῖτε νά νουθετεῖτε καί ἄλλους»· ὄχι μόνο νά μαθαίνετε, ἀλλά καί νά διδάσκετε. «Ἀλλά σᾶς ἔγραψα μέ περισσότερη τόλμη σέ μερικά σημεῖα». Πρόσεχε τήν ταπεινοφροσύνη τοῦ Παύλου, πρόσεχε τή σοφία, πῶς καί βαθιά ἔδωσε τήν τομή στά προηγούμενα καί, ἐπειδή κατόρθωσε ἐκεῖνο πού ἤθελε, χρησιμοποιεῖ πάλι πολλή θεραπεία. Γιατί ἦταν ἱκανό, καί χωρίς ἐκεῖνα πού λέχθηκαν, αὐτό ἀκριβῶς πού τόλμησε νά ὁμολογήσει, νά μετριάσει τόν τόνο τους. Αὐτό κάνει καί ὅταν γράφει στούς Ἑβραίους, λέγοντας τά ἑξῆς· «γιά σᾶς ὅμως, ἀγαπητοί, ἄν καί μιλοῦμε μ' αὐτόν τόν τρόπο, εἶμαι πεπεισμένος γιά καλύτερα πράγματα πού καταλήγουν στή σωτηρία»[6]. Καί στούς Κορινθίους πάλι· «σᾶς ἐπαινῶ, γιατί σέ ὅλα μέ θυμᾶστε καί κρατεῖτε τίς παραδόσεις, ὅπως σᾶς τίς παρέδωσα»[7]. Καί στούς Γαλάτες ἐξάλλου γράφοντας τήν ἐπιστολή του ἔλεγε, «ἔχω πεποίθηση σέ σᾶς, ὅτι δέ θά ἔχετε διαφορετική γνώμη»[8]. Καί παντοῦ στίς ἐπιστολές του θά τό βρεῖ κανείς αὐτό, ἄν ἡ ἐξέταση γίνει σέ μεγαλύτερη ἔκταση· ἐδῶ ὅμως ὑπάρχει καί σέ μεγαλύτερο βαθμό.

Εἶναι ἀλήθεια ὅτι βρίσκονταν σέ μεγαλύτερο ἀξίωμα καί ἔπρεπε νά συγκρατήσει τή γεμάτη πάθος ψυχή τους, ὄχι μόνο μέ τήν αὐστηρότητα, ἀλλά καί μέ τήν ὑποχωρητικότητα· καί τό κάνει αὐτό μέ διάφορο τρόπο. Γι' αὐτό καί ἐδῶ λέγει, «σᾶς ἔγραψα μέ περισσότερη τόλμη». Καί οὔτε σ' αὐτό ἀρκεῖται, ἀλλά πρόσθεσε, «ἀπό μέρους», δηλαδή, ἤρεμα. Καί οὔτε ἐδῶ στάθηκε, ἀλλά τί λέγει; «Γιά νά σᾶς ὑπενθυμίσω πάλι». Δέν εἶπε, 'γιά νά σᾶς διδάξω', οὔτε, 'νά σᾶς θυμίσω', ἀλλά, «νά σᾶς ὑπενθυμίσω», δηλαδή, γιά νά σᾶς ὑπενθυμίσω κάπως. Βλέπεις τό τέλος πού συμφωνεῖ μέ τό προ-

Ὥσπερ γὰρ ἐκεῖ ἔλεγεν, ὅτι «ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ», οὕτω καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς· «ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο». Καὶ ὥσπερ ἀρχόμενος ἔγραφεν, «ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς, τοῦτο δέ ἐστι, συμπαρακληθῆναι», οὕτω καὶ ἐνταῦθα, «ὡς ἐπαναμιμνήσκων», ἔλεγε. Καὶ ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ διδασκαλικοῦ, καὶ ἐκεῖ καὶ ἐνταῦθα ὡς ἀδελφοῖς διαλέγεται, καὶ φίλοις ὁμοτίμοις· ὃ δὴ μάλιστά ἐστι διδασκάλου, τὸ ποικίλειν τὸν λόγον πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν.

Ὅρα γοῦν πῶς εἰπών, ὅτι «τολμηρότερον ἔγραψα», καὶ ὅτι «ἀπὸ μέρους», καὶ ὅτι «ὡς ἐπαναμιμνήσκων», οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ ταπεινότερον ἔτι ποιῶν τὸν λόγον, ἐπήγαγε· «διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ»· ὃ καὶ ἀρχόμενος ἔλεγεν, «ὀφειλέτης εἰμί». Ὡσανεὶ ἔλεγεν, οὐχ ἑαυτῷ ἥρπασα τὴν τιμήν, οὐδὲ ἐπεπήδησα τούτῳ πρῶτος, ἀλλ' ὁ Θεὸς τοῦτο ἐπέταξε, καὶ τοῦτο κατὰ χάριν, οὐχ ὡς ἄξιον εἰς τοῦτο ἀφορίσας. Μὴ τοίνυν τραχύνεσθε· οὐ γὰρ ἐγὼ κατεξανίσταμαι· Θεός ἐστιν ὁ ἐπιτάττων. Καὶ ὥσπερ ἐκεῖ φησιν, «ᾧ λατρεύω ἐν τῷ εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ», οὕτω καὶ ἐνταῦθα εἰπών, «διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ», ἐπήγαγεν· «εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ». Μετὰ γὰρ τὴν πολλὴν τῶν εἰρημένων ἀπόδειξιν, ἐπὶ τὸ σεμνότερον ἄγει τὸν λόγον, οὐχ ἁπλῶς λατρείαν λέγων, καθάπερ ἐν ἀρχῇ, ἀλλὰ λειτουργίαν καὶ ἱερουργίαν. Αὕτη γάρ μοι ἱερωσύνη, τὸ κηρύττειν καὶ καταγγέλλειν· ταύτην προσφέρω τὴν θυσίαν. Ἱερεῖ δὲ οὐδεὶς ἂν ἐγκαλέσειε τὸ θῦμα σπουδάζοντι ἄμωμον προσενεγκεῖν. Ταῦτα δὲ ἔλεγεν, ἅμα καὶ τούτων πτερῶν τὰ φρονήματα, καὶ δεικνὺς θυσίαν ὄντας, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενος, ὅτι τοῦτο ἐπιτέτακται. Ἡ γὰρ μάχαιρά μου, φησί, τὸ εὐαγγέλιον, ὁ τοῦ κηρύγματος λόγος.

9. Ρωμ. 16,19.
10. Ρωμ. 1,11. 12.
11. Ρωμ. 1,14.
12. Ρωμ. 1,9.

οίμιο; Γιατί ὅπως ἀκριβῶς ἐκεῖ ἔλεγε, «ἡ πίστη σας διαλαλεῖται σέ ὅλο τόν κόσμο», ἔτσι καί στό τέλος τῆς ἐπιστολῆς ἔλεγε· «ἡ ὑπακοή σας ἔγινε γνωστή σέ ὅλους»[9]. Καί ὅπως ὅταν ἄρχιζε ἔλεγε, «γιατί ἐπιθυμῶ πολύ νά σᾶς δῶ, γιά νά σᾶς μεταδώσω κάποιο χάρισμα πνευματικό, ὥστε νά στηριχθεῖτε, δηλαδή, νά ἀλληλοπαρηγορηθοῦμε»[10], ἔτσι καί ἐδῶ ἔλεγε, «γιά νά σᾶς ὑπενθυμίσω πάλι». Καί ἀφοῦ κατέβηκε ἀπό τό διδασκαλικό θρόνο, καί ἐκεῖ καί ἐδῶ μιλάει σάν πρός ἀδελφούς καί ἰσότιμους φίλους, πράγμα πού κατ' ἐξοχήν εἶναι γνώρισμα τοῦ διδασκάλου, τό νά ποικίλλει δηλαδή τό λόγο πρός ὠφέλεια τῶν ἀκροατῶν του.

Πρόσεχε λοιπόν πῶς, ἀφοῦ εἶπε, «σᾶς ἔγραψα μέ περισσότερη τόλμη» καί «ἤρεμα» καί «γιά νά σᾶς ὑπενθυμίσω πάλι», οὔτε σ' αὐτά ἀρκέσθηκε, ἀλλά κάνοντας ἀκόμη πιό ταπεινό τό λόγο πρόσθεσε· «ἐξ αἰτίας τῆς χάριτος πού μοῦ δόθηκε ἀπό τό Θεό». Αὐτό καί στήν ἀρχή ἔλεγε, «εἶμαι ὀφειλέτης»[11]. Σάν νά ἔλεγε, δέν ἅρπαξα μόνος μου τήν τιμή, οὔτε πήδησα σ' αὐτό πρῶτος, ἀλλ' ὁ Θεός τό διέταξε αὐτό καί αὐτό ἀπό χάρη, ὄχι γιατί μέ ξεχώρισε σάν ἄξιο γι' αὐτό. Μήν ὀργίζεσθε λοιπόν, γιατί δέν ἀγανακτῶ ἐγώ, ὁ Θεός εἶναι ἐκεῖνος πού διατάσσει. Καί ὅπως ἐκεῖ λέγει, «τόν ὁποῖο λατρεύω κηρύσσοντας τό εὐαγγέλιο τοῦ Υἱοῦ του»[12], ἔτσι καί ἐδῶ, ἀφοῦ εἶπε, «ἐξ αἰτίας τῆς χάριτος πού μοῦ δόθηκε ἀπό τό Θεό», πρόσθεσε· «γιά νά εἶμαι ὑπηρέτης τοῦ Ἰησοῦ Χριστοῦ στά ἔθνη, προσφέροντας σάν θυσία τό κήρυγμα τοῦ εὐαγγελίου τοῦ Θεοῦ». Μετά λοιπόν τή μεγάλη ἀπόδειξη ἐκείνων μέ τά ὅσα λέχθηκαν, ὁδηγεῖ τό λόγο στό σεμνότερο, λέγοντας ὄχι ἁπλῶς λατρεία, ὅπως ἀκριβῶς στήν ἀρχή, ἀλλά ὑπηρεσία καί ἱερουργία. Γιατί αὐτή εἶναι ἡ ἱερωσύνη μου, τό νά κηρύττω καί νά ἀναγγέλλω τό κήρυγμα· αὐτή τή θυσία προσφέρω. Κανένας ὅμως δέ θά κατηγορήσει τόν ἱερέα, φροντίζοντας νά προσφέρει ἄμωμο τό θύμα. Καί τά ἔλεγε αὐτά, γιά νά τονώσει συγχρόνως καί τά φρονήματά τους καί γιά νά δείξει πώς εἶναι θυσία καί γιά ν' ἀπολογηθεῖ γιά τά δικά του, καθόσον αὐτό διατάχθηκε. Γιατί τό μαχαίρι μου, λέγει, εἶναι τό εὐαγγέλιο, δηλαδή ὁ λόγος τοῦ κηρύγματος.

Καὶ ἡ αἰτία, οὐχ ἵνα ἐγὼ δοξασθῶ, οὐχ ἵνα λαμπρὸς φανῶ, ἀλλ', «ἵνα ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος γένηται, ἡγιασμένη ἐν Πνεύματι ἁγίῳ». Τουτέστιν, αἱ ψυχαὶ τῶν διδασκομένων ἵνα δεχθῶσιν. Οὐ γὰρ ἐμὲ τοσοῦτον τιμῶν ὁ Θεὸς εἰς τοῦτο ἤγαγεν, ὅσον ὑμῶν κηδόμενος. Καὶ πῶς ἂν γένοιτο εὐπρόσδεκτοι; Ἐν Πνεύματι ἁγίῳ· οὐ γὰρ πίστεως δεῖ μόνης, ἀλλὰ καὶ πολιτείας πνευματικῆς, ἵνα κατέχωμεν τὸ Πνεῦμα τὸ δοθὲν ἅπαξ. Οὐ γὰρ ξύλα καὶ πῦρ, οὐδὲ βωμὸς καὶ μάχαιρα, ἀλλὰ Πνεῦμα πάντα παρ' ἡμῖν. Διὰ τοῦτο πάντα ποιῶ, ἵνα μὴ σβεσθῇ ἐκεῖνο τὸ πῦρ· τοῦτο γὰρ καὶ ἐπιτέταγμαι. Τί οὖν τοῖς μὴ δεομένοις λέγεις; Δι' αὐτὸ δὴ τοῦτο οὐ διδάσκω, ἀλλ' «ἀναμιμνήσκω», φησί· καθάπερ ὁ ἱερεὺς παρέστηκε τὸ πῦρ ἀνακαίων, οὕτω καὶ ἐγὼ τὴν προθυμίαν ὑμῶν διεγείρων. Καὶ ὅρα· οὐκ εἶπεν, 'ἵνα γένηται ἡ προσφορὰ ὑμῶν', ἀλλά, «τῶν ἐθνῶν». Ὅταν δὲ εἴπῃ, «τῶν ἐθνῶν», τὴν οἰκουμένην λέγει, γῆν καὶ θάλασσαν ἅπασαν, καταστέλλων ἐκείνων τὰ φρονήματα, ὥστε μὴ ἀπαξιῶσαι διδάσκαλον ἔχειν τὸν πρὸς τὰ πέρατα τῆς οἰκουμένης τεινόμενον· ὃ καὶ ἀρχόμενος ἔλεγε, «καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν· Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί».

2. «Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν». Ἐπειδὴ γὰρ σφόδρα ἑαυτὸν ἐταπείνωσε, πάλιν ἐπαίρει τὸν λόγον, καὶ τοῦτο ὑπὲρ ἐκείνων ποιῶν, ὥστε μὴ δόξαι εὐκαταφρόνητος εἶναι. Καὶ ἐν τῷ ἐπαίρειν δὲ ἑαυτόν, τοῦ οἰκείου μέμνηται ἤθους, οὕτω λέγων· «ἔχω οὖν καύχησιν». Καυχῶμαι, φησίν, οὐκ ἐν ἐμαυτῷ, οὐδὲ ἐν τῇ ἡμετέρᾳ σπουδῇ, ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι. «Οὐ γὰρ τολμήσω τι λαλῆσαι, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν τῶν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ». Οὐδὲ γὰρ ἂν ἔχοι τις εἰπεῖν,

Καί ἡ αἰτία, ὄχι γιά νά δοξασθῶ ἐγώ, οὔτε γιά νά φανῶ λαμπρός, ἀλλά, «γιά νά εἶναι ἡ προσφορά τῶν ἐθνῶν εὐπρόσδεκτη, ἁγιασμένη μέ τή βοήθεια τοῦ ἁγίου Πνεύματος». Δηλαδή, γιά νά γίνουν δεκτές οἱ ψυχές τῶν διδασκομένων. Γιατί ὁ Θεός μέ ὁδήγησε σ' αὐτό τιμώντας ὄχι ἐμένα τόσο, ὅσο φροντίζοντας γιά σᾶς. Καί πῶς θά μποροῦσαν τά ἔθνη νά γίνουν εὐπρόσδεκτα; Μέ τή βοήθεια τοῦ ἁγίου Πνεύματος· γιατί δέ χρειάζεται μόνο πίστη ἀλλά καί συμπεριφορά πνευματική, γιά νά ἔχουμε τό Πνεῦμα πού μᾶς δόθηκε μιά φορά. Γιατί τά δικά μας δέν εἶναι ξύλα καί φωτιά, οὔτε βωμός καί μαχαίρι, ἀλλά ὅλα εἶναι πνευματικά. Γι' αὐτό τά κάνω ὅλα, γιά νά μή σβησθεῖ ἡ φωτιά ἐκείνη· ἄλλωστε αὐτή τήν ἐντολή ἔλαβα. Γιατί λοιπόν τά λέγεις σ' ἐκείνους πού δέν ἔχουν ἀνάγκη; Γι' αὐτό ἀκριβῶς δέν τό διδάσκω αὐτό, ἀλλά τό ὑπενθυμίζω πάλι, λέγει· ὅπως ὁ ἱερέας παραβρίσκεται γιά νά ἀνάβει τή φωτιά, ἔτσι καί ἐγώ γιά νά διεγείρω τήν προθυμία σας. Καί πρόσεχε· δέν εἶπε, 'γιά νά γίνει εὐπρόσδεκτη ἡ προσφορά σας', ἀλλά, «τῶν ἐθνῶν». Ὅταν ὅμως λέγει «τῶν ἐθνῶν», ἐννοεῖ τήν οἰκουμένη, δηλαδή ὅλη τή γῆ καί τή θάλασσα, συγκρατώντας τά φρονήματά τους, ὥστε νά μήν ἀπαξιώσουν νά ἔχουν διδάσκαλο ἐκεῖνον πού ἔσπευδε πρός τά πέρατα τῆς οἰκουμένης, πράγμα πού καί στήν ἀρχή ἔλεγε, «ὅπως καί μεταξύ τῶν ἐθνικῶν· καί στούς Ἕλληνες καί στούς βαρβάρους, καί στούς σοφούς καί στούς ἀμόρφωτους εἶμαι ὀφειλέτης».

2. «Ἔχω λοιπόν καύχηση μέ τή βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ γιά τό ἔργο πού κάνω γιά τό Θεό». Ἐπειδή λοιπόν ταπείνωσε ὑπερβολικά τόν ἑαυτό του, πάλι ὑψώνει τό λόγο, κάνοντας καί αὐτό γιά χάρη ἐκείνων, γιά νά μή φανεῖ πώς εἶναι εὐκαταφρόνητος. Καί καθώς ἐξυψώνει τόν ἑαυτό του, θυμᾶται τό δικό του ἦθος, λέγοντας ἔτσι· «ἔχω λοιπόν καύχηση». Καυχιέμαι, λέγει, ὄχι γιά τόν ἑαυτό μου, οὔτε γιά τή δική μου προσπάθεια, ἀλλά γιά τή χάρη τοῦ Θεοῦ. «Γιατί δέ θά τολμήσω νά πῶ, ὅτι ὑπάρχει κάτι, πού νά μήν τό ἔκαμε ὁ Χριστός χρησιμοποιώντας ἐμένα σάν ὄργανό του γιά νά φέρει σέ ὑπακοή τά ἔθνη, μέ τό λόγο καί τά ἔργα, μέ τή δύναμη σημείων καί θαυμάτων, μέ τή δύναμη τοῦ Πνεύματος τοῦ Θεοῦ». Δέν μπορεῖ νά

φησίν, ὅτι κόμπος μου τὰ ῥήματα· τῆς γὰρ ἱερουργίας μου ταύτης τὰ σύμβολα, καὶ τῆς χειροτονίας ἔχω δεῖξαι πολλὰ τὰ τεκμήρια· οὐ ποδήρη καὶ κώδωνας, καθάπερ οἱ παλαιοί, οὐδὲ μίτραν καὶ κίδαριν, ἀλλὰ πολλῷ φρικωδέστερα τούτων σημεῖα καὶ θαύματα. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν, ὅτι ἐνεχειρίσθην μέν, οὐκ ἐποίησα δὲ τὸ ἐπιταχθέν· μᾶλλον δὲ οὐδὲ ἐγὼ ἐποίησα, ἀλλ' ὁ Χριστός· διὸ καὶ ἐν αὐτῷ καυχῶμαι, καὶ οὐχ ὑπὲρ τῶν τυχόντων πραγμάτων, ἀλλ' ὑπὲρ πνευματικῶν. Τοῦτο γάρ ἐστι, «τὰ πρὸς τὸν Θεόν». Ὅτι γὰρ ἤνυσα ἐφ' ὃ ἐπέμφθην, καὶ οὐ κόμπος τὰ ῥήματα, δηλοῖ τὰ θαύματα καὶ ἡ τῶν ἐθνῶν ὑπακοή.

«Οὐ γὰρ τολμήσω τι λαλῆσαι ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ». Ὁρᾷς πῶς βιάζεται τὸ πᾶν δεῖξαι τοῦ Θεοῦ, καὶ οὐδὲν ἑαυτοῦ; Εἴτε γὰρ φθέγγομαί τι, εἴτε ποιῶ, εἴτε θαυματουργῶ, πάντα αὐτός, πάντα τὸ Πνεῦμα τὸ ἅγιον. Ταῦτα δὲ λέγει, δεικνὺς καὶ τοῦ Πνεύματος τὸ ἀξίωμα. Εἶδες πῶς ταῦτα τῶν παλαιῶν θαυμαστότερα καὶ φρικωδέστερα, ἡ θυσία, ἡ προσφορά, τὰ σύμβολα; Ὅταν γὰρ εἴπῃ, «ἐν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων», τοῦτο λέγει, τὴν διδασκαλίαν, τὴν περὶ βασιλείας φιλοσοφίαν, τὴν τῶν ἔργων καὶ τῆς πολιτείας ἐπίδειξιν, τοὺς νεκροὺς τοὺς ἐγειρομένους, τοὺς δαίμονας τοὺς ἐλαυνομένους, τοὺς θεραπευομένους τυφλούς, τοὺς πηδῶντας χωλούς, τὰ ἄλλα τεράστια, ἅπερ ἅπαντα εἰργάζετο τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν. Εἶτα ἡ τούτων ἀπόδειξις, ἐπειδὴ ταῦτα τέως ἀπόφασις ἦν, τῶν μαθητῶν τὸ πλῆθος. Διὸ καὶ ἐπήγαγεν· «ὥστε με ἀπὸ Ἰερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ».

Ἀρίθμει τοίνυν καὶ πόλεις καὶ χώρας καὶ ἔθνη καὶ δήμους, μὴ τοὺς ὑπὸ Ῥωμαίοις μόνους, ἀλλὰ καὶ τοὺς ὑπὸ βαρβάροις. Μὴ γάρ μοι τὴν διὰ τῆς Φοινίκης καὶ Συρίας καὶ τῆς Κιλίκων καὶ Καππαδοκῶν ἔλθῃς ὁδόν, ἀλλὰ καὶ τὰ ὄπισθεν ἅπαντα λογίζου,

πεῖ κανείς, λέγει, ὅτι τά λόγια μου εἶναι καύχηση, γιατί μπορῶ νά δείξω τά σύμβολα αὐτῆς τῆς ἱερουργίας μου, καθώς καί πολλές ἀποδείξεις τῆς χειροτονίας μου, ὄχι ποδήρη χιτώνα καί κουδούνια, ὅπως οἱ παλαιοί, οὔτε μίτρα καί διάδημα, ἀλλά πολύ πιό φρικτά ἀπ' αὐτά σημεῖα καί θαύματα. Οὔτε βέβαια εἶναι δυνατό νά πεῖ κανείς, ὅτι μοῦ ἐμπιστεύθηκε κάτι, ἀλλά δέ ἔκαμα αὐτό πού διατάχθηκα· ἤ καλύτερα, δέν τό ἔκαμα ἐγώ ἀλλ' ὁ Χριστός· γι' αὐτό καί σ' αὐτόν καυχιέμαι καί ὄχι γιά τυχαῖα πράγματα, ἀλλά γιά τά πνευματικά. Γιατί αὐτό σημαίνει «τά πρός τό Θεό». Ὅτι λοιπόν ἐκτέλεσα αὐτό γιά τό ὁποῖο στάλθηκα καί ὅτι δέν εἶναι καύχηση τά λόγια, τό φανερώνουν τά θαύματα καί ἡ ὑπακοή τῶν ἐθνῶν.

«Γιατί δέ θά τολμήσω νά πῶ, ὅτι ὑπάρχει κάτι, πού νά μήν τό ἔκαμε ὁ Χριστός χρησιμοποιώντας ἐμένα σάν ὄργανό του γιά νά φέρει σέ ὑπακοή τά ἔθνη, μέ τό λόγο καί τά ἔργα, μέ τή δύναμη σημείων καί θαυμάτων, μέ τή δύναμη τοῦ Πνεύματος τοῦ Θεοῦ». Βλέπεις πῶς βιάζεται νά δείξει ὅτι ὅλα ἀνήκουν στό Θεό καί τίποτε στόν ἑαυτό του; Εἴτε λοιπόν λέγω κάτι, εἴτε κάνω, εἴτε θαυματουργῶ, ὅλα τά κάνει αὐτός, ὅλα τό Πνεῦμα τό ἅγιο. Καί τά λέγει αὐτά, γιά νά δείξει καί τήν ἀξία τοῦ Πνεύματος. Εἶδες πῶς αὐτά εἶναι πιό θαυμαστά καί πιό φρικτά ἀπό τά παλαιά, ἡ θυσία, ἡ προσφορά, τά σύμβολα; Γιατί ὅταν λέγει, «μέ τό λόγο καί τά ἔργα, μέ τή δύναμη σημείων καί θαυμάτων», αὐτό ἐννοεῖ, δηλαδή τή διδασκαλία, τή φιλοσοφία γιά τή βασιλεία τῶν οὐρανῶν, τήν ἐπίδειξη τῶν ἔργων καί τῆς συμπεριφορᾶς, τούς νεκρούς πού ἀνασταίνονται, τούς δαίμονες πού διώκονται, τούς τυφλούς πού θεραπεύονται, τούς χωλούς πού πηδοῦν, τά ἄλλα τά θαύματα, πού ὅλα τά ἔκαμνε τό ἅγιο Πνεῦμα σέ μᾶς. Ἔπειτα ἀκολουθεῖ ἡ ἀπόδειξη αὐτῶν, ἐπειδή αὐτά πρῶτα ἀπ' ὅλα ἦταν ἀπόφαση, τό πλῆθος τῶν μαθητῶν. Γι' αὐτό καί πρόσθεσε· «Ὥστε ἀπό τά Ἱεροσόλυμα καί τά γύρω μέρη μέχρι τό Ἰλλυρικό νά ἔχω συμπληρώσει τό εὐαγγέλιο τοῦ Χριστοῦ».

Μέτρα λοιπόν καί πόλεις καί χῶρες καί ἔθνη καί λαούς, ὄχι μόνο ἐκείνους πού βρίσκονταν κάτω ἀπό τήν κυριαρχία τῶν βαρβάρων. Μή βαδίσεις, σέ παρακαλῶ, τό δρόμο πού περνάει μέσα ἀπό τή Φοινίκη καί τή Συρία καί τήν Κιλικία καί τήν Καππαδοκία, ἀλλά

τὴν Σαρακηνῶν καὶ Περσῶν καὶ Ἀρμενίων, τὴν τῶν ἄλλων βαρβάρων. Διὰ γὰρ τοῦτο εἶπε, «καὶ κύκλῳ», ἵνα μὴ τὴν κατευθὺ λεωφόρον ἔλθῃς μόνον, ἀλλὰ πᾶσαν καὶ τὴν κατὰ τὸν νότον περιδράμῃς τῇ διανοίᾳ Ἀσίαν. Καὶ ὥσπερ νιφάδας θαυμάτων ἑνὶ λόγῳ παρέδραμεν, εἰπών, «ἐν δυνάμει σημείων καὶ τεράτων», οὕτω καὶ πόλεις ἀπείρους, καὶ ἔθνη καὶ δήμους καὶ χώρας ἑνὶ τούτῳ πάλιν συνεῖλε ῥήματι, τῷ «κύκλῳ». Πόρρω γὰρ ἦν τύφου παντός· καὶ ταῦτα δὲ διὰ τούτους ἐφθέγγετο, ὥστε μὴ μέγα φρονεῖν ἐφ' ἑαυτοῖς. Καὶ ἀρχόμενος μέν φησιν, «ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν», ἐνταῦθα δὲ ἀνάγκην ἱερωσύνης τίθησιν. Ἐπειδὴ γὰρ τραχύτερον ἐφθέγξατο, καὶ σαφέστερον αὐτοῦ δείκνυσι τὴν ἐξουσίαν. Διὰ τοῦτο ἐκεῖ μὲν ἁπλῶς φησι, «καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν», ἐνταῦθα δὲ καὶ τὸν τόπον λέγει πάντα, ὥστε πάντοθεν αὐτῶν ὑποτέμνεσθαι τὸ φρόνημα. Καὶ οὐχ ἁπλῶς εἶπε κηρῦξαι τὸ εὐαγγέλιον, ἀλλά, «πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ».

3. *«Οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίσασθαι, ὅπου οὐκ ὠνομάσθη Χριστός». Ἰδοὺ πάλιν ἑτέρα ὑπερβολή, ὅτι οὐ μόνον τοσούτους εὐηγγελίσατο καὶ ἔπεισεν, ἀλλ' ὅτι οὐδὲ πρὸς μεμεθηκότας ἀπῆλθε. Τοσοῦτον ἀπεῖχε τοῦ ἐπιρρίπτειν ἑαυτὸν ἀλλοτρίοις μαθηταῖς, καὶ δόξης ἕνεκεν τοῦτο ποιεῖν, ὅτι καὶ ἐσπούδαζε τοὺς μὴ ἀκηκοότας διδάσκειν. Οὐδὲ γὰρ εἶπεν, ὅπου οὐκ ἐπείσθησαν, ἀλλ', «ὅπου οὐδὲ ὠνομάσθη Χριστός», ὃ πλέον ἐστί. Καὶ τίνος ἕνεκεν τοιαῦτα ἐφιλοτιμεῖτο; «Ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ», φησί. Ταῦτα δὲ λέγει, δεικνὺς ἑαυτὸν ἀλλότριον ὄντα κενοδοξίας, καὶ παιδεύων αὐτούς, ὅτι οὐκ ἀπὸ τοῦ δόξης ἐρᾶν καὶ τῆς παρ' αὐτῶν τιμῆς ἐπὶ τὸ γράψαι ἦλθεν, ἀλλ' ὡς διακονίαν πληρῶν, ὡς ἱερουργίαν ἀπαρτίζων, ὡς τῆς σωτηρίας αὐτῶν ἐρῶν. Ἀλλότριον δὲ τὸν τῶν ἀποστόλων φησίν, οὐ κατὰ τὴν τοῦ προσώπου ποιότητα, οὐδὲ κατὰ τὴν τοῦ κηρύγματος φύσιν, ἀλλὰ κατὰ τὸν τοῦ μισθοῦ λόγον·*

---

13. Ρωμ. 1,13.

λογάριαζε καί ὅλα τά πίσω μέρη, τή χώρα τῶν Σαρακηνῶν καί τῶν Περσῶν καί τῶν 'Αρμενίων, τή χώρα τῶν ἄλλων βαρβάρων. Γι' αὐτό λοιπόν εἶπε, «καί τά γύρω μέρη», γιά νά μή βαδίσεις μόνο τή λεωφόρο πού βρίσκεται μπροστά, ἀλλά νά περιτρέξεις μέ τό νοῦ καί ὅλη τή νότια 'Ασία. Καί ὅπως ἀκριβῶς μ' ἕνα λόγο διέτρεξε πάρα πολλά θαύματα, λέγοντας «μέ τή δύναμη σημείων καί τεράτων», ἔτσι καί ἄπειρες πόλεις καί ἔθνη καί λαούς καί χῶρες συνόψισε πάλι μέ τόν ἕνα αὐτόν λόγο, δηλαδή «τά γύρω μέρη». Ἦταν μακριά ἀπό κάθε ἀλαζονεία· καί αὐτά τά ἔλεγε γι' αὐτούς, γιά νά μήν ἔχουν μεγάλη ἰδέα γιά τόν ἑαυτό τους. Στήν ἀρχή τῆς ἐπιστολῆς βέβαια λέγει, «γιά νά ἔχω κάποιο καρπό καί μεταξύ σας καθώς καί μεταξύ τῶν λοιπῶν ἐθνικῶν»[13], ἐνῶ ἐδῶ ἀναφέρει τήν ἀνάγκη τῆς ἱερωσύνης. 'Επειδή λοιπόν μίλησε σκληρότερα, δείχνει καί τήν ἐξουσία του σαφέστερα. Γι' αὐτό βέβαια ἐκεῖ ἁπλῶς λέγει, «καθώς καί μεταξύ τῶν λοιπῶν ἐθνικῶν», ἐνῶ ἐδῶ ἀναφέρει καί ὅλο τόν τόπο, ὥστε ἀπό παντοῦ νά συγκρατεῖ τό φρόνημά τους. Καί δέν εἶπε ἁπλῶς 'κήρυξα τό εὐαγγέλιο', ἀλλά «ἔχω συμπληρώσει τό εὐαγγέλιο τοῦ Χριστοῦ».

3. «Καί ἔτσι ἀγωνίζομαι φιλότιμα νά κηρύττω τό εὐαγγέλιο ἐκεῖ, ὅπου δέν κηρύχθηκε ὁ Χριστός». Νά πάλι ἄλλη ὑπερβολή, ὅτι ὄχι μόνο κήρυξε σέ τόσο πολλούς τό εὐαγγέλιο καί τούς ἔπεισε, ἀλλ' ὅτι οὔτε πῆγε σ' ἐκείνους πού τό εἶχαν διδαχθεῖ. Τόσο πολύ ἀπεῖχε ἀπό τό νά πηγαίνει σέ ξένους μαθητές καί νά τό κάνει αὐτό ἐξ αἰτίας δόξας, γιατί ἔτρεχε νά διδάσκει ἐκείνους πού δέν τό εἶχαν ἀκούσει. Γιατί δέν εἶπε, 'ὅπου δέν πίστεψαν', ἀλλά, «ὅπου δέν κηρύχθηκε ὁ Χριστός», πράγμα πού εἶναι σπουδαιότερο. Καί γιά ποιό λόγο ἀγωνιζόταν ἔτσι; «Γιά νά μήν οἰκοδομῶ ἐπάνω σέ ξένο θεμέλιο», λέγει. Καί τά λέγει αὐτά μέ σκοπό νά δείξει ὅτι ὁ ἴδιος εἶναι ξένος πρός τή ματαιοδοξία, καί νά τούς διδάξει, ὅτι δέν τούς ἔγραψε ἀπό ἐπιθυμία δόξας καί τιμῆς ἐκ μέρους αὐτῶν, ἀλλά γιατί ἐκπλήρωνε ὑπηρεσία, ἔφερνε σέ πέρας ἱερουργία, ἐπιθυμοῦσε πολύ τή σωτηρία τους. Καί λέγει ξένο τό θεμέλιο τῶν ἀποστόλων, ὄχι σέ σχέση πρός τήν ποιότητα τοῦ προσώπου, οὔτε σέ σχέση πρός τή

ἐπεὶ τὰ κηρύγματα οὐκ ἀλλότρια ἦν, ἀλλ' ὅσον εἰς μισθὸν ἀλλότριον. Ὁ γὰρ τῶν ἑτέροις πεπονημένων μισθός, τούτου ἀλλότριος ἦν.

Εἶτα δείκνυσι καὶ προφητείαν πληρουμένην, λέγων· «καθὼς γέγραπται· οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν». Ὁρᾷς ἐπιτρέχοντα ὅπου πλείων ὁ πόνος, ὅπου μείζων ὁ ἱδρώς; «Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς». Σκόπει πῶς πάλιν ὁμοίως τῷ προοιμίῳ τὸ τέλος ὑφαίνει. Καὶ γὰρ καὶ ἀρχόμενος τῆς ἐπιστολῆς ἔλεγεν, ὅτι «πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο»· ἐνταῦθα δὲ καὶ τὴν αἰτίαν τίθησι, δι' ἣν ἐκωλύθη· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις. Ὥσπερ γὰρ ἐκεῖ φησι, «πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς», οὕτω καὶ ἐνταῦθα, «ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς». Ὅπερ μάλιστα τὴν ἐπιθυμίαν αὐτοῦ δείκνυσι, τὸ πολλάκις ἐπιχειρεῖν. «Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις». Ὁρᾷς πῶς ἔδειξεν, ὅτι οὐ τῆς παρ' αὐτῶν ἐφιέμενος δόξης ἔγραφέ τε καὶ παρεγίνετο; «Ἐπιποθίαν δὲ ἔχων ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν· ὡς ἐὰν πορεύωμαι εἰς Σπανίαν, ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ».

Ἵνα γὰρ μὴ δόξῃ ἐξευτελίζειν αὐτοὺς τῷ λέγειν, ὅτι ἐπειδὴ οὐδὲν ἔχω ποιῆσαι, διὰ τοῦτο ἔρχομαι πρὸς ὑμᾶς, πάλιν τὸν τῆς ἀγάπης κινεῖ λόγον εἰπών, «ἐπιποθίαν ἔχω ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν». Οὐ γὰρ διὰ τοῦτο ἐπεθύμησα ἐλθεῖν, ἐπειδὴ σχολὴν ἄγω, ἀλλ' ἵνα τὴν ἐπιθυμίαν, ἣν πάλαι ὤδινον, ταύτην ἀποτέκω. Εἶτα, ἵνα μὴ τοῦτο πάλιν αὐτοὺς φυσήσῃ, σκόπει πῶς αὐτοὺς καταστέλλει, εἰπών, «ὡς ἐὰν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς». Διὰ γὰρ τοῦτο τέθεικε τοῦτο ἵνα μὴ μέγα φρονῶσιν· ὁμοῦ γὰρ καὶ τὴν ἀγάπην δεῖξαι βούλεται, καὶ κωλῦσαι θρύπτεσθαι ἐκείνους. Διὸ συνεχῶς αὐτὰ τίθησι καὶ ἐφεξῆς, ἐναλλάττων τὰ ἑκατέρων τούτων κατασκευαστικά. Διά τοι

---

14. Ἡσ. 52,15.
15. Ρωμ. 1,13.

φύση τοῦ κηρύγματος, ἀλλά σέ σχέση πρός τήν αἰτιολογία τοῦ μισθοῦ. Γιατί ὁ μισθός γιά ἐκεῖνα πού εἶχαν κατορθωθεῖ ἀπ' ἄλλους, ἦταν ξένος γι' αὐτόν.

Ἔπειτα δείχνει καί προφητεία[14] νά ἐκπληρώνεται, λέγοντας· «καθώς εἶναι γραμμένο· θά δοῦν ἐκεῖνοι στούς ὁποίους δέν τόν εἶχαν ἀναγγείλει, καί ἐκεῖνοι πού δέν εἶχαν ἀκούσει γι' αὐτόν, θά ἐννοήσουν». Βλέπεις ὅτι τρέχει ἐκεῖ ὅπου εἶναι περισσότερος ὁ κόπος, ὅπου εἶναι μεγαλύτερος ὁ ἱδρώτας; «Γι' αὐτό καί ἐμποδίσθηκα πολλές φορές νά ἔρθω σ' ἐσᾶς». Πρόσεχε πῶς πάλι ὅμοια μέ τό προοίμιο ὑφαίνει τό τέλος. Καθόσον καί ὅταν ἄρχιζε τήν ἐπιστολή ἔλεγε, «πολλές φορές εἶχα τήν πρόθεση νά ἔρθω σ' ἐσᾶς, ἀλλά μέχρι σήμερα ἐμποδίσθηκα»[15], ἐδῶ ὅμως ἀναφέρει καί τήν αἰτία, γιά τήν ὁποία ἐμποδίσθηκε, καί ὄχι μία φορά, ἀλλά καί δύο καί πολλές φορές. Ὅπως ἀκριβῶς λοιπόν ἐκεῖ λέγει, «πολλές φορές εἶχα τήν πρόθεση νά ἔρθω σ' ἐσᾶς», ἔτσι καί ἐδῶ· «ἐμποδίσθηκα πολλές φορές νά ἔρθω σ' ἐσᾶς». Τό πράγμα πού κατ' ἐξοχήν δείχνει τήν ἐπιθυμία του εἶναι τό ὅτι ἐπιχείρησε πολλές φορές. «Τώρα ὅμως, ἐπειδή δέν ἔχω πιά στά μέρη αὐτά τόπο». Βλέπεις πῶς ἔδειξε, ὅτι ἔγραφε καί ἐρχόταν, ὄχι ἐπειδή ἐπιθυμοῦσε τή δόξα ἀπ' αὐτούς; «Ἀπό πολλά χρόνια ἐπιθυμῶ ὑπερβολικά νά ἔρθω σ' ἐσᾶς· ὅταν θά πηγαίνω στήν Ἱσπανία, ἐλπίζω περνώντας νά σᾶς δῶ καί νά μέ προπέμψετε πρός τά ἐκεῖ, ἀφοῦ πρῶτα σᾶς ἀπολαύσω γιά λίγο καιρό».

Γιά νά μή φανεῖ λοιπόν πώς τούς ἐξευτελίζει μέ αὐτό πού λέγει, ὅτι, ἐπειδή δέν ἔχω νά κάμω τίποτε, γι' αὐτό ἔρχομαι σ' ἐσᾶς, πάλι κινεῖ τό λόγο τῆς ἀγάπης λέγοντας, «ἀπό πολλά χρόνια ἐπιθυμῶ ὑπερβολικά νά ἔρθω σ' ἐσᾶς». Δέν ἐπιθύμησα λοιπόν γι' αὐτό νά ἔρθω, ἐπειδή δέν ἔχω τί νά κάνω, ἀλλά γιά νά πραγματοποιήσω τήν ἐπιθυμία, πού ἀπό παλιά εἶχα μέσα μου. Ἔπειτα, γιά νά μήν τούς φουσκώσει αὐτό πάλι, πρόσεχε πῶς τούς συγκρατεῖ μέ τό νά πεῖ, «ὅταν θά πηγαίνω στήν Ἱσπανία, ἐλπίζω περνώντας νά σᾶς δῶ». Γι' αὐτό λοιπόν τό ἀναφέρει αὐτό, γιά νά μήν ὑπερηφανεύονται· γιατί θέλει συγχρόνως καί τήν ἀγάπη νά δείξει καί νά τούς ἐμποδίσει νά καυχῶνται. Γι' αὐτό καί στή συνέχεια αὐτά διαρκῶς ἀναφέρει,

τοῦτο πάλιν, ἵνα μὴ λέγωσιν, ὁδοῦ πάρεργον ἡμᾶς ποιῇ; ἐπήγαγε, «καὶ ὑφ' ὑμῶν προπεμφθῆναι»· τουτέστιν, ἵνα ὑμεῖς μοι μαρτυρήσητε, ὅτι οὐ καταφρονῶν ὑμῶν, ἀλλ' ἑλκόμενος ὑπὸ τῆς χρείας παρατρέχω. Ἐπειδὴ δὲ καὶ τοῦτο ἔτι λυπεῖ, λιπαρώτερον αὐτὸ θεραπεύει, λέγων, «ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ» Τῷ μὲν γὰρ εἰπεῖν, «διαπορευόμενος», δείκνυσιν οὐκ ἀφιέμενος αὐτῶν τῆς δόξης, τῷ δὲ εἰπεῖν, «ἐμπλησθῶ», δείκνυσιν ἐρῶν αὐτῶν τῆς ἀγάπης, καὶ οὐχ ἁπλῶς ἐρῶν, ἀλλὰ καὶ σφοδρῶς· διὸ οὐδὲ εἶπεν, «ἐμπλησθῶ», ἀλλ', «ἀπὸ μέρους». Οὐδεὶς γάρ με χρόνος ἐμπλῆσαι δύναται, οὐδὲ ἐμποιῆσαί μοι κόρον τῆς συνουσίας ὑμῶν.

Εἶδες πῶς τὴν ἀγάπην δείκνυσιν, ὅταν καὶ ἐπειγόμενος μὴ πρότερον ἀνίστηται, ἕως ἂν ἐμπλησθῇ; Καὶ τοῦτο δὲ τῆς πολλῆς αὐτοῦ φιλοστοργίας σημεῖον, τὸ τοῖς ρήμασιν οὕτω θερμῶς κεχρῆσθαι. Οὐδὲ γὰρ εἶπε, θεάσομαι, ἀλλ' «ἐμπλησθῶ», τὰ τῶν γονέων μιμούμενος ρήματα. Καὶ ἀρχόμενος μὲν ἔλεγεν, «ἵνα τινὰ καρπὸν σχῶ», ἐνταῦθα δέ, «ἵνα ἐμπλησθῶ», ἅπερ ἀμφότερα ἐφελκομένου ἦν. Τὸ μὲν γὰρ ἐγκώμιον αὐτῶν ἦν μέγιστον, εἴγε καρπὸν αὐτῷ παρέχειν ἔμελλον ἐκ τῆς ὑπακοῆς, τὸ δέ, τῆς αὐτοῦ φιλίας δεῖγμα γνήσιον. Καὶ Κορινθίοις δὲ ἐπιστέλλων οὕτως ἔλεγεν· «ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι», διὰ πάντων τὴν πρὸς τοὺς μαθητὰς ἀγάπην ἐνδεικνύμενος, ἧς ἴσον οὐδέν. Διὸ καὶ ἀρχόμενος ἀεὶ τῶν ἐπιστολῶν ἐντεῦθεν προοιμιάζεται, καὶ τελευτῶν εἰς τοῦτο καταλύει πάλιν. Καθάπερ γὰρ πατὴρ φιλόπαις μονογενὲς παιδίον καὶ γνήσιον, ἐφίλει τοὺς πιστοὺς ἅπαντας· διὸ καὶ ἔλεγε, «τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι»;

4. *Καὶ γὰρ πρὸ τῶν ἄλλων ἁπάντων τοῦτο χρὴ τὸν διδάσκαλον ἔχειν. Διὸ καὶ Πέτρῳ ἔλεγεν ὁ Χριστός, «εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου». Ὁ γὰρ τὸν Χριστὸν φιλῶν, καὶ τὴν ποίμνην αὐτοῦ φιλεῖ. Καὶ τὸν Μωϋσέα δὲ τότε ἐπέστησε τῷ δήμῳ τῶν Ἰουδαίων,*

---

16. Α' Κορ. 16,6.
17. Β' Κορ. 11,19.
18. Ἰω. 21,16.

ἐναλλάσσοντας τά κατασκευαστικά τῶν δύο αὐτῶν. Γι' αὐτό ἀκριβῶς πάλι, γιά νά μή λέγουν, 'μᾶς κάνει πάρεργο τοῦ ταξιδιοῦ του;' πρόσθεσε, «καί νά μέ προπέμψετε», δηλαδή, γιά νά εἶστε μάρτυρές μου, ὅτι δέν περνῶ στά γρήγορα ἀπό σᾶς ἐπειδή σᾶς περιφρονῶ, ἀλλ' ἐπειδή μέ πιέζει ἡ ἀνάγκη. Ἐπειδή ὅμως καί αὐτό ἀκόμη λυπεῖ, τό θεραπεύει μέ πιό εὐγενικό τρόπο, λέγοντας, «ἀφοῦ πρῶτα σᾶς ἀπολαύσω γιά λίγο καιρό». Γιατί μέ τό νά πεῖ, «περνώντας», δείχνει ὅτι δέν ἐπιθυμεῖ τή δόξα τους, ἐνῶ μέ τό νά πεῖ, «νά σᾶς ἀπολαύσω», δείχνει ὅτι ποθεῖ τήν ἀγάπη τους, καί ὄχι ἁπλῶς τήν ποθεῖ, ἀλλά καί σφόδρα· γι' αὐτό δέν εἶπε, «ἀπολαύσω», ἀλλά «γιά λίγο καιρό». Γιατί κανείς χρόνος δέν μπορεῖ νά μέ κάνει νά σᾶς χορτάσω, οὔτε νά μοῦ προξενήσει κορεσμό τῆς συναναστροφῆς σας.

Εἶδες πῶς δείχνει τήν ἀγάπη του, μέ τό ὅτι, ἄν καί βιάζεται δέ σηκώνεται προηγουμένως νά φύγει, προτοῦ νά τούς ἀπολαύσει; Καί αὐτό εἶναι ἀπόδειξη τῆς φιλοστοργίας του, τό νά χρησιμοποιεῖ δηλαδή τόσο θερμά λόγια. Γιατί δέν εἶπε, 'θά σᾶς δῶ', ἀλλά «θά σᾶς ἀπολαύσω», μιμούμενος τά λόγια τῶν γονέων. Καί ὅταν ἄρχιζε βέβαια ἔλεγε, «γιά νά ἔχω κάποιο καρπό», ἐνῶ ἐδῶ λέγει «γιά νά σᾶς ἀπολαύσω», πού ἀνῆκαν καί τά δύο σέ ἀνώτερο ἄνθρωπο. Γιατί τό ἕνα ἦταν μέγιστος ἔπαινος γι' αὐτούς, ἐφόσον βέβαια ἐπρόκειτο νά τοῦ δώσουν καρπό ἀπό τήν ὑπακοή τους, τό ἄλλο ἦταν γνήσια ἀπόδειξη τῆς ἀγάπης του. Καί στούς Κορινθίους ὅταν ἔγραφε ἔτσι ἔλεγε· «γιά νά μέ προπέμψετε ἐσεῖς ὁπουδήποτε μεταβῶ»[16], ἀποδεικνύοντας μέ ὅλα τήν ἀγάπη του πρός τούς μαθητές του, μέ τήν ὁποία δέν εἶναι ἴσο τίποτε. Γι' αὐτό καί ἀρχίζοντας πάντοτε τίς ἐπιστολές, ἀπό ἐδῶ κάνει τήν ἀρχή καί, ὅταν τελειώνει, σ' αὐτό καταλήγει πάλι. Γιατί ὅπως ἀκριβῶς ὁ πατέρας ἀγαπάει τόν μονογενή υἱό του, ἔτσι ἀγαποῦσε ὅλους τούς πιστούς· γι' αὐτό καί ἔλεγε, «ποιός ἀσθενεῖ καί δέν ἀσθενῶ καί ἐγώ; ποιός σκανδαλίζεται καί ἐγώ δέν καίομαι;»[17].

4. Καί πράγματι πρίν ἀπ' ὅλα τά ἄλλα αὐτό πρέπει νά ἔχει ὁ διδάσκαλος. Γι' αὐτό καί στόν Πέτρο ἔλεγε ὁ Χριστός, «ἄν μ' ἀγαπᾶς, ποίμαινε τά πρόβατά μου»[18]. Γιατί ὅποιος ἀγαπάει τό Χριστό, ἀγαπάει καί τήν ποίμνη του. Ἀλλά καί τό Μωυσῆ τότε τόν ὅρισε ἀρχη-

ὅτε τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐπεδείξατο· καὶ ὁ Δαυΐδ δὲ οὕτως ἐπὶ τὴν βασιλείαν ἦλθε, πρότερον φιλόστοργος περὶ αὐτοὺς φανείς. Οὕτω γοῦν ἔτι νέος ὢν ἤλγησεν ὑπὲρ τοῦ λαοῦ, ὡς καὶ τὴν αὐτοῦ ψυχὴν ἐπιδοῦναι, ἡνίκα τὸν βάρβαρον ἐκεῖνον καθεῖλεν. Εἰ δὲ λέγει, «τί ἔσται τῷ ἀνελόντι τὸν ἀλλόφυλον τοῦτον;» οὐ μισθὸν ἀπαιτῶν ἔλεγεν, ἀλλὰ πιστευθῆναι βουλόμενος, καὶ ἐγχειρισθῆναι τὴν πρὸς αὐτὸν μάχην. Ὅτε γοῦν εἰσῆλθε πρὸς τὸν βασιλέα μετὰ τὴν νίκην, οὐδὲν ὑπὲρ τούτων διελέχθη. Καὶ ὁ Σαμουὴλ δὲ σφόδρα φιλόστοργος ἦν· διὸ καὶ ἔλεγεν, «ἐμοὶ δὲ μὴ γένοιτο διαμαρτεῖν τοῦ διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν τῷ Κυρίῳ». Οὕτω καὶ Παῦλος, μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον ἁπάντων περιεκαίετο τῶν ἀρχομένων. Διὸ καὶ τοὺς μαθητὰς οὕτω πρὸς αὐτὸν διέθηκεν, ὡς εἰπεῖν, ὅτι, «εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι».

Διὰ τοῦτο καὶ τοῖς Ἰουδαίων διδασκάλοις τοῦτο πρὸ τῶν ἄλλων ὁ Θεὸς ἐγκαλεῖ λέγων· «ὦ οἱ ποιμένες Ἰσραήλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς; οὐχὶ τὰ πρόβατα βόσκουσιν;». Ἐκεῖνοι δὲ τοὐναντίον ἐποίουν. «Τὸ γάλα γάρ», φησί, «κατεσθίετε, καὶ τὰ ἔρια περιβάλλεσθε, καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ πρόβατα οὐκ ἐβόσκετε». Καὶ ὁ Χριστὸς δὲ ποιμένος ἀρίστου κανόνα ἐκφέρων ἔλεγεν· «ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων». Τοῦτο ὁ Δαυΐδ ἐποίησε πολλαχοῦ τε ἀλλαχοῦ, καὶ ἡνίκα ἄνωθεν κατὰ τοῦ δήμου παντὸς ἡ φοβερὰ ἐκείνη ὀργὴ κατεφέρετο. Πάντων γὰρ σφαττομένων ἔλεγεν, «ἐγὼ ὁ ποιμὴν ἥμαρτον, ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι, τὸ ποίμνιον, τί ἐποίησαν;». Διὰ τοῦτο καὶ ἐν τῇ αἱρέσει τῶν τιμωριῶν ἐκείνων οὐ λιμὸν εἵλετο, οὐ δίωξιν ἐχθρῶν, ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ πεμπόμενον θάνατον, δι' οὗ προσεδόκα τοὺς μὲν ἄλλους ἐν ἀσφαλείᾳ καταστήσειν, αὐτὸν δὲ πρὸ τῶν ἄλλων ἁπάντων κατενεχθήσεσθαι.

---

19. Α' Βασ. 17,26.
20. Α' Βασ. 12,23.
21. Γαλ. 4,15.
22. Ἰεζ. 34,2.
23. Ἰεζ. 34,3.
24. Ἰω. 10,11.
25. Β' Βασ. 24,17.

γό τοῦ Ἰουδαϊκοῦ λαοῦ, ὅταν φανέρωσε τήν εὔνοιά του πρός τούς Ἰουδαίους· ἐπίσης καί ὁ Δαβίδ ἔτσι ἦρθε στή βασιλεία, ἀφοῦ πρῶτα φάνηκε φιλόστοργος πρός αὐτούς. Τόσο πολύ πόνεσε γιά τό λαό, ἐνῶ ἀκόμη ἦταν νέος, ὥστε προτίμησε καί τήν ψυχή του νά θυσιάσει, ὅταν φόνευσε ἐκεῖνον τό βάρβαρο. Ἐάν ὅμως λέγει, «τί θά συμβεῖ σ' ἐκεῖνον πού θά φονεύσει τόν ἀλλόφυλο αὐτόν;»[19], δέν τό ἔλεγε μέ σκοπό ν' ἀπαιτήσει μισθό, ἀλλά γιατί ἤθελε νά τόν ἐμπιστευθοῦν καί νά τοῦ ἀναθέσουν τή μάχη ἐναντίον του. Ὅταν λοιπόν παρουσιάσθηκε στό βασιλιά μετά τή νίκη, δέν ἀνέφερε τίποτε γι' αὐτά. Ἀλλά καί ὁ Σαμουήλ ἐπίσης ἦταν πάρα πολύ φιλόστοργος· γι' αὐτό καί ἔλεγε, «εἴθε νά μήν κάνω τήν ἁμαρτία σταματώντας νά προσεύχομαι στόν Κύριο γιά σᾶς»[20]. Ἔτσι καί ὁ Παῦλος, ἤ καλύτερα ὄχι ἔτσι, ἀλλά πολύ περισσότερο ἀπ' ὅλους φλεγόταν ἀπό ἀγάπη γιά τούς μαθητές του. Γι' αὐτό καί αὐτούς τούς ἔκαμε νά συμπεριφέρονται ἔτσι πρός αὐτόν, ὥστε νά πεῖ, «ἐάν ἦταν δυνατό καί τά μάτια σας θά βγάζατε καί θά μοῦ τά δίνατε»[21].

Γι' αὐτό καί τούς διδασκάλους τῶν Ἰουδαίων ὁ Θεός τούς κατηγορεῖ γι' αὐτό πρίν ἀπ' ὅλα, λέγοντας· «ἀλλοίμονο σέ σᾶς, ποιμένες τοῦ Ἰσραήλ. Μήπως τόν ἑαυτό τους βόσκουν οἱ ποιμένες; δέ βόσκουν τά πρόβατά τους;»[22]. Ἐκεῖνοι ὅμως ἔκαναν τό ἀντίθετο. Γιατί λέγει, «τό γάλα τους τρῶτε καί μέ τά μαλλιά τους ντύνεσθε καί τό παχύτερο ἀπ' αὐτά σφάζετε, καί ὅμως τά πρόβατα δέν τά βοσκούσατε»[23]. Καί ὁ Χριστός ἐξάλλου ὁρίζοντας τόν κανόνα τοῦ ἄριστου ποιμένα ἔλεγε· «ὁ ποιμένας ὁ καλός θυσιάζει τή ζωή του γιά τά πρόβατα»[24]. Αὐτό ἔκανε ὁ Δαβίδ καί ἀλλοῦ πολλές φορές, ἀλλά καί ὅταν ἀπό τόν οὐρανό ἔπεφτε ἐναντίον ὅλου τοῦ λαοῦ ἡ φοβερή ἐκείνη ὀργή. Γιατί ὅταν ὅλοι σφάζονταν ἔλεγε, «ἐγώ ὁ ποιμένας ἁμάρτησα, ἐγώ ὁ ποιμένας ἔκανα τό κακό. Καί αὐτοί, πού εἶναι τό ποίμνιο, σέ τί ἔφταιξαν;»[25]. Γι' αὐτό καί στήν ἐκλογή τῶν τιμωριῶν ἐκείνων δέν προτίμησε τήν πείνα, οὔτε τήν καταδίωξη ἀπό τούς ἐχθρούς, ἀλλά τό θάνατο πού στέλνεται ἀπό τό Θεό, μέ τόν ὁποῖο προσδοκοῦσε τούς ἄλλους νά ἀσφαλίσει, ἐνῶ ὁ ἴδιος νά θανατωθεῖ πρίν ἀπ' ὅλους τούς ἄλλους.

Ἐπειδὴ δὲ τοῦτο οὐκ ἐγένετο, θρηνεῖ καὶ λέγει· «ἐν ἐμοὶ ἡ χείρ σου»· εἰ δὲ οὐκ ἀρκεῖ, «καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου». «Ἐγὼ γάρ», φησίν, «ὁ ποιμὴν ἥμαρτον». Ὡσανεὶ ἔλεγεν, ὅτι εἰ καὶ οὗτοι ἥμαρτον, ἐγὼ ὑπεύθυνος ἤμην τῇ τιμωρίᾳ ὁ μὴ διορθούμενος· ὅταν δὲ καὶ ἐμὸν τὸ ἁμάρτημα, ἐγὼ δίκαιος ἂν εἴην δοῦναι τὴν τιμωρίαν. Καὶ γὰρ αὐξῆσαι τὸ ἔγκλημα θέλων, τὸ τοῦ ποιμένος ἔθηκεν ὄνομα. Οὕτω γοῦν τὴν ὀργὴν ἔστησεν, οὕτω τὴν ἀπόφασιν ἀνεκαλέσατο. Τοσοῦτόν ἐστιν ἐξομολόγησις μέγα· «δίκαιος γὰρ ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ»· τοσοῦτον κηδεμονία καὶ συμπάθεια ποιμένος ἀρίστου. Καὶ γὰρ ἐσπαράττετο αὐτοῦ τὰ σπλάγχνα πιπτόντων ἐκείνων, καθάπερ παίδων γνησίων ἀναιρουμένων· διὸ καὶ ἐπ' αὐτὸν τὴν ὀργὴν ἐλθεῖν ἠξίου. Καὶ ἐν ἀρχῇ δὲ τῆς σφαγῆς τοῦτο ἐποίησεν ἄν, εἰ μὴ βαδίζουσαν ὁδῷ καὶ ἐπ' αὐτὸν ἥξειν προσεδόκησεν. Ὅτε γοῦν εἶδε τοῦτο μὲν οὐ γινόμενον, ἐκείνους δὲ ἐπινεμονένην τὴν συμφοράν, οὐκέτι ἤνεγκεν, ἀλλ' ἀνήφθη μᾶλλον, ἢ ἐπὶ τοῦ Ἀμνὼν τοῦ πρωτοτόκου. Τότε γοῦν θάνατον οὐκ ᾔτησε, νῦν δὲ ἀξιοῖ πρὸ τῶν ἄλλων πεσεῖν.

Τοιοῦτον εἶναι χρὴ τὸν ἄρχοντα, καὶ μᾶλλον ταῖς ἑτέρων, ἢ ταῖς οἰκείαις ἀλγεῖν συμφοραῖς. Τοιοῦτον γοῦν τι καὶ ἐπὶ τοῦ παιδὸς ἔπαθεν, ἵνα μάθῃς, ὅτι οὐδὲν πλέον τῶν ἀρχομένων τὸν παῖδα ἐφίλει. Καίτοιγε ἀκόλαστος ἦν ὁ νεανίσκος καὶ πατραλοίας, ἀλλ' ὅμως ἔλεγε· «τίς δῴη μοι θάνατον ἀντὶ σοῦ»; Τί λέγεις, ὦ μακάριε, καὶ πάντων ἀνθρώπων πραότατε; Ἀνελεῖν σε ἐσπούδαζεν ὁ παῖς, καὶ μυρίοις σε περιέβαλε κακοῖς· καὶ ὅτε ἐκ μέσου γέγονε, καὶ τὸ τρόπαιον ἔστη, τότε εὔχῃ σφαγῆναι; Ναί, φησίν. Οὐ γὰρ ἐμοὶ νενίκηκε τὸ στρατόπεδον, ἀλλ' ἔτι πολεμοῦμαι σφοδρότερον ἢ πρότερον, καὶ τὰ σπλάγχνα μοι διακόπτεται νῦν μειζόνως.

Οὗτοι μὲν οὖν ἅπαντες τῶν ἐγκεχειρισμένων ἐφρόντιζον, ὁ δὲ μακάριος Ἀβραὰμ καὶ τῶν οὐκ ἐμπεπιστευμένων αὐτῷ πολλὴν

---

26. Παροιμ. 18,17.
27. Β' Βασ. 18,33.

Ἐπειδή ὅμως δέν ἔγινε αὐτό, θρηνεῖ καί λέγει· «ἄς πέσει τό χέρι σου ἐναντίον μου», καί ἄν αὐτό δέν εἶναι ἀρκετό, «ἄς πέσει καί στόν οἶκο τοῦ πατέρα μου». «Γιατί ἐγώ», λέγει, «ὁ ποιμένας ἁμάρτησα». Σάν νά ἔλεγε· παρ' ὅλο πού καί αὐτοί ἁμάρτησαν, ἐγώ πού εἶμαι ἀδιόρθωτος, ἤμουν ὑπεύθυνος γιά τήν τιμωρία, καί ἀφοῦ τό ἁμάρτημα εἶναι δικό μου, θά ἦταν δίκαιο ἐγώ νά τιμωρηθῶ. Καθόσον, θέλοντας νά μεγαλώσει τήν κατηγορία, ἀνέφερε τό ὄνομα τοῦ ποιμένα. Ἔτσι λοιπόν σταμάτησε τήν ὀργή, ἔτσι ἀνακάλεσε τήν ἀπόφαση. Τόσο μεγάλο πράγμα εἶναι ἡ ἐξομολόγηση· «ὁ δίκαιος πρῶτος θά κατηγορήσει τόν ἑαυτό του στό δικαστήριο»[26])· τόσο μεγάλη εἶναι ἡ φροντίδα καί ἡ συμπάθεια τοῦ ἄριστου ποιμένα. Πραγματικά σπαραζόταν ἡ καρδιά του, ὅταν ἔπεφταν ἐκεῖνοι, σάν νά θανατώνονταν γνήσια παιδιά του· γι' αὐτό καί ἀξίωνε νά ἔρθει ἐπάνω του ἡ ὀργή. Καί στήν ἀρχή τῆς σφαγῆς θά τό ἔκαμε αὐτό, ἄν δέν προσδοκοῦσε προχωρώντας ἡ ὀργή νά πέσει καί πάνω του. Ὅταν λοιπόν εἶδε νά μή γίνεται αὐτό, ἀλλ' ἡ συμφορά νά κατατρώγει ἐκείνους, δέν ἄντεξε πιά, ἀλλά ταράχθηκε πολύ περισσότερο ἀπ' ὅ,τι στήν περίπτωση τοῦ Ἀμνών τοῦ πρωτότοκου υἱοῦ του. Τότε βέβαια δέ ζήτησε θάνατο, τώρα ὅμως ἀξιώνει νά πέσει πρίν ἀπό τούς ἄλλους.

Τέτοιος πρέπει νά εἶναι ὁ ἄρχοντας καί νά λυπᾶται περισσότερο γιά τίς συμφορές τῶν ἄλλων παρά γιά τίς δικές του. Κάτι τέτοιο λοιπόν ἔπαθε καί στήν περίπτωση τοῦ υἱοῦ του, γιά νά μάθεις ὅτι δέν ἀγαποῦσε τόν υἱό του καθόλου περισσότερο ἀπό τούς ἀρχομένους. Μολονότι βέβαια ὁ νέος ἦταν ἀκόλαστος καί πατροκτόνος, ἀλλ' ὅμως ἔλεγε· «γιατί νά μήν πεθάνω ἐγώ ἀντί γιά σένα;»[27]. Τί λέγεις, μακάριε καί πραότατε ἀπ' ὅλους τούς ἀνθρώπους; Προσπαθοῦσε νά σέ φονεύσει ὁ υἱός σου καί σέ περιέβαλε μέ ἄπειρα κακά· καί ὅταν ἔφυγε ἀπό τή μέση καί στήθηκε τό τρόπαιο, τότε εὔχεσαι νά σφαγεῖς; Ναί, λέγει. Γιατί δέν ἔχει νικήσει γιά μένα ὁ στρατός, ἀλλ' ἀκόμη πολεμοῦμαι σφοδρότερα παρά προηγουμένως καί τά σπλάγχνα μου σχίζονται τώρα περισσότερο.

Ὅλοι λοιπόν αὐτοί φρόντιζαν γιά ἐκείνους πού εἶχαν ἀναλάβει. ἐνῶ ὁ μακάριος Ἀβραάμ ἔδειχνε τήν πολλή φροντίδα του καί

ἐποιεῖτο τὴν πρόνοιαν, καὶ τοσαύτην, ὡς καὶ κινδύνοις ἑαυτὸν περιβαλεῖν χαλεποῖς. Ὅτι γὰρ οὐχ ὑπὲρ ἀδελφιδοῦ μόνον ἔπραττεν ἅπερ ἔπραττεν, ἀλλὰ καὶ ὑπὲρ τῶν Σοδομιτῶν, οὐ πρότερον ἀπέστη τοὺς Πέρσας ἐλαύνων ἐκείνους, ἕως πάντας αὐτοὺς ἠλευθέρωσε. Καίτοιγε ἐξῆν λαβόντι τοῦτον ἀναχωρεῖν, ἀλλ' οὐκ ἠθέλησε· καὶ γὰρ πάντων ὁμοίως ἐκήδετο. Καὶ τοῦτο καὶ διὰ τῶν μετὰ ταῦτα δῆλον ἐποίησεν. Ὅτε γοῦν οὐ βαρβάρων στρατόπεδον ἔμελλεν αὐτοὺς πολιορκεῖν, ἀλλ' ἡ θεήλατος ὀργὴ τὰς πόλεις αὐτῶν ἐκ βάθρων ἀνέσπα, καὶ οὐκέτι ὅπλων ἦν ὁ καιρός, οὐδὲ μάχης καὶ παρατάξεως, ἀλλ' ἱκετηρίας, τοσαύτην ἐποιήσατο ὑπὲρ αὐτῶν σπουδήν, ὅσην ἂν εἰ αὐτὸς ἀπόλλυσθαι ἔμελλε. Διὰ δὴ τοῦτο καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις προσέρχεται τῷ Θεῷ, καὶ ἐπὶ τὴν φύσιν καταφεύγει λέγων· «ἐγὼ δέ εἰμι γῆ καὶ σποδός». Καὶ ἐπειδὴ οἴκοθεν εἶδεν αὐτοὺς προδεδομένους, δι' ἑτέρους αὐτοὺς ἠξίου σώζεσθαι. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἔλεγεν· «οὐ μὴ κρύψω ἀπὸ τοῦ παιδός μου Ἀβραὰμ ἃ μέλλω ποιεῖν;», ἵνα ἡμεῖς μάθωμεν πῶς ἐστι φιλάνθρωπος ὁ δίκαιος. Καὶ οὐδ' ἂν ἀπέστη παρακαλῶν, εἰ μὴ ὁ Θεὸς ἀπέστη πρῶτος. Καὶ δοκεῖ μὲν ὑπὲρ τῶν δικαίων δεῖσθαι, τὸ δὲ πᾶν ὑπὲρ ἐκείνων ἐποίει.

Καὶ γὰρ σφόδρα εἰσὶν αἱ τῶν ἁγίων ψυχαὶ ἥμεροι καὶ φιλάνθρωποι, καὶ περὶ τοὺς οἰκείους καὶ περὶ τοὺς ἀλλοτρίους, καὶ μέχρις ἀλόγων αὐτῶν ταύτην ἐκτείνουσι τὴν ἡμερότητα. Διὰ τοῦτο καὶ σοφός τις ἔλεγε, «δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ»· εἰ δὲ κτηνῶν, πόσῳ μᾶλλον ἀνθρώπων; Ἀλλ' ἐπειδὴ κτηνῶν ἐμνήσθην, λογισώμεθα καὶ τοὺς τῶν προβάτων ποιμένας τοὺς ἐν τῇ Καππαδοκῶν χώρᾳ, οἷα καὶ ἡλίκα πάσχουσιν ὑπὲρ τῆς τῶν ἀλόγων προστασίας. Πολλάκις γοῦν χιόνι καταχωσθέντες, τρεῖς ἐφεξῆς ἔμειναν ἡμέρας. Λέγονται δὲ καὶ οἱ ἐν τῇ Λιβύῃ οὐκ ἐλάττονα τούτων

---

28. Βλ. Γεν. 14,14–46.
29. Γεν. 18,27.
30. Γεν. 18,17.
31. Παροιμ. 12,10.

γιά ἐκείνους πού δέν τοῦ εἶχαν ἀνατεθεῖ, καί μάλιστα τόσο, ὥστε νά περιβάλει τόν ἑαυτό του καί μέ φοβερούς κινδύνους. Τό ὅτι λοιπόν δέν ἔκανε, ὅσα ἔκανε, γιά χάρη τοῦ ἀνεψιοῦ του μόνο, ἀλλά καί γιά χάρη τῶν Σοδομιτῶν, γίνεται φανερό ἀπό τό ὅτι δέ σταμάτησε νά καταδιώκει τούς Πέρσες ἐκείνους προηγουμένως, μέχρι πού τούς ἐλευθέρωσε ὅλους[28]. Ἄν καί βέβαια ἦταν δυνατό νά ἐπιστρέψει, ἀφοῦ ἔλαβε τόν ἀνεψιό του, ἀλλά δέ θέλησε, γιατί γιά ὅλους φρόντιζε τό ἴδιο. Καί αὐτό τό ἔκαμε φανερό καί μετά ἐπόμενα. Ὅταν λοιπόν ἐπρόκειτο νά τούς πολιορκήσει ὄχι στρατός βαρβάρων, ἀλλά ἡ θεόσταλτη ὀργή κατέστρεφε ἀπό τά θεμέλια τίς πόλεις τους καί δέν ἦταν πιά ὁ καιρός γιά ὅπλα οὔτε γιά μάχη καί παράταξη, ἀλλά γιά ἱκεσία, τόση φροντίδα ἔδειξε γιά τή σωτηρία τους, ὅση θά ἔδειχνε ἄν ἐπρόκειτο νά χαθεῖ ὁ ἴδιος. Γι' αὐτό ἀκριβῶς καί μιά φορά καί δύο καί τρεῖς καί πολλές φορές πλησιάζει τό Θεό καί καταφεύγει στή φύση του λέγοντας· «ἐγώ εἶμαι χῶμα καί στάχτη»[29]. Καί ἐπειδή εἶδε πώς εἶχαν παραδοθεῖ ἀπό μόνοι τους, ἔκρινε ἄξιο νά σωθοῦν ἐξ αἰτίας ἄλλων. Γι' αὐτό καί ὁ Θεός ἔλεγε, «μήπως θά κρύψω ἀπό τόν Ἀβραάμ τό δοῦλο μου αὐτά πού θά κάνω;»[30], γιά νά μάθουμε ἐμεῖς πῶς εἶναι φιλάνθρωπος ὁ δίκαιος. Καί δέ θά σταματοῦσε νά παρακαλεῖ, ἄν ὁ Θεός δέ σταματοῦσε πρῶτος. Καί φαίνεται βέβαια ὅτι παρακαλεῖ γιά τή σωτηρία τῶν δικαίων, ἐνῶ τά πάντα ἔκανε γιά τή σωτηρία ἐκείνων.

Καί πράγματι οἱ ψυχές τῶν ἁγίων εἶναι πάρα πολύ ἥμερες καί φιλάνθρωπες καί γιά τούς οἰκείους τους καί γιά τούς ξένους, καί ἁπλώνουν τήν πραότητα αὐτή μέχρι τά ἄλογα ζῶα. Γι' αὐτό καί κάποιος σοφός ἔλεγε, «ὁ δίκαιος ἄνθρωπος ἐνδιαφέρεται γιά τίς ψυχές τῶν ζώων του»[31]· ἄν ὅμως ἐνδιαφέρεται γιά τίς ψυχές τῶν ζώων, πόσο περισσότερο ἐνδιαφέρεται γιά τίς ψυχές τῶν ἀνθρώπων; Ἀλλ' ἐπειδή θυμήθηκα τά ζῶα, ἄς σκεφθοῦμε καί τούς ποιμένες τῶν προβάτων, πού εἶναι στήν Καππαδοκία, τί καί πόσα παθαίνουν γιά τήν προστασία τῶν ζώων. Πολλές φορές λοιπόν καταπλακώθηκαν ἀπό τό χιόνι καί ἔμειναν τρεῖς συνεχόμενες ἡμέρες. Λέγεται ὅμως ὅτι καί οἱ ποιμένες, πού εἶναι στή Λιβύη, δέν ὑποφέρουν μικρότερα ἀπ' αὐτούς δεινά, περιπλανώμενοι ὁλόκληρους μῆνες στή φοβερή ἐκεί-

ὑπομένειν δεινά, μῆνας ὁλοκλήρους τὴν χαλεπὴν ἔρημον ἐκείνην καὶ τῶν πικροτάτων γέμουσαν θηρίων περιπολοῦντες. Εἰ δὲ περὶ ἄλογα τοσαύτη ἡ σπουδή, τίνα ἂν ἔχοιμεν ἀπολογίαν οἱ ψυχὰς λογικὰς ἐμπιστευθέντες, καὶ τὸν βαθὺν τοῦτον καθεύδοντες ὕπνον; Ἀναπνεῖν γὰρ ὅλως ἐχρῆν; ἡσυχάζειν δὲ ὅλως; ἀλλ᾽ οὐ πανταχοῦ περιτρέχειν, καὶ μυρίοις ἑαυτοὺς ἐκδιδόναι θανάτοις ὑπὲρ τῶν προβάτων τούτων;

Ἢ οὐκ ἴστε τῆς ἀγέλης ταύτης τὸ ἀξίωμα; Οὐχ ὑπὲρ ταύτης ὁ δεσπότης ὁ σὸς μυρία ἐπραγματεύσατο, καὶ τὸ αἷμα ὕστερον ἐξέχεε τὸ ἑαυτοῦ; σὺ δὲ ἀνάπαυσιν ζητεῖς; καὶ τί χεῖρον γένοιτ᾽ ἂν τῶν ποιμένων τούτων; Οὐκ ἐννοεῖς τοῦτο, ὅτι περιεστήκασι τὰ πρόβατα ταῦτα λύκοι τούτων πολὺ πικρότεροί τε καὶ ἀγριώτεροι; Οὐ λογίζῃ πρὸς ἑαυτὸν οἵας δεῖ ψυχῆς τῷ μέλλοντι ταύτην μεταχειρίζειν τὴν ἀρχήν; Ἀλλ᾽ ἄνθρωποι μὲν δημαγωγοὶ ὑπὲρ τῶν τυχόντων βουλευόμενοι πραγμάτων, τὰς νύκτας ταῖς ἡμέραις προστιθέασιν ἀγρυπνοῦντες, ἡμεῖς δὲ ὑπὲρ οὐρανοῦ τὸν ἀγῶνα ἔχοντες, καὶ ἐν ἡμέρᾳ καθεύδομεν; καὶ τίς ἡμᾶς ἐξαιρήσεται λοιπὸν τῆς ἐπὶ τούτοις κολάσεως; Εἰ γὰρ τὸ σῶμα κατακόπτεσθαι ἔδει, εἰ γὰρ μυρίους ὑποστῆναι θανάτους, οὐχ ὡς ἐπὶ πανήγυριν τρέχειν ἐχρῆν; Ταῦτα δὲ μὴ μόνον ποιμένες, ἀλλὰ καὶ τὰ πρόβατα ἀκουέτω, ἵνα τοὺς ποιμένας προθυμοτέρους ποιῶσιν, ἵνα μᾶλλον αὐτῶν τὴν προαίρεσιν ἀλείφωσιν, ἕτερον μὲν οὐδέν, πειθὼ δὲ καὶ ὑπακοὴν πᾶσαν παρέχοντες. Οὕτω καὶ Παῦλος ἐκέλευσε λέγων, «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, ὡς λόγον ἀποδώσοντες». Ὅταν δὲ εἴπῃ «ἀγρυπνοῦσι», μυρίους λέγει πόνους καὶ φροντίδας καὶ κινδύνους.

Ὁ γὰρ καλὸς ποιμήν, καὶ τοιοῦτος οἷον ὁ Χριστὸς βούλεται, μυρίοις ἁμιλλᾶται μάρτυσιν. Ὁ μὲν γὰρ ἅπαξ δι᾽ αὐτὸν ἀπέθανεν, οὗτος δὲ μυριάκις διὰ τὴν ποίμνην, εἴγε ποιμὴν εἴη τοιοῦτος, οἷον εἶναι χρή· ὁ γὰρ τοιοῦτος καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκειν δύνα-

32. Ἑβρ. 13,17.

νη ἔρημο καί γεμάτη ἀπό τά ἄγρια θηρία. Ἐάν ὅμως εἶναι τόσο μεγάλη ἡ φροντίδα γιά τά ἄλογα, ποιά ἀπολογία θά ἔχουμε ἐμεῖς πού ἔχουμε ἀναλάβει ψυχές λογικές καί κοιμόμαστε τόν βαθύ αὐτόν ὕπνο; Ἔπρεπε λοιπόν ν' ἀναπαυόμαστε τελείως; ἔπρεπε νά ἡσυχάζουμε ἐντελῶς; δέν ἔπρεπε νά τρέχουμε παντοῦ καί νά παραδίνουμε τούς ἑαυτούς μας σέ χίλιους θανάτους γιά χάρη τῶν προβάτων αὐτῶν;

Ἤ δέ γνωρίζετε τήν ἀξία αὐτῆς τῆς ἀγέλης; δέν πραγματοποίησε ἄπειρα γι' αὐτήν ὁ δικός σου Κύριος καί δέν ἔχυσε τελευταῖα τό αἷμα του; καί σύ ζητᾶς ἀνάπαυση; καί τί θά μποροῦσε νά ὑπάρξει χειρότερο ἀπό τούς ποιμένες αὐτούς; Δέν σκέπτεσαι αὐτό, ὅτι περιτριγυρίζουν τά πρόβατα αὐτά λύκοι πολύ ποιό μοχθηροί καί πιό ἄγριοι ἀπ' αὐτούς; Δέ σκέπτεσαι ποιά ψυχή χρειάζεται ἐκεῖνος πού πρόκειται νά μεταχειρισθεῖ αὐτή τήν ἐξουσία; Καί οἱ ἡγέτες βέβαια τοῦ λαοῦ ὅταν συσκέπτονται γιά νά ἀποφασίσουν γιά τά τυχαῖα πράγματα, προσθέτουν στίς ἡμέρες τίς νύχτες ξαγρυπνώντας, ἐνῶ ἐμεῖς πού κάνουμε τόν ἀγώνα γιά τόν οὐρανό κοιμόμαστε καί τήν ἡμέρα; καί ποιός θά μᾶς γλυτώσει πλέον ἀπό τήν τιμωρία γι' αὐτά; Γιατί, ἄν χρειαζόταν νά κατακομματιάζεται τό σῶμα μας, ἄν χρειαζόταν νά ὑποστοῦμε ἄπειρους θανάτους, δέν θά ἔπρεπε νά τρέχουμε σάν νά πηγαίναμε σέ πανηγύρι; Αὐτά ὅμως ἄς μήν τά ἀκοῦν μόνο οἱ ποιμένες ἀλλά καί τά πρόβατα, γιά νά κάνουν πιό πρόθυμους τούς ποιμένες, γιά νά παρακινοῦν περισσότερο τήν προαίρεσή τους, παρέχοντας κάθε πειθώ καί ὑπακοή, καί τίποτε ἄλλο. Ἔτσι καί ὁ Παῦλος διέταξε λέγοντας, «νά ὑπακοῦτε καί νά ὑποτάσσεσθε στούς προϊσταμένους σας, γιατί αὐτοί ἀγρυπνοῦν γιά τίς ψυχές σας, σάν ἄνθρωποι πού θά δώσουν λόγο γιά σᾶς»[32]. Ὅταν ὅμως λέγει, «ἀγρυπνοῦν», ἐννοεῖ ἄπειρους κόπους καί φροντίδες καί κινδύνους.

Ὁ καλός λοιπόν ποιμένας, πού εἶναι τέτοιος ὅπως τόν θέλει ὁ Χριστός, συναγωνίζεται ἄπειρους μάρτυρες. Γιατί βέβαια ἐκεῖνος πέθανε γι' αὐτόν μία φορά, ἐνῶ αὐτός πεθαίνει ἄπειρες φορές γιά τήν ποίμνη, ἄν βέβαια εἶναι ποιμένας τέτοιος ὅπως πρέπει νά εἶναι· γιατί ἕνας τέτοιος ποιμένας μπορεῖ νά πεθαίνει κάθε ἡμέρα. Γι' αὐτό

ται. Διὸ καὶ ὑμεῖς εἰδότες τὸν πόνον, συμπράττετε ταῖς εὐχαῖς, τῇ σπουδῇ, τῇ προθυμίᾳ, τῇ φιλίᾳ· ἵνα καὶ ἡμεῖς ὑμῶν, καὶ ὑμεῖς ἡμῶν καύχημα γένησθε. Διὰ τοῦτο γὰρ καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων, καὶ ὑπὲρ τοὺς ἄλλους αὐτὸν φιλοῦντι, τοῦτο ἐνεχείρισε, πρότερον ἐρωτήσας αὐτόν, εἰ φιλοῖτο παρ' αὐτοῦ, ἵνα μάθῃς, ὅτι τοῦτο πρὸ τῶν ἄλλων τῆς ἀγάπης τῆς εἰς αὐτὸν τεκμήριον τίθεται· καὶ γὰρ νεανικῆς δεῖται τοῦτο ψυχῆς. Ταῦτα δέ μοι περὶ ἀρίστων ποιμένων εἴρηται, οὐ περὶ ἐμαυτοῦ καὶ τῶν καθ' ἡμᾶς, ἀλλ' εἴ τις τοιοῦτος, οἷος ὁ Παῦλος ἦν, οἷος ὁ Πέτρος, οἷος Μωϋσῆς. Τούτους οὖν μιμησώμεθα καὶ ἄρχοντες καὶ ἀρχόμενοι· ἔξεστι γὰρ καὶ ἀρχομένῳ ἐν μέρει εἶναι ποιμένος, τῆς οἰκίας, τῶν φίλων, τῶν οἰκετῶν, τῆς γυναικός, τῶν παιδίων. Κἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

καί σεῖς γνωρίζοντας τόν κόπο, συμπράττετε μέ τίς προσευχές, μέ τή φροντίδα, τήν προθυμία, τή φιλία, γιά νά γίνουμε καύχημά σας καί σεῖς δικό μας. Γι' αὐτό λοιπόν καί στόν κορυφαῖο ἀπό τούς ἀποστόλους πού ἀγαποῦσε τό Χριστό περισσότερο ἀπό τούς ἄλλους, αὐτό ἐμπιστεύθηκε, ἀφοῦ πρῶτα τόν ρώτησε, ἄν ἀγαπιέται ἀπ' αὐτόν, γιά νά μάθεις, ὅτι αὐτό πρίν ἀπό τά ἄλλα θεωρεῖται ἀπόδειξη τῆς ἀγάπης γι' αὐτόν· καθόσον χρειάζεται αὐτό νεανική ψυχή. Αὐτά βέβαια τά εἶπα γιά ἄριστους ποιμένες, ὄχι γιά τόν ἑαυτό μου καί τούς δικούς μας, ἀλλ' ἄν ὑπάρχει κάποιος τέτοιος, ὅπως ἦταν ὁ Παῦλος, ὅπως ὁ Πέτρος, ὅπως ὁ Μωυσῆς. Αὐτούς λοιπόν ἄς μιμηθοῦμε καί ἄρχοντες καί ἀρχόμενοι· γιατί εἶναι δυνατό καί ὁ ἀρχόμενος νά εἶναι ἐν μέρει ποιμένας τοῦ σπιτιοῦ, τῶν φίλων, τῶν ὑπηρετῶν, τῆς γυναίκας, τῶν παιδιῶν του. Καί ἄν ἔτσι τακτοποιοῦμε τίς ὑποθέσεις μας, θά ἐπιτύχουμε ὅλα τά ἀγαθά, στά ὁποῖα εἴθε ὅλοι μας νά πάρουμε μέρος μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στόν ὁποῖο ἀνήκει ἡ δόξα στούς αἰῶνες. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΑ'

(Ρωμ. 15,25–16,4)

«Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλήμ, διακονῶν τοῖς ἁγίοις. Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. Εὐδόκησαν γάρ, καὶ ὀφειλέται αὐτῶν εἰσιν».

1. *Ἐπειδὴ εἶπεν, ὅτι τόπον οὐκέτι ἔχω ἐν τοῖς κλίμασι τούτοις, καὶ ἐπιποθίαν ἔχω ἐκ πολλῶν ἐτῶν ἐλθεῖν πρὸς ὑμᾶς, ἔμελλε δὲ ἔτι βραδύνειν, ἵνα μὴ νομίζηται διαχλευάζειν αὐτούς, λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ἀναβάλλεται τέως, καί φησιν, ὅτι «πορεύομαι εἰς Ἱεροσόλυμα». Καὶ δοκεῖ μὲν τὴν πρόφασιν λέγειν τῆς μελλήσεως, διὰ δὲ τούτων καὶ ἕτερόν τι κατασκευάζει, τὸ προτρέψαι ἐκείνους εἰς ἐλεημοσύνην, καὶ σπουδαιοτέρους ποιῆσαι. Ἐπεὶ εἰ μὴ τοῦτο ἐσπούδαζε κατορθῶσαι, ἤρκει εἰπεῖν, ὅτι πορεύομαι εἰς Ἱερουσαλήμ· νῦν δὲ καὶ τὴν αἰτίαν προστίθησι τῆς ἀποδημίας. «Πορεύομαι γάρ», φησί, «διακονῶν τοῖς ἁγίοις». Καὶ ἐνδιατρίβει τῷ λόγῳ, καὶ λογισμοὺς κινεῖ, λέγων ὅτι ὀφειλέται εἰσί, καὶ ὅτι, «εἰ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι», ἵνα μάθωσιν ἐκεῖνοι τούτους ζηλοῦν.*

Διὸ καὶ μάλιστα αὐτοῦ τὴν σοφίαν θαυμάσαι ἄξιον, ὅτι τοῦτον τῆς συμβουλῆς τὸν τρόπον ἐπενόησεν· οὕτω γὰρ μᾶλλον ἠνείχοντο ἢ εἰ ἐν τάξει παραινέσεως εἶπε. Καὶ γὰρ ἔδοξαν ἂν ὑβρίζεσθαι, εἰ εἰς προτροπὴν αὐτῶν Κορινθίους παρήγαγεν εἰς μέσον καὶ

ΟΜΙΛΙΑ ΛΑ'

(Ρωμ. 15,25-16,4)

«Τώρα ὅμως πηγαίνω στήν Ἱερουσαλήμ, ἐκτελώντας ὑπηρεσία πρός τούς ἐκεῖ Χριστιανούς. Γιατί ἡ Μακεδονία καί ἡ Ἀχαΐα ἀποφάσισαν νά κάνουν κάποια συνεισφορά γιά τούς φτωχούς τῶν Χριστιανῶν τῆς Ἱερουσαλήμ. Ἀποφάσισαν λοιπόν, καί μάλιστα εἶναι χρεῶστες σ' αὐτούς».

1. Ἐπειδή εἶπε, ὅτι δέν ἔχω πιά τόπο σ' αὐτά τά μέρη καί ἀπό πολλά χρόνια ἔχω μεγάλη ἐπιθυμία νά ἔρθω σ' ἐσᾶς, ἐπρόκειτο ὅμως νά καθυστερήσει ἀκόμη, γιά νά μή θεωροῦνταν ὅτι τούς περιπαίζει, ἀναφέρει καί τήν αἰτία, γιά τήν ὁποία ἀναβάλλει τώρα τό ταξίδι του, καί λέγει, «πηγαίνω στά Ἱεροσόλυμα». Καί φαίνεται βέβαια ὅτι λέγει τήν πρόφαση τῆς ἀναβολῆς, μ' αὐτά ὅμως ἐπιδιώκει καί κάτι ἄλλο, τό νά προτρέψει δηλαδή αὐτούς σέ ἐλεημοσύνη καί νά τούς κάμει περισσότερο δραστήριους. Γιατί, ἄν δέν προσπαθοῦσε αὐτό νά ἐπιτύχει, ἦταν ἀρκετό νά πεῖ, «πηγαίνω στήν Ἱερουσαλήμ»· τώρα ὅμως προσθέτει καί τήν αἰτία τοῦ ταξιδιοῦ του. «Πηγαίνω», λέγει, «ἐκτελώντας ὑπηρεσία πρὸς τούς ἐκεῖ Χριστιανούς». Καί παρατείνει τό λόγο στό σημεῖο αὐτό καί κάνει σκέψεις, λέγοντας ὅτι εἶναι χρεῶστες καί ὅτι, «ἐάν τά ἔθνη συμμερίσθηκαν τά πνευματικά τους ἀγαθά, ὀφείλουν νά τούς συνδράμουν καί στά ὑλικά ἀγαθά», γιά νά μάθουν ἐκεῖνοι νά τούς μιμοῦνται.

Γι' αὐτό καί ἀξίζει νά θαυμάσουμε πάρα πολύ τή σοφία τοῦ Παύλου, ἐπειδή ἐπινόησε αὐτόν τόν τρόπο τῆς συμβουλῆς, γιατί ἔτσι θά τόν ἀνέχονταν περισσότερο παρά ἄν τό ἔλεγε σάν παραίνεση. Καθόσον θά φαίνονταν ὅτι περιφρονοῦνται, ἄν, γιά νά τούς προ-

Μακεδόνας. Διὰ δὴ τοῦτο ἐκείνους μὲν οὕτω προτρέπει λέγων· «γνωρίζω δὲ ὑμῖν τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ταῖς ἐκκλησίαις τῆς Μακεδονίας»· καὶ Μακεδόνας δὲ διὰ τούτων πάλιν· «ὁ γὰρ ἐξ ὑμῶν ζῆλος», φησίν, «ἠρέθισε τοὺς πλείονας». Καὶ διὰ Γαλατῶν δὲ ὁμοίως τοῦτο ποιεῖ, ὡς ὅταν λέγῃ· «ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε». Ἐπὶ δὲ Ῥωμαίων οὐχ οὕτως, ἀλλ' ὑπεσταλμένως μᾶλλον. Ποιεῖ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ κηρύγματος, ὡς ὅταν λέγῃ· «ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν»; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν»; Οὐδὲν γὰρ οὕτως, ὡς ζῆλος, ἰσχυρόν. Διὸ πολλαχοῦ αὐτὸ τίθησι· καὶ γὰρ καὶ ἀλλαχοῦ φησι· «καθὼς ἐν πάσαις ταῖς ἐκκλησίαις διατάσσομαι»· καὶ πάλιν, «καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω». Καὶ Κολασσαεῦσι δὲ ἔλεγεν, ὅτι «ἐστὶ καρποφορούμενον καὶ αὐξανόμενον τὸ εὐαγγέλιον ἐν παντὶ τῷ κόσμῳ». Τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ ἐπὶ τῆς ἐλεημοσύνης.

Καὶ σκόπει πῶς μεγαλοπρεπῶς ταῖς λέξεσι κέχρηται· οὐδὲ γὰρ εἶπε, πορεύομαι ἐλεημοσύνην ἀποφέρων, ἀλλά, «διακονῶν». Εἰ δὲ Παῦλος διακονεῖ, ἐννόησον ἡλίκον τὸ γινόμενον, ὅταν ὁ τῆς οἰκουμένης διδάσκαλος καταδέχηται ἀποκομίζειν, καὶ μέλλων εἰς Ῥώμην ἀποδημεῖν, καὶ οὕτως αὐτοὺς ἐπιποθῶν, τοῦτο ἐκείνου προτιμᾷ. «Ηὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα»· τουτέστιν, ἐδοκίμασαν, ἐπεθύμησαν, «κοινωνίαν τινά». Πάλιν οὐκ εἶπεν ἐλεημοσύνην, ἀλλά, «κοινωνίαν». Τὸ δέ, «τινά», οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἵνα μὴ δόξῃ τούτους ὀνειδίζειν. Καὶ οὐκ εἶπεν ἁπλῶς, εἰς τοὺς πτωχούς, ἀλλ', «εἰς τοὺς πτωχοὺς τῶν ἁγίων», διπλῆν ποιῶν τὴν σύστασιν, καὶ τὴν ἀπὸ τῆς ἀρετῆς, καὶ τὴν ἀπὸ τῆς πενίας. Καὶ οὐδὲ τούτῳ μόνον ἠρκέσθη, ἀλλ' ἐπήγαγεν, ὅτι «ὀφειλέται εἰσίν». Εἶτα δείκνυσι πῶς ὀφειλέται. «Εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν», φησίν, «ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς». Ὃ δὲ λέγει, τοῦτό ἐστι· δι' αὐτοὺς ἦλθεν ὁ Χρι-

τρέψει, ἔφερνε γιά παράδειγμα τούς Κορινθίους καί τούς Μακεδόνες. Γι᾽ αὐτό λοιπόν ἐκείνους βέβαια ἔτσι τούς προτρέπει, λέγοντας, «σᾶς κάνουμε ὅμως γνωστή τή χάρη τοῦ Θεοῦ πού ἔδωσε ὁ Θεός στίς ἐκκλησίες τῆς Μακεδονίας»[1]· ἐπίσης καί τούς Μακεδόνες μέ αὐτά τούς προτρέπει πάλι· «γιατί ὁ ζῆλος σας», λέγει, «κέντρισε τούς περισσότερους»[2]· ἀλλά καί μέ τούς Γαλάτες τό ἴδιο κάνει, λέγοντας· «ὅπως ἀκριβῶς ὅρισα στίς ἐκκλησίες τῆς Γαλατίας, ἔτσι καί σεῖς νά κάνετε»[3]. Στήν περίπτωση τῶν Ρωμαίων ὅμως δέν ἐνεργεῖ ἔτσι, ἀλλά μέ περισσότερη ἐπιφυλακτικότητα. Καί τό κάνει αὐτό καί στό κήρυγμα, ὅπως ὅταν λέγει· «Ἤ μήπως ὁ λόγος τοῦ Θεοῦ ξεκίνησε ἀπό σᾶς ἤ σ᾽ ἐσᾶς μόνο κατέληξε;»[4]. Γιατί τίποτε δέν εἶναι τόσο ἰσχυρό ὅπως ὁ ζῆλος. Γι᾽ αὐτό τό ἀναφέρει τοῦτο σέ πολλά σημεῖα· καθόσον καί ἀλλοῦ λέγει· «αὐτές τίς ἐντολές δίνω σέ ὅλες τίς ἐκκλησίες»[5]· καί πάλι, «καθώς διδάσκω παντοῦ σέ κάθε ἐκκλησία». Ἀλλά καί στούς Κολοσσαεῖς ἔλεγε, «τό εὐαγγέλιο φέρει καρπούς καί αὐξάνει σέ ὅλο τόν κόσμο»[6]. Αὐτό λοιπόν καί ἐδῶ κάνει στήν περίπτωση τῆς ἐλεημοσύνης.

Καί πρόσεχε πῶς χρησιμοποιεῖ μέ μεγαλοπρέπεια τίς λέξεις· γιατί δέν εἶπε, 'πηγαίνω μεταφέροντας ἐλεημοσύνη', ἀλλά, «ἐκτελώντας ὑπηρεσία». Ἐάν ὅμως ὁ Παῦλος ἐκτελεῖ ὑπηρεσία, σκέψου πόσο μεγάλο εἶναι αὐτό πού γίνεται, ὅταν ὁ διδάσκαλος τῆς οἰκουμένης καταδέχεται νά μεταφέρει, καί, ἐνῶ πρόκειται νά ταξιδέψει στή Ρώμη καί τούς ἐπιθυμεῖ αὐτούς τόσο πολύ, προτιμάει αὐτό ἀντί γιά ἐκεῖνο. «Γιατί ἡ Μακεδονία καί ἡ Ἀχαΐα εὐδόκησαν»· δηλαδή, ἔκριναν καλό, ἐπιθύμησαν «κάποια συνεισφορά». Πάλι δέν εἶπε 'ἐλεημοσύνη', ἀλλά «συνεισφορά». Καί τό «κάποια» δέν τό ἀνέφερε τυχαῖα, ἀλλά γιά νά μή φανεῖ πώς ἐπικρίνει αὐτούς. Καί δέν εἶπε ἁπλῶς, 'στούς φτωχούς', ἀλλά, «στούς φτωχούς τῶν Χριστιανῶν», γιά νά κάνει διπλή τή σύσταση, καί ἀπό τήν ἀρετή, καί ἀπό τή φτώχεια. Καί δέν ἀρκέσθηκε μόνο σ᾽ αὐτό, ἀλλά πρόσθεσε, ὅτι «εἶναι χρεῶστες». Ἔπειτα δείχνει πῶς εἶναι χρεῶστες. «Γιατί ἄν τά ἔθνη», λέγει, «συμμερίσθηκαν τά πνευματικά τους ἀγαθά, ὀφείλουν νά τούς συνδράμουν καί στά ὑλικά ἀγαθά». Αὐτό πού λέγει, σημαίνει τό ἑξῆς· γι᾽ αὐτούς ἦρθε ὁ Χριστός, σ᾽ αὐτούς πού προέρχονται

στός, αὐτοῖς ἦν ἅπαντα ἐπηγγελμένα τοῖς ἐξ Ἰουδαίων ἐξ αὐτῶν ὁ Χριστός· διὸ καὶ ἔλεγεν, «ἐκ τῶν Ἰουδαίων ἐστὶν ἡ σωτηρία»· ἐκεῖθεν οἱ ἀπόστολοι, ἐκεῖθεν οἱ προφῆται, ἐκεῖθεν τὰ ἀγαθὰ πάντα. Τούτων οὖν ἁπάντων ἐκοινώνησεν ἡ οἰκουμένη.

Εἰ τοίνυν ἐν τοῖς μείζοσιν ἐκοινωνήσατε, φησί, καὶ τῶν δείπνων ἐκείνοις παρεσκευασμένων ὑμεῖς εἰσελθόντες ἀπηλαύσατε τῶν προκειμένων, κατὰ τὴν τοῦ εὐαγγελίου παραβολήν, ὀφείλετε καὶ τῶν σαρκικῶν κοινωνῆσαι καὶ μεταδοῦναι αὐτοῖς. Καὶ οὐκ εἶπε, κοινωνῆσαι, ἀλλά, «λειτουργῆσαι»· ἐν τάξει διακόνων αὐτοὺς καθιστάς, καὶ τῶν βασιλεῦσι τελούντων φόρους. Καὶ οὐκ εἶπεν, ἐν τοῖς σαρκικοῖς ὑμῶν, ὥσπερ ἐν τοῖς πνευματικοῖς αὐτῶν· τὰ μὲν γὰρ πνευματικὰ ἐκείνων, τὰ δὲ σαρκικὰ οὐ τούτων μόνων, ἀλλὰ κοινὰ πάντων· τὰ γὰρ χρήματα πάντων ἐκέλευσεν εἶναι, οὐχὶ τῶν κεκτημένων μόνον. «Τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον»· τουτέστιν, ὡς εἰς βασιλικὰ ταμιεῖα ἀποθέμενος, ὡς ἐν ἀσύλῳ καὶ ἀσφαλεῖ χωρίῳ. Καὶ οὐκ εἶπεν, ἐλεημοσύνην, ἀλλὰ πάλιν, «τὸν καρπόν», δεικνὺς κερδαίνοντας τοὺς παρέχοντας.

«Ἀπελεύσομαι δι' ὑμῶν εἰς Σπανίαν». Πάλιν μέμνηται τῆς Σπανίας, δεικνὺς τὸ ἄοκνον καὶ τὸ περὶ ἐκείνους θερμόν. «Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι». Τί ἐστιν, «ἐν πληρώματι εὐλογίας»; Ἤτοι περὶ χρημάτων φησίν, ἢ περὶ πάντων ἁπλῶς τῶν κατορθωμάτων. Εὐλογίαν γάρ, ὡς τὰ πολλά, τὴν ἐλεημοσύνην εἴωθε λέγειν· ὡς ὅταν λέγῃ, «ὡς εὐλογίαν καὶ μὴ ὡς πλεονεξίαν»· καὶ ἔθος δὲ παλαιὸν οὕτως ἦν καλεῖσθαι τὸ πρᾶγμα. Ἐπειδὴ δὲ ἐνταῦθα προσέθηκε, «τοῦ εὐαγγελίου», διὰ τοῦτό φαμεν οὐ περὶ χρημάτων μόνον εἰρηκέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων· ὡσανεὶ εἶπεν, οἶδα δὲ ὅτι ἐρχόμενος ὄψομαι ὑμᾶς ἐν ἅπασιν εὐδοκιμοῦντας, καὶ κομῶντας τοῖς ἀγαθοῖς, καὶ μυρίων ἐπαίνων ἀξίους τῶν κατὰ τὸ

7. Ἰω. 4,22.
8. Β' Κορ. 9,5.

ἀπό τούς Ἰουδαίους δόθηκαν ὅλες οἱ ὑποσχέσεις, ἀπ' αὐτούς προέρχεται ὁ Χριστός (γι' αὐτό καί ἔλεγε· «ἡ σωτηρία ἔρχεται ἀπό τούς Ἰουδαίους»[7]), ἀπό ἐκεῖ προέρχονται οἱ ἀπόστολοι, ἀπό ἐκεῖ οἱ προφῆτες, ἀπό ἐκεῖ ὅλα τά ἀγαθά. Σ' ὅλα αὐτά λοιπόν ἔλαβε μέρος ἡ οἰκουμένη.

Ἐάν λοιπόν, λέγει, γίνατε συμμέτοχοι στά μεγαλύτερα, καί, παρ' ὅλο πού τά δεῖπνα ἑτοιμάσθηκαν γιά ἐκείνους, ἐάν ἐσεῖς μπήκατε καί ἀπολαύσατε τά προσφερόμενα ἀγαθά, σύμφωνα μέ τήν παραβολή τοῦ εὐαγγελίου, ὀφείλετε νά γίνετε συμμέτοχοι καί στά ὑλικά καί νά μεταδώσετε αὐτά σ' αὐτούς. Καί δέν εἶπε, 'νά γίνετε συμμέτοχοι', ἀλλά, «νά ὑπηρετήσουν», τοποθετώντας αὐτούς στή θέση τῶν διακόνων καί ἐκείνων πού πληρώνουν φόρους στούς βασιλεῖς. Καί δέν εἶπε, 'στά ὑλικά σας ἀγαθά', ὅπως στά πνευματικά τους (γιατί τά πνευματικά ἀγαθά ἀνῆκαν σ' ἐκείνους, ἐνῶ τά ὑλικά δέν ἦταν δικά τους μόνο, ἀλλά κοινά γιά ὅλους), γιατί ὅρισε τά χρήματα νά εἶναι κτῆμα ὅλων, ὄχι μόνον ἐκείνων πού τά ἔχουν ἀποκτήσει. «Ἀφοῦ λοιπόν ἐκτελέσω τό ἔργο αὐτό καί ἀφοῦ τούς παραδώσω μέ ἀσφάλεια τόν καρπόν αὐτόν», δηλαδή, ἀφοῦ τόν ἀποθέσω σάν σέ βασιλικά θησαυροφυλάκια, σάν σέ μέρος ἀσύλητο καί ἀσφαλισμένο. Καί δέν εἶπε 'ἐλεημοσύνη', ἀλλά πάλι «τόν καρπό», γιά νά δείξει ὅτι ἔχουν κέρδος ἐκεῖνοι πού δίνουν. «Θά ἀναχωρήσω περνώντας ἀπό σᾶς γιά τήν Ἰσπανία». Πάλι θυμᾶται τήν Ἰσπανία, γιά νά δείξει τό ἀκούραστο καί μεγάλο ἐνδιαφέρον του γιά ἐκείνους.

«Ξέρω ἄλλωστε ὅτι, ὅταν ἔρθω σ' ἐσᾶς, θά ἔρθω μέ τόν πλοῦτο τῆς εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ». Τί σημαίνει «μέ τόν πλοῦτο τῆς εὐλογίας»; Ἤ δηλαδή μιλάει γιά χρήματα ἤ γιά ὅλα γενικά τά κατορθώματα. Γιατί εὐλογία, τίς περισσότερες φορές, συνήθιζε νά λέγει τήν ἐλεημοσύνη· ὅπως ὅταν λέγει, «νά εἶναι σάν εὐλογία καί ὄχι σάν πλεονεξία»[8]· ἄλλωστε ἦταν καί παλαιά συνήθεια νά ὀνομάζεται ἔτσι τό πράγμα. Ἐπειδή ὅμως ἐδῶ πρόσθεσε «τοῦ εὐαγγελίου», γι' αὐτό λέμε ὅτι δέν τό ἔχει πεῖ μόνο γιά χρήματα, ἀλλά καί γιά ὅλα τά ἄλλα. Σάν νά ἔλεγε, ξέρω ὅμως ὅτι, ὅταν ἔρθω, θά δῶ πώς εὐδοκιμεῖτε σέ ὅλα καί πώς καυχιέστε γιά τά ἀγαθά καί πώς εἶστε ἄξιοι γιά ἄπειρους ἐπαίνους πού εἶναι σύμφωνοι μέ τό εὐαγγέ-

εὐαγγέλιον. Καί τοῦτο δὲ εἶδος συμβουλῆς θαυμαστόν, τό προκαταλαμβάνειν αὐτοὺς τοῖς ἐγκωμίοις. Ὅταν γὰρ παραιτῆται ἐν τάξει παραινέσεως τοῦτο ποιεῖν, ἐπὶ τοῦτον ἔρχεται τῆς διορθώσεως τὸν τρόπον.

2. *«Παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος». Πάλιν ἐνταῦθα τὸν Χριστὸν καὶ τὸ Πνεῦμα προβάλλεται, καὶ οὐδαμοῦ μέμνηται τοῦ Πατρός. Ταῦτα δὲ εἶπον, ἵν', ὅταν ἴδῃς αὐτὸν Πατρὸς καὶ Υἱοῦ μεμνημένον ἢ Πατρὸς μόνου, μήτε Υἱὸν μήτε Πνεῦμα ἀθετῇς. Καὶ οὐκ εἶπε, Πνεύματος, ἀλλ', «ἀγάπης Πνεύματος». Καθάπερ γὰρ ὁ Χριστὸς ἠγάπησε τὸν κόσμον, καὶ ὁ Πατήρ, οὕτω καὶ τὸ Πνεῦμα. Τί δέ ἐστιν ὃ παρακαλεῖς, εἰπέ μοι; «Συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν, ἵνα ρυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ». Μέγας ἄρα ἀγὼν αὐτῷ προύκειτο· διὸ καὶ τὰς εὐχὰς αὐτῶν καλεῖ. Καὶ οὐκ εἶπεν, ἵνα συμπλακῶ', ἀλλ', «ἵνα ρυσθῶ»· ὡς ὁ Χριστὸς ἐκέλευσεν εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν. Ταῦτα δὲ λέγων, ἐδείκνυ πονηρούς τινας λύκους ἐπιθησομένους αὐτῷ, καὶ θηρία μᾶλλον ἢ ἄνδρας. Ἀπὸ δὲ τούτου καὶ ἕτερον κατεσκεύαζε, τὸ δεῖξαι ὅτι δικαίως ἀνεδέξατο τὸ διακονῆσαι τοῖς ἁγίοις, εἴγε τοσοῦτοι οἱ ἀπειθοῦντες, ὡς καὶ αὐτῶν εὔχεσθαι ρυσθῆναι. Οἱ γὰρ μεταξὺ τοσούτων ὄντες πολεμίων, καὶ λιμῷ ἀπόλλυσθαι ἔμελλον· διὸ ἀναγκαίως ἑτέρωθεν αὐτοῖς ἐκομίζετο. «Καὶ ἵνα ἡ διακονία μου ἐν Ἰερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις»· τουτέστιν, ἵνα δεκτὴ γένηταί μου ἡ θυσία, ἵνα μετὰ προθυμίας ὑποδέξωνται τὰ διδόμενα.*

Ὁρᾷς πῶς πάλιν ἐπῆρε τὸ ἀξίωμα τῶν λαμβανόντων, εἴγε εὐχῶν δεῖται παρὰ δήμου τοσούτου εἰς τὸ δεχθῆναι τὰ πεμπόμενα; Ἀπὸ δὲ τούτου δείκνυσι καὶ ἕτερόν τι, ὅτι οὐκ ἀρκεῖ τὸ δοῦναι ἐλεημοσύνην εἰς τὸ δεχθῆναι. Ὅταν γὰρ μετὰ ἀνάγκης τις παρέχῃ, ὅταν ἐξ ἀδικίας, ὅταν πρὸς κενοδοξίαν, οἴχεται ὁ καρπός. «Ἵνα ἐν

9. Ματθ. 26,41.

λιο. Καί αὐτό εἶναι θαυμαστό εἶδος συμβουλῆς, τό νά ἐπαινεῖ δηλαδή αὐτούς πρίν ἀπό τήν πραγματοποίηση τῆς πράξεως. Γιατί, ὅταν ἀποφεύγει νά κάνει αὐτό στή θέση τῆς παραινέσεως, ἔρχεται σ' αὐτόν τόν τρόπο τῆς διορθώσεως.

2. «Σᾶς παρακαλῶ στό ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ καί στό ὄνομα τῆς ἀγάπης τοῦ ἁγίου Πνεύματος». Πάλι ἐδῶ τό Χριστό καί τό ἅγιο Πνεῦμα προβάλλει καί δέ μνημονεύει καθόλου τόν Πατέρα. Τά εἶπα αὐτά, ὥστε, ὅταν τόν δεῖς νά μνημονεύει τόν Πατέρα καί τόν Υἱό ἤ μόνο τόν Πατέρα, νά μήν ἀπορρίπτεις οὔτε τόν Υἱό οὔτε τό Πνεῦμα. Καί δέν εἶπε, 'τοῦ Πνεύματος', ἀλλά, «τῆς ἀγάπης τοῦ Πνεύματος». Γιατί, ὅπως ἀκριβῶς ὁ Χριστός ἀγάπησε τόν κόσμο, καί ὅπως ὁ Πατέρας, ἔτσι τόν ἀγάπησε καί τό ἅγιο Πνεῦμα. Πές μου ὅμως, τί εἶναι αὐτό πού παρακαλεῖς; «Ν' ἀγωνισθεῖτε μαζί μου μέ προσευχές πρός τό Θεό γιά μένα, γιά νά γλυτώσω ἀπό τούς ἀπειθεῖς τῆς Ἰουδαίας». Ἑπομένως μεγάλος ἀγώνας ἦταν μπροστά του, γι' αὐτό καί ζητεῖ προσευχές τους. Καί δέν εἶπε, 'γιά νά μή συγκρουσθῶ', ἀλλά, «γιά νά γλυτώσω», ὅπως ὁ Χριστός διέταξε νά προσευχόμαστε γιά νά μήν πέσουμε σέ πειρασμό[9]. Λέγοντας ὅμως αὐτά ἔδειχνε ὅτι κάποιοι πονηροί λύκοι ἐπρόκειτο νά τοῦ ἐπιτεθοῦν, καί θηρία μᾶλλον παρά ἄνθρωποι. Ἀπ' αὐτό ὅμως ἐπεδίωκε καί ἄλλο, τό νά δείξει ὅτι δικαίως ἀνέλαβε τό νά ὑπηρετήσει τούς Χριστιανούς, ἐφόσον ἦταν τόσοι πολλοί οἱ ἀπειθεῖς, ὥστε καί νά προσεύχονται γιά νά γλυτώσουν ἀπ' αὐτούς. Γιατί αὐτοί πού βρίσκονταν ἀνάμεσα σέ τόσους ἐχθρούς, ἐπρόκειτο νά καταστραφοῦν καί ἀπό πείνα· γι' αὐτό ἀπό ἀνάγκη τούς μετέφερε ἀγαθά ἀπό ἄλλον τόπο. «Καί γιά νά γίνει ἡ ὑπηρεσία μου στήν Ἰερουσαλήμ εὐπρόσδεκτη στούς ἐκεῖ Χριστιανούς». Δηλαδή, γιά νά γίνει δεκτή ἡ θυσία μου, γιά νά δεχθοῦν μέ προθυμία τήν προσφορά.

Βλέπεις πῶς πάλι ἐξύψωσε τήν ἀξία ἐκείνων πού λαμβάνουν, ἐφόσον χρειάζεται προσευχές ἀπό τόσο πολύ λαό γιά νά δεχθοῦν τά ἀποστελλόμενα; Ἀπ' αὐτό ὅμως ἀποδεικνύει καί κάτι ἄλλο, ὅτι δέν εἶναι ἀρκετό τό νά δώσουμε ἐλεημοσύνη γιά νά τή δεχθοῦν. Γιατί, ὅταν κανείς προσφέρει ἀναγκαστικά, ὅταν προσφέρει ἀπό ἀδικία, ὅταν προσφέρει ἀποβλέποντας στήν ματαιοδοξία, καταστρέφεται ὁ καρπός. «Ὥστε νά ἔρθω σ' ἐσᾶς μέ χαρά, ἄν τοῦτο εἶναι τό θέλημα

χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος Θεοῦ». Ὥσπερ ἀρχόμενος ἔλεγεν, «εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς», οὕτω καὶ ἐνταῦθα ἐπὶ τὸ αὐτὸ καταφεύγει θέλημα, καί φησιν, ὅτι διὰ τοῦτο ἐπείγομαι, καὶ ρυσθῆναι ἐκεῖθεν εὔχομαι, ἵνα ταχέως ὑμᾶς ἴδω, καὶ ἴδω μεθ' ἡδονῆς, μηδεμίαν ἐκεῖθεν ἐπισυρόμενος ἀθυμίαν. «Καὶ συναναπαύσωμαι ὑμῖν». Ὅρα πῶς πάλιν τὸ ἄτυφον δείκνυσιν. Οὐ γὰρ εἶπε, 'διδάξω ὑμᾶς καὶ κατηχήσω', ἀλλ', «ἵνα συναναπαύσωμαι ὑμῖν». Καίτοι αὐτὸς ἦν ὁ ἀγωνιζόμενος καὶ πυκτεύων· πῶς οὖν φησι, «συναναπαύσωμαι»; Χαριζόμενος αὐτοῖς κααν τούτῳ, καὶ προθυμοτέρους ποιῶν, τῷ κοινωνοὺς ποιεῖν τῶν στεφάνων, καὶ δεικνύναι καὶ αὐτοὺς ἀγωνιζομένους καὶ πονοῦντας. Εἶτα, ὅπερ ἀεὶ ποιεῖν εἴωθε, τὴν εὐχὴν μετὰ τὴν παραίνεσιν προστίθησι λέγων· «ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. Ἀμήν».

3. «Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφήν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς». Ὅρα διὰ πόσων αὐτὴν σεμνύνει. Καὶ γὰρ πρὸ τῶν ἄλλων αὐτῆς ἐμνήσθη πάντων, καὶ ἀδελφὴν ἐκάλεσεν· οὐ μικρὸν δὲ Παύλου κληθῆναι ἀδελφήν· καὶ τὸ ἀξίωμα προσέθηκε, διάκονον εἰπών. «Ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων»· τουτέστι, διὰ τὸν Κύριον, ἵνα τιμῆς ἀπολαύσῃ παρ' ὑμῖν. Ὁ γὰρ διὰ τὸν Κύριον δεχόμενος, κἂν μὴ μέγαν τινὰ δέξηται, μετὰ σπουδῆς δέχεται· ὅταν δὲ ἅγιος ᾖ, ἐννόησον ἡλίκης αὐτὸν ἀπολαῦσαι δίκαιον θεραπείας. Διὰ τοῦτο προσέθηκεν, «ἀξίως τῶν ἁγίων», ὡς δεῖ τοὺς τοιούτους ὑποδέχεσθαι. Διπλῆν γὰρ ἔχει ἀφορμὴν τοῦ θεραπευθῆναι παρ' ὑμῖν, καὶ τὸ διὰ τὸν Κύριον δεχθῆναι, καὶ τὸ αὐτὴ ἁγία εἶναι. «Καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρήζῃ πράγματι». Εἶδες τὸ ἀνεπαχθές; Οὐδὲ γὰρ εἶπεν, ἵνα ἀπαλλάξητε, ἀλλ' ἵνα τὰ παρ' ὑμῶν εἰσενέγκητε, καὶ χεῖρα ὀρέξητε· καί, «ἐν ᾧ ἂν ὑμῶν χρήζῃ»· οὐκ ἐν οἷς ἂν ᾖ πάντως, ἀλλ' ἐν οἷς ἂν

---

10. Ρωμ. 1,10.

τοῦ Θεοῦ». Ὅπως στήν ἀρχή τῆς ἐπιστολῆς ἔλεγε, «μήπως ἔστω καί τόσο ἀργά καταξιωθῶ τώρα μέ τό θέλημα τοῦ Θεοῦ νά ἔρθω σ' ἐσᾶς»[10], ἔτσι καί ἐδῶ καταφεύγει στό ἴδιο θέλημα, καί λέγει ὅτι γι' αὐτό βιάζομαι καί εὔχομαι νά γλυτώσω ἀπό ἐκεῖ, γιά νά σᾶς δῶ γρήγορα καί νά σᾶς δῶ μέ χαρά, χωρίς νά φέρνω ἀπό ἐκεῖ καμιά λύπη. «Καί ν' ἀναπαυθῶ μαζί μέ σᾶς». Βλέπε πῶς πάλι δείχνει τήν ταπεινοφροσύνη του. Γιατί δέν εἶπε 'νά σᾶς διδάξω καί νά σᾶς κατηχήσω', ἀλλά «ν' ἀναπαυθῶ μαζί μέ σᾶς». Ἄν καί βέβαια αὐτός ἦταν πού ἀγωνιζόταν καί μαχόταν, πῶς λοιπόν λέγει, «νά ἀναπαυθῶ μαζί μέ σᾶς»; Γιά νά τούς κάνει χάρη καί σ' αὐτό καί νά τούς κάνει περισσότερο πρόθυμους, μέ τό νά τούς κάνει συμμέτοχους στά βραβεῖα καί μέ τό νά δείχνει πώς καί αὐτοί ἀγωνίζονται καί κοπιάζουν. Στή συνέχεια, πράγμα πού πάντοτε συνηθίζει νά κάνει, προσθέτει τήν εὐχή μετά τήν παραίνεση λέγοντας· «Καί ὁ Θεός τῆς εἰρήνης νά εἶναι μαζί μέ ὅλους σας. Ἀμήν».

3. «Σᾶς συνιστῶ τή Φοίβη τήν ἀδελφή, πού εἶναι διακόνισσα τῆς ἐκκλησίας τῶν Κεγχρεῶν». Πρόσεχε μέ πόσα τήν ἐπαινεῖ. Καθόσον καί πρίν ἀπό ὅλους τούς ἄλλους αὐτήν μνημόνευσε καί ἀδελφή τήν ὀνόμασε (καί δέν εἶναι μικρό πράγμα τό νά ὀνομασθεῖ ἀδελφή τοῦ Παύλου) καί τό ἀξίωμά της πρόσθεσε, ὀνομάζοντάς την διακόνισσα. «Γιά νά τή δεχθεῖτε στό ὄνομα τοῦ Κυρίου καί ὅπως ἀξίζει σέ ἁγίους, δηλαδή, γιά τόν Κύριο, γιά ν' ἀπολαύσει τιμῆς ἀπό σᾶς. Γιατί ἐκεῖνος πού δέχεται στό ὄνομα τοῦ Κυρίου, καί ἄν ἀκόμη δέ δεχθεῖ κάποιον μεγάλο, τόν δέχεται μέ προθυμία, ὅταν ὅμως εἶναι ἅγιος, σκέψου πόση περιποίηση εἶναι δίκαιο ν' ἀπολαύσει αὐτός. Γι' αὐτό πρόσθεσε, «ὅπως ἀξίζει σέ ἁγίους», ὅπως πρέπει νά ὑποδεχόμαστε αὐτούς. Ἔχει λοιπόν διπλή ἀφορμή γιά νά τήν περιποιηθεῖτε, καί τό ὅτι τή δέχεσθε στό ὄνομα τοῦ Κυρίου καί τό ὅτι αὐτή εἶναι ἁγία. «Καί νά τή βοηθήσετε σέ ὅ,τι χρειασθεῖ ἀπό σᾶς». Εἶδες πώς τό πράγμα δέν εἶναι ἐνοχλητικό; Γιατί δέν εἶπε, 'γιά νά τήν ἀπαλλάξετε ἀπό κάποιο χρέος', ἀλλά γιά νά προσφέρετε τά δικά σας καί νά τή βοηθήσετε, καί μάλιστα «σέ ὅ,τι θά χρειασθεῖ ἀπό σᾶς», ὄχι ὁπωσδήποτε σέ ὁτιδήποτε ἄσχετο, ἀλλά σ' ἐκεῖνα πού θά

ὑμῶν δέηται· δεήσεται δὲ ἐν ἐκείνοις, ἐν οἷς ἂν ὑμεῖς ἦτε κύριοι. Εἶτα πάλιν ὁ ἔπαινος ἄφατος· «καὶ γὰρ αὐτὴ προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ».

Εἶδες τὴν σύνεσιν; Πρῶτον τὰ ἐγκώμια, εἶτα μέσην τὴν παράκλησιν, εἶτα πάλιν τὰ ἐγκώμια τέθεικεν, ἑκατέρωθεν περιστέλλων τὴν χρείαν τοῖς ἐπαίνοις τῆς γυναικὸς τῆς μακαρίας ἐκείνης. Πῶς γὰρ οὐ μακαρία ἡ τοσαύτης ἀπολαύουσα παρὰ Παύλου μαρτυρίας, ἡ καὶ αὐτῷ βοηθῆσαι δυνηθεῖσα τῷ τὴν οἰκουμένην διορθώσαντι; Τοῦτο γὰρ ὁ κολοφὼν αὐτῆς τῶν ἀγαθῶν· διὸ καὶ ὕστερον αὐτὸ τέθεικε λέγων, «καὶ αὐτοῦ ἐμοῦ». Τί δέ ἐστι, «καὶ αὐτοῦ ἐμοῦ»; Τοῦ κήρυκος τῆς οἰκουμένης, τοῦ τοσαῦτα παθόντος, τοῦ μυρίοις ἀρκοῦντος. Μιμησώμεθα τοίνυν καὶ ἄνδρες καὶ γυναῖκες τὴν ἁγίαν ἐκείνην, καὶ τὴν μετ' αὐτὴν δὲ σὺν τῷ ἀνδρί. Τίνες δὲ οὗτοί εἰσιν; «Ἀσπάσασθε», φησί, «Πρίσκιλλαν καὶ Ἀκύλαν, τοὺς συλλειτουργούς μου ἐν Χριστῷ Ἰησοῦ». Τούτων τὴν ἀρετὴν καὶ ὁ Λουκᾶς μαρτυρεῖ· τοῦτο μέν, ὅταν λέγῃ, ὅτι «ἔμεινε πρὸς αὐτοὺς ὁ Παῦλος· ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην»· τοῦτο δέ, ὅταν δεικνύῃ τὴν γυναῖκα τὸν Ἀπολλὼ προσλαμβανομένην, καὶ κατηχήσασαν τὴν ὁδὸν τοῦ Κυρίου. Μεγάλα μὲν γὰρ κἀκεῖνα, πολλῷ δὲ μείζονα, ἅ φησι Παῦλος. Τί γάρ φησι; Πρῶτον συλλειτουργοὺς αὐτοὺς καλεῖ, τῶν ἀφάτων πόνων καὶ τῶν κινδύνων δεικνὺς κοινωνούς· ἔπειτά φησιν, «ὅτι ὑπὲρ τῆς ψυχῆς μοι τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν».

Εἶδες μάρτυρας ἀπηρτισμένους; Καὶ γὰρ εἰκὸς ἐπὶ Νέρωνος μυρίους εἶναι τοὺς κινδύνους, ὅτε καὶ διετάξατο πάντας χωρίζεσθαι ἀπὸ τῆς Ρώμης τοὺς Ἰουδαίους. «Οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν». Ἐνταῦθα τὴν φιλοξενίαν καὶ τὴν ἀπὸ τῶν χρημάτων λειτουργίαν αἰνίττεται, θαυμάζων αὐτούς, ὅτι καὶ τὸ αἷμα αὐτῶν ἐξέχεαν, καὶ τὴν οὐσίαν κοινὴν προέθηκαν ἅπασιν. Εἶδες γυναῖκας γενναίας, οὐδὲν ἀπὸ τῆς φύσεως ἐμποδισθείσας εἰς τὸν τῆς ἀρετῆς δρόμον; Καὶ μάλα εἰκότως. «Ἐν

11. Πράξ. 18,3.
12. Βλ. Πράξ. 18,36.

χρειάζεται ἀπό σᾶς. Καί θά χρειασθεῖ ἐκεῖνα, τῶν ὁποίων ἐσεῖς θά εἶστε κύριοι. Ἔπειτα πάλι ὁ ἀπερίγραπτος ἔπαινος· «γιατί καί αὐτή βοήθησε πολλούς καθώς καί μένα τόν ἴδιο».

Εἶδες τή σύνεση; Πρῶτα ἀνέφερε τά ἐγκώμια, ἔπειτα στή μέση τήν παράκληση, καί ἔπειτα πάλι τά ἐγκώμια, περιορίζοντας καί ἀπό τίς δύο μεριές τήν ἀνάγκη μέ τούς ἐπαίνους τῆς μακάριας ἐκείνης γυναίκας. Γιατί πῶς δέν εἶναι μακάρια ἐκείνη πού ἀπολαμβάνει τόσο μεγάλη μαρτυρία ἀπό τόν Παῦλο καί ἡ ὁποία μπόρεσε νά βοηθήσει αὐτόν πού διόρθωσε τήν οἰκουμένη; Καθόσον αὐτό εἶναι τό ἀποκορύφωμα τῶν ἀγαθῶν της· γι' αὐτό καί τό ἀνέφερε τελευταῖο λέγοντας, «καί μένα τόν ἴδιο». Καί τί σημαίνει «καί μένα τόν ἴδιο»; Τόν κήρυκα τῆς οἰκουμένης, ἐμένα πού ἔπαθα τόσο πολλά, πού κατόρθωσα ἄπειρα. Ἄς μιμηθοῦμε λοιπόν καί οἱ ἄνδρες καί οἱ γυναῖκες τήν ἁγία ἐκείνη καί τή γυναίκα πού ἀναφέρεται ὕστερα ἀπ' αὐτή μαζί μέ τόν ἄνδρα της. Ποιοί ὅμως εἶναι αὐτοί; «Χαιρετῆστε», λέγει «τήν Πρίσκιλλα καί τόν Ἀκύλα, τούς συνεργάτες μου στό ἔργο τοῦ Ἰησοῦ Χριστοῦ». Αὐτῶν τήν ἀρετή μαρτυρεῖ καί ὁ Λουκᾶς· πρῶτα ὅταν λέγει, «ἔμεινε μαζί τους ὁ Παῦλος, γιατί ἦταν σκηνοποιοί»[11], καί ὕστερα ὅταν δείχνει ὅτι ἡ γυναίκα πῆρε κοντά της τόν Ἀπολλώ καί τοῦ δίδαξε τή διδασκαλία τοῦ Κυρίου[12]. Εἶναι μεγάλα βέβαια αὐτά, ἀλλά εἶναι πολύ μεγαλύτερα ἐκεῖνα πού λέγει ὁ Παῦλος. Τί λοιπόν λέγει; Πρῶτα τούς ὀνομάζει συνεργάτες του, ἀποδεικνύοντας αὐτούς συμμέτοχους στούς ἀπερίγραπτους κόπους καί κινδύνους του· ἔπειτα λέγει, «γιατί γιά χάρη τῆς ζωῆς μου κινδύνεψαν ν' ἀποκεφαλισθοῦν».

Εἶδες τέλειους μάρτυρες; Καθόσον ἦταν φυσικό νά ὑπῆρχαν στήν ἐποχή τοῦ Νέρωνα ἄπειροι κίνδυνοι, τότε μάλιστα πού διέταξε νά φύγουν ἀπό τή Ρώμη ὅλοι οἱ Ἰουδαῖοι. «Τούς ὁποίους δέν εὐχαριστῶ ἐγώ μόνο, ἀλλά καί ὅλες οἱ ἐκκλησίες τῶν ἐθνῶν». Ἐδῶ ὑπαινίσσεται τή φιλοξενία καί τή χρηματική τους βοήθεια, θαυμάζοντας αὐτούς, ἐπειδή καί τό αἷμα τους ἔχυσαν καί τήν περιουσία τους τήν πρόσφεραν κοινή σέ ὅλους. Εἶδες γυναῖκες γενναῖες, πού δέν ἐμποδίσθηκαν καθόλου ἀπό τή φύση στό δρόμο τῆς ἀρετῆς;

γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἄρσεν, οὐ θῆλυ». Καὶ ὅπερ ἐπὶ τῆς προτέρας εἶπε, τοῦτο καὶ ἐπὶ ταύτης φησί. Καὶ γὰρ περὶ ἐκείνης ἔλεγεν, «ἥτις προστάτις πολλῶν ἐγένετο, καὶ αὐτοῦ ἐμοῦ»· καὶ ἐπὶ ταύτης πάλιν, ὅτι «οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν». Ἵνα γὰρ μὴ δόξῃ κολακεύειν λέγων ταῦτα, καὶ ἄλλους μάρτυρας ἄγει τῶν γυναικῶν πολλῷ πλείους.

«Καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν». Οὕτω γὰρ ἦν εὐδίκιμος, ὡς καὶ τὴν οἰκίαν ἐκκλησίαν ποιῆσαι, διά τε τοῦ πάντας ποιῆσαι πιστούς, καὶ διὰ τοῦ τοῖς ξένοις αὐτὴν ἀνοῖξαι πᾶσιν. Οὐδὲ γὰρ ἁπλῶς εἴωθεν οἰκίας ἐκκλησίας καλεῖν, εἰ μὴ πολλὴ ἡ εὐλάβεια καὶ πολὺς ὁ τοῦ Θεοῦ φόβος ἐρριζωμένος ἐν αὐτοῖς εἴη. Διὰ τοῦτο καὶ Κορινθίοις ἔλεγεν, «ἀσπάσασθε Ἀκύλαν καὶ Πρίσκιλλαν, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ»· καὶ περὶ Ὀνησίμου δὲ γράφων, Παῦλος Φιλήμονι καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ». Ἔνι γὰρ καὶ ἐν γάμῳ ὄντα θαυμαστὸν εἶναι καὶ γενναῖον. Ἰδοὺ οὖν καὶ οὗτοι ἐν γάμῳ ἦσαν, καὶ σφόδρα ἔλαμψαν, καίτοιγε οὐδὲ τὸ ἐπιτήδευμα αὐτῶν λαμπρὸν ἦν· σκηνοποιοὶ γὰρ ἦσαν· ἀλλ' ὅμως πάντα ἀπέκρυψεν ἡ ἀρετή, καὶ ὑπὲρ τὸν ἥλιον αὐτοὺς ἔδειξε· καὶ οὔτε ἡ τέχνη, οὔτε ἡ συζυγία αὐτοὺς παρέβλαψεν, ἀλλὰ τὴν ἀγάπην, ἣν ὁ Χριστὸς ἀπῄτησε, ταύτην ἐπεδείξαντο. «Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει», φησίν, «ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». Καὶ ὃ γνώρισμά ἐστι μαθητοῦ, τοῦτο κατώρθωσαν· ἔλαβον γὰρ τὸν σταυρόν, καὶ ἠκολούθησαν. Οἱ γὰρ ὑπὲρ τοῦ Παύλου τοῦτο ποιοῦντες, πολλῷ μᾶλλον ὑπὲρ τοῦ Χριστοῦ ταύτην ἂν ἐπεδείξαντο τὴν ἀνδρείαν.

4. *Ταῦτα καὶ πλούσιοι καὶ πένητες ἀκουέτωσαν. Εἰ γὰρ οἱ ἀπὸ τῶν χειρῶν ζῶντες καὶ ἐργαστηρίου προεστηκότες τοσαύτην ἐπεδείξαντο δαψίλειαν, ὡς ἐκκλησίαις πολλαῖς γεγενῆσθαι χρήσιμοι, τίνα ἂν ἔχοιεν συγγνώμην οἱ πλουτοῦντες καὶ τοὺς πένητας παρορῶντες; Ἐκεῖνοι μὲν γὰρ οὐδὲ τοῦ αἵματος ἐφείσαντο διὰ τὸ τῷ*

---

13. Γαλ. 3,28.
14. Α' Κορ. 16,19.
15. Φιλήμ. 1.
16. Ἰω. 15,13.

Καί πολύ φυσικά. «Γιατί γιά τόν Ἰησοῦ Χριστό δέν ὑπάρχει ἄνδρας οὔτε γυναίκα»[13]. Καί ἐκεῖνο πού εἶπε γιά τήν προηγούμενη, αὐτό λέγει καί γι' αὐτή. Γιατί καί γιά ἐκείνη ἔλεγε, «ἡ ὁποία βοήθησε πολλούς καί μένα τόν ἴδιο», καί γι' αὐτήν πάλι, «δέν τήν εὐχαριστῶ ἐγώ μόνο, ἀλλά καί ὅλες οἱ ἐκκλησίες τῶν ἐθνῶν». Γιά νά μή φανεῖ λοιπόν πώς τά λέγει αὐτά κολακεύοντάς την, παρουσιάζει καί ἄλλους μάρτυρες πολύ περισσότερους ἀπό τίς γυναῖκες.

«Χαιρετῆστε ἐπίσης τήν ἐκκλησία τοῦ σπιτιοῦ τους». Γιατί εἶχε διακριθεῖ τόσο, ὥστε καί τό σπίτι τους νά κάνουν ἐκκλησία, καί μέ τό ὅτι τούς ἔκαμαν ὅλους πιστούς καί μέ τό ὅτι τό ἀνοίξαν σέ ὅλους τούς ξένους. Οὔτε βέβαια συνήθιζε χωρίς λόγο νά ὀνομάζει τό σπίτι ἐκκλησία, ἄν δέν ἦταν μεγάλη ἡ εὐσέβεια καί πολύς ὁ φόβος τοῦ Θεοῦ ριζωμένος σ' αὐτούς. Γι' αὐτό καί στούς Κορινθίους ἔλεγε, «χαιρετῆστε τόν Ἀκύλα καί τήν Πρίσκιλλα μαζί μέ τήν ἐκκλησία τοῦ σπιτιοῦ τους»[14]· καί γιά τόν Ὀνήσιμο γράφοντας ἔλεγε, «ὁ Παῦλος πρός τό Φιλήμονα καί τήν Ἀπφία τήν ἀγαπητή καί πρός τήν ἐκκλησία τοῦ σπιτιοῦ σου»[15]. Γιατί εἶναι δυνατό νά γίνει κανείς θαυμαστός καί γενναῖος καί ὅταν ἀκόμη ἔχει συνάψει γάμο. Νά λοιπόν καί αὐτοί ἦταν παντρεμένοι, καί ἔλαμψαν ὑπερβολικά, ἄν καί βέβαια οὔτε τό ἐπάγγελμά τους ἦταν λαμπρό (γιατί ἦταν σκηνοποιοί), ἀλλ' ὅμως ὅλα τά κάλυψε ἡ ἀρετή καί τούς παρουσίασε πάνω ἀπό τόν ἥλιο· καί οὔτε ἡ τέχνη, οὔτε ὁ δεσμός τοῦ γάμου τούς παρέβλαψε, ἀλλ' ἔδειξαν ἐκείνη τήν ἀγάπη, πού ὁ Χριστός ζήτησε. «Γιατί κανείς δέν ἔχει μεγαλύτερη ἀγάπη ἀπ' αὐτή», λέγει, «γιά νά θυσιάσει τή ζωή του γιά τούς φίλους του»[16]. Καί ἐκεῖνο πού εἶναι τό γνώρισμα μαθητῆ, αὐτό κατόρθωσαν· γιατί ἔλαβαν τό σταυρό καί ἀκολούθησαν. Ἐκεῖνοι λοιπόν πού ἔκαναν αὐτό πρός χάρη τοῦ Παύλου, πολύ περισσότερο θά ἔδειχναν τήν ἀνδρεία αὐτή γιά χάρη τοῦ Χριστοῦ.

4. Ἄς τά ἀκούσουν αὐτά καί πλούσιοι καί φτωχοί. Γιατί, ἄν ἐκεῖνοι πού ζοῦσαν ἀπό τά χέρια τους καί διηύθυναν κάποιο ἐργαστήριο ἔδειξαν τόσο μεγάλη γενναιοδωρία, ὥστε νά γίνουν χρήσιμοι σέ πολλές ἐκκλησίες, ποιά συγγνώμη θά μποροῦσαν νά ἔχουν ἐκεῖνοι πού εἶναι πλούσιοι καί περιφρονοῦν τούς φτωχούς; Γιατί ἐκεῖνοι δέ λυπήθηκαν οὔτε τό αἷμα τους γιά τό θέλημα τοῦ Θεοῦ,

Θεῷ δοκοῦν· σὺ δὲ καὶ χρημάτων ὀλίγων φείδῃ, πολλάκις ἀφειδῶν τῆς ψυχῆς τῆς σαυτοῦ; Ἀλλὰ περὶ μὲν τὸν διδάσκαλον τοιοῦτοι ἐκεῖνοι, περὶ δὲ τοὺς μαθητὰς οὐ τοιοῦτοι; Ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν· καὶ γὰρ αἱ ἐκκλησίαι τῶν ἐθνῶν, φησίν, αὐτοῖς εὐχαριστοῦσι. Καίτοι ἐξ Ἰουδαίων ἦσαν, ἀλλ' ὅμως οὕτως ἐπίστευσαν εἰλικρινῶς, ὡς καὶ ἐκείνοις μετὰ προθυμίας διακονεῖσθαι πάσης. Τοιαύτας εἶναι χρὴ τὰς γυναῖκας, «μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ ἱματισμῷ πολυτελεῖ», ἀλλὰ τούτοις καλλωπιζομένας τοῖς κατορθώμασι. Ποία γάρ, εἰπέ μοι, βασίλισσα οὕτως ἔλαμψε, ποία οὕτως ᾄδεται, ὡς αὕτη ἡ τοῦ σκηνοποιοῦ; Καὶ ἐν τοῖς ἁπάντων ἐστὶ στόμασιν, οὐ δέκα καὶ εἴκοσιν ἔτη, ἀλλὰ μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας· καὶ πάντες αὐτὴν ἐπὶ τοιούτοις ἀνακηρύττουσιν, ἃ τοῦ διαδήματος αὐτὴν μᾶλλον κοσμεῖ τοῦ βασιλικοῦ.

Τί γὰρ μεῖζον, τί δὲ ἴσον τοῦ προστάτην γενέσθαι Παύλου, τοῦ κινδύνοις ἰδίοις διασῶσαι τὸν τῆς οἰκουμένης διδάσκαλον; Σκόπει δέ. Ὅσαι μὲν βασίλισσαι σεσίγηνται, ἡ δὲ τοῦ σκηνοποιοῦ πανταχοῦ περιφέρεται μετὰ τοῦ σκηνοποιοῦ, καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ἐπιτρέχει καὶ ἡ δόξα τῆς γυναικὸς οἰκουμένην· καὶ Πέρσαι καὶ Σκύθαι καὶ Θρᾷκες, καὶ οἱ τὰς ἐσχατιὰς οἰκοῦντες, ᾄδουσι τῆς γυναικὸς τὴν φιλοσοφίαν καὶ μακαρίζουσι. Πόσον πλοῦτον, πόσα διαδήματα καὶ ἁλουργίδας οὐκ ἂν ἡδέως ἔρριψας ὑπὲρ τοῦ τὴν μαρτυρίαν ταύτην λαβεῖν; Οὐδὲ γὰρ ἔχοι τις ἂν εἰπεῖν, ὅτι ἐν κινδύνοις μὲν ἦσαν τοιοῦτοι, καὶ ἐν χρήμασι δαψιλεῖς, τοῦ κηρύγματος δὲ ἠμέλουν· καὶ γὰρ καὶ συνεργοὺς καὶ συλλειτουργοὺς αὐτοὺς διὰ τοῦτο καλεῖ. Καὶ οὐκ αἰσχύνεται γυναῖκα συλλειτουργὸν καλῶν, τὸ σκεῦος τῆς ἐκλογῆς, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τούτῳ· οὐ γὰρ τῇ φύσει προσέχει, ἀλλὰ τὴν προαίρεσιν στεφανοῖ. Τί τοῦ κόσμου τούτου ἴσον; Ποῦ οὖν ὑμῖν ὁ πλοῦτος ὁ πανταχοῦ ἐπιρρέων; Ποῦ δὲ ὁ τῶν ὄψεων καλλωπισμός; Ποῦ δὲ ἡ δόξα ἡ κενή;

Κατάμαθε τῆς γυναικὸς τὸν κόσμον, τὸν οὐ σώματι περικεί-

17. Α' Τιμ. 2,9.

ἐνῶ ἐσύ λυπᾶσαι ἀκόμη καί λίγα χρήματα, χωρίς νά λυπᾶσαι πολλές φορές οὔτε τήν ψυχή σου; Μήπως ὅμως ἐκεῖνοι ἔδειχναν τέτοια συμπεριφορά γιά τό διδάσκαλο, ἀλλά δέν ἔδειχναν καί γιά τούς μαθητές; Ἀλλ' οὔτε αὐτό μποροῦμε νά τό ποῦμε· γιατί καί οἱ ἐκκλησίες τῶν ἐθνῶν, λέγει, τούς εὐχαριστοῦν. Ἄν καί ἦταν ἀπό τούς Ἰουδαίους, πίστεψαν ὅμως μέ τόση εἰλικρίνεια, ὥστε καί ἐκείνους νά ὑπηρετοῦν μέ κάθε προθυμία. Τέτοιες πρέπει νά εἶναι οἱ γυναῖκες, «νά εἶναι στολισμένες ὄχι μέ πλέξιμο τῶν μαλλιῶν ἤ μέ χρυσά κοσμήματα ἤ πολυτελή φορέματα»[17], ἀλλά μέ τά κατορθώματα αὐτά. Πές μου λοιπόν, ποιά βασίλισσα ἔλαμψε τόσο, ποιά ἐξυμνεῖται τόσο, ὅσο αὐτή τοῦ σκηνοποιοῦ; Καί βρίσκεται στά στόματα ὅλων, ὄχι δέκα καί εἴκοσι χρόνια, ἀλλά μέχρι τή δεύτερη παρουσία τοῦ Χριστοῦ, καί ὅλοι τήν ἀνακηρύσσουν γι' αὐτά, πού τήν στολίζουν περισσότερο καί ἀπό τό βασιλικό στέμμα.

Τί λοιπόν εἶναι μεγαλύτερο καί τί ἴσο μέ τό νά βοηθήσει τόν Παῦλο, μέ τό νά διασώσει τό διδάσκαλο τῆς οἰκουμένης μέ δικούς της κινδύνους; Πρόσεχε ὅμως. Ὅσες βασίλισσες ὑπῆρξαν δέ μνημονεύονται καθόλου, ἐνῶ ἡ γυναίκα τοῦ σκηνοποιοῦ περιφέρεται παντοῦ μαζί μέ τό σκηνοποιό, καί ὅση γῆ βλέπει ὁ ἥλιος, τόση οἰκουμένη τρέχει καί ἡ δόξα τῆς γυναίκας· καί Πέρσες καί Σκύθες καί Θράκες καί ὅσοι κατοικοῦν στά πιό ἀπομακρυσμένα μέρη τῆς γῆς ἐξυμνοῦν καί μακαρίζουν τήν πίστη τῆς γυναίκας. Πόσο πλοῦτο, πόσα στέμματα καί πορφύρες δέ θά πετοῦσες μέ εὐχαρίστηση μακριά γιά νά λάβεις αὐτή τή μαρτυρία; Οὔτε βέβαια θά μποροῦσε νά πεῖ κανείς, ὅτι στούς κινδύνους ἦταν τέτοιοι καί στά χρήματα γενναιόδωροι, ἐνῶ παραμελοῦσαν τό κήρυγμα· καθόσον τούς ὀνομάζει καί συνεργάτες καί συλλειτουργούς του σ' αὐτό. Καί δέν ντρέπεται νά ὀνομάζει συνεργάτη του γυναίκα ἐκεῖνος πού εἶναι τό ἐκλεκτό ὄργανο τοῦ Θεοῦ, ἀλλά καί ὑπερηφανεύεται μάλιστα γι' αὐτό, γιατί δέν προσέχει στή φύση, ἀλλά ἐπιβραβεύει τήν προαίρεση. Τί εἶναι ἴσο μέ τό κόσμημα αὐτό; Ποῦ λοιπόν εἶναι ὁ πλοῦτος σας πού χύνεται παντοῦ; ποῦ ὁ καλλωπισμός τοῦ προσώπου· καί ποῦ ἡ δόξα ἡ κενή;

Γνώρισε καλά ἐκείνη τόν καλλωπισμό τῆς γυναίκας, πού δέν

μενον, ἀλλὰ ψυχὴν καλλωπίζοντα, τὸν οὐδέποτε ἀποτιθέμενον, τὸν οὐκ ἐν κιβωτίῳ κείμενον, ἀλλ' ἐν οὐρανοῖς ἀποκείμενον. Βλέπε αὐτῶν τὸν περὶ τὸ κήρυγμα πόνον, τὸν ἐν τῷ μαρτυρίῳ στέφανον, τὴν ἐν τοῖς χρήμασι φιλοτιμίαν, τὴν περὶ Παῦλον ἀγάπην, τὸ περὶ τὸν Χριστὸν φίλτρον. Παράβαλε τούτοις τὰ σά, τὴν περὶ τὰ χρήματα σπουδήν, τὴν πρὸς τὰς πορνευομένας ἅμιλλαν, τὴν πρὸς τὸν χόρτον φιλονεικίαν· καὶ τότε ὄψει τίνες μὲν ἐκεῖνοι, τίς δὲ σύ. Μᾶλλον δὲ μὴ παράβαλε μόνον, ἀλλὰ καὶ ζήλου τὴν γυναῖκα, καὶ τὰ φορτία τῆς χλόης ἀποθεμένη· τοῦτο γὰρ ἡ τῶν ἱματίων πολυτέλεια· λάμβανε τὸν ἐκ τοῦ οὐρανοῦ κόσμον, καὶ μάνθανε πόθεν ἐγένοντο τοιοῦτοι οἱ περὶ Πρίσκιλλαν. Πόθεν οὖν ἐγένοντο; Δύο ἔτη τὸν Παῦλον ἐξενοδόχησαν· ἔτη δὲ δύο τί οὐκ ἂν αὐτῶν εἰργάσατο τὴν ψυχήν; Τί οὖν ἐγὼ πάθω, φησίν, ὅτι Παῦλον οὐκ ἔχω; Ἐὰν θέλῃς, ἀκριβέστερον ἔχεις ἢ ἐκεῖνοι· οὐδὲ γὰρ ἐκείνους ἡ ὄψις ἡ Παύλου τοιούτους ἐποίησεν, ἀλλὰ τὰ ρήματα Παύλου. Ὥστε, εἰ βουληθείης, καὶ Παῦλον καὶ Πέτρον καὶ Ἰωάννην καὶ τῶν προφητῶν ἅπαντα τὸν χορὸν μετὰ τῶν ἀποστόλων ἕξεις ὁμιλοῦντά σοι διηνεκῶς. Λάβε γὰρ τῶν μακαρίων τούτων τὰς βίβλους, καὶ ἐντύγχανε διηνεκῶς ταῖς ἐκείνων γραφαῖς, καὶ δυνήσονταί σε ποιῆσαι κατὰ τὴν τοῦ σκηνοποιοῦ γυναῖκα.

Καὶ τί λέγω Παῦλον; Ἂν γὰρ ἐθέλῃς, καὶ αὐτὸν ἕξεις τὸν Παύλου δεσπότην· διὰ γὰρ τῆς Παύλου γλώττης καὶ ἐκεῖνός σοι διαλέξεται. Καὶ ἑτέρως δὲ πάλιν δυνήσῃ δέξασθαι τοῦτον, ὅταν τοὺς ἁγίους δέξῃ, ὅταν τοὺς εἰς ἐκεῖνον πιστεύοντας θεραπεύσῃς· οὕτω καὶ ἀπελθόντων ἐκείνων, πολλὰ ὑπομνήματα εὐλαβείας ἕξεις. Οἶδε γὰρ καὶ τράπεζα ἐφ' ἧς ὁ ἅγιος ἔφαγε, καὶ καθέδρα ἐφ' ἧς ἐκάθισε, καὶ κλίνη ἐφ' ἧς κατεκλίθη, κατανύξαι τὸν ὑποδεξάμενον, καὶ ἀπελθόντος ἐκείνου. Πῶς γοῦν οἴει τὴν Σουμανῖτιν ἐκείνην κατανύττεσθαι, εἰσελθοῦσαν εἰς τὸ ὑπερῷον ἔνθα κατέμενεν ὁ Ἐλισσαῖος, ὁρῶσαν τὴν τράπεζαν, τὴν κλίνην ἐφ' ἧς ὁ ἅγιος ἐκεῖνος ἐκάθευδε; Πόσην ἐντεῦθεν δέχεσθαι τὴν εὐλάβειαν; Οὐδὲ γὰρ

---

18. Βλ. Δ' Βασ. 4,8-37.

περιβάλλει τό σῶμα, ἀλλά στολίζει τήν ψυχή, πού δέ χάνεται ποτέ, πού δέν εἶναι ἀποθηκευμένος σέ κιβώτιο, ἀλλά φυλάσσεται στούς οὐρανούς. Βλέπε τόν κόπο τους γιά τό κήρυγμα, τό στεφάνι στό μαρτύριο, τή γενναιοδωρία στά χρήματα, τήν ἀγάπη γιά τόν Παῦλο, τόν ἔρωτα γιά τό Χριστό. Σύγκρινε μ' αὐτά τά δικά σου, τή φροντίδα γιά τά χρήματα, τόν ἀγῶνα πρός τίς πόρνες, τή φιλονεικία πρός τό χορτάρι, καί τότε θά δεῖς ποιοί εἶναι ἐκεῖνοι καί ποιός εἶσαι ἐσύ. Ἤ καλύτερα μή κάνεις μόνο σύγκριση, ἀλλά καί νά μιμεῖσαι τή γυναίκα, ἀποβάλλοντας τά φορτία τῆς χλόης· γιατί αὐτό εἶναι ἡ πολυτέλεια τῶν φορεμάτων. Νά λαμβάνεις τό στόλισμα ἀπό τόν οὐρανό καί νά μαθαίνεις ἀπό ποῦ ἔγιναν τέτοιοι ὅσοι ἦταν μαζί μέ τήν Πρίσκιλλα. Ἀπό ποῦ λοιπόν ἔγιναν; Δύο χρόνια φιλοξένησαν τόν Παῦλο· δύο χρόνια ὅμως τί δέ θά ἔκανε τήν ψυχή τους; Τί λοιπόν νά κάνω ἐγώ, λέγει, πού δέν ἔχω τόν Παῦλο; Ἐάν θέλεις, τόν ἔχεις μέ περισσότερη ἀκρίβεια ἐσύ παρά ἐκεῖνοι· γιατί δέν τούς ἔκανε ἐκείνους τέτοιους τό πρόσωπο τοῦ Παύλου, ἀλλά τά λόγια του. Ἐπομένως, ἄν θελήσεις, θά ἔχεις καί τόν Παῦλο καί τόν Πέτρο καί τόν Ἰωάννη καί ὁλόκληρη τή χορεία τῶν προφητῶν μαζί μέ τούς ἀποστόλους νά σοῦ μιλοῦν διαρκῶς. Πάρε λοιπόν τά βιβλία τῶν μακαρίων αὐτῶν καί διάβαζε διαρκῶς ὅσα ἐκεῖνοι ἔγραψαν, καί τότε θά μπορέσουν νά σέ κάνουν ὅπως τή γυναίκα τοῦ σκηνοποιοῦ.

Καί γιατί λέγω τόν Παῦλο; Γιατί, ἄν θέλεις, θά ἔχεις καί τόν ἴδιο τόν Κύριο τοῦ Παύλου· γιατί μέ τή γλώσσα τοῦ Παύλου θά σοῦ μιλήσει καί ἐκεῖνος. Καί κατά διάφορο τρόπο πάλι θά μπορέσεις νά δεχθεῖς αὐτόν, ὅταν δεχθεῖς τούς ἁγίους, ὅταν περιποιηθεῖς ὅσους πιστεύουν σ' ἐκεῖνον· μέ τόν τρόπο αὐτόν καί ὅταν φύγουν ἐκεῖνοι, θά ἔχεις πολλές ὑπομνήσεις τῆς εὐσεβείας. Γιατί γνωρίζει καί τό τραπέζι πάνω στό ὁποῖο ἔφαγε ὁ ἅγιος, καί τό κάθισμα στό ὁποῖο κάθισε, καί τό κρεβάτι στό ὁποῖο κοιμήθηκε, νά προξενήσει κατάνυξη σ' ἐκεῖνον πού ἔκανε τήν ὑποδοχή, καί ὅταν ἀκόμη φύγει ἐκεῖνος. Πῶς λοιπόν νομίζεις ὅτι συγκινήθηκε ἡ Σουμανίτιδα ἐκείνη[18], μπαίνοντας στό ὑπερῷο ὅπου ἔμενε ὁ Ἐλισσαῖος, καί βλέποντας τό τραπέζι καί τό κρεβάτι ἐπάνω στό ὁποῖο κοιμόταν ὁ ἅγιος

ἄν, εἰ μὴ τοῦτον ἦν, ἔρριψεν ἐκεῖ τὸ παιδίον νεκρόν, εἰ μὴ πολλὴν ἐκεῖθεν ἐκαρποῦτο τὴν ὠφέλειαν. Εἰ γὰρ μετὰ τοσοῦτον χρόνον εἰσιόντες, ἔνθα ἔμεινε Παῦλος, ἔνθα ἐδέθη, ἔνθα συνεκάθισε καὶ διελέχθη, πτερούμεθα, καὶ πρὸς τὴν μνήμην ἐκείνην ἀπὸ τῶν τόπων παραπεμπόμεθα, τί νεωτέρων τῶν πραγμάτων ὄντων πάσχειν εἰκὸς τοὺς μετ' εὐλαβείας ξενοδοχοῦντας;

Ταῦτ' οὖν εἰδότες ὑποδεχώμεθα τοὺς ἁγίους, ἵνα λάμπῃ ἡ οἰκία, ἵνα ἀπαλλάττηται τῶν ἀκανθῶν, ἵνα λιμὴν γένηται τὸ δωμάτιον· καὶ ὑποδεχώμεθα, καὶ τοὺς πόδας νίπτωμεν. Οὐκ εἶ σὺ τῆς Σάρρας βελτίων οὐδὲ εὐγενεστέρα οὐδὲ εὐπορωτέρα, κἂν βασιλὶς ᾖς. Τριακοσίους γοῦν καὶ δεκαοκτὼ οἰκογενεῖς εἶχεν ἐκείνη, ὅτε καὶ τὸ δύο παῖδας ἔχειν πλοῦτος ἦν. Καὶ τί λέγω τριακοσίους δέκα καὶ ὀκτὼ οἰκέτας; Τὴν οἰκουμένην ἅπασαν ἐν τῷ σπέρματι καὶ ταῖς ἐπαγγελίαις ἐκέκτητο, τὸν τοῦ Θεοῦ φίλον εἶχεν ἄνδρα, αὐτὸν τὸν Θεὸν προστάτην, ὃ πάσης βασιλείας μεῖζον ἦν. Ἀλλ' ὅμως ἐν τοσαύτῃ οὖσα περιφανείᾳ καὶ δόξῃ, αὐτὴ ἔφυρε τὰ ἄλευρα, καὶ τἄλλα πάντα διηκονεῖτο, καὶ ἑστιωμένοις παρειστήκει πάλιν ἐν τάξει θεραπαινίδος. Οὐκ εἶ σὺ τοῦ Ἀβραὰμ εὐγενέστερος, ὃς τὰ οἰκετῶν ἔπραττε, μετὰ τὰ τρόπαια ἐκεῖνα, μετὰ τὰς νίκας, μετὰ τὴν τιμὴν τοῦ βασιλέως Αἰγύπτου, μετὰ τὸ τοὺς Περσῶν ἐλάσαι βασιλέας, καὶ τὰ λαμπρὰ στῆσαι τρόπαια.

Μηδὲ τοῦτο ἴδῃς, ὅτι εὐτελεῖς τὸ φαινόμενον οἱ ἅγιοι οἱ πρὸς σὲ καταγόμενοι, καὶ πτωχοὶ καὶ ρακοδυτοῦντες πολλάκις, ἀλλ' ἐκείνης μέμνησο τῆς φωνῆς τῆς λεγούσης· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε»· καί, «μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων, ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς»· καὶ δέχου μετὰ προθυμίας αὐτοὺς τὰ μυρία σοι κομίζοντας ἀγαθὰ διὰ τοῦ ἀσπασμοῦ τῆς εἰρήνης. Καὶ μετὰ τῆς Σάρρας λογίζου καὶ τὴν Ρεβέκκαν,

---

19. Βλ. Γεν. 18,1–8.
20. Βλ. Γεν. κεφ. 12 καί 14.
21. Ματθ. 25,40.
22. Ματθ. 18,10.

ἐκεῖνος; πόση εὐσέβεια νομίζεις ὅτι δέχθηκε ἀπό ἐδῶ; Γιατί, ἄν δέν ἦταν αὐτό, δέ θά ἔρριχνε ἐκεῖ τό παιδί της νεκρό, ἄν δέ κέρδιζε ἀπό ἐκεῖ πολλή ὠφέλεια. Ἐάν λοιπόν ὕστερα ἀπό τόσο χρόνο, ὅταν μπαίνουμε μέσα ἐκεῖ πού ἔμεινε ὁ Παῦλος, ἐκεῖ πού δέθηκε, ἐκεῖ πού κάθισε μαζί μ' ἄλλους καί συζήτησε, παίρνουμε θάρρος καί ὁδηγούμαστε ἀπό τούς τόπους πρός τή μνήμη ἐκείνη, τί εἶναι φυσικό νά παθαίνουν ἐκεῖνοι πού μέ εὐλάβεια φιλοξενοῦν, ὅταν τά πράγματα εἶναι πιό πρόσφατα;

Γνωρίζοντας λοιπόν αὐτά ἄς ὑποδεχόμαστε τούς ἁγίους, γιά νά λάμπει τό σπίτι, γιά ν' ἀπαλλάσσεται ἀπό τά ἀγκάθια, γιά νά γίνει λιμάνι τό δωμάτιο· καί ἄς τούς ὑποδεχόμαστε καί ἄς τούς πλένουμε τά πόδια. Δέν εἶσαι ἐσύ καλύτερη ἀπό τή Σάρρα οὔτε εὐγενέστερη οὔτε πλουσιότερη, ἔστω καί ἄν ἀκόμη εἶσαι βασίλισσα. Τριακόσιους δεκαοκτώ δούλους εἶχε στό σπίτι της ἐκείνη, ὅταν καί τό νά εἶχε δύο παιδιά κανείς ἦταν πλοῦτος. Καί γιατί λέγω τριακόσιους δεκαοκτώ δούλους; Ὁλόκληρη τήν οἰκουμένη εἶχε κτῆμα στό σπέρμα της καί στίς ὑποσχέσεις, τό φίλο τοῦ Θεοῦ εἶχε ἄνδρα της, τόν ἴδιο τό Θεό βοηθό, πράγμα πού ἦταν μεγαλύτερο ἀπό κάθε βασιλεία. Ἀλλ' ὅμως, ἄν καί ἦταν τόσο γνωστή καί βρισκόταν σέ τόσο μεγάλη δόξα, αὐτή ζύμωσε τά ἄλευρα καί ὑπηρετοῦσε σέ ὅλα τά ἄλλα καί ἐνῶ ἔτρωγαν στεκόταν πάλι στή θέση ὑπηρέτριας[19]. Δέν εἶσαι ἐσύ εὐγενέστερος ἀπό τόν Ἀβραάμ, πού ἔκανε τά ἔργα τῶν ὑπηρετῶν, ὕστερα ἀπό τά τρόπαια ἐκεῖνα, ὕστερα ἀπό τίς νίκες, ὕστερα ἀπό τήν τιμή τοῦ βασιλιᾶ τῆς Αἰγύπτου, ὕστερα ἀπό τήν ἐκδίωξη τῶν Περσῶν βασιλέων καί τό στήσιμο τῶν λαμπρῶν τροπαίων[20].

Οὔτε νά δεῖς αὐτό, ὅτι δηλαδή εἶναι εὐτελεῖς στήν ἐξωτερική ἐμφάνιση οἱ ἅγιοι πού καταλύουν στό σπίτι σου, καί φτωχοί καί ρακένδυτοι πολλές φορές, ἀλλά νά θυμᾶσαι ἐκείνη τή φωνή πού λέγει· «καθετί πού κάνατε σ' ἕνα ἀπό αὐτούς τούς ἀσήμαντους, τό κάνατε σ' ἐμένα»[21], καί, «νά μήν περιφρονήσετε κανένα ἀπό τούς μικρούς τούτους, γιατί οἱ ἄγγελοί τους βλέπουν πάντοτε τό πρόσωπο τοῦ Πατέρα μου πού βρίσκεται στούς οὐρανούς»[22], καί νά δέχεσαι μέ προθυμία αὐτούς πού σοῦ φέρνουν τά ἄπειρα ἀγαθά μέ τό χαιρετισμό τῆς εἰρήνης. Καί μαζί μέ τή Σάρρα νά σκέπτεσαι καί τή Ρεβέκ-

ἢ καὶ ὑδρεύετο, καὶ ἐπότιζε, καὶ ἐκάλει τὸν ξένον ἔνδον, πάντα καταπατήσασα τῦφον. Διά τοι τοῦτο καὶ μεγάλους τῆς φιλοξενίας ἐλάμβανον τοὺς μισθούς. Σὺ δέ, εἰ βουληθείης, καὶ μείζους ἐκείνων λήψῃ. Οὐ γὰρ παιδίων μόνον δώσει σοι τὸν καρπὸν ὁ Θεός, ἀλλὰ καὶ τὸν οὐρανὸν καὶ τὰ ἐκεῖ ἀγαθά, καὶ γεέννης ἀπαλλαγήν, καὶ ἁμαρτημάτων συγχώρησιν. Οὕτω καὶ Ἰοθόρ, καὶ ταῦτα βάρβαρος ὤν, κηδεστὴν ἔλαβε τὸν τῇ θαλάττῃ μετὰ τοσαύτης ἐπιτάξαντα τῆς ἐξουσίας· καὶ γὰρ αἱ θυγατέρες αὐτῷ τὸ καλὸν τοῦτο θήραμα ἐσαγήνευσαν.

Ταῦτ' οὖν ἐννοοῦσα, καὶ τὴν ἀνδρείαν τῶν γυναικῶν ἐκείνων λογιζομένη καὶ τὴν φιλοσοφίαν, καταπάτησον τὸν παρόντα τῦφον, τὸν τῶν ἱματίων καλλωπισμόν, τὴν τῶν χρυσίων πολυτέλειαν, τῶν μύρων τὴν ἀλοιφήν· καὶ τὸ κατακλᾶσθαι καὶ θρύπτεσθαι καὶ ρυθμῷ βαδίζειν ἀφεῖσα, πᾶσαν ταύτην τὴν ἐπιμέλειαν εἰς τὴν ψυχὴν εἰσάγαγε, καὶ τὸν τῶν οὐρανῶν πόθον ἄναψον ἐπὶ τῆς διανοίας. Ἂν γὰρ οὗτός σε ὁ ἔρως ἕλῃ, ὄψει τὸν βόρβορον καὶ τὸν πηλόν, καὶ καταγελάσῃ τῶν νῦν θαυμαζομένων· οὐδὲ γὰρ ἔστι γυναῖκα πνευματικοῖς κοσμουμένην κατορθώμασιν, ἐπιζητῆσαι τὸν γέλωτα τοῦτον. Ρίψασα τοίνυν πάντα ταῦτα, ἃ καὶ ἀγοραίων γυναῖκες, ἃ καὶ ὀρχηστρίδες καὶ αὐλητρίδες μετὰ πολλῆς ἔχουσι τῆς φιλοτιμίας, περίθου φιλοσοφίαν, φιλοξενίαν, προστασίαν τῶν ἁγίων, κατάνυξιν, εὐχὰς συνεχεῖς. Ταῦτα χρυσῶν ἱματίων βελτίω, ταῦτα λίθων σεμνότερα καὶ περιδερραίων, ταῦτα καὶ παρὰ ἀνθρώποις εὐδοκιμεῖν ποιεῖ, καὶ παρὰ Θεῷ μέγαν φέρει σοι τὸν μισθόν. Οὗτος τῆς Ἐκκλησίας ὁ κόσμος, ἐκεῖνος τῶν θεάτρων· οὗτος τῶν οὐρανῶν ἄξιος, ἐκεῖνος ἵππων καὶ ἡμιόνων· ἐκεῖνος καὶ νεκροῖς σώμασι περιτίθεται, οὗτος ἐν ψυχῇ μόνον ἀγαθῇ λάμπει, ἐν ᾗ Χριστὸς κατοικεῖ.

Τοῦτον τοίνυν κτησώμεθα τὸν κόσμον, ἵνα ᾀδώμεθα πανταχοῦ καὶ ἡμεῖς, καὶ εὐαρεστήσωμεν τῷ Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

23. Βλ. Γεν. 24,15–33.
24. Βλ. Ἐξ. 2,15–22.

κα, ἡ ὁποία καί νερό ἔπαιρνε καί πότιζε καί καλοῦσε στό σπίτι της τόν ξένο ἄνθρωπο, ἀφοῦ περιφρόνησε κάθε ἀλαζονεία[23]. Γι' αὐτό ἀκριβῶς ἔπαιρναν καί μεγάλους τούς μισθούς τῆς φιλοξενίας. Ἐσύ ὅμως, ἄν θελήσεις, θά πάρεις καί μεγαλύτερους ἀπό ἐκείνους. Γιατί, ὄχι μόνο θά σοῦ δώσει ὁ Θεός τόν καρπό τῶν παιδιῶν, ἀλλά καί τόν οὐρανό καί τά ἀγαθά πού βρίσκονται ἐκεῖ καί τήν ἀπαλλαγή ἀπό τήν κόλαση καί τή συγχώρηση τῶν ἁμαρτημάτων. Καθόσον εἶναι μεγάλος, καί μάλιστα ὑπερβολικά μεγάλος ὁ καρπός τῆς φιλοξενίας. Ἔτσι καί ὁ Ἰοθόρ, καί παρ' ὅλο πού ἦταν βάρβαρος, ἔκαμε γαμβρό ἐκεῖνον πού διέταξε μέ τόσο μεγάλη ἐξουσία τή θάλασσα· καθόσον οἱ θυγατέρες του σαγήνευσαν τό καλό αὐτό θήραμα[24].

Κατανοώντας λοιπόν αὐτά καί ἀναλογιζόμενη τήν ἀνδρεία τῶν γυναικῶν ἐκείνων καθώς καί τήν πίστη τους, περιφρόνησε τήν παροῦσα ἀφροσύνη, τό στόλισμα τῶν φορεμάτων, τήν πολυτέλεια τῶν χρυσῶν κοσμημάτων, τήν ἐπάλειψη τῶν μύρων, καί, ἐγκαταλείποντας τήν ἀκόλαστη ζωή καθώς καί τό στόλισμα καί τό ρυθμικό βάδισμα, βάλε ὅλη αὐτή τή φροντίδα στήν ψυχή καί ἄναψε στή διάνοιά σου τόν πόθο τῶν οὐρανῶν. Γιατί, ἄν σέ κυριεύσει αὐτός ὁ ἔρωτας, θά δεῖς τό βοῦρκο καί τή λάσπη καί θά περιγελάσεις αὐτές πού τώρα θαυμάζονται· γιατί δέν εἶναι δυνατό γυναίκα στολισμένη μέ πνευματικά κατορθώματα νά ἐπιζητήσει αὐτό τό γελοῖο πράγμα. Βγάζοντας λοιπόν ἀπό πάνω σου ὅλα αὐτά, τά ὁποῖα μέ πολύ ζῆλο ἔχουν καί οἱ πόρνες καί οἱ χορεύτριες καί οἱ αὐλητρίδες, φόρεσε τήν εὐσέβεια, τή φιλοξενία, τή βοήθεια τῶν ἁγίων, τήν κατάνυξη, τίς συνεχεῖς προσευχές. Αὐτά εἶναι καλύτερα ἀπό χρυσά φορέματα, αὐτά εἶναι σπουδαιότερα ἀπό πολύτιμους λίθους καί περιδέραια, αὐτά κάνουν νά σέ τιμοῦν οἱ ἄνθρωποι καί σοῦ φέρνουν μεγάλο μισθό ἀπό τό Θεό. Αὐτό τό στόλισμα εἶναι τῆς Ἐκκλησίας, ἐκεῖνο τῶν θεάτρων· αὐτό εἶναι ἄξιο τῶν οὐρανῶν, μέσα στήν ὁποία κατοικεῖ ὁ Χριστός. Αὐτό λοιπόν τό στόλισμα ἄς ἀποκτήσουμε, γιά νά ἐπαινούμαστε καί ἐμεῖς παντοῦ καί γιά νά εὐχαριστήσουμε τό Χριστό, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΒ'

(Ρωμ. 16,5 – 16)

«Ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν».

1. Πολλοὺς καὶ τῶν σφόδρα δοκούντων εἶναι σπουδαίων τοῦτο τῆς ἐπιστολῆς τὸ μέρος παρατρέχειν ἡγοῦμαι, ὡς περιττὸν καὶ οὐδὲν μέγα ἔχον· καὶ τοῦτο αὐτὸ καὶ ἐν τῇ γενεαλογίᾳ τῇ ἐν τῷ εὐαγγελίῳ κειμένῃ πάσχειν αὐτοὺς νομίζω. Ἐπειδὴ γὰρ ὀνομάτων ἐστὶ κατάλογος, οὐδὲν μέγα οἴονται ἐντεῦθεν κερδαίνειν. Καὶ οἱ μὲν τῶν χρυσοχόων παῖδες καὶ τὰ μικρὰ ψήγματα περιεργάζονται, οὗτοι δὲ καὶ μάζας χρυσίου τοσαύτας παρατρέχουσιν. Ἵν' οὖν μὴ τοῦτο πάσχωσιν, ἱκανὰ μὲν καὶ τὰ εἰρημένα ταύτης ἀπαγαγεῖν τῆς ῥᾳθυμίας αὐτούς. Ὅτι γὰρ οὐ μικρὸν και ἐντεῦθεν κέρδος, ἐδείξαμεν καὶ ἐκ τῶν ἔμπροσθεν εἰρημένων, τὴν ψυχὴν ὑμῶν ἀναστήσαντες διὰ τῶν προσρήσεων τούτων, πειρασόμεθα δὲ καὶ σήμερον τὸ αὐτὸ πάλιν τοῦτο μεταλλεῦσαι χωρίον. Ἔστι γἀρ καὶ ἀπὸ ὀνομάτων ψιλῶν μέγαν εὑρεῖν θησαυρόν. Ἐὰν γοῦν μάθῃς διὰ τί Ἀβραὰμ ἐκλήθη, διὰ τί Σάρρα, διὰ τί Ἰσραήλ, διὰ τί Σαμουήλ, πολλῶν πραγμάτων καὶ ἐντεῦθεν ἱστορίαν εὑρήσεις.

Καὶ ἀπὸ καιρῶν δὲ καὶ ἀπὸ τόπων τὸ αὐτὸ τοῦτο δυνήσῃ συναγαγεῖν. Ὁ μὲν γὰρ σπουδαῖος καὶ ἐντεῦθεν πλουτεῖ, ὁ δὲ ἀναπεπτωκὼς οὐδὲ ἀπὸ τῶν σφόδρα καταδήλων κερδαίνει. Καὶ γὰρ τὸ τοῦ Ἀδὰμ ὄνομα οὐ μικρὰν ἡμᾶς παιδεύει φιλοσοφίαν, καὶ τὸ τοῦ

ΟΜΙΛΙΑ ΛΒ'

(Ρωμ. 16,5-16)

«Χαιρετῆστε τόν Ἐπαίνετο τόν ἀγαπητό μου, ὁ ὁποῖος εἶναι ὁ πρῶτος ἀπό τήν Ἀχαΐα πού πίστεψε στό Χριστό».

1. Ἔχω τὴ γνώμη ὅτι πολλοί, καὶ ἀπ' αὐτούς πού νομίζουν πάρα πολύ πώς εἶναι σπουδαῖοι, παρατρέχουν αὐτό τό μέρος τῆς ἐπιστολῆς, σάν νά εἶναι περιττό καί νά μήν ἔχει τίποτε μεγάλο, καί νομίζω ὅτι παθαίνουν τό ἴδιο ἀκριβῶς καί στή γενεαλογία πού περιγράφεται στό Εὐαγγέλιο. Γιατί, ἐπειδή εἶναι κατάλογος ὀνομάτων, νομίζουν ὅτι δέν κερδίζουν τίποτε ἀπ' αὐτό. Καί οἱ χρυσοχόοι βέβαια ἐξετάζουν μέ προσοχή ἀκόμη καί τά μικρά ψήγματα, ἐνῶ αὐτοί παρατρέχουν ἀκόμη καί τόσο μεγάλες ποσότητες χρυσοῦ. Γιά νά μήν παθαίνουν λοιπόν αὐτό, εἶναι ἀρκετά καί αὐτά τά λόγια γιά νά τούς ἀπομακρύνουν ἀπό τήν ἀδιαφορία αὐτή. Γιατί τό ὅτι δέν εἶναι μικρό καί ἀπό ἐδῶ τό κέρδος, τό δείξαμε καί μέ τά ὅσα λέχθηκαν πιό μπροστά, ἀφοῦ διεγείραμε τήν ψυχή σας μέ τούς χαιρετισμούς αὐτούς, θά προσπαθήσουμε ὅμως καί σήμερα νά ἐκμεταλλευθοῦμε πάλι τό ἴδιο χωρίο. Γιατί εἶναι δυνατό καί ἀπό τά ἁπλά ἀκόμη ὀνόματα νά βροῦμε μεγάλο θησαυρό. Ἐάν λοιπόν μάθεις γιατί ὀνομάσθηκε Ἀβραάμ, γιατί Σάρρα, γιατί Ἰσραήλ, γιατί Σαμουήλ, θά βρεῖς καί ἀπό ἐδῶ τήν ἱστορία πολλῶν πραγμάτων.

Καί ἀπό τούς καιρούς ὅμως καί ἀπό τούς τόπους τό ἴδιο θά μπορέσεις νά συγκεντρώσεις. Γιατί ὁ σπουδαῖος καί ἀπό ἐδῶ γίνεται πλούσιος, ἐνῶ ἐκεῖνος πού ἔχει χάσει τό ζῆλο δέν κερδίζει οὔτε ἀπό αὐτά πού εἶναι πάρα πολύ ὁλοφάνερα. Πράγματι τό ὄνομα τοῦ

παιδὸς τοῦ ἐκείνου, καὶ τὸ τῆς γυναικὸς αὐτῆς, καὶ τῶν ἄλλων τὰ πλείω. Πολλῶν γάρ ἐστι πραγμάτων ὑπομνήματα τὰ ὀνόματα· καὶ Θεοῦ εὐεργεσίαν καὶ τῶν γυναικῶν δείκνυσιν εὐχαριστίαν· συλλαμβάνουσαι γὰρ ἀπὸ τῆς τοῦ Θεοῦ δωρεᾶς τὰ παιδία ὠνόμαζον αὗται. Ἀλλὰ τί νῦν περὶ ὀνομάτων φιλοσοφοῦμεν, νοημάτων τοσούτων ἀμελουμένων, καὶ πολλῶν οὐδὲ τὰ ὀνόματα αὐτὰ τῶν βιβλίων εἰδότων; Πλὴν ἀλλ' οὐδ' οὕτως ἀναχωρητέον ἡμῖν τῆς περὶ τὰ τοιαῦτα σπουδῆς. «Ἔδει γάρ σε», φησί, «καταβαλεῖν τὸ ἀργύριον ἐπὶ τοὺς τραπεζίτας». Διόπερ κἂν μηδεὶς ὁ ὑποδεχόμενος ᾖ, τὸ ἑαυτῶν ποιῶμεν, καὶ δεικνύωμεν οὐδὲν περιττὸν οὐδὲ εἰκῇ προσκείμενον ταῖς Γραφαῖς. Εἰ γὰρ μηδὲν εἶχε ταῦτα κέρδος, οὐδ' ἂν προσετέθη τῇ ἐπιστολῇ, οὐδ' ἂν Παῦλος ἔγραψεν ἅπερ ἔγραψεν.

Ἀλλὰ γὰρ οὕτω τινές εἰσι βάναυσοι καὶ χαῦνοι καὶ τῶν οὐρανῶν ἀνάξιοι, ὡς μὴ μόνον ὀνόματα, ἀλλὰ καὶ ὁλόκληρα βιβλία περιττὰ εἶναι νομίζειν, ὡς τὸ Λευϊτικόν, ὡς τὸν Ἰησοῦν, καὶ ἕτερα πλείονα. Οὕτω καὶ τὴν Παλαιὰν πολλοὶ τῶν ἀνοήτων ἐξέβαλον· καὶ ὁδῷ προβαίνοντες τῇ ἀπὸ τῆς πονηρᾶς ταύτης συνηθείας, πολλὰ καὶ τῆς Καινῆς περιέκοψαν. Ἀλλὰ τούτων μὲν ἅτε μεθυόντων καὶ τῇ σαρκὶ ζώντων οὐ πολὺς ἡμῖν ὁ λόγος· εἰ δέ τις φιλοσοφίας ἐραστὴς καὶ πνευματικῆς ἀκροάσεως φίλος, ἀκουέτω ὅτι οὐδὲ τὰ μικρὰ δοκοῦντα εἶναι ἐν τῇ Γραφῇ εἰκῇ κεῖται καὶ μάτην, καὶ ὅτι καὶ τὰ παλαιὰ πολὺ φέρει τὸ κέρδος. «Ταῦτα γὰρ πάντα τύποι καὶ πρὸς νουθεσίαν ἡμῶν ἐγράφη», φησί. Διὸ καὶ Τιμοθέῳ ἔλεγε, «πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει», εἰς τὴν τῶν παλαιῶν αὐτὸν ἀνάγνωσιν ἐμβάλλων βιβλίων, ἄνθρωπον τοσοῦτον Πνεῦμα ἔχοντα, ὡς καὶ δαίμονας ἐλαύνειν καὶ νεκροὺς ἐγείρειν. Ἐχώμεθα τοίνυν τῶν προκειμένων.

«Ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου». Ἄξιον ἐντεῦθεν ἰδεῖν, πῶς ἑκάστῳ τοὺς ἐπαίνους ἀπονέμει διαφόρως. Οὐδὲ

1. Ματθ. 25,27.
2. Α' Κορ. 10,11.
3. Α' Τιμ. 4,13.

'Αδάμ δέ μᾶς διδάσκει μικρή φιλοσοφία, καθώς καί τοῦ παιδιοῦ του, καί τῆς γυναίκας του τῆς ἴδιας, καθώς καί τά περισσότερα ὀνόματα τῶν ἄλλων. Γιατί τά ὀνόματα ὑπενθυμίζουν πολλά πράγματα· καί τήν εὐεργεσία τοῦ Θεοῦ καὶ τὴν εὐχαριστία τῶν γυναικῶν δείχνουν, καθόσον ὅταν συνελάμβαναν ἀπὸ τὴ δωρεά τοῦ Θεοῦ ὀνόμαζαν τά παιδιά τους. 'Αλλά γιατί φιλοσοφοῦμε τώρα γιά τά ὀνόματα, τή στιγμή πού δείχνουμε ἀδιαφορία γιά τόσα νοήματα καί οἱ πολλοί δέ γνωρίζουν οὔτε τά ἴδια τά ὀνόματα τῶν βιβλίων; 'Αλλ' ὅμως οὔτε ἔτσι πρέπει νά παραιτηθοῦμε ἀπό τή φροντίδα γι' αὐτά. «Ἔπρεπε λοιπόν», λέγει, «νά βάλεις τά χρήματα στούς τραπεζίτες»[1]. Γι' αὐτό καί ἄν ἀκόμη δέν ὑπάρχει κανείς πού νά τό δεχθεῖ, ἄς κάμνουμε ἐμεῖς ὅ,τι ἐξαρτᾶται ἀπό μᾶς καί ἄς δείχνουμε ὅτι δέν ὑπάρχει οὔτε περιττό οὔτε ἄσκοπο μέσα στίς Γραφές. Γιατί, ἄν δέν εἶχαν αὐτά κανένα κέρδος, οὔτε θά προσθέτονταν στήν ἐπιστολή, οὔτε ὁ Παῦλος θά ἔγραφε ὅσα ἔγραψε.

'Αλλά βέβαια μερικοί εἶναι τόσο χυδαῖοι καί ἀπερίσκεπτοι καί ἀνάξιοι τῶν οὐρανῶν, ὥστε νά νομίζουν πώς δέν εἶναι μόνο τά ὀνόματα περιττά ἀλλά καί ὁλόκληρα βιβλία, ὅπως τό Λευιτικό, ὁ Ἰησοῦς τοῦ Ναυῆ καὶ ἄλλα πολλά. Ἔτσι καί τήν Παλαιά Διαθήκη πολλοί ἀνόητοι τήν ἀπέρριψαν καί προχωρώντας ἀπό τήν κακή αὐτή συνήθεια περιέκοψαν πολλά βιβλία καί ἀπό τήν Καινή Διαθήκη. 'Αλλά γι' αὐτούς, ἐπειδή εἶναι μεθυσμένοι καί ζοῦν γιά τή σάρκα, δέν θά κάνω πολύ λόγο, ἄν ὅμως κανείς εἶναι ἐραστής τῆς φιλοσοφίας καί φίλος τῆς πνευματικῆς ἀκροάσεως, ἄς ἀκούει ὅτι οὔτε ἐκεῖνα πού φαίνονται μικρά στή Γραφή βρίσκονται ἄσκοπα καί χωρίς λόγο καί ὅτι καί τά παλαιά φέρνουν πολύ κέρδος. «Γιατί ὅλα αὐτά ἦταν συμβολικά καί γράφθηκαν γιά νά μᾶς νουθετήσουν»[2], λέγει. Γι' αὐτό καί στόν Τιμόθεο ἔλεγε, «προσηλώσου στήν ἀνάγνωση, τήν παρηγορία»[3], ὠθώντας στήν ἀνάγνωση τῶν παλαιῶν βιβλίων αὐτόν, πού ἦταν ἄνθρωπος μέ τόσο πολύ Πνεῦμα, ὥστε καί δαίμονες νά ἐκδιώκει καί νεκρούς νά ἀνασταίνει. 'Αλλ' ἄς ἔρθουμε τώρα στά ἐξεταζόμενα.

«Χαιρετῆστε τόν Ἐπαίνετο τόν ἀγαπητό μου». 'Αξίζει ἀπό ἐδῶ νά δοῦμε, πῶς στόν καθένα ἀπονέμει μέ διαφορετικό τρόπο

γὰρ μικρὸς οὗτος ὁ ἔπαινος, ἀλλὰ καὶ σφόδρα μέγας, καὶ πολλῆς ἀρετῆς ἐνδεικτικός, τὸ Παῦλον ἔχειν ἀγαπητόν, Παῦλον τὸν οὐκ εἰδότα χάριτι, ἀλλὰ κρίσει φιλεῖν. Εἶτα καὶ ἄλλο ἐγκώμιον· «ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας». Ἢ γὰρ τοῦτό φησιν, ὅτι τῶν ἄλλων ἁπάντων προεπήδησε καὶ ἐπίστευσεν, ὅπερ οὐ μικρὸς ἔπαινος, ἢ ὅτι πάντων τῶν ἄλλων πλείονα ἐπιδείκνυται τὴν εὐλάβειαν. Διὰ τοῦτο εἰπών, «ὅς τιν ἀπαρχὴ τῆς Ἀχαΐας», οὐ ἐσίγησεν, ἵνα μὴ τὴν κοσμικὴν ὑποπτεύσῃς δόξαν, ἀλλὰ προσέθηκεν, «εἰς Χριστόν». Εἰ γὰρ ἐν τοῖς πολιτικοῖς πράγμασιν ὁ πρωτεύων μέγας εἶναι δοκεῖ καὶ λαμπρός, πολλῷ μᾶλλον ἐν τούτοις. Ἐπεὶ οὖν εἰκὸς ἦν αὐτὸν ταπεινοῦ γένους εἶναι, λέγει τὴν ἀληθῆ εὐγένειαν καὶ τὴν προεδρίαν, ἐντεῦθεν αὐτὸν κοσμῶν. Καὶ οὐχὶ Κορίνθου μόνον, ἀλλὰ καὶ ὁλοκλήρου ἔθνους φησὶν αὐτὸν ἀπαρχὴν εἶναι, ὡσανεὶ θύραν καὶ εἴσοδον τοῖς ἄλλοις γεγενημένον. Οὐ μικρὸς δὲ τοῖς τοιούτοις ὁ μισθός· καὶ γὰρ καὶ τῶν ἑτέροις κατωρθωμένων πολλὴν καρπώσεται τὴν ἀμοιβὴν ὁ τοιοῦτος, ἅτε καὶ ἐκείνους πολὺ διὰ τῆς ἀρχῆς συνεισενεγκών.

2. *«Ἀσπάσασθε Μαριάμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ὑμᾶς». Τί τοῦτο; Πάλιν γυνὴ στεφανοῦται καὶ ἀνακηρύττεται, πάλιν ἡμεῖς αἰσχυνόμεθα οἱ ἄνδρες· μᾶλλον δὲ οὐκ αἰσχυνόμεθα μόνον, ἀλλὰ καὶ σεμνυνόμεθα. Σεμνυνόμεθα μὲν γάρ, ὅτι τοιαῦται παρ' ἡμῖν γυναῖκες, αἰσχυνόμεθα δέ, ὅτι σφόδρα αὐτῶν ἀπολιμπανόμεθα οἱ ἄνδρες. Ἀλλ' ἐὰν μάθωμεν πόθεν ἐκεῖναι καλλωπίζονται, ταχέως καὶ ἡμεῖς αὐτὰς καταληψόμεθα. Πόθεν οὖν καλλωπίζονται; Ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες· οὐκ ἀπὸ τῶν ψελλίων, οὐδὲ ἀπὸ τῶν ὁρμίσκων, οὐδὲ ἀπὸ τῶν εὐνούχων καὶ τῶν θεραπαινίδων καὶ τῶν χρυσοπάστων ἱματίων, ἀλλ' ἀπὸ τῶν ὑπὲρ τῆς ἀληθείας ἱδρώτων. «Ἥτις γάρ», φησί, «πολλὰ ἐκοπίασεν εἰς ὑμᾶς»· οὐκ εἰς ἑαυτὴν μόνον, οὐδὲ εἰς τὴν οἰκείαν ἀρετήν, ὃ πολλαὶ καὶ νῦν ποιοῦσι γυναῖ-*

τούς ἐπαίνους. Γιατί δέν εἶναι μικρός αὐτός ὁ ἔπαινος, ἀλλά καί ὑπερβολικά μεγάλος, καί ἐνδεικτικός πολλῆς ἀρετῆς, τό νά ἔχει δηλαδή ἀγαπητό τόν Παῦλο, τόν Παῦλο πού δέν γνωρίζει ν' ἀγαπᾶ χαριστικά ἀλλά ὕστερα ἀπό σκέψη. Ἔπειτα καί ἄλλο ἐγκώμιο· «ὁ ὁποῖος εἶναι ὁ πρῶτος ἀπό τήν Ἀχαΐα». Ἤ λοιπόν αὐτό ἐννοεῖ, ὅτι πρίν ἀπ' ὅλους τούς ἄλλους μεταπήδησε καί πίστεψε, πράγμα πού δέν εἶναι μικρός ἔπαινος, ἤ ὅτι ἐπιδεικνύει εὐλάβεια περισσότερη ἀπ' ὅλους τούς ἄλλους. Γι' αὐτό, ἀφοῦ εἶπε, «ὁ ὁποῖος εἶναι ὁ πρῶτος ἀπό τήν Ἀχαΐα», δέ σίγησε, γιά νά μήν ὑποψιασθεῖς τήν κοσμική δόξα, ἀλλά πρόσθεσε, «στό Χριστό». Ἐάν λοιπόν στά πολιτικά πράγματα ὁ πρῶτος φαίνεται πώς εἶναι μεγάλος καί λαμπρός, πολύ περισσότερο σ' αὐτά. Ἐπειδή λοιπόν ἦταν φυσικό νά ἀνήκει αὐτός σέ ταπεινό γένος, ἀναφέρει τήν ἀληθινή εὐγένεια καί τήν πρωτοκαθεδρία, τιμώντας τον ἀπό ἐδῶ. Καί ὄχι μόνο τῆς Κορίνθου, ἀλλά καί ὁλόκληρης ἐπαρχίας λέγει πώς εἶναι πρῶτος, σάν νά εἶχε γίνει θύρα καί εἴσοδος στούς ἄλλους. Καί δέν εἶναι μικρός ὁ μισθός σέ τέτοιους ἀνθρώπους, γιατί βέβαια ἕνας τέτοιος ἄνθρωπος θά κερδίσει πολλή ἀμοιβή καί ἀπό ἐκεῖνα πού ἔχουν κατορθώσει ἄλλοι, ἐπειδή συνεισέφερε πολύ καί σ' ἐκείνους μέ τήν ἀρχή πού ἔκανε.

2. «Χαιρετῆστε τή Μαριάμ, ἡ ὁποία πολύ κόπιασε γιά σᾶς». Τί εἶναι αὐτό; Πάλι γυναίκα στεφανώνεται καί ἀναγνωρίζεται ὡς νικήτρια, πάλι ντροπιαζόμαστε ἐμεῖς οἱ ἄνδρες· ἤ καλύτερα δέν ντροπιαζόμαστε μόνο, ἀλλά καί ὑπερηφανευόμαστε. Ὑπερηφανευόμαστε λοιπόν, γιατί τέτοιες εἶναι οἱ δικές μας γυναῖκες, ντροπιαζόμαστε ὅμως, γιατί πάρα πολύ μειονεκτοῦμε ἀπέναντι σ' αὐτές, ἀλλ' ἄν μάθουμε ἀπό ποῦ ἐκεῖνες λαμβάνουν τό κόσμημα, ἀμέσως καί ἐμεῖς θά τίς φθάσουμε. Ἀπό ποῦ λοιόν στολίζονται; Ἄς ἀκούσουν καί οἱ ἄνδρες καί οἱ γυναῖκες· ὄχι ἀπό τά βραχιόλια, οὔτε ἀπό τά μικρά περιδέραια, οὔτε ἀπό τούς εὐνούχους καί τίς ὑπηρέτριες καί τά κοσμημένα μέ χρυσό φορέματα, ἀλλ' ἀπό τούς ἱδρῶτες γιά τήν ἀλήθεια. «Ἡ ὁποία», λέγει, «πολύ κόπιασε γιά σᾶς». Ὄχι μόνο γιά τόν ἑαυτό της, οὔτε γιά τή δική της ἀρετή, πράγμα πού καί τώρα κάνουν

κες, νυστεύουσαι, χαμευνοῦσαι, ἀλλὰ καὶ εἰς ἑτέρους, ἀποστόλων καὶ εὐαγγελιστῶν ἀναδεξαμένη δρόμους. Πῶς οὖν φησι, «γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω»; Τῆς ἐν τῷ μέσῳ προεδρίας αὐτὴν κωλύων καὶ θρόνου τοῦ ἐν τῷ βήματι, οὐ τοῦ λόγου τῆς διδασκαλίας.

Ἐπεὶ εἰ τοῦτο ἦν, πῶς ἔλεγε τῇ τὸν ἄπιστον ἄνδρα ἐχούσῃ, «τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;»· πῶς ἐπέτρεπε παῖδας νουθετεῖν, λέγων, «σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν ἐπιμείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης»; Πῶς ἡ Πρίσκιλλα τὸν Ἀπολλὼ κατήχει; Οὐ τοίνυν τὴν ἰδίᾳ διάλεξιν γινομένην ἐπ' ὠφελείᾳ διακόπτων τοῦτο ἔλεγεν, ἀλλὰ τὴν ἐν τῷ μέσῳ καὶ ἐν τῷ κοινῷ θεάτρῳ διδασκάλοις πρέπουσαν· καὶ ὅταν πάλιν πιστὸς ὁ ἀνὴρ ᾖ, καὶ σφόδρα ἀπηρτισμένος, καὶ διδάσκειν αὐτὴν δυνάμενος· ὡς ἂν αὐτὴ σοφωτέρα ᾖ, οὐ κωλύει καὶ διδάσκειν καὶ διορθοῦν. Καὶ οὐκ εἶπεν, 'ἥτις πολλὰ ἐδίδαξεν', ἀλλ', «ἥτις πολλὰ ἐκοπίασε», δεικνὺς ὅτι μετὰ τοῦ λόγου καὶ ἕτερα ἄλλα διηκονεῖτο, τὰ ἀπὸ τῶν κινδύνων, τὰ ἀπὸ τῶν χρημάτων, τὰ ἀπὸ τῶν ἀποδημιῶν. Λεόντων γὰρ θερμότεραι αἱ τότε γυναῖκες ἦσαν, διανεμόμεναι πρὸς τοὺς ἀποστόλους τοὺς ὑπὲρ τοῦ κηρύγματος πόνους· διὰ τοῦτο καὶ συναπεδήμουν αὐτοῖς, καὶ τὰ ἄλλα πάντα διηκονοῦντο. Καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ ἠκολούθουν γυναῖκες ἐκ τῶν ὑπαρχόντων αὐταῖς διακονούμεναι, καὶ θεραπεύουσαι τὸν διδάσκαλον.

3. *«Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου». Δοκεῖ μὲν καὶ τοῦτο ἐγκώμιον εἶναι, τὸ δὲ ἐφεξῆς πολλῷ μεῖζον. Ποῖον δὴ τοῦτο; «Καὶ τοὺς συναιχμαλώτους μου». Τοῦτο γὰρ ὁ μέγιστος στέφανος, ἡ μεγάλη ἀνακήρυξις. Καὶ ποῦ γέγονεν αἰχμάλωτος Παῦλος, ἵνα εἴπῃ, «τοὺς συναιχμαλώτους μου»; Αἰχμάλωτος μὲν οὐκ ἐγένετο, αἰχμαλώτων δὲ αἰσχμαλωτότερα ἔπασχεν, οὐ πατρίδος ἀλλοτριούμενος μόνον καὶ οἰκίας, ἀλλὰ καὶ λιμῷ παλαίων*

---

4. Α' Τιμ. 2,12.
5. Α' Κορ. 7,16.
6. Α' Τιμ. 2,15.

πολλές γυναῖκες, μέ τό νά νηστεύουν, νά κοιμοῦνται καταγῆς, ἀλλά καί γιά ἄλλους, ἀναλαμβάνοντας τούς δρόμους τῶν ἀποστόλων καί τῶν εὐαγγελιστῶν. Πῶς λοιπόν λέγει, «στή γυναίκα δέν ἐπιτρέπω νά διδάσκει»[4]; Ἐμποδίζοντάς την ἀπό τήν πρωτοκαθεδρία καί τό θρόνο στό ἱερό βῆμα, καί ὄχι ἀπό τό λόγο τῆς διδασκαλίας.

Γιατί ἄν ἦταν αὐτό, πῶς ἔλεγε στή γυναίκα πού εἶχε τόν ἄνδρα, «ποῦ ξέρεις, γυναίκα, μήπως σώσεις τόν ἄνδρα σου;»[5] πῶς ἐπέτρεπε νά νουθετοῦν τά παιδιά λέγοντας, «θά σωθεῖ ὅμως μέ τή γέννηση τῶν παιδιῶν, ἄν μείνουν οἱ γυναῖκες στήν πίστη καί τήν ἀγάπη καί τόν ἁγιασμό μέ σωφροσύνη»[6]; Πῶς ἡ Πρίσκιλλα δίδασκε τόν Ἀπολλῶ; Δέν τό ἔλεγε λοιπόν αὐτό γιά νά ἐμποδίσει τήν ἰδιαίτερη ὁμιλία πού γίνεται γιά ὠφέλεια, ἀλλά τήν ὁμιλία πού γίνεται δημόσια καί στό κοινό θέατρο καί πού ἁρμόζει στούς διδασκάλους. Καί αὐτό ὅταν εἶναι πιστός ὁ ἄνδρας, καί πάρα πολύ τέλειος καί μπορεῖ νά διδάξει τή γυναίκα· γιατί ἄν αὐτή εἶναι περισσότερο σοφή, δέν τήν ἐμποδίζει νά διδάσκει καί νά διορθώνει. Καί δέν εἶπε, ἡ ὁποία δίδαξε πολλά, ἀλλά, «ἡ ὁποία πολύ κόπιασε», μέ σκοπό νά δείξει ὅτι μαζί μέ τό λόγο ὑπηρετοῦσε καί σ' ἄλλες ἀνάγκες, πού προκαλοῦνταν ἀπό τούς κινδύνους, τά χρήματα καί τά ταξίδια. Γιατί οἱ τότε γυναῖκες ἦταν πιό θερμές ἀπό τά λιοντάρια, ἀφοῦ μοιράζονταν μέ τούς ἀποστόλους τούς κόπους γιά χάρη τοῦ κηρύγματος· γι' αὐτό καί συνταξίδευαν μαζί τους καί ὑπηρετοῦσαν σέ ὅλες τίς ἄλλες ἀνάγκες. Ἄλλωστε καί στήν περίπτωση τοῦ Χριστοῦ ἀκολουθοῦσαν γυναῖκες προσφέροντας ὑπηρεσίες ἀπό τίς περιουσίες τους καί φροντίζοντας τό διδάσκαλο.

3. «Χαιρετῆστε τόν Ἀνδρόνικο καί τήν Ἰουνία τούς ὁμοεθνεῖς μου». Φαίνεται βέβαια πώς καί αὐτό εἶναι ἐγκώμιο, ἀλλά τό ἑπόμενο εἶναι πολύ μεγαλύτερο. Ποιό λοιπόν εἶναι αὐτό; «Καί τούς συναιχμαλώτους μου». Γιατί αὐτό εἶναι τό πιό μεγάλο στεφάνι, ἡ μεγάλη ἀνακήρυξη. Καί ποῦ εἶχε χρηματίσει αἰχμάλωτος ὁ Παῦλος, ὥστε νά πεῖ, «τούς συναιχμαλώτους μου»; Αἰχμάλωτος βέβαια δέ χρημάτισε, ἔπασχε ὅμως πολύ πιό φοβερά ἀπό τούς αἰχμαλώτους, ἐπειδή δέ στεροῦνταν μόνο τήν πατρίδα καί τό σπίτι του, ἀλλ' ἐπειδή πάλευε καί μέ τήν πείνα καί τόν καθημερινό θάνατο καί ἄπειρα

καὶ θανάτῳ διηνεκεῖ καὶ μυρίοις ἑτέροις. Τοῦ μὲν γὰρ αἰχμαλώτου τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι τῶν οἰκείων ἀλλοτριούμενος, δοῦλος γίνεται πολλάκις ἀντ' ἐλευθέρου· ἐνταῦθα δὲ νιφάδας ἔστιν εἰπεῖν πειρασμῶν, οὓς ὑπέμεινεν ὁ μακάριος οὗτος, ἀγόμενος καὶ περιαγόμενος, μαστιγούμενος καὶ δεσμούμενος, λιθαζόμενος καὶ καταποντιζόμενος, μυρίους ἔχων ἐπιβούλους. Καὶ οἱ μὲν αἰχμάλωτοι οὐδένα λοιπὸν ἔχουσι πολέμιον μετὰ τὴν ἀπαγωγήν, ἀλλὰ καὶ πολλῆς ἀπολαύουσι προνοίας παρὰ τῶν εἰληφότων αὐτούς, οὗτος δὲ ἐν μέσοις ἐστρέφετο τοῖς πολεμίοις διηνεκῶς, καὶ πανταχοῦ δόρατα ἔβλεπε, καὶ ξίφη ἠκονημένα, καὶ παρατάξεις καὶ μάχας. Ἐπεὶ οὖν καὶ τούτους εἰκὸς ἦν πολλῶν αὐτῷ κεκοινωνηκέναι κινδύνων, συναιχμαλώτους αὐτοὺς καλεῖ· ὥσπερ καὶ ἀλλαχοῦ φησιν, «Ἀρίσταρχος ὁ συναιχμάλωτός μου».

Εἶτα καὶ ἕτερος ἔπαινος· «οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις». Καίτοι καὶ τὸ ἀποστόλους εἶναι μέγα, τὸ δὲ καὶ ἐν τούτοις ἐπισήμους εἶναι, ἐννόησον ἡλίκον ἐγκώμιον. Ἐπίσημοι δὲ ἦσαν ἀπὸ τῶν ἔργων, ἀπὸ τῶν κατορθωμάτων. Βαβαί, πόση τῆς γυναικὸς ταύτης ἡ φιλοσοφία, ὡς καὶ τῆς τῶν ἀποστόλων ἀξιωθῆναι προσηγορίας. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλ' ἕτερον πάλιν ἐγκώμιον προστίθησι, λέγων· «οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ». Καὶ γὰρ καὶ τοῦτο ἔπαινος μέγιστος, τὸ προπηδῆσαι καὶ πρὸ τῶν ἄλλων ἐλθεῖν. Σκόπει δέ μοι τὴν ἁγίαν ψυχὴν πῶς κενοδοξίας ἦν καθαρά. Μετὰ γὰρ τὴν τοσαύτην καὶ τηλικαύτην δόξαν ἑτέρους ἑαυτοῦ προτίθησι, καὶ οὐκ ἀποκρύπτεται τὸ ὕστερος αὐτῶν ἐλθεῖν, οὐδὲ αἰσχύνεται τοῦτο ὁμολογῶν. Καὶ τί θαυμάζεις, εἰ τοῦτο οὐκ αἰσχύνεται, ὅπου γε καὶ τὸν πρότερον αὐτοῦ βίον ἐκπομπεύειν οὐ παραιτεῖται, βλάσφημον ἑαυτὸν καὶ διώκτην καλῶν; Ἐπεὶ οὖν οὐκ εἶχε τῶν ἄλλων ἐντεῦθεν αὐτοὺς προθεῖναι, ἐζήτησε τὸν μετὰ τοὺς ἄλλους ἐλθόντα ἑαυτόν, καὶ εὗρε καὶ ἐντεῦθεν αὐτοῖς συνθεῖναι ἔπαινον, εἰπών, «οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ».

7. Κολ. 4,10.

ἄλλα κακά. Γιατί τοῦ αἰχμαλώτου τό κακό εἶναι αὐτό μόνο, ὅτι δηλαδή, ἐπειδή στερεῖται τούς δικούς του, γίνεται πολλές φορές δοῦλος ἀντί νά εἶναι ἐλεύθερος, ἐνῶ ἐδῶ εἶναι δυνατό νά ποῦμε ἄπειρους πειρασμούς, πού τούς ὑπέμεινε αὐτός ὁ μακάριος, ἐπειδή ὁδηγοῦνταν καί περιφερόταν ἐδῶ καί ἐκεῖ, μαστιγωνόταν καί φυλακιζόταν, λιθαζόταν καί καταποντιζόταν, ἐπειδή εἶχε ἄπειρους ἐχθρούς. Καί οἱ αἰχμάλωτοι δέν ἔχουν πλέον κανένα ἐχθρό μετά τήν ἀπαγωγή τους, ἀλλά ἀπολαμβάνουν καί μεγάλη φροντίδα ἀπό ἐκείνους πού τούς ἔχουν συλλάβει, ἐνῶ αὐτός περιφερόταν διαρκῶς ἀνάμεσα στούς ἐχθρούς, καί παντοῦ συναντοῦσε δόρατα καί ξίφη ἀκονισμένα καί παρατάξεις καί μάχες. Ἐπειδή λοιπόν καί αὐτοί ἦταν πιθανό νά εἶχαν συμμετάσχει μαζί του σέ πολλούς κινδύνους, τούς ὀνομάζει συναιχμαλώτους· ὅπως καί ἀλλοῦ λέγει, «Ἀρίσταρχος ὁ συναιχμάλωτός μου»[7].

Στή συνέχεια καί ἄλλος ἔπαινος· «οἱ ὁποῖοι εἶναι ξεχωριστοί ἀνάμεσα στούς ἀποστόλους». Ἄν καί τό νά εἶναι ἀπόστολοι εἶναι μεγάλο πράγμα, τό νά εἶναι ὅμως καί ξεχωριστοί ἀνάμεσα σ' αὐτούς σκέψου πόσο μεγάλος ἔπαινος εἶναι. Ξεχωριστοί ὅμως ἦταν ἀπό τά ἔργα τους, ἀπό τά κατορθώματά τους. Πώ, πώ, πόση εἶναι ἡ πίστη τῆς γυναίκας αὐτῆς, ὥστε νά κριθεῖ ἄξια νά ὀνομασθεῖ καί ἀπόστολος! Καί δέ σταματάει ἐδῶ, ἀλλά προσθέτει πάλι ἄλλον ἔπαινο, λέγοντας· «καί οἱ ὁποῖοι εἶχαν πιστέψει στό Χριστό πρίν ἀπό μένα». Πραγματικά καί αὐτό εἶναι πάρα πολύ μεγάλος ἔπαινος, τό νά προηγηθοῦν καί νά ἔρθουν στό Χριστό, πρίν ἀπό τούς ἄλλους. Πρόσεχε ὅμως, σέ παρακαλῶ, τήν ἅγια ψυχή πῶς ἦταν καθαρή ἀπό ματαιοδοξία. Γιατί μετά ἀπό τόση καί τέτοια δόξα βάζει ἄλλους πρίν ἀπό τόν ἑαυτό του καί δέν κρύβει τό γεγονός ὅτι ἦρθε μετά ἀπ' αὐτούς, οὔτε ντρέπεται καθώς ὁμολογεῖ αὐτό. Καί τί θαυμάζεις, ἄν δέν ντρέπεται αὐτό, τή στιγμή πού δέ σταματάει νά διασύρει τήν προηγούμενη ζωή του, ὀνομάζοντας τόν ἑαυτό του βλάσφημο καί διώκτη; Ἐπειδή λοιπόν δέν μποροῦσε νά βάλει αὐτούς ἀπό ἐδῶ πρίν ἀπό τούς ἄλλους, ζήτησε τόν ἑαυτό του πού ἦρθε μετά τούς ἄλλους, καί βρῆκε καί ἀπό ἐδῶ νά συνθέσει γι' αὐτούς ἔπαινο, λέγοντας, «οἱ ὁποῖοι εἶχαν πιστέψει στό Χριστό καί πρίν ἀπό μένα».

4. «Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου». Πάλιν τοῦτον ἀπὸ τῆς ἀγάπης ἐγκωμιάζει. Ἡ γὰρ ἀγάπη Παύλου διὰ τὸν Θεὸν ἦν, μυρία ἔχουσα ἀγαθά. Εἰ γὰρ τὸ παρὰ βασιλέως ἀγαπᾶσθαι μέγα, τὸ παρὰ Παύλου φιλεῖσθαι ἡλίκον ἐγκώμιον; Οὐδὲ γὰρ ἄν, εἰ μὴ πολλὴν ἀρετὴν ἐκέκτητο, εἰς ἔρωτα αὐτὸν ἐπεσπάσατο. Οἶδε γὰρ τοὺς ἐν κακίᾳ ζῶντας καὶ παρανομίαις οὐ μόνον φιλεῖν, ἀλλὰ καὶ ἀναθεματίζειν· ὡς ὅταν λέγῃ, «εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν, ἔστω ἀνάθεμα»· καί, «εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω». «Καὶ Οὐρβανὸν τὸν συνεργόν μου ἐν κυρίῳ». Τοῦτο ἐκείνου μεῖζον τὸ ἐγκώμιον· καὶ γὰρ καὶ ἐκεῖνο περιέχει τοῦτο. «Καὶ Στάχυν τὸν ἀγαπητόν μου». Πάλιν ἀπὸ τῶν αὐτῶν στεφανοῖ καὶ τοῦτον. «Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ». Οὐδὲν τούτου τοῦ ἐπαίνου ἴσον, τοῦ ἄληπτον εἶναι καὶ μηδεμίαν παρέχειν λαβὴν ἐν τοῖς κατὰ Θεὸν πράγμασιν. Ὅταν γὰρ εἴπῃ, «τὸν δόκιμον ἐν Χριστῷ», πᾶσαν ἀρετὴν καταλέγει.

Καὶ τίνος ἕνεκεν οὐδαμοῦ φησι, τὸν Κύριόν μου τὸν δεῖνα, καὶ τὸν δεσπότην μου; Ὅτι ταῦτα ἐκείνων μείζω τὰ ἐγκώμια· ἐκεῖνα μὲν γὰρ τιμῆς ἐστιν ἁπλῶς, ταῦτα δὲ ἀρετῆς. Καὶ τούτῳ δὲ αὐτῷ τετίμηκεν αὐτοὺς οὐχ ὡς ἔτυχε, τῷ πολλοὺς τῶν καταδεεστέρων μετὰ τῶν ὑψηλῶν καὶ μεγάλων προσαγορεύειν. Τῷ μὲν γὰρ προσειπεῖν, καὶ μετ᾽ ἀλλήλων προσειπεῖν, καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ, πάντας ὁμοίως ἐτίμησε· τῷ δὲ τὰ ἰδιάζοντα ἑκάστου θεῖναι ἐγκώμια, τὴν ἰδιάζουσαν ἑκάστου παρέστησεν ἡμῖν ἀρετήν· ὡς μήτε φθόνον τεκεῖν τῷ τοὺς μὲν τιμῆσαι, τοὺς δὲ ἀτιμάσαι, μήτε ῥᾳθυμίαν καὶ σύγχυσιν ἐργάσασθαι ἐκ τοῦ πάντας τῶν αὐτῶν ἀξιῶσαι, οὐ τῶν αὐτῶν ὄντας ἀξίους.

Ὅρα γοῦν πῶς πάλιν ἐπὶ τὰς θαυμαστὰς ἔρχεται γυναῖκας. Εἰπὼν γάρ, «ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου, καὶ Ἡρωδίωνα τὸν συγγενῆ μου, καὶ τοὺς ἐκ τῶν Ναρκίσσου»· οὓς εἰ-

---

8. Α΄ Κορ. 16,22.
9. Γαλ. 1,8.

4. «Χαιρετῆστε τόν Ἀμπλία τόν ἀγαπητό μου». Πάλι καί αὐτόν ἐπαινεῖ ἀπό τήν ἀγάπη. Γιατί ἡ ἀγάπη τοῦ Παύλου ἦταν γιά τό Θεό καί περιεῖχε ἄπειρα ἀγαθά. Ἐάν λοιπόν τό νά ἀγαπιέται κανείς ἀπό τό βασιλιά εἶναι μεγάλο πράγμα, πόσο μεγάλο ἐγκώμιο εἶναι τό ν' ἀγαπιέται ἀπό τόν Παῦλο; Οὔτε βέβαια θ' ἀγαποῦσε αὐτόν, ἄν δέν εἶχε πολλή ἀρετή. Γιατί συνηθίζει ὄχι μόνο νά μήν ἀγαπάει ἐκείνους πού ζοῦν μέσα στήν κακία καί τίς παρανομίες, ἀλλά καί νά τούς ἀναθεματίζει, ὅπως ὅταν λέγει· «ὅποιος δέν ἀγαπάει τόν Κύριο Ἰησοῦ, ἄς εἶναι ἀνάθεμα»[8]· καί «ὅποιος σᾶς κηρύσσει διαφορετικό εὐαγγέλιο ἀπό ἐκεῖνο πού παραλάβατε, ἄς εἶναι ἀνάθεμα»[9]. «Καί τόν Οὐρβανό τό συνεργάτη μου στό ἔργο τοῦ Κυρίου». Αὐτός ὁ ἔπαινος εἶναι μεγαλύτερος ἀπό ἐκεῖνον, γιατί αὐτός περιέχει καί ἐκεῖνον τόν ἔπαινο. «Καί τόν Στάχυ τόν ἀγαπητό μου». Πάλι ἀπό τά ἴδια στεφανώνει καί αὐτόν. «Χαιρετῆστε τόν Ἀπελλῆ τό δοκιμασμένο κατά Χριστό». Τίποτε δέν εἶναι ἴσο μέ τόν ἔπαινο αὐτόν, τό νά εἶναι δηλαδή ἀπρόσβλητος ἀπό κατηγορίες καί νά μή δίνει καμία ἀφορμή στά πράγματα πού εἶναι σύμφωνα μέ τίς ἐντολές τοῦ Θεοῦ. Γιατί ὅταν λέγει, «τό δοκιμασμένο κατά Χριστό», ἀναφέρει κάθε ἀρετή.

Καί γιά ποιό λόγο δέ λέγει πουθενά, 'τόν κύριό μου τόν τάδε καί τό δεσπότη μου'; Γιατί αὐτοί οἱ ἔπαινοι εἶναι μεγαλύτεροι ἀπό ἐκείνους· καθόσον ἐκεῖνοι εἶναι ἀποδείξεις τῆς τιμῆς ἁπλῶς, ἐνῶ αὐτοί τῆς ἀρετῆς. Καί μ' αὐτόν ὅμως τόν τρόπο τούς τίμησε πάρα πολύ, μέ τό νά χαιρετίσει δηλαδή πολλούς ἀπό τούς κατώτερους μαζί μέ τούς ἀνώτερους καί μεγάλους. Γιατί μέ τό νά τούς χαιρετίσει, καί νά χαιρετίσει τόν ἕνα μέ τόν ἄλλο καί μάλιστα στήν ἴδια ἐπιστολή, τούς τίμησε ὅλους ὅμοια, ἐνῶ μέ τό νά ἐγκωμιάσει τόν καθένα ἰδιαίτερα, μᾶς παρουσίασε τήν ἰδιαίτερη τοῦ καθενός ἀρετή, ὥστε οὔτε φθόνο νά γεννήσει μέ τό νά τιμήσει μερικούς καί ἄλλους νά μήν τιμήσει, οὔτε ἀδιαφορία καί σύγχυση νά προκαλέσει ἀπό τό νά τούς θεωρήσει ὅλους ἄξιους γιά τά ἴδια, ἐνῶ δέν ἦταν ἄξιοι γιά τά ἴδια.

Πρόσεχε λοιπόν πῶς πάλι ἔρχεται στίς θαυμαστές γυναῖκες. Γιατί, ἀφοῦ εἶπε, «χαιρετῆστε τούς οἰκείους τοῦ Ἀριστόβουλου καί τόν Ἡρωδίωνα τό συμπατριώτη μου καθώς καί τούς οἰκείους τοῦ

κὸς ἴσως μὴ τοιούτους εἶναι, οἵους τοὺς ὄντας ἐν Κυρίῳ»· ἐπὶ γυναῖκας πάλιν ἄγει τὴν πρόσρησιν, λέγων· «ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν Κυρίῳ». Καὶ περὶ μὲν ἐκείνης φησίν, ὅτι ἐκοπίασεν εἰς ὑμᾶς, περὶ δὲ τούτων, ὅτι ἔτι κοπιῶσιν. Οὐ μικρὸν δὲ τοῦτο ἐγκώμιον, τὸ ἐνεργοὺς εἶναι δι' ὅλου, καὶ μὴ μόνον ἐνεργούς, ἀλλὰ καὶ κοπιᾶν. Τὴν δὲ Περσίδα καὶ ἀγαπητὴν καλεῖ, δεικνὺς μείζονα τούτων οὖσαν. «Ἀσπάσασθε γάρ», φησί, «Περσίδα τὴν ἀγαπητήν μου». Καὶ πολὺν αὐτῇ μαρτυρεῖ κάματον, λέγων· «ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ». Οὕτως οἶδεν ἕκαστον κατὰ τὴν ἀξίαν ὀνομάζειν, τούτους τε προθυμοτέρους ποιῶν τῷ μηδενὸς τῶν προσόντων αὐτοῖς ἀποστερεῖν, ἀλλὰ καὶ τὴν μικροτάτην ὑπεροχὴν ἀνακηρύττειν· τούς τε ἑτέρους σπουδαιοτέρους κατασκευάζων, καὶ εἰς τὸν αὐτὸν ἄγων ζῆλον τοῖς περὶ τούτων ἐγκωμίοις.

5. *«Ἀσπάσασθε Ροῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ». Ὁλόκληρα πάλιν ἐνταῦθα τὰ ἀγαθά, ὅταν καὶ ὁ παῖς τοιοῦτος ᾖ, καὶ ἡ μήτηρ τοιαύτη, καὶ πλήρης ἡ οἰκία εὐλογίας, καὶ ἡ ρίζα τῷ καρπῷ συμβαίνῃ. Οὐδὲ γὰρ ἁπλῶς εἶπε, «μητέρα αὐτοῦ καὶ ἐμοῦ», εἰ μὴ πολλὴν ἐμαρτύρει τῇ γυναικὶ τὴν ἀρετήν. «Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς». Ἐνταῦθα μὴ τοῦτο ἴδῃς, ὅτι χωρὶς ἐγκωμίων αὐτοὺς τίθησιν, ἀλλ' ὅτι σφόδρα, ὡς ἔοικε, καταδεεστέρους ὄντας ἁπάντων οὐκ ἀπηξίωσε τῆς παρ' αὐτοῦ προσρήσεως. Μᾶλλον δὲ οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον, τὸ καὶ ἀδελφοὺς αὐτοὺς καλεῖν, ὥσπερ οὖν καὶ τοὺς μετ' αὐτούς, ἁγίους. «Ἀσπάσασθε γάρ», φησί, «Φιλόλογον καὶ Ἰουλίαν, καὶ Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους»· ὅπερ μέγιστον ἦν ἀξίωμα, καὶ τιμῆς μέγεθος ἄφατον.*

Νάρκισσου» (οί όποῖοι πιθανόν νά μήν ἦταν τέτοιοι, ὅπως ἦταν οί προηγούμενοι, καί γι' αὐτό δέν τούς ἀναφέρει ὅλους μέ τά ὀνόματά τους), καί ἀφοῦ ἔδωσε τόν ἔπαινο πού τούς ταίριαζε, τό ὅτι εἶναι πιστοί (γιατί αὐτό σημαίνει «οί όποῖοι ἀνήκουν στόν Κύριο»), φέρνει τό χαιρετισμό πάλι σέ γυναῖκες λέγοντας· «χαιρετῆστε τήν Τρύφαινα καὶ τὴν Τρυφώσα, οί όποῖες κοπιάζουν γιά τόν Κύριο». Καί γιά τή Μαριάμ βέβαια λέγει, ὅτι κόπιασε γιά σᾶς, ἐνῶ γι' αὐτές, ὅτι κοπιάζουν ἀκόμη. Καὶ δέν εἶναι μικρός αὐτός ὁ ἔπαινος τό νά ἐργάζονται πάντοτε, καί ὄχι μόνο νά ἐργάζονται ἀλλά καί νά κοπιάζουν. Τήν Περσίδα ὅμως τήν ὀνομάζει καί ἀγαπητή, ἀποδεικνύοντας πώς ἦταν ἀνώτερη ἀπ' αὐτές. «Χαιρετῆστε», λέγει, «τήν Περσίδα τήν ἀγαπητή μου». Καὶ βεβαιώνει γι' αὐτήν πολύ κόπο, λέγοντας· «ἡ ὁποία πολύ κόπιασε γιά τόν Κύριο». Ἔτσι γνώριζε νά ὀνομάζει τόν καθένα σύμφωνα μέ τήν ἀξία του, κάμνοντας καί αὐτούς περισσότερο πρόθυμους μέ τό νά μήν τούς στερεῖ κανένα ἀπό τά προσόντα τους, ἀλλά καί νά ἀναφέρει δημόσια καί τήν πιό μικρή ὑπεροχή τους, καί ἀποδεικνύοντας τούς ἄλλους σπουδαιοτέρους καί ὁδηγώντας στόν ἴδιο ζῆλο γιά τούς ἐπαίνους γι' αὐτά.

5. «Χαιρετῆστε τό Ροῦφο τόν ἐκλεκτό κατά Χριστό καί τή μητέρα του πού εἶναι καί δική μου». Ὁλόκληρα πάλι τά ἀγαθά ὑπάρχουν ἐδῶ, ὅταν καί ὁ υἱός εἶναι τέτοιος, καί ἡ μητέρα τέτοια, καί τό σπίτι γεμάτο εὐλογία, καί ἡ ρίζα ταιριάζει μέ τόν καρπό. Γιατί δέ θά ἔλεγε ἁπλῶς «τή μητέρα του πού εἶναι καί δική μου», ἄν δέ μαρτυροῦσε πολλή ἀρετή στή γυναίκα. «Χαιρετῆστε τόν Ἀσύγκριτο, τό Φλέγοντα, τόν Ἑρμᾶ, τόν Πατρόβα, τόν Ἑρμῆ καί τούς ἀδελφούς πού εἶναι μαζί τους». Ἐδῶ μή δεῖς αὐτό, ὅτι δηλαδή τούς ἀναφέρει αὐτούς χωρίς ἔπαινο, ἀλλ' ὅτι, ἄν καί ἦταν, ὅπως φαίνεται, πάρα πολύ κατώτεροι ἀπ' ὅλους, δέν τούς θεώρησε ἀνάξιους γιά τό χαιρετισμό του. Ἤ καλύτερα δέν εἶναι καί αὐτό μικρός ἔπαινος, τό νά τούς ὀνομάζει καί ἀδελφούς, ὅπως ἀκριβῶς καί τούς ἑπομένους ὀνομάζει ἁγίους. «Χαιρετῆστε», λέγει, «τό Φιλόλογο καί τήν Ἰουλία, τό Νιτρέα καί τήν ἀδελφή του, τόν Ὀλυμπᾶ καί ὅλους τούς ἁγίους πού εἶναι μαζί τους», πράγμα πού ἦταν πάρα πολύ μεγάλο ἀξίωμα καί ἀπερίγραπτο μέγεθος τιμῆς.

Εἶτα, ἵνα μηδεμία φιλονεικία γένηται τῷ τοὺς μὲν οὕτω, τοὺς δὲ οὕτω προσειρῆσθαι, καὶ τοὺς μὲν ὀνομαστί, τοὺς δὲ ἀδιορίστως, καὶ τοὺς μὲν μετὰ πλειόνων ἐγκωμίων, τοὺς δὲ μετὰ ἐλαττόνων, ἀνακιρνᾷ πάλιν αὐτοὺς τῇ τῆς ἀγάπης ἰσοτιμίᾳ καὶ τῷ ἁγίῳ φιλήματι, λέγων· «ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ», διὰ τῆς εἰρήνης ταύτης πάντα ἐκβάλλων θορυβοῦντα αὐτοὺς λογισμὸν καὶ μικροψυχίας ἀφορμήν, ἵνα μήτε ὁ μέγας καταφρονῇ τοῦ ἐλάττονος, μήτε ὁ μικρὸς βασκαίνῃ τῷ μείζονι· ἀλλὰ καὶ ὑπεροψία καὶ φθόνος ἀπελαύνηται, τοῦ φιλήματος τούτου πάντα καταπραΰνοντός τε καὶ ἐξισοῦντος. Διὸ οὐ μόνον αὐτοὺς ἀσπάσασθαι κελεύει οὕτως, ἀλλὰ καὶ τὸν παρὰ τῶν ἐκκλησιῶν ἀσπασμὸν οὕτως αὐτοῖς διαπέμπεται. «Ἀσπάζονται γὰρ ὑμᾶς», φησίν, οὐκέτι τὸν δεῖνα καὶ τὸν δεῖνα κατ' ἰδίαν, ἀλλὰ κοινῇ πάντας, «αἱ ἐκκλησίαι τοῦ Χριστοῦ». Εἶδες πῶς οὐ μικρὰ καὶ ἀπὸ τῶν προσρήσεων τούτων ἐκερδάναμεν; Ὅσους θησαυροὺς ἐμέλλομεν παρατρέχειν, εἰ μὴ καὶ τουτὶ τὸ μέρος τῆς ἐπιστολῆς μετὰ ἀκριβείας ἐξητάσαμεν, τῆς ἡμῖν ἐγχωρούσης λέγω; Ὡς εἴγε τις εὑρεθείη σοφὸς ἀνὴρ καὶ πνευματικός, καὶ βαθύτερον καταβήσεται, καὶ πλείους ὄψεται τοὺς μαργαρίτας.

6. *Ἀλλ' ἐπειδή τινες ἐζήτησαν πολλάκις, τί δήποτε ἐν τῇ ἐπιστολῇ ταύτῃ τοσούτους προσεῖπεν, ὅπερ ἐν ἑτέρᾳ οὐκ ἐποίησεν ἐπιστολῇ, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι διὰ τὸ μηδέπω ἑωρακέναι Ῥωμαίους τοῦτο ποιεῖ. Καίτοιγε, φησίν, οὐδὲ Κολασσαέας εἶδε, καὶ οὐδὲν τοιοῦτον ἐποίησεν. Ἀλλ' οὗτοι μεταστάντες, ὡς εἰς ἀσφαλεστέραν τινὰ καὶ βασιλικωτέραν πόλιν. Ἐπεὶ οὖν ἐν ξένῃ διῆγον, καὶ ἔδει πολλῆς ἀπολαύειν ἀσφαλείας αὐτούς, καὶ τῶν αὐτῷ γνωρίμων ἦσάν τινες ἐξ αὐτῶν, οἱ δὲ καὶ διακονησάμενοι πολλὰ καὶ μεγάλα ὑπὲρ αὐτοῦ παθόντες, εἰκότως αὐτοὺς συνίστησι διὰ τῶν γραμμάτων. Καὶ γὰρ οὐ μικρὰ ἦν ἡ Παύλου δόξα τότε, ἀλλὰ τοσαύτη, ὡς καὶ ἀπὸ γραμμάτων μόνων πολλὴν ἔχειν προστασίαν τοὺς τῶν ἐπιστολῶν ἀπολαύοντας· οὐδὲ γὰρ ᾐδοῦντο μόνον αὐτόν, ἀλλὰ καὶ ἐδεδοίκεσαν. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν εἶπεν, «ἥτις*

Στή συνέχεια, γιά νά μή δημιουργηθεῖ καμιά φιλονεικία μέ τό ὅτι ἄλλους τούς προσφωνεῖ ἔτσι καί ἄλλους ἀλλιῶς, καί ἄλλους μέ τό ὄνομά τους ἐνῶ ἄλλους ἀόριστα, καί ἄλλους μέ περισσότερους ἐπαίνους ἐνῶ ἄλλους μέ λιγότερους, τούς ἀναμιγνύει πάλι μέ τήν ἰσοτιμία τῆς ἀγάπης καί μέ τό ἅγιο φίλημα, λέγοντας· «Χαιρετῆστε ὁ ἕνας τόν ἄλλο μέ φίλημα ἅγιο», διώχνοντας μέ τήν εἰρήνη αὐτή κάθε σκέψη πού τούς προκαλοῦσε ταραχή καί κάθε ἀφορμή μικροψυχίας, ὥστε οὔτε ὁ μεγάλος νά περιφρονεῖ τόν μικρότερο, οὔτε ὁ μικρός νά φθονεῖ τόν μεγαλύτερο· ἀλλά καὶ ἡ ὑπεροψία καί ὁ φθόνος ἀπομακρύνεται, ἐπειδή τό φίλημα αὐτό καταπραΰνει καί ἐξισώνει τά πάντα. Γι' αὐτό ὄχι μόνο παραγγέλλει νά τούς χαιρετήσουν αὐτούς ἔτσι, ἀλλά καί τό χαιρετισμό ἀπό τίς ἐκκλησίες ἔτσι τόν στέλνει σ' αὐτούς. «Σᾶς χαιρετοῦν», λέγει, ὄχι τόν τάδε καί τόν τάδε ξεχωριστά, ἀλλά ὅλους μαζί, «οἱ ἐκκλησίες τοῦ Χριστοῦ». Εἶδες πῶς δέν κερδίσαμε μικρά καί ἀπό τίς προσφωνήσεις αὐτές; Πόσους θησαυρούς ἐπρόκειτο νά παρατρέξουμε, ἄν δέν ἐξατάζαμε μέ ἀκρίβεια, μέ ὅση βέβαια μποροῦμε, καί αὐτό ἐδῶ τό μέρος τῆς ἐπιστολῆς; γιατί ἄν βρεθεῖ κάποιος σοφός καί πνευματικός ἄνδρας, καί πιό βαθιά θά κατεβεῖ καί περισσότερους μαργαρίτες θά δεῖ.

6. Ἀλλ' ἐπειδή μερικοί ζήτησαν πολλές φορές νά μάθουν, γιατί ἄραγε προσφώνησε στήν ἐπιστολή αὐτή τόσους πολλούς, πράγμα πού δέν ἔκαμε σέ ἄλλη ἐπιστολή, μποροῦμε νά ποῦμε αὐτό, ὅτι δηλαδή τό κάνει αὐτό γιατί δέν εἶδε ἀκόμη Ρωμαίους. Καί ὅμως, λέγει, οὔτε Κολοσσαεῖς εἶδε, καί ὅμως τίποτε τέτοιο δέν ἔκαμε. Ἀλλ' αὐτοί ἦταν ἀπό τούς ἄλλους πιό δόκιμοι καί ἀπό ἄλλες πόλεις εἶχαν πάει ἐκεῖ, σάν σέ κάποια πόλη ἀσφαλέστερη καί βασιλικότερη. Ἐπειδή λοιπόν ζοῦσαν σέ ξένη χώρα καί ἔπρεπε ν' ἀπολαμβάνουν μεγάλη ἀσφάλεια, καί ἐπειδή μερικοί ἀπ' αὐτούς ἦταν γνωστοί του, οἱ ὁποῖοι μάλιστα καί τόν περιποιήθηκαν πολύ καί ἔπαθαν γιά χάρη του πολλά, πολύ φυσικά τούς συνιστᾶ μέ τά γράμματα. Γιατί βέβαια δέν ἦταν μικρή ἡ φήμη τοῦ Παύλου τότε, ἀλλά τόσο μεγάλη, ὥστε καί ἀπό τά γράμματα μόνο νά ἔχουν πολλή προστασία ἐκεῖνοι πού δέχονταν τίς ἐπιστολές, γιατί ὄχι μόνο σέβονταν αὐτόν, ἀλλά καί τόν φοβοῦνταν. Ἐάν λοιπόν δέ συνέβαινε αὐτό, δέ θά ἔλεγε, «ἡ

προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ»· καὶ πάλιν, «ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγώ». Καὶ Φιλήμονι γράφων ἔλεγεν, «ὡς Παῦλος προσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ»· καὶ Γαλάταις, «ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν»· καί, «ὡς Χριστὸν Ἰησοῦν ἐδέξασθέ με». Καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν· «ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες»· καὶ πάλιν, «ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν». Δι' ὧν ἁπάντων δῆλον, ὅτι μεγάλην περὶ αὐτοῦ δόξαν εἶχον ἅπαντες.

Βουλόμενος τοίνυν αὐτοὺς εἶναι ἐν ἀδείᾳ καὶ τιμῇ, προσεῖπεν ἕκαστον, κατὰ τὸ ἐγχωροῦν καλλωπίζων αὐτούς. Τὸν μὲν γὰρ ἀγαπητὸν ἐκάλεσε, τὸν δὲ συγγενῆ, τὸν δὲ ἀμφότερα, τὸν δὲ συναιχμάλωτον, τὸν δὲ συνεργόν, τὸν δὲ δόκιμον, τὸ δὲ ἐκλεκτόν· καὶ τὴν μὲν ἀπὸ τοῦ ἀξιώματος· οὐδὲ γὰρ ἁπλῶς τὴν διακονουμένην φησίν, ἐπεὶ εἰ τοῦτο ἦν, καὶ τὰς περὶ Τρύφαιναν καὶ Περσίδα οὕτως ἂν ὠνόμασεν, ἀλλὰ τὴν χειροτονίαν ἔχουσαν διακόνου· τὴν δὲ συνεργὸν καὶ λειτουργόν, τὴν δὲ μητέρα, τὴν δὲ ἀπὸ τῶν κόπων ὧν ἐκοπίασε· καὶ τοὺς μὲν ἀπὸ τῆς οἰκίας, τοὺς δὲ ἀπὸ τοῦ τῶν ἀδελφῶν ὀνόματος, τοὺς δὲ ἀπὸ τῆς τῶν ἁγίων προσηγορίας· καὶ τοὺς μὲν αὐτῷ τῷ προσαγορεῦσαι τιμᾷ, τοὺς δὲ καὶ τῷ ὀνομαστὶ προσαγορεῦσαι· καὶ τοὺς μὲν τῷ ἀπαρχὴν προσειπεῖν, τοὺς δὲ τοῖς τῶν χρόνων πρεσβείοις· πλέον δὲ πάντων τοὺς περὶ Πρίσκιλλαν καὶ Ἀκύλαν. Εἰ γὰρ καὶ πάντες ἦσαν πιστοί, ἀλλ' οὐ πάντες ὅμοιοι, ἀλλὰ διειστήκεισαν τοῖς ἄθλοις. Διὸ δὴ καὶ εἰς μείζονα ζῆλον ἅπαντας ἄγων, οὐδενὸς ἔκρυψε τὰ ἐγκώμια. Ὅταν γὰρ οἱ πλείονα πονοῦντες, μὴ πλείονα τὸν μισθὸν λαμβάνωσι, πολλοὶ γίνονται ῥαθυμότεροι.

Διὰ τοῦτο οὐδὲ ἐν τῇ βασιλείᾳ ἴση ἡ τιμή, οὐδὲ ἐν τοῖς μαθηταῖς πάντες ἴσοι, ἀλλ' οἱ τρεῖς τῶν ἄλλων προεῖχον· καὶ ἐν τούτοις αὐτοῖς τοῖς τρισὶ πολλὴ πάλιν διαφορά. Πολλὴ γὰρ ἀκρίβεια παρὰ

---

10. Ρωμ. 9,3.
11. Φιλήμ. 9.
12. Γαλ. 5,2 · 4,14.
13. Α' Κορ. 4,18. 6.
14. Πρόκειται γιά τούς Πέτρο, Ἰάκωβο καί Ἰωάννη.

όποία βοήθησε πολλούς καί μένα τόν ἴδιο»· καί πάλι, «θά εὐχόμουν ἐγώ ὁ ἴδιος νά εἶμαι ἀνάθεμα»[10]. Καί στό Φιλήμονα ὅταν ἔγραφε ἔλεγε, «σάν Παῦλος ἡλικιωμένος καί τώρα μάλιστα φυλακισμένος τοῦ Ἰησοῦ Χριστοῦ»[11]· καί στούς Γαλάτες, «ἐγώ ὁ Παῦλος σᾶς λέγω»· καί, «σάν τό Χριστό τόν Ἰησοῦ μέ δεχτήκατε»[12]. Καί στούς Κορινθίους ἐξάλλου στέλνοντας ἐπιστολή ἔλεγε· «μερικοί ὑπερηφανεύθηκαν, σάν νά ἐπρόκειτο νά μή ἔρθω σ' ἐσᾶς»· καί πάλι, «αὐτά ἐφάρμοσα στόν ἑαυτό μου καί στόν Ἀπολλώ, γιά νά μάθετε μέ τό παράδειγμά μας αὐτό, νά μή φρονεῖτε περισσότερο ἀπ' ὅ,τι εἶναι γραμμένο»[13]. Μέ ὅλα αὐτά εἶναι φανερό, ὅτι ὅλοι εἶχαν μεγάλη γνώμη γι' αὐτόν.

Θέλοντας λοιπόν νά εἶναι αὐτοί σέ ἀσφάλεια καί τιμή προσφώνησε τόν καθένα χωριστά, στολίζοντας ὅσο μποροῦσε αὐτούς. Τὸν ἕνα λοιπόν ὀνόμασε ἀγαπητό, τόν ἄλλο συμπατριώτη, τόν ἄλλο καί τά δύο, τόν ἄλλο συναιχμάλωτο, τόν ἄλλο συνεργάτη, τόν ἄλλο δόκιμο, τόν ἄλλο ἐκλεκτό· τή μία ὀνόμασε ἀπό τό ἀξίωμά της (γιατί δέ λέγει ἁπλῶς ἐκείνη πού ὑπηρετεῖ στίς ἀνάγκες, ἐπειδή ἄν ἦταν αὐτό, ἔτσι θά ὀνόμαζε καί ἐκεῖνες πού ἦταν μέ τήν Τρύφαινα καί τήν Περσίδα, ἀλλ' ἐκείνη πού εἶχε τή χειροτονία τῆς διακόνισσας), τήν ἄλλη συνεργό καί λειτουργό, τήν ἄλλη μητέρα, τήν ἄλλη ἀπό τούς κόπους πού κόπιασε· καί ἄλλους ὀνόμασε ἀπό τό σπίτι, ἄλλους ἀπό τό ὄνομα τῶν ἀδελφῶν, ἄλλους ἀπό τήν ὀνομασία τῶν ἁγίων. Καί ἄλλους τούς τιμάει μέ τήν ἴδια τήν προσφώνηση, ἄλλους μέ τό ὅτι τούς προσφώνησε μέ τό ὄνομά τους, ἄλλους μέ τό ὅτι τούς κάλεσε ἀπαρχή, ἄλλους ἀπό τά πρεσβεῖα τῶν χρόνων, περισσότερο ὅμως ἀπ' ὅλους τιμάει αὐτούς πού ἦταν μέ τήν Πρίσκιλλα καί τόν Ἀκύλα. Γιατί, ἄν καί ὅλοι ἦταν πιστοί, δέν ἦταν ὅμως ὅμοιοι, ἀλλά διέφεραν στούς ἀγῶνες. Γι' αὐτό ἀκριβῶς προκειμένου νά τούς ὁδηγήσει ὅλους σέ μεγαλύτερο ζῆλο δέν ἔκρυψε τούς ἐπαίνους ἀπό κανένα. Γιατί, ὅταν ἐκεῖνοι πού κοπιάζουν περισσότερο δέν παίρνουν περισσότερο μισθό, πολλοί γίνονται πιό ἀδιάφοροι.

Γι' αὐτό οὔτε στή βασιλεία τῶν οὐρανῶν εἶναι ἴση ἡ τιμή, οὔτε στούς μαθητές ἦταν ὅλοι ἴδιοι, ἀλλά οἱ τρεῖς ὑπερεῖχαν ἀπό τούς ἄλλους[14]· καί ἀνάμεσα σ' αὐτούς τούς τρεῖς πάλι ὑπῆρχε πολλή

τῷ Θεῷ καὶ μέχρι τῶν ἐσχάτων. «Καὶ γὰρ ἀστὴρ ἀστέρος», φησί, «διαφέρει ἐν δόξῃ». Καίτοιγε πάντες ἦσαν ἀπόστολοι, καὶ πάντες ἐπὶ δώδεκα θρόνους μέλλουσι καθέζεσθαι, καὶ πάντες ἀφῆκαν τὰ αὐτῶν, καὶ πάντες αὐτῷ συνῆσαν· ἀλλ᾽ ὅμως τοὺς τρεῖς ἐλάμβανε. Καὶ πάλιν καὶ τούτων αὐτῶν ἔφησέ τινας ἐγχωρεῖν ὑπερέξειν· «τὸ γὰρ καθίσαι», φησίν, «ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται». Καὶ τὸν Πέτρον δὲ αὐτῶν προτίθησι λέγων, «φιλεῖς με πλέον τούτων;» καὶ ὁ Ἰωάννης δὲ ὑπὲρ τοὺς ἄλλους ἠγαπᾶτο. Καὶ γὰρ πάντων ἐξέτασις ἔσται ἀκριβής· κἂν μικρὸν ὑπερέχῃς τοῦ πλησίον, κἂν ἀκαριαῖον, κἂν ὁτιοῦν, οὐδὲ τοῦτο παρόψεται ὁ Θεός. Καὶ τοῦτο καὶ ἄνωθεν ἴδοι τις ἂν διαλάμπον. Καὶ γὰρ καὶ ὁ Λὼτ δίκαιος ἦν, ἀλλ᾽ οὐχ οὕτως ὡς ὁ Ἀβραάμ· καὶ ὁ Ἐζεκίας πάλιν, ἀλλ᾽ οὐχ οὕτως ὡς ὁ Δαυΐδ· καὶ οἱ προφῆται πάντες, ἀλλ᾽ οὐχ οὕτως ὡς ὁ Ἰωάννης.

7. Ποῦ τοίνυν εἰσὶν οἱ μετὰ τὴν τοσαύτην ἀκρίβειαν οὐ βουλόμενοι εἶναι γέενναν; Εἰ γὰρ οἱ δίκαιοι πάντες οὐ τῶν αὐτῶν ἀπολαύσονται, κἂν μικρὸν ὦσι τῶν ἑτέρων ὑπερέχοντες, «ἀστὴρ γὰρ ἀστέρος διαφέρει», φησίν, «ἐν δόξῃ», πῶς οἱ ἁμαρτωλοὶ ἐν τοῖς αὐτοῖς ἔσονται τοῖς δικαίοις; Ταύτην γὰρ οὐδ᾽ ἂν ἄνθρωπος ἐργάσαιτο τὴν σύγχυσιν, μήτι γε ὁ Θεός. Εἰ δὲ βούλεσθε, καὶ ἐπὶ τῶν ἡμαρτηκότων, καὶ ἐπὶ τῶν ἤδη γεγενημένων ταύτην ὑμῖν δείξω τὴν διαφοράν, καὶ τὴν ἀκριβῆ δικαιοκρισίαν. Σκόπει δέ. Ἥμαρτεν ὁ Ἀδάμ, ἥμαρτε καὶ ἡ Εὔα· καὶ ἀμφότεροι μὲν παρέβησαν, οὐκ ἐξ ἴσης δὲ ἥμαρτον· οὐκοῦν οὐδὲ ἐξ ἴσης ἐκολάσθησαν. Τοσοῦτον γὰρ τὸ μέσον ἦν, ὡς Παῦλον εἰπεῖν, ὅτι «Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε». Καίτοι ἡ ἀπάτη μία ἦν· ἀλλ᾽ ὅμως ἡ τοῦ Θεοῦ μετὰ ἀκριβείας ἐξέτασις τοσοῦτον ἔδειξε τὸ μέ-

---

15. Α΄ Κορ. 15,41.

16. Ὅπως κατά τήν ἀνάσταση τῆς θυγατέρας τοῦ Ἰαείρου, τή Μεταμόρφωση καί τήν προσευχή του στή Γεσθημανῆ.

17. Μάρκ. 10,40.

18. Ἰω. 21,15.

19. Α΄ Τιμ. 2,14.

διαφορά. Γιατί στό Θεό ὑπάρχει πολλή ἀκρίβεια πού φθάνει μέχρι τά ἔσχατα. «Γιατί ἀστέρι ἀπό ἀστέρι», λέγει, «διαφέρει κατά τή λάμψη»[15]. Παρ' ὅλο βέβαια πού ὅλοι ἦταν ἀπόστολοι καί ὅλοι πρόκειται νά καθίσουν στούς δώδεκα θρόνους καί ὅλοι ἐγκατέλειψαν τά δικά τους καί ὅλοι ἦταν μαζί του, ὅμως ὁ Χριστός τούς τρεῖς ἔπαιρνε μαζί του[16]. Καί πάλι εἶπε ὅτι ἐνδέχεται μερικοί ἀπ' αὐτούς τούς ἴδιους νά ὑπερέχουν· «τό νά σᾶς βάλω νά καθίσετε», λέγει, «στά δεξιά καί στά ἀριστερά, δέν ἐξαρτᾶται ἀπό μένα νά σᾶς τό δώσω, ἀλλά θά δοθεῖ σ' ἐκείνους, γιά τούς ὁποίους ἔχει ἑτοιμασθεῖ»[17]. Καί τόν Πέτρο βέβαια τόν βάζει μπροστά ἀπ' αὐτούς λέγοντας, «μ' ἀγαπᾶς περισσότερο ἀπ' αὐτούς;»[18], ἐνῶ τόν Ἰωάννη τόν ἀγαποῦσε περισσότερο ἀπό τούς ἄλλους. Καθόσον θά γίνει ἀκριβής ἐξέταση ὅλων· καί ἄν ὑπερέχεις λίγο ἀπό τόν πλησίον, καί ἄν γιά πολύ σύντομο χρονικό διάστημα, καί ἄν εἶναι ὁτιδήποτε αὐτό, δέ θά τό παραβλέψει ὁ Θεός. Καί αὐτό μπορεῖ νά τό δεῖ κανείς νά διαλάμπει ἀπό τήν ἀρχή. Καθόσον καί ὁ Λώτ ἦταν δίκαιος, ἀλλ' ὄχι τόσο, ὅσο ἦταν ὁ Ἀβραάμ· καί ὁ Ἐζεκίας πάλι, ἀλλ' ὄχι τόσο, ὅσο ὁ Δαβίδ· καί οἱ προφῆτες ὅλοι ἦταν δίκαιοι, ἀλλ' ὄχι τόσο, ὅσο ὁ Ἰωάννης.

7. Ποῦ εἶναι λοιπόν ἐκεῖνοι, πού ὕστερα ἀπό τόση μεγάλη ἀκρίβεια δέ θέλουν νά ὑπάρχει γέεννα; Γιατί, ἄν οἱ δίκαιοι ὅλοι δέ θ' ἀπολαύσουν τά ἴδια, ἔστω καί ἄν ἀκόμη ὑπερέχουν λίγο ἀπό τούς ἄλλους (γιατί λέγει, «ἀστέρι ἀπό ἀστέρι διαφέρει κατά τή λάμψη»), πῶς οἱ ἁμαρτωλοί θά εἶναι στήν ἴδια κατάσταση μέ τούς δικαίους; Γιατί αὐτή τή σύγχυση οὔτε ὁ ἄνθρωπος θά μποροῦσε νά τήν κάνει, οὔτε βέβαια καί ὁ Θεός. Ἐάν ὅμως θέλετε, θά σᾶς δείξω αὐτή τή διαφορά καί τήν ἀκριβή δικαιοκρισία καί στούς ἁμαρτωλούς καί σ' αὐτά πού ἔγιναν μέχρι τώρα. Πρόσεχε λοιπόν. Ἁμάρτησε ὁ Ἀδάμ, ἁμάρτησε καί ἡ Εὔα· καί οἱ δύο βέβαια παρέβηκαν τήν ἐντολή, ἀλλά δέν ἁμάρτησαν τό ἴδιο· ἑπομένως οὔτε τιμωρήθηκαν τό ἴδιο. Γιατί ἦταν τόσο μεγάλη ἡ διαφορά, ὥστε ὁ Παῦλος νά πεῖ, «ὁ Ἀδάμ δέν ἀπατήθηκε, ἀλλ' ἀπατήθηκε ἡ γυναίκα καί παρέβηκε τήν ἐντολή»[19]. Καί ὅμως ἡ ἀπάτη ἦταν ἡ ἴδια, ἀλλ' ὅμως ἡ ἐξέταση τοῦ Θεοῦ, πού ἔγινε μέ ἀκρίβεια, ἔδειξε τόσο μεγάλη τή διαφορά, ὥστε

σον, ὡς Παῦλον τοῦτο εἰπεῖν. Πάλιν ὁ μὲν Κάϊν ἐκολάζετο, ὁ δὲ Λάμεχ μετ' ἐκεῖνον φονεύσας, οὐδὲν τοιοῦτον ἔπαθε· καίτοι καὶ τοῦτο φόνος, κἀκεῖνο φόνος, καὶ πολλῷ χαλεπώτερος, ὅτι μηδὲ τῷ παραδείγματι γέγονε βελτίων οὗτος· ἀλλ' ὅμως ἐπειδὴ ὁ μὲν οὔτε ἀδελφὸν ἔσφαξε μετὰ παραίνεσιν, οὔτε ἐδεήθη τοῦ κατηγορήσοντος, οὔτε Θεοῦ ἐρωτῶντος ἠναισχύντησεν, ἀλλὰ καὶ μηδενὸς ἐλέγχοντος καὶ κατεῖπεν ἑαυτοῦ καὶ κατεδίκασε χαλεπώτερα, συγγνώμης ἔτυχεν, ὁ δέ, ἐπειδὴ τἀναντία ἐποίησεν, ἐτιμωρεῖτο.

Εἶδες μεθ' ὅσης ἀκριβείας ἐξετάζει τὰ γινομενα ὁ Θεός; Διὰ τοῦτο καὶ τοὺς ἐν τῷ κατακλυσμῷ ἑτέρως, καὶ τοὺς ἐν Σοδόμοις ἄλλως ἐτιμωρεῖτο· καὶ τοὺς Ἰσραηλίτας δὲ πάλιν διαφόρως, καὶ τοὺς ἐν Βαβυλῶνι, καὶ τοὺς ἐπ' Ἀντιόχου, δεικνὺς ὅτι πολὺν ἔχει τῶν ἡμετέρων λόγον. Καὶ οἱ μὲν ἑβδομήκοντα ἐδούλευσαν ἔτη, οἱ δὲ τετρεκόσια, οἱ δὲ τέκνα ἔφαγον, καὶ μυρίας ἑτέρας χαλεπωτέρας ὑπέμειναν συμφοράς, καὶ οὐδὲ ταύτῃ ἀπηλλάγησαν, οὔτε οὗτοι οὔτε οἱ ζῶντες καέντες ἐν Σοδόμοις. «Ἀνεκτότερον γάρ», φησίν, «ἔσται γῇ Σοδόμων καὶ Γομόρρας, ἢ τῇ πόλει ἐκείνῃ». Εἰ μὲν γὰρ μηδὲν αὐτῷ μέλει μηδὲ ἁμαρτανόντων ἡμῶν, μηδὲ κατορθούντων, ἴσως ἕξει τινὰ λόγον τὸ λέγειν μὴ εἶναι κόλασιν, εἰ δὲ τοσαύτην ποιεῖται σπουδήν, ὥστε μὴ ἁμαρτάνειν ἡμᾶς, καὶ τοσαῦτα πραγματεύεται, ὥστε κατορθοῦν, εὔδηλον ὅτι καὶ ἁμαρτάνοντας κολάζει, καὶ κατορθοῦντας στεφανοῖ.

Σὺ δέ μοι σκόπει τῶν πολλῶν τὴν ἀνωμαλίαν. Ἐνταῦθα μὲν γὰρ ἐγκαλοῦσι τῷ Θεῷ, ὅτι μακροθυμεῖ πολλάκις καὶ περιορᾷ πολλοὺς μιαρούς, ἀσελγεῖς, βιαίους, μὴ διδόντας δίκην· ἐκεῖ πάλιν ἂν ἀπειλήσῃ κολάζειν αὐτούς, σφοδροὶ καὶ βαρεῖς εἰσιν αἰτιώμενοι· καίτοιγε εἰ τοῦτο λυπεῖ, ἐκεῖνο ἀποδέχεσθαι ἔδει καὶ θαυμάζειν. Ἀλλ' ὢ τῆς ἀνοίας, ὢ τῆς ἀλόγου καὶ ἀναιδοῦς γνώμης· ὢ φιλαμαρτήμονος καὶ πρὸς κακίαν βλεπούσης ψυχῆς. Καὶ γὰρ ἐκεῖθεν τὰ δόγματα ἅπαντα ταῦτα τίκτεται· ὡς εἰ βουληθεῖεν οἱ ταῦτα λέγον-

---

20. Βλ. Γεν. 4,18-24.

21. Ματθ. 10,15.

ὁ Παῦλος νά πεῖ αὐτό. Πάλι ὁ Κάιν τιμωροῦνταν, ἐνῶ ὁ Λάμεχ[20] πού ἔκαμε φόνο ὕστερα ἀπ' αὐτόν, δέν ἔπαθε τίποτε τέτοιο. Καί ὅμως καί αὐτό εἶναι φόνος καί ἐκεῖνο φόνος, καί μάλιστα πολύ πιό φοβερός, γιατί ὁ Λάμεχ οὔτε μέ τό παράδειγμα ἔγινε καλύτερος. 'Αλλ' ὅμως, ἐπειδή ὁ ἕνας δέν ἔσφαξε ἀδελφό του ὕστερα ἀπό παραίνεση, οὔτε εἶχε ἀνάγκη ἀπό ἐκεῖνον πού θά τόν κατηγορήσει, οὔτε φέρθηκε μέ ἀδιαντροπιά στίς ἐρωτήσεις τοῦ Θεοῦ, ἀλλά καί χωρίς νά τόν ἐλέγχει κανείς, καί κατηγόρησε τόν ἑαυτό του καί τόν καταδίκασε σέ πιό φοβερή ποινή, ἔλαβε συγγνώμη, ὁ ἄλλος ὅμως, ἐπειδή ἔκαμε τά ἀντίθετα, τιμωροῦνταν.

Εἶδες μέ πόση ἀκρίβεια ἐξετάζει ὁ Θεός αὐτά πού γίνονται; Γι' αὐτό καί ἐκείνους πού ζοῦσαν στόν κατακλυσμό τούς τιμωροῦσε διαφορετικά καί ἀλλιῶς τούς κατοίκους τῶν Σοδόμων, καί μέ διαφορετικό ἐπίσης τρόπο τούς 'Ισραηλίτες καί τούς κατοίκους τῆς Βαβυλώνας καί ὅσους ἔζησαν τήν ἐποχή τοῦ 'Αντιόχου, ἀποδεικνύοντας ὅτι δίνει μεγάλη ἀξία στά δικά μας. Καί ἄλλοι ἦταν ἑβδομήντα χρόνια ὑπόδουλοι, οἱ ἄλλοι τετρακόσια, οἱ ἄλλοι ἔφαγαν τά παιδιά τους καί ὑπέφεραν ἄπειρες ἄλλες φοβερότερες συμφορές, καί οὔτε ἔτσι γλύτωσαν, οὔτε αὐτοί οὔτε ἐκεῖνοι πού κάηκαν ζωντανοί στά Σόδομα. «Πιό λίγο», λέγει, «θά ὑποφέρουν τά Σόδομα καί τά Γόμορρα παρά ἡ πόλη ἐκείνη»[21]. 'Εάν λοιπόν δέν τόν ἐνδιαφέρει αὐτόν, οὔτε ὅταν ἁμαρτάνουμε, οὔτε ὅταν κατορθώνουμε τήν ἀρετή, ἴσως θά εἶχε κάποια δικαιολογία τό νά λέγει κανείς πώς δέν ὑπάρχει κόλαση· ἀφοῦ ὅμως φροντίζει τόσο πολύ, ὥστε νά μήν ἁμαρτάνουμε, καί κάνει τόσα πολλά, ὥστε νά κατορθώνουμε τήν ἀρετή, εἶναι ὁλοφάνερο ὅτι καί ὅταν ἁμαρτάνουμε, μᾶς τιμωρεῖ, καί ὅταν κατορθώνουμε, μᾶς στεφανώνει.

'Εσύ ὅμως, σέ παρακαλῶ, πρόσεχε τήν ἀστάθεια τῆς γνώμης τῶν πολλῶν. Γιατί ἐδῶ κατηγοροῦν τό Θεό, ὅτι μακροθυμεῖ πολλές φορές καί ἀνέχεται πολλούς μιαρούς, ἀσελγεῖς, βίαιους, πού δέν τιμωροῦνται, ἐκεῖ πάλι ἄν ἀπειλήσει ὅτι τούς τιμωρεῖ, γίνονται σφοδροί καί δεινοί κατήγοροι· καί ὅμως ἄν αὐτό προκαλεῖ λύπη, ἐκεῖνο ἔπρεπε νά τό δέχονται καί νά τό θαυμάζουν. 'Αλλά τί ἀνοησία, τί παράλογη καί ἀναίσχυντη γνώμη! πώ πώ ψυχή πού ἀγαπάει τήν ἁμαρτία καί ἀποβλέπει πρός τήν κακία! Καθόσον ἀπό ἐκεῖ προέρχο-

τες ἀρετῆς ἐπιλαβέσθαι, ταχέως καὶ περὶ τῆς γεέννης πεισθήσονται, καὶ οὐκ ἀμφιβαλοῦσι. Καὶ ποῦ, φησί, καὶ ἐν ποίῳ χωρίῳ αὕτη ἔσται η γέεννα; Τί σοι τοῦτο μέλει; Τὸ γὰρ ζητούμενον, δεῖξαι ὅτι ἔστιν, οὐχ ὅπου τεταμίευται καὶ ἐν ποίῳ χωρίῳ. Τινὲς μὲν γὰρ μυθολογοῦντές φασιν, ὅτι ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφάτ, ὃ περὶ πολέμου τινὸς εἴρηται παρελθόντος, τοῦτο εἰς τὴν γέενναν ἕλκοντες· ἡ δὲ Γραφὴ οὐ τοῦτό φησιν. Ἀλλ᾽ ἐν ποίῳ τόπῳ ἔσται, φησίν; Ἔξω που, ὡς ἔγωγε οἶμαι, τοῦ κόσμου τούτου παντός. Καθάπερ γὰρ τῶν βασιλείων τὰ δεσμωτήρια καὶ τὰ μέταλλα πόρρω διέστηκεν, οὕτω δὴ καὶ τῆς οἰκουμένης ταύτης ἔξω που ἔσται ἡ γέεννα.

Μὴ τοίνυν ζητῶμεν ποῦ ἔστιν, ἀλλὰ πῶς αὐτὴν φύγοιμεν. Μηδὲ ἐπειδὴ πάντας ἐνταῦθα οὐ κολάζει ὁ Θεός, διὰ τοῦτο ἀπίστει τοῖς μέλλουσι· φιλάνθρωπος γάρ ἐστι, καὶ μακροθυμεῖ. Διὰ τοῦτο ἀπειλεῖ, καὶ οὐκ εὐθέως ἐμβάλλει· «οὐ γὰρ θέλω», φησί, «τὸν θάνατον τοῦ ἁμαρτωλοῦ». Εἰ δὲ μὴ ἔστι θάνατος ἁμαρτωλοῦ, περιττὸν τὸ εἰρημένον. Καὶ οἶδα μέν, ὅτι οὐδὲν ἀηδέστερον τούτων ὑμῖν τῶν λόγων· ἀλλ᾽ ἐμοὶ τούτων οὐδὲν ἥδιον. Καὶ εἴθε ἦν καὶ ἀριστοποιουμένους καὶ δειπνοῦντας καὶ λουομένους καὶ πανταχοῦ περὶ γεέννης διαλέγεσθαι· οὐδὲ γὰρ ἂν ἠλγήσαμεν τοῖς ἐνταῦθα δεινοῖς, οὐκ ἂν ἥσθημεν τοῖς χρηστοῖς. Τί γάρ μοι καὶ εἰπεῖν ἔχεις δεινόν; Πενίαν, νόσον, αἰχμαλωσίαν, πήρωσιν σώματος; Ἀλλὰ ταῦτα πάντα γέλως πρὸς τὴν ἐκεῖ κόλασιν· κἂν τοὺς δι᾽ ὅλου βασανοζομένους λιμῷ λέγῃς, κἂν τοὺς ἐκ πρώτης ἡλικίας πεπηρωμένους καὶ προσαιτοῦντας, τρυφὴ καὶ ταῦτα πρὸς ἐκεῖνα τὰ κακά. Συνεχῶς τοίνυν στρέφωμεν τοὺς περὶ τούτων λόγους· οὐ γὰρ ἀφίησιν ἐμπεσεῖν εἰς γέενναν τὸ μεμνῆσθαι γεέννης. Οὐκ ἀκούεις Παύλου λέγοντος, «οἵτινες δίκην τίσουσιν αἰώνιον ἀπὸ προσώπου Κυρίου»; οὐκ ἀκούεις οἷος ὁ Νέρων ἐγένετο, ὃν καὶ μυστήριον καλεῖ τοῦ ἀντιχρί-

22. Ἰεζ. 18,32.
23. Β΄ Θεσ. 1,9.

νται ὅλες αὐτές οἱ διδασκαλίες· ὥστε ἄν ἤθελαν ὅσοι λέγουν αὐτά νά ἀσκήσουν την ἀρετή, γρήγορα θά πεισθοῦν καί γιά τή γέεννα καί δέ θά ἔχουν ἀμφιβολίες. Καί ποῦ, λέγει, καί σέ ποιό τόπο θά εἶναι αὐτή ἡ γέεννα; Τί σ' ἐνδιαφέρει αὐτό; Γιατί τό ζητούμενο εἶναι, ν' ἀποδειχθεῖ ὅτι ὑπάρχει, ὄχι ποῦ ορίσθηκε καί σέ ποιό τόπο. Μερικοί βέβαια μυθολογώντας ἰσχυρίζονται, ὅτι βρίσκεται στήν κοιλάδα τοῦ Ἰωσαφάτ, πράγμα πού λέχθηκε γιά κάποιο πόλεμο τοῦ παρελθόντος, ἀναφέροντας αὐτό στή γέεννα. Ἀλλά, λέγει, σέ ποιό τόπο θά εἶναι; Κάπου ἔξω, ὅπως ἐγώ βέβαια νομίζω, ἀπ' ὅλο αὐτόν τόν κόσμο. Γιατί ὅπως οἱ φυλακές καί τά μεταλλεῖα βρίσκονται μακριά ἀπό τά βασιλικά ἀνάκτορα, ἔτσι ἀκριβῶς καί ἡ γέεννα θά εἶναι κάπου ἔξω ἀπό αὐτή τήν οἰκουμένη.

Ἄς μή ζητοῦμε λοιπον ποῦ βρίσκεται ἡ γέεννα, ἀλλά πῶς μπορεῖ νά τήν ἀποφύγουμε. Οὔτε ἐπειδή δέν τιμωρεῖ ὁ Θεός ὅλους ἐδῶ, γι' αὐτό νά μήν πιστεύεις στά μελλοντικά, γιατί εἶναι φιλάνθρωπος καί μακροθυμεῖ. Γι' αὐτό ἀπειλεῖ καί δέ ρίχνει ἀμέσως μέσα σ' αὐτήν· «δέ θέλω», λέγει, «τό θάνατο τοῦ ἁμαρτωλοῦ»[22]. Ἐάν ὅμως δέν ὑπάρχει θάνατος τοῦ ἁμαρτωλοῦ, εἶναι περιττό αὐτό πού λέχθηκε. Καί ξέρω βέβαια, ὅτι τίποτε δέν εἶναι γιά σᾶς περισσότερο ἀηδιαστικό ἀπό τά λόγια αὐτά, ἀλλά σέ μένα τίποτε δέν εἶναι πιό εὐχάριστο ἀπ' αὐτά. Καί μακάρι νά μπορούσαμε καί ὅταν προγευματίζουμε καί ὅταν δειπνοῦμε καί ὅταν λουζόμαστε καί παντοῦ νά μιλοῦμε γιά τή γέεννα· οὔτε βέβαια ἄν δέ λυπόμαστε γιά τά ἐδῶ κακά, δέ θά εὐχαριστιόμαστε γιά τά ἀγαθά. Γιατί ποιό κακό μπορεῖς νά μοῦ πεῖς; τή φτώχεια, τήν ἀρρώστια, τήν αἰχμαλωσία, τήν ἀναπηρία τοῦ σώματος; Ἀλλ' ὅλα αὐτά εἶναι γελοῖα σέ σύγκριση πρός τήν ἐκεῖ κόλαση· καί ἄν ἀκόμη λέγεις ἐκείνους πού βασανίζονται πάρα πολύ ἀπό τήν πείνα, καί ἄν ἀκόμη ἐκείνους πού ἀπό τήν πρώτη ἡλικία εἶναι ἀνάπηροι καί ἐπαιτοῦν, εἶναι καλοπέραση καί αὐτά σέ σύγκριση πρός ἐκεῖνα τά κακά. Συνέχεια λοιπόν ἄς σκεπτόμαστε τούς λόγους γι' αὐτά, γιατί δέν μᾶς ἀφήνει νά πέσουμε στή γέεννα τό νά θυμόμαστε τή γέεννα. Δέν ἀκοῦς τόν Παῦλο πού λέγει, «οἱ ὁποῖοι θά τιμωρηθοῦν μέ αἰώνιο ὄλεθρο ἀπό τό πρόσωπο τοῦ Κυρίου»[23]; δέν ἀκοῦς ποιός ἔγινε ὁ Νέρωνας, τόν ὁποῖο ὁ Παῦλος ὀνομάζει καί

στου Παῦλος; «Τὸ γὰρ μυστήριον ἤδη», φησίν, «ἐνεργεῖται τῆς ἀνομίας».

Τί οὖν; Οὐδὲν πείσεται ὁ Νέρων; οὐδὲν πείσεται ὁ ἀντίχριστος; οὐδὲν ὁ διάβολος; Οὐκοῦν ἀεὶ ὁ ἀντίχριστος ἔσται, καὶ ὁ διάβολος· οὐδὲ γὰρ ἀποστήσονται τῆς κακίας μὴ κολαζόμενοι. Ναί, φησίν· ἀλλ' ὅτι μὲν ἔστι γέεννα, παντί που δῆλον, οἱ δὲ ἄπιστοι εμπεσοῦνται μόνοι. Τίνος ἕνεκεν, εἰπέ μοι; Ὅτι οἱ πιστοί, φησί, τὸν δεσπότην ἐπέγνωσαν τὸν ἑαυτῶν. Καὶ τί τοῦτο; Ὅταν γὰρ βίος ἀκάθαρτος ᾖ, καὶ μείζονα κατὰ τοῦτο δώσουσι δίκην τῶν ἀπίστων. «Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται»· καί, «ὁ οἰκέτης ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς». Εἰ δὲ οὐκ ἔστι βίου δοῦναι λόγον, ἀλλ' ἁπλῶς ταῦτα εἴρηται, οὐδὲ ὁ διάβολος τιμωρηθήσεται· καὶ γὰρ τὸν Θεὸν οἶδε, καὶ ἀνθρώπων μᾶλλον πολλῷ· καὶ οἱ δαίμονες δὲ πάντες καὶ ἴσασιν αὐτόν, καὶ φρίττουσι, καὶ κριτὴν ὁμολογοῦσιν. Εἰ τοίνυν βίου οὐκ ἔστι δοῦναι λόγον, οὐδὲ πονηρῶν πράξεων, διαφεύξονται καὶ οὗτοι. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· μὴ ἑαυτοὺς ἀπατᾶτε, ἀγαπητοί. Εἰ γὰρ μὴ ἔστι γέεννα, πῶς κρινοῦσι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ οἱ ἀπόστολοι; Πῶς φησι Παῦλος, «οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;»· πῶς ὁ Χριστὸς ἔλεγεν, «ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην», καὶ πάλιν, «ἀνεκτότερον ἔσται γῇ Σοδόμων ἐν ἡμέρᾳ κρίσεως»;

Τί τοίνυν παίζεις ἐν οὐ παικτοῖς; τί ἀπατᾷς σαυτὸν καὶ παραλογίζῃ; τί τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ μάχῃ; Διὰ γὰρ τοῦτο καὶ ἡτοίμασεν αὐτὴν καὶ ἠπείλησεν, ἵνα μὴ ἐμπέσωμεν, τῷ φόβῳ γενόμενοι βελτίους. Ὥστε ὁ τὸν περὶ τούτων ἀναιρῶν λόγον, οὐδὲν ἕτερον ἢ εἰς αὐτὴν ὠθεῖ καὶ ἐμβάλλει διὰ τῆς ἀπάτης ταύτης. Μὴ τοί-

---

24. Β' Θεσ. 2,7.
25. Ρωμ. 2,12.
26. Λουκᾶ 12,47.
27. Α' Κορ. 6,3.
28. Ματθ. 8,29.
29. Ματθ. 11,24.

μυστήριο τοῦ ἀντιχρίστου; «Γιατί ἤδη ἐνεργεῖται», λέγει, «τό μυστήριο τῆς ἀνομίας»[24].

Τί λοιπόν; τίποτε δέ θά πάθει ὁ Νέρωνας; τίποτε δέ θά πάθει ὁ ἀντίχριστος; τίποτε ὁ διάβολος; Λοιπόν θά ὑπάρχει πάντοτε ὁ ἀντίχριστος καί ὁ διάβολος; οὔτε βέβαια θ' ἀπομακρυνθοῦν ἀπό τήν κακία χωρίς νά τιμωρηθοῦν. Ναί, λέγει· ἀλλ' ὅτι βέβαια ὑπάρχει γέεννα, στόν καθένα ἀσφαλῶς εἶναι φανερό, οἱ ἄπιστοι ὅμως θά πέσουν μόνο σ' αὐτήν. Πές μου, γιά ποιό λόγο;. Γιατί οἱ πιστοί, λέγει, γνώρισαν τόν Κύριό τους. Καί τί σημασία ἔχει αὐτό; Γιατί ὅταν ἡ ζωή τους εἶναι ἀκάθαρτη, θά τιμωρηθοῦν γι' αὐτό καί μέ μεγαλύτερη τιμωρία ἀπό τούς ἄπιστους. «Γιατί ὅσοι ἁμάρτησαν χωρίς νόμο, χωρίς τό νόμο καί θά ἀπολεσθοῦν, ἐνῶ ὅσοι ἁμάρτησαν ἔχοντας τό νόμο, θά κριθοῦν μέ τό νόμο»[25]; καί, «ὁ δοῦλος πού ἤξερε τό θέλημα τοῦ κυρίου του καί δέν τό ἔκαμε, θά τιμωρηθεῖ μέ πολλές μαστιγώσεις»[26]. Ἐάν ὅμως δέν εἶναι δυνατό νά δώσουμε λόγο γιά σωστό τρόπο ζωῆς, ἀλλ' αὐτά λέχθηκαν ἔτσι ἁπλῶς, οὔτε ὁ διάβολος θά τιμωρηθεῖ, γιατί καί τό Θεό ξέρει καί μάλιστα πολύ καλύτερα ἀπό τούς ἀνθρώπους· καί οἱ δαίμονες ἐπίσης ὅλοι τόν ξέρουν καί τό τρέμουν καί τόν ὁμολογοῦν κριτή. Ἐάν λοιπόν δέν εἶναι δυνατό νά δώσουμε λόγο γιά τόν τρόπο ζωῆς μας, οὔτε γιά τίς κακές πράξεις, θά ξεφύγουν καί αὐτοί. Δείν εἶναι δυνατά αὐτά, δέν εἶναι· μήν ἐξαπατᾶτε τούς ἑαυτούς σας, ἀγαπητοί. Γιατί, ἄν δέν ὑπάρχει γέεννα, πῶς θά κρίνουν τίς δώδεκα φυλές τοῦ Ἰσραήλ οἱ ἀπόστολοι; πῶς λέγει ὁ Παῦλος, «δέν ξέρετε, ὅτι θά κρίνουμε ἀγγέλους, καί ἄρα πολύ περισσότερο κοσμικές ὑποθέσεις;»[27]· πῶς ὁ Χριστός ἔλεγε, «οἱ ἄνθρωποι τῆς Νινευΐ θ' ἀναστηθοῦν καί θά κρίνουν τή γενεά αὐτή»[28], καί πάλι, «ἡ χώρα τῶν Σοδόμων θά ὑποφέρει λιγότερο κατά την ἡμέρα τῆς κρίσεως»[29];

Γιατί λοιπόν παίζεις μ' ἐκεῖνα πού δέν μπορεῖ νά παίξει κανείς; γιατί ἐξαπατᾶς τόν ἑαυτό σου καί παραλογίζεσαι; γιατί μάχεσαι ἐναντίον τῆς φιλανθρωπίας τοῦ Θεοῦ; Γιατί γι' αὐτό καί τήν ἑτοίμασε καί τήν ἀπείλησε, γιά νά μήν πέσουμε σ' αὐτή, ἀφοῦ γίνουμε μέ τό φόβο καλύτεροι. Ἑπομένως ἐκεῖνος πού ἀναιρεῖ τό λόγο γι' αὐτά, τίποτε ἄλλο δέν κάνει παρά ὠθεῖ σ' αὐτήν καί ρίχνει μέσα στή γέεννα μέ τήν ἀπάτη αὐτή. Μή λοιπόν λύσεις τά χέρια

νυν ἐκλύσῃς τὰς χεῖρας τῶν ὑπὲρ ἀρετῆς πονούντων, μηδὲ ἐπιτείνῃς τὴν ῥᾳθυμίαν τῶν καθευδόντων. Εἰ γὰρ πεισθεῖεν οἱ πολλοί, ὅτι γέεννα οὐκ ἔστι, πότε ἀποστήσονται τῆς κακίας; ποῦ δὲ καὶ τὸ δίκαιον φανεῖται, οὐ λέγω ἐπὶ ἁμαρτωλῶν καὶ δικαίων, ἀλλ' ἐπὶ ἁμαρτωλῶν καὶ ἁμαρτωλῶν; Διὰ τί γὰρ ὁ μὲν ἐκολάσθη ἐνταῦθα, ὁ δὲ οὐκ ἐκολάσθη τὰ αὐτὰ ἁμαρτών, ἢ καὶ πολλῷ χαλεπώτερα; Εἰ γὰρ οὐκ ἔστι γέεννα, οὐδὲν ὑπὲρ τούτων ἀπολογήσασθαι δυνήσῃ τοῖς ἐγκαλοῦσι. Διὸ παρακαλῶ παυσαμένους τούτου τοῦ γέλωτος, ἐπιστομίζειν τοὺς ὑπὲρ τούτων ἡμῖν ἀντιλέγοντας. Καὶ γὰρ καὶ τῶν μικροτάτων καὶ ἐν τοῖς ἁμαρτήμασι καὶ ἐν τοῖς κατορθώμασιν ἀκριβὴς ἔσται ἡ ἐξέτασις· καὶ ὀφθαλμῶν ἀκολάστων δώσομεν δίκην, καὶ ῥήματος ἀργοῦ, καὶ λοιδορίας ἁπλῶς, καὶ μέθης εὐθύνας ὑφέξομεν· καὶ ποτηρίου ψυχροῦ ληψόμεθα μισθόν, καὶ στεναγμοῦ μόνου. «Δὸς γάρ», φησί, «τὸ σημεῖον ἐπὶ τὸ πρόσωπον τῶν στεναζόντων καὶ κατοδυνωμένων».

Πῶς οὖν τολμᾷς εἰπεῖν, ὅτι ὁ μετὰ τοσαύτης ἀκριβείας ἐξετάζων τὰ ἡμέτερα, ἁπλῶς καὶ εἰκῇ τὴν γέενναν ἠπείλησε; Μή, παρακαλῶ, μὴ ταῖς κεναῖς ταύταις ἐλπίσι σεαυτὸν ἀπόλλυε, καὶ τοὺς πειθομένους. Εἰ γὰρ τοῖς ἡμετέροις ἀπιστεῖς λόγοις, ἐξέτασον Ἰουδαίους, Ἕλληνας, αἱρετικοὺς ἅπαντας· καὶ πάντες ὡς ἐξ ἑνὸς ἀποκρινοῦνται στόματος, ὅτι καὶ κρίσις ἔσται καὶ ἀντίδοσις. Ἀλλ' οὐκ ἀρκοῦσιν ἄνθρωποι; Ἐρώτησον καὶ τοὺς δαίμονας αὐτούς, καὶ ἀκούσῃ βοώντων· «τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς»; Καὶ πάντα ταῦτα συναγαγὼν πεῖσον τὴν ψυχὴν μὴ μάτην ληρεῖν, ἵνα μὴ διὰ τῆς πείρας μάθῃ τὴν γέενναν, ἀλλ' ἐντεῦθεν σωφρονισθεῖσα καὶ τὰς βασάνους ἐκείνας δυνηθῇ διαφυγεῖν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

30. Ἰεζ. 9.4.
31. Ματθ. 8,29.

ἐκείνων πού κοπιάζουν ὑπέρ τῆς ἀρετῆς, οὔτε νά μεγαλώσεις τήν ἀδιαφορία ἐκείνων πού κοιμοῦνται. Γιατί ἄν πιστέψουν οἱ πολλοί, ὅτι δέν ὑπάρχει γέεννα, πότε θ' ἀπομακρυνθοῦν ἀπό τήν κακία; καί ποῦ θά φανεῖ τό δίκαιο, δέν ἐννοῶ σέ ἁμαρτωλούς καί δικαίους, ἀλλά σέ ἁμαρτωλούς καί ἁμαρτωλούς; Γιατί λοιπόν ὁ ἕνας τιμωρήθηκε ἐδῶ, ὁ ἄλλος δέν τιμωρήθηκε παρ' ὅλο πού ἔκαμε τίς ἴδιες ἁμαρτίες ἤ καί πολύ χειρότερες; Ἐάν βέβαια δέν ὑπάρχει γέεννα, δέν μπορεῖς ν' ἀπολογηθεῖς τίποτε γι' αὐτά σ' ἐκείνους πού κατηγοροῦν. Γι' αὐτό, παρακαλῶ, ἀφοῦ σταματήσουμε αὐτό τό γέλιο, νά ἀποστομώνουμε ἐκείνους πού μᾶς ἀντιλέγουν γι' αὐτά. Γιατί πραγματικά ἡ ἐξέταση θά εἶναι ἀκριβής καί στά πιό μικρά καί στά ἁμαρτήματα καί στά κατορθώματα, καί θά τιμωρηθοῦμε γιά τά ἀκόλαστα μάτια μας καί γιά τόν ἀργό λόγο καί τήν κατηγορία γενικά, καί θά ὑποστοῦμε τήν τιμωρία γιά τή μέθη, καί θά λάβουμε μισθό γιά ἕνα ποτήρι κρύο νερό καί ἕνα στεναγμό μόνο. «Δῶσε τό σημεῖο», λέγει «στό πρόσωπο ἐκείνων πού στενάζουν καί κραυγάζουν μέ ψυχική ὀδύνη»[30].

Πῶς λοιπόν τολμᾶς νά πεῖς, ὅτι ἐκεῖνος πού μέ τόσο μεγάλη ἀκρίβεια ἐξετάζει τά δικά μας, ἀπείλησε ἁπλῶς καί χωρίς λόγο τή γέεννα; Μή, σέ παρακαλῶ, μήν καταστρέφεις μέ τίς μάταιες αὐτές ἐλπίδες τόν ἑαυτό σου καί ὅσους πείθονται σέ σένα. Γιατί, ἄν δέν πιστεύεις στά λόγια μας, ἐξέτασε τούς Ἰουδαίους, τούς εἰδωλολάτρες, τούς αἱρετικούς ὅλους· καί ὅλοι θά ἀπαντήσουν σάν μέ ἕνα στόμα, ὅτι καί κρίση θά ὑπάρξει καί ἀνταπόδοση. Ἀλλά δέν ἀρκοῦν οἱ ἄνθρωποι; Ἐρώτησε καί τούς ἴδιους τούς δαίμονες, καί θ' ἀκούσεις νά φωνάζουν. «Τί ἦρθες ἐδῶ πρόωρα γιά νά μᾶς βασανίσεις;»[31]. Καί ἀφοῦ συγκεντρώσεις ὅλα αὐτά, νά πείσεις τή ψυχή σου νά μή λέγει ἀνοησίες ἄσκοπα, γιά νά μή γνωρίσει μέ τήν πείρα τή γέεννα, ἀλλά γιά νά μπορέσει, ἀφοῦ σωφρονισθεῖ ἀπό ἐδῶ, καί τά βασανιστήρια ἐκεῖνα νά γλυτώσει καί τά μελλοντικά ἀγαθά νά ἐπιτύχει, στά ὁποῖα εἴθε ὅλοι ἐμεῖς νά πάρουμε μέρος, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο καί διά μέσου τοῦ ὁποίου στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΓ'

(Ρωμ. 16,17–27)

«Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων».

1. Πάλιν παραίνεσις, καὶ εὐχὴ μετὰ τὴν παραίνεσιν. Εἰπὼν γὰρ σκοπεῖν τοὺς τὰς διχοστασίας, καὶ μὴ ὑπακούειν αὐτοῖς, ἐπήγαγεν· «ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν»· καί, «ἡ χάρις τοῦ Κυρίου μεθ' ὑμῶν». Σκόπει δὲ πῶς προσηνῶς παραινεῖ, οὐκ ἐν τάξει συμβούλου, ἀλλ' ἐν τάξει ἱκέτου τοῦτο ποιῶν, καὶ μετὰ πολλῆς τῆς τιμῆς· καὶ γὰρ καὶ ἀδελφοὺς ἐκάλεσε, καὶ ἱκετεύει. «Παρακαλῶ γὰρ ὑμᾶς», φησίν, «ἀδελφοί». Εἶτα καὶ ἐναγωνίους ποιεῖ, δεικνὺς τὸ δολερὸν τῶν ἐπηρεαζόντων. Ὡς γὰρ οὐκ αὐτόθεν ὄντων δήλων φησί· «παρακαλῶ ὑμᾶς σκοπεῖν»· τουτέστι, περιεργάζεσθαι μετὰ ἀκριβείας καὶ καταμανθάνειν καὶ διερευνᾶσθαι. Τίνας, εἰπέ μοι; «Τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας». Αὕτη γὰρ μάλιστα ἐκκλησίας ἀνατροπή, τὸ διῃρῆσθαι· τοῦτο ὅπλον τοῦ διαβόλου, τοῦτο πάντα ἄνω καὶ κάτω ποιεῖ. Ἕως γὰρ ἂν ᾖ τὸ σῶμα ἡνωμένον, οὐκ ἰσχύει εἴσοδον σχεῖν, ἀλλ' ἀπὸ τῆς διχοστασίας τὸ σκάνδαλον.

ΟΜΙΛΙΑ ΛΓ'

(Ρωμ. 16,17-24)

«Σᾶς παρακαλῶ, ἀδελφοί, νά προσέχετε ἐκείνους πού δημιουργοῦν τίς διχόνοιες καί τά σκάνδαλα ἀντίθετα πρός τή διασκαλία, τήν ὁποία ἐσεῖς μάθατε, καί ν' ἀπομακρυθεῖτε ἀπ' αὐτούς. Γιατί οἱ τέτοιοι ἄνθρωποι δέν εἶναι δοῦλοι τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἀλλά τῆς δικῆς τους κοιλιᾶς, καί μέ τά καλά λόγια καί τούς ἐπαίνους τους ἀξαπατοῦν τίς καρδιές τῶν ἀθώων».

1. Πάλι παραίνεση καί εὐχή μετὰ τὴν παραίνεση. Γιατί, ἀφοῦ εἶπε νά προσέχουν ἐκείνους πού δημιουργοῦν τίς διχόνοιες καί νά μήν τούς ὑπακούουν, πρόσθεσε· «ὁ Θεός τῆς εἰρήνης θά συντρίψει τό Σατανᾶ κάτω ἀπό τά πόδια σας», καί, «ἡ χάρη τοῦ Κυρίου νά εἶναι μαζί σας». Πρόσεχε ὅμως πῶς καί μέ πραότητα παραινεῖ, κάνοντας αὐτό ὄχι σάν σύμβουλος ἀλλά σάν ἱκέτης καί μέ μεγάλη τιμή· γιατί καί ἀδελφούς τούς ὀνόμασε καί τούς ἱκετεύει. «Σᾶς παρακαλῶ», λέγει, «ἀδελφοί». Ἔπειτα τούς προετοιμάζει γιά ἀγώνα, φανερώνοντας τό δόλο ἐκείνων πού τούς ἀπειλοῦν. Γιατί σάν νά μήν ἦταν ἀπό μόνοι τους φανεροί, λέγει· «σᾶς παρακαλῶ νά προσέχετε», δηλαδή, νά περιεργάζεστε μέ ἀκρίβεια καί νά μαθαίνετε καλά καί νά ἐξετάζετε μέ προσοχή. Πές μου ὅμως, ποιούς; «Ἐκείνους πού δημιουργοῦν τίς διχόνοιες καί τά σκάνδαλα ἀντίθετα πρός τή διδασκαλία, τήν ὁποία ἐσεῖς γνωρίσατε». Γιατί αὐτή κυρίως εἶναι ἡ καταστροφή τῆς Ἐκκλησίας, ἡ διαίρεση· αὐτό εἶναι τό ὅπλο τοῦ διαβόλου, αὐτό τά κάνει ὅλα ἄνω - κάτω. Γιατί ὅσο τό σῶμα εἶναι ἑνωμένο, δέν μπορεῖ νά ἔχει εἴσοδο, ἀλλ' ἀπό τή διχόνοια προέρχεται τό σκάνδαλο.

Ἡ δὲ διχοστασία πόθεν; Ἀπὸ τῶν δογμάτων τῶν παρὰ τὴν διδαχὴν τῶν ἀποστόλων. Τὰ δὲ δόγματα τὰ τοιαῦτα πόθεν; Ἀπὸ τοῦ γαστρὶ δουλεύειν καὶ τοῖς ἄλλοις πάθεσιν. «Οἱ γὰρ τοιοῦτοι», φησί, «τῷ Κυρίῳ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ». Ὥστε οὐκ ἂν γένοιτο σκάνδαλον, οὐκ ἂν γένοιτο διχοστασία, εἰ μή τι παρὰ τὴν ἀποστολικὴν διδαχὴν ἐπινοηθείη δόγμα· ὃ καὶ ἐνταῦθα δηλῶν ἔλεγε, «παρὰ τὴν διδαχήν». Καὶ οὐκ εἶπεν, ἣν ἐδιδάξαμεν, ἀλλ' «ἣν ὑμεῖς ἐμάθετε», προκαταλαμβάνων αὐτούς, καὶ δεικνὺς πεπεισμένους δὴ καὶ ἀκούσαντας καὶ καταδεξαμένους. Καὶ τί ποιήσομεν τοῖς τὰ τοιαῦτα κακουργοῦσιν; Οὐκ εἶπεν, ὁμόσε χωρεῖτε καὶ πυκτεύετε, ἀλλ', «ἐκκλίνατε ἀπ' αὐτῶν». Εἰ μὲν γὰρ ἐξ ἀγνοίας ἢ πλάνης τοῦτο ἐποίουν, ἔδει διορθοῦν, ἐπειδὴ δὲ ἑκόντες ἁμαρτάνουσιν, ἀποπηδᾶτε. Καὶ ἀλλαχοῦ δὲ τοῦτο λέγει. «Στέλλεσθε γάρ», φησίν, «ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως παριπατοῦντος». Καὶ Τιμοθέῳ περὶ τοῦ χαλκέως διαλεγόμενος, τοιαῦτα παρῄνει λέγων· «ὃν καὶ σὺ φυλάσσου».

Εἶτα καὶ κωμῳδῶν τοὺς τὰ τοιαῦτα τολμῶντας, λέγει καὶ τὴν αἰτίαν, ἀφ' ἧς ταύτην ἐπενόησαν τὴν διχοστασίαν. «Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Χριστῷ», φησίν, «οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ». Τοῦτο καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγεν· «ὧν ὁ Θεὸς ἡ κοιλία». Ἐνταῦθα δέ μοι τοὺς ἐξ Ἰουδαίων αἰνίττεσθαι δοκεῖ, οὓς μάλιστα ἀεὶ διαβάλλειν εἴωθεν ὡς γαστριμάργους. Καὶ γὰρ καὶ Τίτῳ ἐπιστέλλων ἔλεγε περὶ αὐτῶν· «κακὰ θηρία, γαστέρες ἀργαί». Καὶ ὁ Χριστὸς δὲ αὐτοὺς ἐπὶ τούτῳ διαβάλλων, «κατεσθίετε», φησί, «τὰς οἰκίας τῶν χηρῶν». Καὶ οἱ προφῆται τοιαῦτα αὐτῶν κατηγοροῦσιν· «ἐλιπάνθη γάρ», φησί, «καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος». Διὸ καὶ Μωϋσῆς παρῄνει λέ-

---

1. Β' Θεσ. 3,6.
2. Β' Τιμ. 4,15.
3. Φιλιπ. 3,19.
4. Τιτ. 1,12.
5. Ματθ. 23,13.
6. Δευτ. 32,15.

Ἡ διχόνοια ὅμως ἀπό ποῦ προέρχεται; Ἀπό τίς διδασκαλίες τῆς πίστεως, πού εἶναι ἀντίθετες πρός τή διδασκαλία τῶν ἀποστόλων. Καί οἱ τέτοιες διδασκαλίες ἀπό ποῦ; Ἀπό τό ὅτι εἶναι δοῦλοι τῆς κοιλιᾶς καί ἄλλων παθῶν. «Οἱ τέτοιοι ἄνθρωποι», λέγει, «δέν εἶναι δοῦλοι τοῦ Κυρίου ἀλλά τῆς δικῆς τους κοιλιᾶς». Ὥστε δέ θά γινόταν σκάνδαλο, δέ θά γινόταν διχόνοια, ἄν δέν ἐπινοοῦνταν κάποιο δόγμα ἀντίθετα πρός τήν ἀποστολική διδασκαλία, πράγμα πού γιά νά δηλώσει ἐδῶ, ἔλεγε «ἀντίθετα πρός τή διδασκαλία». Καί δέν εἶπε, 'τήν ὁποία διδάξαμε', ἀλλά «τήν ὁποία σεῖς γνωρίσατε', κερδίζοντας προκαταβολικά αὐτούς καί δείχνοντας ὅτι ἔχουν πιστέψει καί ἄκουσαν καί δέχτηκαν τή διδασκαλία. Καί τί θά κάνουμε σ' αὐτούς πού προξενοῦν τά παρόμοια κακά; Δέν εἶπε, 'ὁρμᾶτε ἐναντίον τους καί πυγμαχεῖτε', ἀλλ', «ἀπομακρυνθεῖτε ἀπ' αὐτούς». Γιατί, ἄν βέβαια τό ἔκαναν αὐτό ἀπό ἄγνοια ἤ πλάνη, ἔπρεπε νά διορθώνονται, ἐπειδή ὅμως ἁμαρτάνουν μέ τή θέλησή τους, νά φεύγετε μακριά ἀπ' αὐτούς. Καί ἀλλοῦ αὐτό λέγει. «Νά ἀποφεύγετε», λέγει, «κάθε ἀδελφό, πού συμπεριφέρεται ἄτακτα»[1]. Καί ὅταν μιλοῦσε στόν Τιμόθεο γιά τό χαλκωματή, τέτοιες συμβουλές ἔδινε λέγοντας· «ἀπό τόν ὁποῖο φυλάξου καί σύ»[2].

Στή συνέχεια καί διακωμωδώντας ἐκείνους πού τολμοῦν αὐτά τά πράγματα, λέγει καί τήν αἰτία, ἀπό τήν ὁποία ἐπινόησαν αὐτή τή διχόνοια. «Γιατί οἱ τέτοιοι ἄνθρωποι», λέγει, «δέν εἶναι δοῦλοι τοῦ Κυρίου μας Χριστοῦ, ἀλλά τῆς δικῆς τους κοιλιᾶς». Αὐτό ἔλεγε καί ὅταν ἔγραφε στούς Φιλιππησίους· «αὐτῶν τῶν ἀνθρώπων ὁ Θεός εἶναι ἡ κοιλιά»[3]. Ἐδῶ ὅμως μοῦ φαίνεται πώς ὑπονοεῖ τούς προερχομένους ἀπό τούς Ἰουδαίους Χριστιανούς, τούς ὁποίους μάλιστα πάντοτε συνηθίζει νά κατηγορεῖ σάν κοιλιόδουλους. Καθόσον καί ὅταν ἔστελνε ἐπιστολή στόν Τίτο, ἔλεγε γι' αὐτούς· «εἶναι κακά θηρία, λαίμαργοι καί ὀκνηροί»[4]. Καί ὁ Χριστός ἐξάλλου κατηγορώντας αὐτούς γι' αὐτό τό ζήτημα, λέγει· «κατατρώγετε τά σπίτια τῶν χηρῶν»[5]. Καί οἱ προφῆτες τέτοιες κατηγορίες ἀπευθύνουν ἐναντίον τους· «λιπάνθηκε», λέγει, «καί παχύνθηκε καί ὅμως ὁ ἀγαπημένος λαός κλώτσησε τό Θεό»[6]. Γι' αὐτό καί ὁ Μωυσῆς συμβούλευε λέ-

γων· «φαγὼν καὶ πιὼν καὶ ἐμπλησθείς, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου». Καὶ ἐν τοῖς εὐαγγελίοις δὲ τῷ Χριστῷ λέγοντες, «τί σημεῖον δεικνύεις ἡμῖν;», τὰ ἄλλα πάντα παραδραμόντες, τοῦ μάννα μέμνηνται· οὕτω πανταχοῦ τῷ πάθει τούτῳ κρατούμενοι φαίνονται. Πῶς οὖν οὐκ αἰσχύνῃ δούλους κοιλίας διδασκάλους ἔχων ὁ τοῦ Χριστοῦ ἀδελφός;

Καὶ ἡ μὲν ὑπόθεσις τῆς πλάνης αὕτη, ὁ δὲ τρόπος τῆς ἐπιβουλῆς ἕτερον πάλιν νόσημα, ἡ κολακεία. «Διὰ γὰρ τῆς χρηστολογίας», φησίν, «ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων». Καὶ καλῶς εἶπε, «χρηστολογίας»· μέχρι γὰρ τῶν ρημάτων ἡ θεραπεία· ἡ δὲ διάνοια οὐ τοιαύτη, ἀλλὰ δόλου γέμουσα. Καὶ οὐκ εἶπεν, ὑμᾶς ἐξαπατῶσιν, ἀλλά, «τὰς καρδίας τῶν ἀκάκων». Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ὥστε ποιῆσαι ἀνεπαχθέστερον τὸ εἰρημένον, φησίν· «ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο». Τοῦτο δὲ ποιεῖ, οὐκ ἀφιεὶς αὐτοὺς ἀναισχυντῆσαι, ἀλλὰ τοῖς ἐγκωμίοις προκαταλαμβάνων, καὶ τῷ πλήθει τῶν μαρτύρων προκατέχων αὐτούς. Οὐδὲ γὰρ ἐγὼ μαρτυρῶ μόνος, ἀλλὰ καὶ ἡ οἰκουμένη πᾶσα. Καὶ οὐ εἶπεν, ἡ γὰρ ὑμῶν σύνεσις, ἀλλ', «ἡ ὑμῶν ὑπακοή»· τουτέστιν, ἡ πειθώ· ὅπερ πολλὴν αὐτοῖς ἦν μαρτυροῦντος πραότητα. «Χαίρω οὖν τὸ ἐφ' ὑμῖν». Οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον.

Εἶτα μετὰ τὸν ἔπαινον νουθεσία. Ἵνα γὰρ μὴ τῶν ἐγκλημάτων ἀπαλλάξας αὐτούς, ὡς λανθάνοντας ρᾳθυμοτέρους ἐργάσηται, αἰνίττεται πάλιν αὐτοὺς λέγων· «θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθόν, ἀκεραίους δὲ εἰς τὸ κακόν». Ὁρᾷς πῶς πάλιν αὐτῶν καθάπτεται, καὶ ἀνυπόπτως; Τοῦτο γὰρ αἰνιττομένου ἐστίν, ὅτι τινὲς ἐξ αὐτῶν καὶ παρήγοντο. «Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει». Ἐπειδὴ γὰρ εἶπε τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα ποιοῦντας, εἶπεν εἰρήνης Θεόν, ἵνα θαρρήσωσι περὶ τῆς τούτων ἀπαλλαγῆς. Ὁ γὰρ ταύτῃ χαίρων, τὰ λυμαινόμενα αὐτὴν καταλύσει. Καὶ οὐκ εἶπεν, ὑποτάξει, ἀλλ', ὃ μεῖζόν ἐστι, «συντρίψει»· καὶ οὐκ ἐκείνους μόνον, ἀλλὰ καὶ τὸν

---

7. Δευτ. 6,13. 12.

γοντας· «ὅταν φᾶς καί χορτάσεις, νά θυμηθεῖς τόν Κύριο τό Θεό σου»[7]. Ἀλλά καί στά εὐαγγέλια ὅταν ἔλεγαν στό Χριστό, «τί σημεῖο μᾶς δείχνεις;»[8], ἀφοῦ παρέτρεξαν ὅλα τά ἄλλα, θυμοῦνται τό μάννα· ἔτσι παντοῦ παρουσιάζονται νά κατέχονται ἀπό τό πάθος αὐτό. Πῶς λοιπόν δέν ντρέπεσαι σύ, ὁ ἀδελφός τοῦ Χριστοῦ, νά ἔχεις διδασκάλους δούλους τῆς κοιλιᾶς;

Καί ἡ αἰτία βέβαια τῆς πλάνης εἶναι αὐτή, ὁ τρόπος ὅμως τῆς ἐπιβουλῆς εἶναι πάλι ἄλλη ἀρρώστια, ἡ κολακεία· «γιατί μέ τά καλά λόγια», λέγει, «ἐξαπατοῦν τίς καρδιές τῶν ἀθώων». Καί καλά εἶπε, «μέ τά καλά λόγια», γιατί ἡ περιποίηση φθάνει μέχρι τά λόγια, ἐνῶ ἡ ψυχή τους δέν εἶναι τέτοια, ἀλλά εἶναι γεμάτη δόλο. Καί δέν εἶπε, 'σᾶς ἐξαπατοῦν', ἀλλά, «τίς καρδιές τῶν ἀθώων». Καί οὔτε σ' αὐτό ἀρκέσθηκε, ἀλλά γιά νά κάμει λιγότερο ἐνοχλητικό αὐτό πού λέχθηκε, λέγει· «ἡ ὑπακοή σας ἔγινε γνωστή σέ ὅλους». Καί τό κάνει αὐτό, ὄχι γιά νά τούς ἐπιτρέψει νά συμπεριφέρονται μέ ἀναισχυντία, ἀλλά γιά νά τούς προλάβει μέ τά ἐγκώμια καί νά τούς κυριέψει προκαταβολικά μέ τό πλῆθος τῶν μαρτύρων. Γιατί δέν τό βεβαιώνω ἐγώ μόνο, ἀλλά καί ἡ οἰκουμένη ὁλόκληρη. Καί δέν εἶπε, 'ἡ σύνεσή σας', ἀλλά, «ἡ ὑπακοή σας», δηλαδή ἡ εὐπείθειά σας, πράγμα πού μαρτυροῦσε γι' αὐτούς πολλή πραότητα. «Χαίρω λοιπόν γιά σᾶς». Δέν εἶναι μικρός καί αὐτός ὁ ἔπαινος.

Ἔπειτα μετά τόν ἔπαινο ἀκολουθεῖ νουθεσία. Γιά νά μήν τούς κάνει λοιπόν ἀσυναίσθητα περισσότερο ἀδιάφορους, ἀφοῦ τούς ἀπάλλαξε ἀπό τίς κατηγορίες, κάνει ὑπαινιγμό γι' αὐτούς λέγοντας· «Θέλω ὅμως νά εἶστε σοφοί στό καλό καί ἀκέραιοι στό κακό». Βλέπεις πῶς πάλι κατηγορεῖ αὐτούς καί μάλιστα χωρίς νά τόν ὑποπτεύεται κανείς; γιατί αὐτό δείχνει ὑπαινιγμό αὐτοῦ, ὅτι μερικοί ἀπ' αὐτούς ἀκόμη καί παραπλανοῦνταν. «Ὁ Θεός ὅμως τῆς εἰρήνης θά συντρίψει γρήγορα τό Σατανᾶ κάτω ἀπό τά πόδια σας». Ἐπειδή λοιπόν μίλησε γιά ἐκείνους πού δημιουργοῦν τίς διχόνοιες καί τά σκάνδαλα, ἀνέφερε τό Θεό τῆς εἰρήνης, γιά νά πάρουν θάρρος γιά τήν ἀπαλλαγή τους ἀπ' αὐτούς. Γιατί ἐκεῖνος πού χαίρει μέ τήν εἰρήνη, θά ἀχρηστέψει ὅσα τήν καταστρέφουν. Καί δέν εἶπε, 'θά ὑποτάξει', ἀλλά «θά συντρίψει», πράγμα πού εἶναι μεγαλύτερο. Καί ὄχι

8. Ἰω. 2,18.

στρατηγοῦντα αὐτοῖς τὰ τοιαῦτα Σατανᾶν. Καὶ οὐχ ἁπλῶς συντρίψει, ἀλλ', «ὑπὸ τοὺς πόδας ὑμῶν», ὥστε αὐτοὺς τὴν νίκην ἄρασθαι, καὶ τῷ τροπαίῳ γενέσθαι λαμπρούς. Καὶ ἀπὸ τοῦ χρόνου δὲ ἡ παραμυθία πάλιν· ἐπήγαγε γάρ, «ἐν τάχει». Τοῦτο δὲ ὁμοῦ καὶ εὐχὴ καὶ προφητεία ἦν.

«Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν». Τὸ μέγιστον ὅπλον, τὸ τεῖχος τὸ ἄρρηκτον, ὁ πύργος ὁ ἄσειστος· ἀνέμνησε γὰρ αὐτοὺς τῆς χάριτος, ἵνα προθυμοτέρους ἐργάσηται. Εἰ γὰρ τῶν πολὺ χαλεπωτέρων ἀπηλλάγητε, καὶ ἀπηλλάγητε χάριτι μόνον, πολλῷ μᾶλλον τῶν ἐλαττόνων ἀπαλλαγήσεσθε, ὅτε καὶ φίλοι γεγόνατε, καὶ τὰ παρ' ἑαυτῶν συνεισάγετε. Ὁρᾷς πῶς οὔτε εὐχὴν χωρὶς ἔργων, οὔτε ἔργα χωρὶς εὐχῆς τίθησι; Μαρτυρήσας γὰρ αὐτοῖς τὴν ὑπακοήν, τότε ἐπηύξατο, δεικνὺς ὅτι ἀμφοτέρων δεόμεθα, καὶ τῶν παρ' ἡμῶν, καὶ τῶν παρὰ τοῦ Θεοῦ, εἰ μέλλοιμεν μετὰ ἀκριβείας σώζεσθαι. Καὶ γὰρ οὐκ ἔμπροσθεν μόνον, ἀλλὰ καὶ νῦν, κἂν μεγάλοι ὦμεν καὶ εὐδόκιμοι, τῆς παρ' αὐτοῦ δεόμεθα χάριτος.

2. *«Ἀσπάζεται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου». Εἶδες πάλιν τὰ συνήθη ἐγκώμια; «Καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου». Τούτου τοῦ Ἰάσονος καὶ Λουκᾶς μέμνηται, καὶ τὴν ἀνδρείαν αὐτοῦ παρίστησιν ἡμῖν λέγων, ὅτι ἦγον αὐτὸν ἐπὶ τοὺς πολιτάρχας βοῶντες. Καὶ τοὺς ἄλλους δὲ εἰκὸς εἶναι τῶν ἐπισήμων· οὐ γὰρ ἁπλῶς συγγενῶν μέμνηται, εἰ μὴ κατὰ τὴν εὐσέβειαν εἶεν ἐοικότες αὐτῷ. «Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολήν». Οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον, ὑπογραφέα εἶναι Παύλου· πλὴν οὐχ ἵνα ἑαυτὸν ἐγκωμιάσῃ, τοῦτο λέγει, ἀλλ' ἵνα θερμὴν ἐπισπάσηται παρ' αὐτῶν τὴν ἀγάπην ἀπὸ τῆς διακονίας. «Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης». Εἶδες οἷον αὐτῷ στέφανον ἔπλεξε, τοσαύτην φιλοξενίαν μαρτυρήσας, καὶ ὁλόκληρον τὴν ἐκκλησίαν εἰς τὴν οἰκίαν εἰσαγαγὼν τὴν ἐκείνου; Τὸν γὰρ ξένον ἐνταῦθα τὸν ξενοδόχον φησίν. Ὅταν δὲ ἀκούσῃς, ὅτι*

9. Πράξ. 17,6.

μόνο ἐκείνους θά συντρίψει, ἀλλά καί τό Σατανᾶ πού εἶναι ὁ στρατηγός τους σ' αὐτές τίς ἐνέργειες. Καί ὄχι ἁπλῶς θά τούς συντρίψει, ἀλλά «κάτω ἀπό τά πόδια σας», ὥστε αὐτοί νά κερδίσουν τή νίκη καί νά γίνουν μέ τό τρόπαιο λαμπροί. Καί ἀπό τό χρόνο πάλι ἡ παρηγοριά· γιατί πρόσθεσε, «γρήγορα». Αὐτό ὅμως ἦταν μαζί καί εὐχή καί προφητεία.

«Ἡ χάρη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νά εἶναι μαζί σας». Τό πιό μεγαλύτερο ὅπλο, τό τεῖχος τό ἄρρηκτο, ὁ πύργος ὁ ἄσειστος· τούς θύμισε τή χάρη, γιά νά τούς κάνει πιό πρόθυμους. Γιατί, ἄν ἀπαλλαχθήκατε ἀπό τά πολύ χειρότερα, καί ἀπαλλαχθήκατε μέ τή βοήθεια τῆς χάριτος μόνο, πολύ περισσότερο θ' ἀπαλλαγεῖτε ἀπό τά μικρότερα, ὅταν καί φίλοι ἔχετε γίνει καί συνεισφέρετε τά δικά σας. Βλέπεις πῶς δέν ἀναφέρει οὔτε εὐχή χωρίς ἔργα, οὔτε ἔργα χωρίς εὐχή; Γιατί, ἀφοῦ βεβαίωσε τήν ὑπακοή τους, τότε εὐχήθηκε, δείχνοντας ὅτι χρειαζόμαστε καί τά δύο, καί τά δικά μας καί ὅσα προέρχονται ἀπό τό Θεό, ἄν θέλουμε νά σωθοῦμε πραγματικά. Καθόσον ὄχι μόνο προηγουμένως, ἀλλά καί τώρα, καί ἄν ἀκόμη εἴμαστε μεγάλοι καί διακρινόμαστε στήν ἀρετή, ἔχουμε ἀνάγκη ἀπό τή δική του χάρη.

2. «Σᾶς χαιρετάει ὁ Τιμόθεος ὁ συνεργάτης μου». Εἶδες πάλι τούς συνηθισμένους ἐπαίνους; «Καί ὁ Λούκιος καί ὁ Ἰάσονας καί ὁ Σωσίπατρος οἱ συμπατριῶτες μου». Τόν Ἰάσωνα αὐτόν μνημονεύει καί ὁ Λουκᾶς καί μᾶς παρουσιάζει τήν ἀνδρεία του λέγοντας, ὅτι ὁδήγησαν αὐτόν στούς ἄρχοντας τῆς πόλεως καί φώναζαν[9]. Καί οἱ ἄλλοι ὅμως εἶναι εὔλογο νά εἶναι ἀπό τούς ξεχωριστούς, γιατί δέ μνημονεύει τυχαῖα τούς συμπατριῶτες τους, ἐκτός ἄν ἔμοιαζαν μ' αὐτόν κατά τήν εὐσέβεια. «Σᾶς χαιρετῶ ἐγώ ὁ Τέρτιος πού ἔγραψα τήν ἐπιστολή». Δέν εἶναι καί αὐτό μικρό ἐγκώμιο, τό νά εἶναι γραμματέας τοῦ Παύλου. Ἀλλ' ὅμως δέν τό λέγει αὐτό, γιά νά ἐπαινέσει τόν ἑαυτό του, ἀλλά γιά ν' ἀποσπάσει ἀπ' αὐτούς τή θερμή ἀγάπη ἀπό τήν ὑπηρεσία του. «Σᾶς χαιρετάει ὁ Γάιος πού φιλοξενεῖ ἐμένα καί ὅλη τήν ἐκκλησία». Εἶδες τί εἴδους στεφάνι ἔπλεξε γι' αὐτόν, ἐπειδή βεβαίωσε τόσο μεγάλη φιλοξενία καί ἔβαλε μέσα στό σπίτι τό δικό του ὁλόκληρη τήν ἐκκλησία; γιατί «ξένο» ἐδῶ ἐννοεῖ τόν

Παύλου ξενοδόχος ἦν, μὴ τῆς φιλοτιμίας αὐτὸν θαύμαζε μόνον, ἀλλὰ καὶ τῆς κατὰ τὸν βίον ἀκριβείας. Εἰ μὴ γὰρ ἦν ἄξιος τῆς ἀρετῆς τῆς ἐκείνου, οὐδ' ἂν ἐκεῖνος ἐκεῖ κατήχθη. Ὁ γὰρ πολλὰ τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ σπουδάζων ὑπερβαίνειν, οὐκ ἂν τοῦτον παρέβη τὸν νόμον τὸν κελεύοντα περιεργάζεσθαι τοὺς ὑποδεχομένους, καὶ παρ' ἀξίοις κατάγεσθαι.

«Ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός». Οὐχ ἁπλῶς προσέθηκεν, «ὁ οἰκονόμος τῆς πόλεως»· ἀλλ' ὥσπερ Φιλιππησίοις ἔγραφεν, «ἀσπάζονται ὑμᾶς οἱ ἐκ τῆς Καίσαρος οἰκίας», ἵνα δείξῃ ὅτι καὶ τῶν μεγάλων τὸ κήρυγμα ἥψατο, οὕτω καὶ ἐνταῦθα τοῦ ἀξιώματος μέμνηται, τὸ αὐτὸ τοῦτο κατασκευάζων, καὶ δεικνὺς ὅτι τῷ προσέχοντι οὐδὲ πλοῦτος κώλυμα γίνεται, οὔτε ἀρχῆς φροντίδες, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν». Εἶδες πόθεν ἄρχεσθαι δεῖ, καὶ ποῦ τελευτᾶν πανταχοῦ; Καὶ γὰρ τὸν θεμέλιον ἐντεῦθεν κατέβαλε τῆς ἐπιστολῆς, καὶ τὸν ὄροφον ἐντεῦθεν ἐπέθηκεν, ὁμοῦ καὶ ἐπευχόμενος τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων αὐτοῖς, καὶ πάσης ἀναμιμνήσκων τῆς εὐεργεσίας. Τοῦτο γὰρ μάλιστα διδασκάλου γενναίου, τὸ μὴ λόγῳ μόνον, ἀλλὰ καὶ εὐχαῖς ὠφελεῖν τοὺς μαθητευομένους. Διὸ καὶ ἔλεγεν, «ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσωμεν».

3. Τίς οὖν ἄρα καὶ ἡμῖν ἐπεύξεται, ἐπειδὴ Παῦλος ἀπῆλθεν; Οἱ Παύλου ζηλωταὶ οὗτοι· μόνον ἀξίους παράσχωμεν ἑαυτοὺς τῆς τοιαύτης συνηγορίας, ἵνα μὴ ἐνταῦθα μόνον ἀκούσωμεν τῆς Παύλου φωνῆς, ἀλλὰ καὶ ἐκεῖ ἀπελθόντες ἰδεῖν ἀξιωθῶμεν τὸν ἀθλητὴν τοῦ Χριστοῦ· μᾶλλον δὲ ἂν ἐνταῦθα ἀκούσωμεν, κἀκεῖ πάντως αὐτὸν ὀψόμεθα, εἰ καὶ μὴ πλησίον ἑστῶτες, ἀλλ' ὀψόμεθα πάντως ἐγγὺς τοῦ θρόνου τοῦ βασιλικοῦ λάμποντα, ἔνθα τὰ Χερουβὶμ δοξάζει, ἔνθα τὰ Σεραφὶμ πέταται. Ἐκεῖ Παῦλον ὀψόμεθα μετὰ Πέ-

---

10. Φιλιπ. 4,22.

11. Πράξ. 6,4.

φιλόξενο. Ὅταν ὅμως ἀκούσεις, ὅτι φιλοξενοῦσε τόν Παῦλο, νά μή θαυμάζεις αὐτόν μόνο γιά τή γενναιοδωρία του, ἀλλά καί γιά τήν ἐνάρετη ζωή του. Γιατί, ἄν δέν ἦταν ἄξιος τῆς ἀρετῆς πού εἶχε ἐκεῖνος, δέ θά κατέλυε ἐκεῖ ὁ Παῦλος. Ἐκεῖνος λοιπόν πού πάσχιζε νά ξεπερνάει πολλές ἀπό τίς ἐντολές τοῦ Χριστοῦ, δέ θά παρέβαινε αὐτόν τό νόμο πού προτρέπει νά ἐξετάζουμε μέ προσοχή ἐκείνους πού μᾶς φιλοξενοῦν καί νά καταλύουμε σέ ἄξιους ἀνθρώπους.

«Σᾶς χαιρετάει ὁ Ἔραστος, ὁ οἰκονόμος τῆς πόλεως, καί ὁ Κούαρτος ὁ ἀδελφός». Δέν πρόσθεσε τυχαῖα, «ὁ οἰκονόμος τῆς πόλεως», ἀλλ' ὅπως στούς Φιλιππησίους ἔγραφε, «σᾶς χαιρετοῦν οἱ οἰκεῖοι τοῦ Καίσαρα»[10], γιά νά δείξει ὅτι τό κήρυγμα ἔφθασε καί στούς μεγάλους, ἔτσι καί ἐδῶ μνημονεύει τό ἀξίωμα, κάνοντας ἀκριβῶς τό ἴδιο καί δείχνοντας ὅτι σ' αὐτόν πού προσέχει οὔτε ὁ πλοῦτος γίνεται ἐμπόδιο, οὔτε οἱ φροντίδες τῆς ἐξουσίας, οὔτε τίποτε ἄλλο ἀπό τά παρόμοια. «Ἡ χάρη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νά εἶναι μαζί σας. Ἀμήν». Εἶδες ἀπό ποῦ πρέπει ν' ἀρχίζουμε καί ποῦ νά τελειώνουμε παντοῦ; γιατί καί τό θεμέλιο τῆς ἐπιστολῆς ἀπό ἐδῶ τό ἔβαλε καί τόν ὄροφο ἀπό ἐδῶ τόν τοποθέτησε, συγχρόνως καί εὐχόμενος σ' αὐτούς τή μητέρα ὅλων τῶν ἀγαθῶν καί ὑπενθυμίζοντας κάθε εὐεργεσία. Καθόσον αὐτό προπάντων εἶναι τό γνώρισμα διδασκάλου γενναίου, τό νά ὠφελεῖ δηλαδή τούς μαθητές του ὄχι μόνο μέ τό λόγο, ἀλλά καί μέ τίς εὐχές. Γι' αὐτό καί ἔλεγε, «ἐμεῖς ἄς ἀφοσιωθοῦμε στήν προσευχή καί στήν ὑπηρεσία τοῦ λόγου»[11].

3. Ποιός λοιπόν θά εὐχηθεῖ καί γιά μᾶς, ἀφοῦ ὁ Παῦλος πέθανε; Οἱ μιμητές αὐτοί τοῦ Παύλου· μόνο ἄς προσφέρουμε τούς ἑαυτούς μας ἄξιους γιά τή συνηγορία αὐτή, γιά νά μήν ἀκούσουμε ἐδῶ μόνο τή φωνή τοῦ Παύλου, ἀλλά καί ὅταν φύγουμε στήν ἄλλη ζωή, ν' ἀξιωθοῦμε νά δοῦμε τόν ἀθλητή τοῦ Χριστοῦ. Ἤ καλύτερα, ἄν ἐδῶ τόν ἀκούσουμε, θά τόν δοῦμε ὁπωσδήποτε καί ἐκεῖ, ἔστω καί ἄν δέ στεκόμαστε κοντά του, ὅμως θά τόν δοῦμε ὁπωσδήποτε νά λάμπει κοντά στό βασιλικό θρόνο, ὅπου τά Χερουβίμ δοξάζουν, ὅπου τά Σεραφίμ πετοῦν. Ἐκεῖ θά δοῦμε τόν Παῦλο μαζί μέ τόν Πέτρο καί

τρου καὶ τοῦ τῶν ἁγίων χοροῦ κορυφαῖον ὄντα καὶ πρωτοστάτην, καὶ τῆς ἀγάπης ἀπολαυσόμεθα τῆς γνησία ἐνταῦθατταῦθα εἶναι, πολλῷ μᾶλλον ἐκεῖ θερμότερον ἐπιδείξεται τὸ φίλτρον.

Ἐγὼ καὶ τὴν Ρώμην διὰ τοῦτο φιλῶ, καίτοιγε αὐτὴν καὶ ἑτέρωθεν ἔχων ἐπαινεῖν, καὶ ἀπὸ τοῦ μεγέθους, καὶ ἀπὸ τῆς ἀρχαιότητος, καὶ ἀπὸ τοῦ κάλλους, καὶ ἀπὸ τοῦ πλήθους, καὶ ἀπὸ τῆς δυναστείας, καὶ ἀπὸ τοῦ πλούτου, καὶ ἀπὸ τῶν κατορθωμάτων τῶν ἐν πολέμοις· ἀλλὰ πάντα τὰ ἄλλα ἀφείς, διὰ τοῦτο αὐτὴν μακαρίζω, ὅτι καὶ ζῶν αὐτοῖς ἔγραφε, καὶ οὕτως αὐτοὺς ἐφίλει, καὶ παρὼν αὐτοῖς διελέχθη, καὶ τὸν βίον ἐκεῖ κατέλυσε. Διὸ καὶ ἐπίσημος ἡ πόλις ἐντεῦθεν μᾶλλον, ἢ ἀπὸ τῶν ἄλλων ἁπάντων· καὶ καθάπερ σῶμα μέγα καὶ ἰσχυρόν, ὀφθαλμοὺς ἔχει δύο λάμποντας, τῶν ἁγίων τούτων τὰ σώματα. Οὐχ οὕτως ἐστὶν ὁ οὐρανὸς λαμπρός, ὅταν ἀφῇ τὰς ἀκτῖνας ὁ ἥλιος, ὡς ἡ Ρωμαίων πόλις τὰς δύο ταύτας λαμπάδας πανταχοῦ τῆς οἰκουμένης ἀφιεῖσα. Ἐκεῖθεν ἁρπαγήσεται Παῦλος, ἐκεῖθεν Πέτρος. Ἐννοήσατε καὶ φρίξατε, οἷον ὄψεται θέαμα Ρώμη, τὸν Παῦλον ἐξαίφνης ἀνιστάμενον ἀπὸ τῆς θήκης ἐκείνης μετὰ Πέτρου, καὶ αἰρόμενον εἰς ἀπάντησιν τοῦ Χριστοῦ· οἷον ἀποστέλλει τῷ Χριστῷ ῥόδον ἡ Ρώμη, οἵους στεφάνους ἡ πόλις περίκειται δύο, οἵας χρυσᾶς ἁλύσεις διέζωσται, οἵας ἔχει πηγάς. Διὰ ταῦτα θαυμάζω τὴν πόλιν, οὐ διὰ τὸν χρυσὸν τὸν πολύν, οὐ διὰ τοὺς κίονας, οὐ διὰ τὴν ἄλλην φαντασίαν, ἀλλὰ διὰ τοὺς στύλους τῆς Ἐκκλησίας τούτους.

4. *Τίς μοι νῦν ἔδωκε περιχυθῆναι τῷ σώματι Παύλου, καὶ προσηλωθῆναι τῷ τάφῳ, καὶ τὴν κόνιν ἰδεῖν τοῦ σώματος ἐκείνου, τοῦ τὰ ὑστερήματα ἀναπληρώσαντος τοῦ Χριστοῦ, τοῦ τὰ στίγματα βαστάξαντος, τοῦ πανταχοῦ τὸ κήρυγμα κατασπείραντος; Τὴν κόνιν ἐκείνου τοῦ σώματος, δι' οὗ πανταχοῦ διέδραμε· τὴν κόνιν τοῦ στόματος, δι' οὗ Χριστὸς ἐφθέγγετο, καὶ τὸ φῶς ἐξέλαμψε τὸ πάσης ἀστραπῆς λαμπρότερον, καὶ φωνὴ ἐξεπήδησε πάσης βροντῆς φοβερωτέρα τοῖς δαίμοσι· δι' οὗ τὸ μακάριον ἐκεῖνο ἐφθέξατο ῥῆμα*

τό χορό τῶν ἁγίων νά εἶναι κορυφαῖος καί πρῶτος στή σειρά, καί θ' ἀπολαύσουμε τή γνήσια ἀγάπη του. Γιατί ἄν, ὅταν ζοῦσε ἐδῶ, ἀγαποῦσε τούς ἀνθρώπους τόσο, ὥστε, ἐνῶ ἐπιθυμοῦσε νά πεθάνει γιά νά εἶναι μαζί μέ τό Χριστό, νά προτιμήσει νά βρίσκεται ἐδῶ, πολύ περισσότερο θά φανερώσει θερμότερη τήν ἀγάπη του ἐκεῖ.

Ἐγώ καί τή Ρώμη γι' αὐτό τήν ἀγαπῶ, μολονότι βέβαια μπορῶ καί ἀπό ἀλλοῦ νά τήν ἐπαινῶ, καί ἀπό τό μέγεθός της καί ἀπό τήν ἀρχαιότητά της καί ἀπό τήν ὀμορφιά της καί ἀπό τό πλῆθος της καί ἀπό τήν ἐξουσία της καί ἀπό τόν πλοῦτο της καί ἀπό τά κατορθώματά της στούς πολέμους, ἀλλ' ἀφήνοντας ὅλα τά ἄλλα, γι' αὐτό τήν καλοτυχίζω, ὅτι καί ὅταν ζοῦσε σ' αὐτούς ἔγραφε, καί τόσο τούς ἀγαποῦσε, καί ὅταν βρισκόταν ἐκεῖ μίλησε σ' αὐτούς, καί ἐκεῖ τελείωσε τή ζωή του. Γι' αὐτό καί ἡ πόλη ἔγινε ὀνομαστή ἀπό ἐδῶ περισσότερο παρά ἀπ' ὅλα τά ἄλλα, καί σάν σῶμα μεγάλο καί ἰσχυρό ἔχει δύο μάτια πού λάμπουν, τά σώματα τῶν ἁγίων αὐτῶν. Δέν εἶναι τόσο λαμπρός ὁ οὐρανός, ὅταν ἐκπέμπει τίς ἀκτίνες του ὁ ἥλιος, ὅσο ἡ πόλη τῶν Ρωμαίων, πού ἐκπέμπει τίς δύο αὐτές λαμπάδες σέ ὅλα τά σημεῖα τῆς οἰκουμένης. Ἀπό ἐκεῖ θ' ἁρπαχθεῖ στούς οὐρανούς ὁ Παῦλος, ἀπό ἐκεῖ ὁ Πέτρος. Σκεφθεῖτε καί φρίξτε, ποιό θέαμα θά δεῖ ἡ Ρώμη, τόν Παῦλο ν' ἀνασταίνεται ξαφνικά ἀπό τόν τάφο ἐκεῖνο μαζί μέ τόν Πέτρο καί νά σηκώνεται σέ συνάντηση τοῦ Χριστοῦ· ποιό ρόδο στέλνει στό Χριστό ἡ Ρώμη, ποιά διπλά στεφάνια φοράει ἡ πόλη, ποιές χρυσές ἁλυσίδες ἔχει ζωσθεῖ, ποιές πηγές ἔχει. Γι' αὐτά θαυμάζω τήν πόλη, ὄχι γιά τό πολύ χρυσάφι, οὔτε γιά τίς στῆλες, οὔτε γιά τήν ἄλλη ἐμφάνισή της, ἀλλά γιά τούς δύο αὐτούς στύλους τῆς Ἐκκλησίας.

4. Ποιός μέ ἔκανε τώρα νά μεταφερθῶ γύρω ἀπό τό σῶμα τοῦ Παύλου καί νά προσηλωθῶ στόν τάφο του καί νά δῶ τήν στάχτη τοῦ σώματος ἐκείνου, πού ἀναπλήρωσε τά ὑστερήματα τοῦ Χριστοῦ, πού βάσταξε τά στίγματα, πού ἔσπειρε παντοῦ τό κήρυγμα; τή στάχτη ἐκείνου τοῦ σώματος μέ τό ὁποῖο ἔτρεξε παντοῦ, τή στάχτη τοῦ στόματος, μέ τό ὁποῖο ὁ Χριστός μιλοῦσε καί ἄστραψε τό φῶς τό λαμπρότερο ἀπό κάθε ἀστραπή καί ἔβγαλε φωνή πιό φοβερή ἀπό κάθε βροντή γιά τούς δαίμονες, μέ τό ὁποῖο εἶπε ἐκεῖνον τό μακάριο λόγο, λέγοντας, «θά εὐχόμουν νά εἶμαι ἀνάθεμα γιά χάρη τῶν

λέγων· «ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου»· δι᾽ οὗ ἐλάλει ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχύνετο· δι᾽ οὗ Παῦλον ἐμάθομεν, δι᾽ οὗ τὸν Παύλου δεσπότην; Οὐχ οὕτως ἡμῖν ἡ βροντὴ φοβερά, ὡς ἐκείνη τοῖς δαίμοσιν ἡ φωνή. Εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ ἔφριττον, πολλῷ μᾶλλον τὴν φωνήν. Αὕτη δεδεμένους αὐτοὺς ἤγαγεν, αὕτη τὴν οἰκουμένην ἐξεκάθηρεν, αὕτη νοσήματα ἔλυσε, κακίαν ἐξέβαλεν, ἀλήθειαν ἐπανήγαγε, τὸν Χριστὸν εἶχεν ἐγκαθήμενον, καὶ μετ᾽ αὐτοῦ πανταχοῦ προῄει.

Καὶ ὅπερ τὰ Χερουβίμ, τοῦτο ἡ Παύλου φωνή. Καθάπερ γὰρ ἐπὶ τῶν δυνάμεων ἐκείνων ἐκάθητο, οὕτω καὶ ἐπὶ τῆς τοῦ Παύλου γλώττης. Καὶ γὰρ ἀξία τοῦ δέξασθαι τὸν Χριστὸν ἐγένετο, ἐκεῖνα φθεγγομένη, ἃ τῷ Χριστῷ φίλα ἦν, καὶ πρὸς ὕψος ἄφατον ἱπταμένη καθάπερ τὰ Σεραφίμ. Τί γὰρ ὑψηλότερον τῆς φωνῆς ἐκείνης τῆς λεγούσης, ὅτι «πέπεισμαι, ὅτι οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ»; Πόσας δοκεῖ σοι πτέρυγας ἔχειν αὕτη ἡ φωνή; πόσους ὀφθαλμούς; Διὰ τοῦτο ἔλεγεν· «οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν»· διὰ τοῦτο ἔφευγον δαίμονες, οὐχὶ φθεγγομένου μόνον ἀκούοντες, ἀλλὰ καὶ πόρρωθεν ὄντος ἱμάτιον ὁρῶντες. Τούτου τοῦ στόματος ἐβουλόμην τὴν κόνιν ἰδεῖν, δι᾽ οὗ τὰ μεγάλα καὶ ἀπόρρητα ὁ Χριστὸς ἐλάλησε, καὶ μείζονα ἢ δι᾽ ἑαυτοῦ· ὥσπερ γὰρ εἰργάσατο μείζονα διὰ τῶν μαθητῶν, οὕτω καὶ ἐφθέγξατο· δι᾽ οὗ τὸ Πνεῦμα τῇ οἰκουμένῃ τοὺς θαυμαστοὺς ἐκείνους χρησμοὺς ἔδωκε.

Τί γὰρ οὐκ εἰργάσατο ἐκεῖνο τὸ στόμα ἀγαθόν; Δαίμονας ἤλασεν, ἁμαρτήματα ἔλυσε, τυράννους ἐπεστόμισε, φιλοσόφων γλώττας ἔφραξε, τὴν οἰκουμένην τῷ Θεῷ προσήγαγε, βαρβάρους φιλοσοφεῖν ἔπεισε, ἅπαντα μετερρύθμισε τὰ ἐν τῇ γῇ· καὶ τὰ ἐν τοῖς οὐρανοῖς δέ, ὃν ἐβούλετο διετίθει τρόπον, δεσμῶν οὓς ἐβούλετο,

12. Ρωμ. 9,3. 13. Ρωμ. 8,38–39.

ἀδελφῶν μου»[12], μέ τό ὁποῖο μιλοῦσε ἐναντίον βασιλέων καί δέν ντρεπόταν, μέ τό ὁποῖο μάθαμε τόν Παῦλο καί τόν Κύριο τοῦ Παύλου; Δέν εἶναι γιά μᾶς τόσο φοβερή ἡ βροντή, ὅσο εἶναι ἐκείνη ἡ φωνή γιά τούς δαίμονες. Γιατί, ἄν ἔτρεμαν τά ἐνδύματά του, πολύ περισσότερο θά ἔτρεμαν τή φωνή του. Αὐτή τούς ὁδήγησε δεμένους, αὐτή καθάρισε τήν οἰκουμένη, αὐτή θεράπευσε ἀρρώστιες, ἀπομάκρυνε τήν κακία, ξανάφερε τήν ἀλήθεια, εἶχε μέσα της τό Χριστό καί μαζί του πήγαινε παντοῦ.

Καί ἐκεῖνο πού εἶναι τά Χερουβίμ, αὐτό ἦταν ἡ φωνή τοῦ Παύλου. Γιατί, ὅπως ἐπάνω στίς δυνάμεις ἐκεῖνες καθόταν ὁ Χριστός, ἔτσι καθόταν καί πάνω στή γλώσσα τοῦ Παύλου. Καθόσον ἔγινε ἄξια νά δεχθεῖ τό Χριστό, ἀφοῦ μιλοῦσε ἐκεῖνα τά λόγια, τά ὁποῖα ἦταν ἀγαπητά στό Χριστό, καί πετοῦσε πρός ὕψος ἀπερίγραπτο ὅπως ἀκριβῶς τά Σεραφίμ. Τί λοιπόν εἶναι ὑψηλότερο ἀπό τή φωνή ἐκείνη πού ἔλεγε, «εἶμαι πεπεισμένος, ὅτι οὔτε ἄγγελλοι, οὔτε ἀρχές, οὔτε δυνάμεις, οὔτε παρόντα, οὔτε μελλοντικά γεγονότα, οὔτε ὕψος, οὔτε βάθος, οὔτε κάποια ἄλλη κτίση θά μπορέσει νά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Θεοῦ πού ἔδειξε μέ τόν Ἰησοῦ Χριστό»[13]; Πόσα φτερά σοῦ φαίνεται πώς ἔχει αὐτή τή φωνή; πόσα μάτια; Γι' αὐτό ἔλεγε· «βέβαια δέν ἀγνοοῦμε τά σχέδιά του»[14]· γι' αὐτό ἔφευγαν οἱ δαίμονες, ὄχι μόνο ὅταν τόν ἄκουαν νά μιλάει, ἀλλά καί ὅταν ἦταν μακριά καί ἔβλεπαν τό ἱμάτιό του. Αὐτοῦ τοῦ στόματος ἤθελα νά δῶ τή στάχτη, μέ τό ὁποῖο ὁ Χριστός εἶπε τά μεγάλα καί ἀπόρρητα, καί μάλιστα μεγαλύτερα παρά μέ τόν ἑαυτό του, γιατί ὅπως ἔκανε μεγαλύτερα μέ τούς μαθητές του, ἔτσι καί εἶπε, μέ τό ὁποῖο τό ἅγιο Πνεῦμα ἔδωσε στήν οἰκουμένη τούς θαυμαστούς ἐκείνους χρησμούς.

Ποιό ἀγαθό λοιπόν δέν ἔκαμε ἐκεῖνο τό στόμα; Ἀπομάκρυνε δαίμονες, συγχώρησε ἁμαρτήματα, ἀποστόμισε τυράννους, ἔφραξε γλῶσσες φιλοσόφων, ὁδήγησε στό Θεό τήν οἰκουμένη, ἔπεισε βαρβάρους νά πιστέψουν, ἄλλαξε ὅλα τά πράγματα τῆς γῆς· ἀλλά καί τά πράγματα στούς οὐρανούς τά μεταχειριζόταν ὅπως ἤθελε, δένοντας καί λύνοντας ὅσους ἤθελε ἐκεῖ σύμφωνα μέ τήν ἐξουσία πού τοῦ

14. Β' Κορ. 2,11.

καὶ λύων ἐκεῖ κατὰ τὴν δεδομένην ἐξουσίαν αὐτῷ. Οὐ στόματος δὲ μόνον, ἀλλὰ καὶ τῆς καρδίας ἐκείνης ἐβουλόμην τὴν κόνιν ἰδεῖν, ἣν οὐκ ἄν τις ἁμάρτοι καρδίαν τῆς οἰκουμένης εἰπών, καὶ τῶν μυρίων πηγὴν ἀγαθῶν, καὶ ἀρχὴν καὶ στοιχεῖον τῆς ἡμετέρας ζωῆς. Τὸ γὰρ Πνεῦμα τῆς ζωῆς ἐκεῖθεν εἰς ἅπαντας ἐχορηγεῖτο, καὶ τοῖς μέλεσι τοῦ Χριστοῦ διεδίδοτο, οὐ δι' ἀρτηρίας ἐκπεμπόμενον, ἀλλὰ διὰ προαιρέσεως ἀγαθῶν. Αὕτη οὕτω πλατεῖα ἡ καρδία ἦν, ὡς καὶ πόλεις ὁλοκλήρους δέχεσθαι καὶ δήμους καὶ ἔθνη. «Ἡ καρδία γάρ μου», φησί, «πεπλάτυνται». Ἀλλ' ὅμως τὴν οὕτω πλατεῖαν συνέσχε πολλάκις καὶ ἔθλιψεν αὐτὴ ἡ εὐρύνουσα αὐτὴν ἀγάπη. «Ἐκ γὰρ πολλῆς θλίψεως», φησί, «καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν».

Ταύτην καὶ διαλελυμένην ἐπεθύμουν ἰδεῖν, τὴν πυρουμένην καθ' ἕκαστον τῶν ἀπολλυμένων, τὴν ὠδίνουσαν ἐκ δευτέρου τὰ ἐξαμβλούμενα τῶν παίδων, τὴν τὸν Θεὸν ὁρῶσαν· «οἱ γὰρ καθαροὶ τῇ καρδίᾳ», φησί, «τὸν Θεὸν ὄψονται»· τὴν θυσίαν γεγενημένην· «θυσία γὰρ τῷ Θεῷ πνεῦμα συντρετριμμένον»· τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, τὴν εὐρυτέραν τῆς οἰκουμένης, τὴν τῆς ἀκτῖνος φαιδροτέραν, τὴν τοῦ πυρὸς θερμοτέραν, τὴν τοῦ ἀδάμαντος στερροτέραν, τὴν τοὺς ποταμοὺς ἀφιεῖσαν· «ποταμοὶ γάρ», φησίν, «ἐκ τῆς κοιλίας αὐτοῦ ρεύσουσιν ὕδατος ζῶντος»· ἔνθα ἦν ἡ πηγὴ ἡ ἀλλομένη, καὶ ποτίζουσα οὐ τὸ πρόσωπον τῆς γῆς, ἀλλὰ τὰς ψυχὰς τῶν ἀνθρώπων· ὅθεν οὐ ποταμοὶ μόνον, ἀλλὰ καὶ πηγαὶ δακρύων ἐξῄεσαν καὶ νύκτωρ καὶ μεθ' ἡμέραν· τὴν καινὴν ζήσασαν ζωήν, οὐ ταύτην τὴν ἡμετέραν· «ζῶ γὰρ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοί», φησίν, «ὁ Χριστός»· ἄρα ἐκείνου καρδία ἦν ἡ Παύλου καρδία, καὶ τοῦ Πνεύματος τοῦ ἁγίου πλάξ, καὶ βιβλίον τῆς χάριτος· τὴν τρέμουσαν μὲν ὑπὲρ τῶν ἀλλοτρίων ἁμαρτημάτων· «φοβοῦμαι γάρ», φησί, «μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς», «μή πως ὡς ὁ ὄφις Εὔαν ἠπάτησε», «μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι»· καί, «πέπεισμαι γάρ, ὅτι οὔτε ἄγγελοι οὔτε ἀρχάγγελοι δυνήσονται ἡμᾶς χωρίσαι»· τὴν καταξιωθεῖσαν φιλῆσαι Χριστόν, ὡς

15. Β' Κορ. 6,11.
16. Β' Κορ. 2,4.
17. Ματθ. 5,8.
18. Ψαλμ. 50,19.
19. Ἰω. 7,38.
20. Γαλ. 2,20.
21. Γαλ. 4,11.
22. Β' Κορ.11,3.
23. Β' Κορ. 12,20.
24. Α' Κορ. 9,27.
25. Ρωμ. 8, 38.

δόθηκε. Ὄχι ὅμως τή στάχτη τοῦ στόματος, ἀλλά καί τῆς καρδιᾶς ἐκείνης ἤθελα νά δῶ, τήν ὁποία δέ θά ἔσφαλε κανείς ἄν τήν ὀνόμαζε καρδιά τῆς οἰκουμένης καί πηγή τῶν ἄπειρων ἀγαθῶν καί ἀρχή καί στοιχεῖο τῆς δικῆς μας ζωῆς. Γιατί τό πνεῦμα τῆς ζωῆς ἀπό ἐκεῖ χορηγοῦνταν σέ ὅλους καί μοιραζόταν στά μέλη τοῦ Χριστοῦ, καί στελνόταν ὄχι μέ ἀρτηρία ἀλλά μέ τήν προαίρεση τῶν ἀγαθῶν. Αὐτή ἡ καρδιά ἦταν τόσο πλατιά, ὥστε νά δέχεται καί πόλεις ολόκληρες καί λαούς καί ἔθνη. «Ἡ καρδιά μου», λέγει, «ἔχει γίνει πλατιά»[15]. Ἀλλ' ὅμως τήν τόσο πλατιά καρδιά τήν ἔσφιξε πολλές φορές καί τήν ἔθλιψε ἡ ἴδια ἡ ἀγάπη πού τήν ἔκαμνε εὐρύχωρη. «Σᾶς ἔγραψα», λέγει, «ἀπό μεγάλη θλίψη καί στενοχώρια τῆς καρδιᾶς μου»[16].

Αὐτή τήν καρδιά ἀκόμη καί διαλυμένη ἐπιθυμοῦσα νά δῶ, ἡ ὁποία φλεγόταν γιά τόν καθένα πού χανόταν, ἡ ὁποία γεννοῦσε γιά δεύτερη φορά ὅσα παιδιά ἀποβάλλονταν («γιατί ὅσοι ἔχουν καθαρή καρδιά», λέγει, «θά δοῦν τό Θεό»[17]), ἡ ὁποία εἶχε γίνει θυσία («γιατί θυσία γιά τό Θεό εἶναι ἡ ψυχή πού ἔχει συντριβεῖ»[18], ἡ ὁποία ἦταν ὑψηλότερη ἀπό τούς οὐρανούς, εὐρύτερη ἀπό τήν οἰκουμένη, λαμπρότερη ἀπό τήν ἀκτίνα, θερμότερη ἀπό τή φωτιά, ἰσχυρότερη ἀπό τό διαμάντι, ἡ ὁποία ἄφηνε τούς ποταμούς («γιατί θά τρέξουν», λέγει, «ἀπό τήν κοιλιά του ποταμοί νεροῦ ζωντανοῦ»[19]· ὅπου ἦταν ἡ πηγή πού ἀναπηδοῦσε καί πότιζε ὄχι τήν ἐπιφάνεια τῆς γῆς, ἀλλά τίς ψυχές τῶν ἀνθρώπων· ἀπό ἐδῶ ἔβγαιναν ὄχι μόνο ποταμοί ἀλλά καί πηγές δακρύων καί νύχτα καί ἡμέρα), ἡ ὁποία ἔζησε τή νέα ζωή, ὄχι αὐτή τή δική μας (γιατί λέγει, «δέ ζῶ πιά ἐγώ, ἀλλά ζεῖ μέσα μου ὁ Χριστός»[20]· ἄρα ἡ καρδιά τοῦ Παύλου ἦταν καρδιά τοῦ Χριστοῦ, καί πλάκα τοῦ ἁγίου Πνεύματος καί βιβλίο τῆς χάριτος), ἡ ὁποία ἔτρεμε γιά τά ξένα ἁμαρτήματα («φοβᾶμαι», λέγει, «μήπως μάταια κόπιασα γιά σᾶς»[21], «μήπως ὅπως τό φίδι ἐξαπάτησε τήν Εὔα»[22], «μήπως, ὅταν ἔρθω, δέ σᾶς βρῶ ὅπως σᾶς θέλω»[23]), ἐνῶ γιά τόν ἑαυτό της καί φοβόταν καί θάρρος εἶχε (γιατί λέγει, «φοβᾶμαι μήπως, ἐνῶ σέ ἄλλους κήρυξα, ἐγώ ὁ ἴδιος θεωρηθῶ ὅτι ἀπέτυχα»[24] καί, «εἶμαι πεπεισμένος, ὅτι οὔτε ἄγγελοι οὔτε ἀρχάγγελοι θά μπορέσουν νά μᾶς χωρίσουν»[25]), ἡ ὁποία καταξιώθηκε ν' ἀγαπήσει τό

οὐδεὶς ἄλλος ἐφίλησε, τὴν θανάτου καὶ γεέννης καταφρονοῦσαν, καὶ ὑπὸ δακρύων ἀδελφικῶν συντριβομένην· «τί γὰρ ποιεῖτε», φησί, «κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν;» τὴν καρτερικωτάτην, καὶ οὐ στέγουσαν καιρὸν ὥρας ἀποστῆναι Θεσσαλονικέων.

Ἐβουλόμην τὴν κόνιν ἰδεῖν τῶν χειρῶν τῶν ἐν ἁλύσει, δι᾽ ὧν τῆς ἐπιθέσεως τὸ Πνεῦμα ἐχορηγεῖτο, δι᾽ ὧν τὰ θεῖα γράμματα ἐγράφετο· «ἴδε γὰρ πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρὶ»· καὶ πάλιν, «ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου»· τῶν χειρῶν ἐκείνων, ἃς ἰδοῦσα ἡ ἔχις ἐξέπεσεν εἰς τὴν πυράν. Ἐβουλόμην τὴν κόνιν ἰδεῖν τῶν ὀφθαλμῶν τῶν πηρωθέντων καλῶς, τῶν ἀναβλεψάντων ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης, τῶν καὶ ἐν σώματι Χριστὸν ἰδεῖν καταξιωθέντων, τῶν ὁρώντων τὰ γήινα καὶ οὐχ ὁρώντων, τῶν βλεπόντων τὰ μὴ βλεπόμενα, τῶν μὴ εἰδότων ὕπνον, τῶν ἐν μέσαις νυξὶν ἀγρυπνούντων, τῶν οὐ πασχόντων τὰ τῶν ὀφθαλμῶν. Ἐβουλόμην καὶ τῶν ποδῶν ἐκείνων ἰδεῖν τὴν κόνιν τῶν περιδραμόντων τὴν οἰκουμένην καὶ μὴ καμόντων, τῶν ἐν τῷ ξύλῳ δεδεμένων, ἡνίκα τὸ δεσμωτήριον ἔσεισε, τῶν οἰκουμένην καὶ ἀοίκητον περιελθόντων, τῶν ὁδοιπορούντων πολλάκις.

Καὶ τί δεῖ κατὰ μέρος λέγειν; Ἐβουλόμην τὸν τάφον ἰδεῖν, ἔνθα τὰ ὅπλα τῆς δικαιοσύνης ἀπόκειται, τὰ ὅπλα τοῦ φωτός, τὰ μέλη τὰ νῦν ζῶντα, νενεκρωμένα δὲ ὅτε ἔζη, ἐν οἷς πᾶσιν ὁ Χριστὸς ἔζη, τὰ ἐσταυρωμένα τῷ κόσμῳ, τὰ τοῦ Χριστοῦ μέλη, τὰ ἐνδεδυμένα τὸν Χριστόν, τὸν ναὸν τοῦ Πνεύματος, τὴν οἰκοδομὴν τὴν ἁγίαν, τὰ δεδεμένα τῷ Πνεύματι, τὰ καθηλωμένα τῷ φόβῳ τοῦ Θεοῦ, τὰ ἔχοντα τὰ στίγματα τοῦ Χριστοῦ. Τοῦτο τὸ σῶμα τειχίζει τὴν πόλιν ἐκείνην, ὃ παντὸς πύργου καὶ μυρίων περιβόλων ἐστὶν ἀσφαλέστερον· καὶ μετὰ τούτου τὸ Πέτρου. Καὶ γὰρ ζῶντα ἐτίμα· «ἀνέβη γὰρ ἱστορῆσαι Πέτρον». Διὰ τοῦτο καὶ ἀπελθόντα κατηξίωσεν ὁμόσκηνον αὐτῷ ποιῆσαι ἡ χάρις. Ἐβουλόμην ἰδεῖν τὸν λέοντα τὸν πνευματικόν. Ὥσπερ γὰρ λέων πῦρ ἀφιεὶς εἰς ἀλωπέκων

26. Πράξ. 21,13.
27. Γαλ. 6,11.
28. Α΄ Κορ. 16,21.
29. Γαλ. 1,18.

Χριστό, ὅπως κανείς ἄλλος δέν τόν ἀγάπησε, ἡ ὁποία περιφρονοῦσε τό θάνατο καί τή γέεννα καί συντριβόταν ἀπό τά δάκρυα ἀδελφῶν («τί κερδίζετε», λέγει, «μέ τό νά κλαῖτε καί νά μοῦ ραγίζετε τήν καρδιά;»[26]), ἡ ὁποία ἦταν πάρα πολύ ὑπομονητική καί δέν ὑπέμενε οὔτε ὥρα ν' ἀπομακρυνθεῖ ἀπό τούς Θεσσαλονικεῖς.

Ἤθελα νά δῶ τή στάχτη τῶν χεριῶν πού ἦταν ἁλυσοδεμένα, μέ τήν ἐπίθεση τῶν ὁποίων χορηγοῦνταν τό ἅγιο Πνεῦμα, μέ τά ὁποῖα γράφονταν τά θεῖα γράμματα· «κοιτάξτε πόσο μεγάλα γράμματα σᾶς ἔγραψα μέ τό χέρι μου»[27], καί πάλι, «ὁ χαιρετισμός γράφεται μέ τό δικό μου χέρι, τοῦ Παύλου»[28]. Ἤθελα νά δῶ τή στάχτη τῶν χεριῶν ἐκείνων, τά ὁποῖα ὅταν εἶδε ἡ ὀχιά, ἔπεσε στή φωτιά. Ἤθελα νά δῶ τή στάχτη τῶν ματιῶν πού τυφλώθηκαν καλά, πού ἀνέβλεψαν γιά τή σωτηρία τῆς οἰκουμένης, πού καταξιώθηκαν νά δοῦν καί μέ τό σῶμα τό Χριστό, πού ἔβλεπαν τά γήινα καί πού δέν τά ἔβλεπαν, πού ἔβλεπαν τά ἀόρατα, πού δέ γνώριζαν ὕπνο, πού ἔμεναν ξάγρυπνα τά μεσάνυχτα, πού δέν πάθαιναν αὐτά πού παθαίνουν τά μάτια. Ἤθελα νά δῶ καί τή στάχτη τῶν ποδιῶν ἐκείνων πού ἔτρεξαν τήν οἰκουμένη καί πού δέν κουράσθηκαν, πού ἦταν δεμένα στό ξύλο, ὅταν ἔγινε σεισμός στή φυλακή, πού πῆγαν στήν κατοικημένη καί ἀκατοίκητη γῆ, πού ὁδοιποροῦσαν πολλές φορές.

Καί γιατί πρέπει νά τά ὀνομάζω ξεχωριστά; Ἤθελα νά δῶ τόν τάφο, ὅπου φυλάσσονται τά ὅπλα τῆς δικαιοσύνης, τά ὅπλα τοῦ φωτός, τά μέλη πού σήμερα εἶναι ζωντανά, νεκρά ὅμως ὅταν ζοῦσε, στά ὁποῖα ζοῦσε ὁ Χριστός, τά σταυρωμένα γιά τόν κόσμο, τά μέλη τοῦ Χριστοῦ, τά ντυμένα τό Χριστό, τό ναό τοῦ ἁγίου Πνεύματος, τήν οἰκοδομή τήν ἅγια, τά δεμένα στό ἅγιο Πνεῦμα, τά καθηλωμένα στό φόβο τοῦ Θεοῦ, τά ὁποῖα ἔχουν τά στίγματα τοῦ Χριστοῦ. Αὐτό τό σῶμα προφυλάσσει σάν τεῖχος τήν πόλη ἐκείνη, καί εἶναι ἀσφαλέστερο ἀπό κάθε πύργο καί ἄπειρα περιτοιχίσματα· καί μαζί μ' αὐτό καί τό σῶμα τοῦ Πέτρου. Γιατί καί ὅταν ζοῦσε, τόν τιμοῦσε· «ἀνέβηκε νά γνωρίσει τόν Πέτρο»[29]. Γι' αὐτό καί ὅταν πέθανε τόν ἔκρινε ἄξιο ἡ χάρη νά τόν κάμει ὁμόσκηνο μ' αὐτόν. Ἤθελα νά δῶ

ἀγέλας, οὕτως εἰς τὴν τῶν δαιμόνων καὶ φιλοσόφων ἐνέπεσε φατρίαν, καὶ καθάπερ σκηπτοῦ τις ἐμβολὴ εἰς τὰς τοῦ διαβόλου κατηνέχθη φάλαγγας. Οὐδὲ γὰρ ἐκ παρατάξεως ἵστατο πρὸς αὐτόν, ἀλλ' οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν, ὡς, εἰ καὶ σκιὰν ἴδοι καὶ φωνῆς ἀκούσειε, πόρρωθεν δραπετεύειν. Οὕτω γοῦν καὶ τὸν πεπορνευκότα παρέδωκεν αὐτῷ πόρρωθεν ὤν, καὶ πάλιν ἐξήρπασε τῶν ἐκείνου χειρῶν· οὕτω καὶ ἑτέρους, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

Σκόπει δὲ πῶς καὶ τοὺς ὑπ' αὐτῷ τεταγμένους ἀντεπεξάγει, διεγείρων, ἀλείφων· καὶ νῦν μὲν Ἐφεσίοις φησίν, «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας», εἶτα καὶ τὸ ἔπαθλον τίθησιν, «ἐν τοῖς ἐπουρανίοις», λέγων. Οὐ γὰρ περὶ γηΐνων πραγμάτων ἡμῖν ὁ ἀγών, φησίν, ἀλλὰ περὶ τῶν οὐρανῶν καὶ τῶν ἐν τοῖς οὐρανοῖς. Νῦν δὲ ἑτέροις φησίν· «οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;». Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, στῶμεν γενναίως. Καὶ γὰρ καὶ Παῦλος ἄνθρωπος ἦν, τῆς αὐτῆς φύσεως ἡμῖν μετέχων, καὶ τὰ ἄλλα ἅπαντα ἔχων κοινά· ἀλλ' ἐπειδὴ πολλὴν τὴν περὶ τὸν Χριστὸν ἀγάπην ἐπεδείξατο, τοὺς οὐρανοὺς ὑπερέβη καὶ μετὰ τῶν ἀγγέλων ἔστη. Ὥστε, ἂν βουληθῶμεν καὶ ἡμεῖς διαναστῆναι μικρόν, καὶ τὸ πῦρ ἐκεῖνο ἀνάψαι ἐν ἡμῖν, δυνησόμεθα ζηλῶσαι τὸν ἅγιον ἐκεῖνον. Οὐδὲ γάρ, εἴπερ ἀδύνατον ἦν τοῦτο, ἐβόα λέγων· «μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ».

Μὴ τοίνυν θαυμάζωμεν αὐτὸν μηδὲ ἐκπληττώμεθα μόνον, ἀλλὰ καὶ μιμώμεθα, ἵνα καταξιωθῶμεν καὶ ἐντεῦθεν ἀπελθόντες αὐτὸν ἰδεῖν, καὶ τῆς ἀπορρήτου δόξης μετασχεῖν, ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

30. Ἐφ. 6,12.
31. Α' Κορ. 6,3.
32. Α' Κορ. 11,1.

τό λιοντάρι τό πνευματικό. Γιατί σάν λιοντάρι πού ἐκπέμπει φωτιά σέ κοπάδια ἀπό ἀλεποῦδες, ἔτσι ἔπεσε μέσα στή φατρία τῶν δαιμόνων καί φιλοσόφων, καί σάν κάποια ἐπιδρομή κεραυνοῦ κατέβηκε στίς φάλαγγες τοῦ διαβόλου. Γιατί δέ στεκόταν σέ θέση μάχης ἐναντίον του, ἀλλά τόσο φοβόταν καί ἔτρεμε, ὥστε καί ἀπό μακριά ἔφευγε κρυφά, ἄν ἔβλεπε τή σκιά του μόνο καί ἄκουε τή φωνή του. Ἔτσι λοιπόν καί ἐκεῖνον, πού εἶχε γίνει πόρνος, τόν παρέδωσε σ' αὐτόν, ἄν καί ἦταν μακριά, καί πάλι τά ἅρπαξε ἀπό τά χέρια του· ἔτσι καί ἄλλους ἔκαμε, γιά νά διδαχθοῦν νά μή βλασφημοῦν.

Πρόσεχε ὅμως πῶς ὁδηγεῖ στή μάχη καί ἐκείνους πού ὑπηρετοῦν κάτω ἀπό τίς διαταγές του, ἐξεγείροντας καί ἐνθαρρύνοντάς τους· καί ἄλλοτε λέγει στούς Ἐφεσίους, «δέ διεξάγουμε πάλη μέ σάρκα καί αἷμα, ἀλλά μέ τίς ἀρχές καί τίς ἐξουσίες»[30], ἔπειτα ὅμως ἀναφέρει καί τό ἔπαθλο, λέγοντας, «στούς οὐρανούς». Γιατί δέ διεξάγουμε ἀγώνα γιά γήινα πράγματα, λέγει, ἀλλά γιά τούς οὐρανούς καί τά ἐπουράνια πράγματα. Ἄλλοτε πάλι σέ ἄλλους λέγει· «δέν ξέρετε ὅτι θά κρίνουμε ἀγγέλους, καί ἄρα πολύ περισσότερο κοσμικές ὑποθέσεις;»[31].

Κατανοώντας λοιπόν ὅλα αὐτά, ἄς σταθοῦμε γενναῖα. Καθόσον καί ὁ Παῦλος ἦταν ἄνθρωπος, ἔχοντας τήν ἴδια μέ μᾶς φύση καί ὅλα τά ἄλλα κοινά, ἀλλ' ἐπειδή ἔδειξε πολλή ἀγάπη γιά τό Χριστό, ξεπέρασε τούς οὐρανούς καί στάθηκε μαζί μέ τούς ἀγγέλους. Ἐπομένως ἄν θελήσουμε καί ἐμεῖς νά ἐγερθοῦμε λίγο καί ν' ἀνάψουμε μέσα μας τή φωτιά ἐκείνη, θά μπορέσουμε νά μιμηθοῦμε τόν ἅγιο ἐκεῖνον. Γιατί βέβαια, ἄν ἦταν ἀδύνατο αὐτό, δέ θά φώναζε λέγοντας· «γίνεστε μιμητές μου, ὅπως εἶμαι καί ἐγώ τοῦ Χριστοῦ»[32].

Ἄς μή θαυμάζουμε λοιπόν αὐτόν μόνο, οὔτε νά ἐκπλησσόμαστε, ἀλλά καί ἄς τόν μιμούμαστε, γιά νά κριθοῦμε ἄξιοι καί αὐτόν νά δοῦμε, ὅταν ἀναχωρήσουμε ἀπό τή ζωή αὐτή, καί νά πάρουμε μέρος στήν ἀπόρρητη δόξα, τήν ὁποία εἴθε ὅλοι ἐμεῖς ν' ἀξιωθοῦμε, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

2. Ευρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Ρ

Σ

Τ

ΠΕΡΙΕΧΟΜΕΝΑ

Φωτοστοιχιοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ
Άρμενοπούλου 30 – Τηλ. 200 621 – ΘΕΣΣΑΛΟΝΙΚΗ 546 35.

Έκτύπωση Όφσετ: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΦΩΤΗ ΠΑΛΑΙΟΧΩΡΙΝΟΥ
Τσαμαδοῦ 8 – Τηλ. 928 592 – ΘΕΣΣΑΛΟΝΙΚΗ

Βιβλιοδεσία: ΑΦΟΙ ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανᾶ 17 – Τηλ. 839 414 – ΘΕΣΣΑΛΟΝΙΚΗ

Κεντρική Πώληση: ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ «ΒΥΖΑΝΤΙΟΝ» ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ
Άρμενοπούλου 30 – Τηλ. 200 621 – ΘΕΣΣΑΛΟΝΙΚΗ 546 35